# ACTA

ET

# DIPLOMATA

GRAECA MEDII AEVI

SACRA ET PROFANA

COLLECTA EDIDERUNT

FRANCISCUS MIKLOSICH ET IOSEPHUS MÜLLER

VOLUMEN SECUNDUM

BIBLIOTHECA BODLEIANA

VINDOBONAE
CAROLUS GEROLD
MDCCCLXII

# ACTA

# PATRIARCHATUS

# CONSTANTINOPOLITANI

## MCCCXV — MCCCCII

E CODICIBUS MANU SCRIPTIS BIBLIOTHECAE PALATINAE VINDOBONENSIS

SUMPTUS PRAEBENTE CAESAREA SCIENTIARUM ACADEMIA

EDIDERUNT


FR. MIKLOSICH
PROF. UNIVERSIT. VINDOBONENSIS.

ET

IOS. MÜLLER
PROF. UNIVERSIT. PATAVINAE.


TOMUS POSTERIOR

BIBLIOTHECA BODL.


VINDOBONAE
CAROLUS GEROLD
MDCCCLXII


1102. d. 3.

Typis et charta Leopoldi Sommer

Huius libri exscripta exemplaria trecenta

## VIII.

(Κωδίκιον τῶν συνοδικῶν παρασημειώσεων γεγονὸς ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Νείλου.)

## CCCXXXII. 6888 (1379—1380) septembri-iunio ind. III.

*Metropolita Iconii excommunicatur.*

...... Μάρκελλον ἡγουμενικῶς προϊστάμενον τῆς σεβασμίας βασιλικῆς μονῆς τῆς ... ὄνομα .... θεοῦ καὶ σωτῆρος ἡ ...... ὧν ἔδει τοὺς ὑφ' ἑαυτὸν μοναχοὺς τὴν ὑψηλοτέραν ..... ἐκεῖ πε ..... ...ην τῶν μονα ..... .....ωτέραν κατάστασιν τήν τε πρὸς τὰ θεῖα εὐλάβειαν καὶ μάλιστα τὴν θαυ..... τῶν ...... ου...... εὐ........ τείαν, ἣν ἐκεῖνοι τῇ θείᾳ δυνάμει ῥωννύμενοι ὑπερφ.. γάσαντο ὡς ..... μίμησιν κα....... ... πρὸ πάντων ἐκδιδάσκειν αὐτοὺς τὴν ὑγιᾶ καὶ ὀρθό(δοξον) πίστιν καὶ τὴν εὐσέβειαν καὶ τὸ πρὸς τοὺς αἱρετικοὺς μῖσ(ος) ..... ἐάνπερ ἐπίτηδες τὴν ἐναντίαν ἰὼν καὶ καθηγητὴς ..ας.. τῶν χριστιανῶν διαγωγῆς καταστὰς καταλυτή(ς)... πάσῃ δυνάμει κατὰ τῆς ἐκκλησιαστικῆς εὐταξίας καθοπλι... καὶ διὰ ..... τῶν ἁγίων βίους καὶ τοὺς ..... ματα, περιφρονεῖν δὲ τὴν πρὸς τὰ ἱερὰ τῆς ἐκκλησίας αἰδῶ καὶ εὐλάβειαν, κοινωνεῖν δὲ καὶ συνεύχεσθαι τοῖς αἱρετικοῖς.. τῶν ἑορτῶν ... οὓς ἡ καθολικὴ καὶ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία πάλαι διέρρηξε, καὶ τῆς κοινωνίας τῶν ὀρθοδόξων ἀπέτεμεν ὡς (σεσηπότα) μέλη, καὶ τῷ ἀναθέματι παραδέδωκεν, ἵνα μὴ καὶ τῷ λοιπῷ σώματι βλάβης αἴτιοι γέ(νοιντο), ἅπερ οἱ τῇ σεβασμίᾳ ταύτῃ μονῇ .... μάλιστα οἱ τῶν λοιπῶν ἀρετῇ προέχοντες καὶ οἱ τῇ μεγάλῃ τῆς ἱερωσύνης ἀξίᾳ τιμώμενοι... τε καὶ ἀκούοντες πρὸς ... τῶν ἀρχιερέων ἀνέδραμον, τί δεῖ (ποιεῖν, παρ') αὐτῶν μαθεῖν ἀξιοῦντες καί, πῶς ἄρα κοινωνοῖεν εἰσέτι οὕτω τοῖς ἀκοινωνήτοις κακῶς κοινωνοῦντι καὶ ἄσεμνα πολλὰ φθεγγομένῳ καὶ βλασφημοῦντι μὲν εἰς θεόν, ὑβρίζοντι δὲ τοὺς τῆς ἐκκλησίας προστά-

τας καὶ καθηγεμόνας διασύ..... ἀρετὴν καὶ τοὺς ἀγῶνας τῶν ὁσίων πατέρων καὶ εἰς παίγνιον λογιζομένῳ τὴν σεμνὴν τῶν χριστιανῶν πολιτείαν, παρ' ὧν ἀκηκόασιν, ὡς ἐπειδὴ οἱ κανόνες διαγορεύουσιν. ἄδειαν ἔχειν τὸν κληρικὸν, ὁρῶντα τὸν ἴδιον ἐπίσκοπον αἱρέσει περιπεσόντα, καὶ πρὸ κρίσεως ἀποσχίζεσθαι... ει.. καὶ αὐτοὺς ἀποστῆναι τέλειον τῆς αὐτοῦ κοινωνίας, οὐδὲ ἐπισκόπου τούτων ὑπάρχοντος, ἀλλ' ἡγουμενικῶς μόνον αὐτῶν προϊσταμένου. ἐπεὶ δὲ ἔδει (πᾶσ)αν αἰτίαν περιαιρεθῆναι σκανδάλου, ὅτι καὶ τὸν ναὸν τελείως ἀπέκλεισαν οἱ μοναχοὶ, κατασιγασθείσης τῆς ἱερᾶς ὑμνῳδίας, οἱ ἐξ ἡμῶν.... ερέων ἀκηκοότες ταῦτα, δεῖν ἔγνωμεν ἀναγγεῖλαι ταῦτα τῷ κραταιῷ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, τῷ τῆς ἐκκλησίας προστάτῃ καὶ τῶν ὀρθῶν (δογ)μάτων προασπιστῇ, ὅθεν καὶ ἀνηνέγκαμεν ταῦτα, καὶ μετὰ πολλῆς ἀξιώσεως ἱκετεύσαμεν, ὡς ἂν ὁρισμῷ τῆς ἁγίας βασιλείας αὐτοῦ.. ῆς προστασίας τῆς εἰρημένης μονῆς ὁ Ἰκονίου εἰς σκάνδαλον τῶν μοναχῶν ἀφορῶν καὶ εἰς καθαίρεσιν μᾶλλον τῆς αὐτῶν σωτηρίας... ήν. ἐπεὶ δὲ ὁ ἐκ θεοῦ κράτιστος βασιλεὺς, βασιλικώτερόν τι διανοηθεὶς καὶ σφόδρα μὲν βουλόμενος τὸ τῇ ἐκκλησίᾳ συμφέρον κοιν... καίαν ζήτησιν, οὐ μέντοι γε καὶ ἀποδεχόμενος πρὸ ἐξετάσεως φανερᾶς τοῦτο γενέσθαι, ἵνα μὴ ἐρήμην ὁ Ἰκονίου καταδεδικασ.... προέτρεψεν ἡμῖν τοῖς τῶν τοιούτων ἐξετασταῖς καὶ κριταῖς τὴν τῶν λαληθέντων κατ' αὐτοῦ ποιῆσαι ἐξέτασιν· κατὰ τὸν θεῖον καὶ προσκυνητὸν ὁρισμὸν τῆς ἁγίας βασιλείας αὐτοῦ συναχθέντες ἡ ἀρτίως ἐνδημοῦσα τῇ θεοφυλάκτῳ, θεοδοξάστῳ, θεομεγαλύντῳ Κωνσταντινουπόλει ἱερὰ τῶν ἀρχιερέων σύνοδος, ὁ Νικαίας, ὁ Ἡρακλείας, ὁ Ἀδριανουπόλεως διὰ γνώμης, ὁ Ἰωαννίνων, ὁ Ἀμασείας, ὁ Σωζοπόλεως, ὁ Βάρνης, ὁ Ποντοηρακλείας, ὁ Ῥωσίας, ὁ Δέρκω καὶ ὁ Χαμᾶ, καθίσαντες ἐν τοῖς δεξιοῖς κατηχουμενείοις τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, συνεδριάζοντος ἡμῖν καὶ αὐτοῦ τοῦ Ἰκονίου, ἀπῃτήσαμεν κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκρίβειαν παραστῆναι τῇ συνόδῳ τοὺς κατηγόρους καὶ εἰπεῖν, εἴπερ ἔχουσί τι κατ' αὐτοῦ. παρέστη τοίνυν ὁ ἐκκλησιάρχης τῆς εἰρημένης μονῆς, ἱερομόναχος κῦρ Γρηγόριος, λιβέλλους κατηγορίας δεδωκὼς τῇ ἱερᾷ συνόδῳ, ἥτις καὶ διέκρινε, μὴ δίκαιον εἶναι, τὸν εἰρημένον μητροπολίτην Ἰκονίου ἀρτίως ὑπὲρ τῶν τοιούτων ἐγκαλεῖσθαι καὶ κρίνεσθαι περὶ τῆς ἱερωσύνης αὐτοῦ, μὴ ὄντος πατριάρχου προκαθημένου

τῆς ἱερᾶς συνόδου, οὔτε γὰρ οἱ ἱεροὶ κανόνες ταῦτα διαγορεύουσιν, οὔτε ἡ τῆς ἐκκλησίας κατάστασις καὶ τὸ ἔθος ἀπαιτεῖ τὰ τοιαῦτα, διόπερ, ἐγκληματικῶν ὄντων τῶν κατ' αὐτοῦ λαλουμένων κεφαλαίων, περὶ μὲν τῆς ἱερωσύνης αὐτοῦ κρίσιν καὶ ἀπόφασιν οὐδ' ἡντινοῦν ποιησόμεθα, ἀπόντος, ὡς εἴρηται, τοῦ τῆς συνόδου προκαθημένου, ἐξέτασιν δὲ μόνην μερικῶν τινων κεφαλαίων ποιητέον ἐστὶν, ὡς ὁ βασιλεὺς ὁ ἅγιος διορίζεται, εἴ γε δεῖ αὐτὸν τὴν προστασίαν ἔχειν τῆς μονῆς, ὅθεν καὶ τῶν κατηγοριῶν ἀναγνωσθεισῶν ἐπὶ τοῦ μέσου τῆς ἱερᾶς συνόδου, τὰ μὲν πολλὰ καὶ βαρέα καὶ εἰς ἄκραν ἀτοπίαν καὶ ἀσέβειαν φέροντα τό γε νῦν ἔχον παρελίπομεν ἀνεξέταστα, τῷ μέλλοντι πατριάρχῃ καὶ τῇ σὺν αὐτῷ συνόδῳ ταμιεύοντες τὴν ἐκείνων ἐξέτασιν καὶ τὴν ἀπ' αὐτῆς ἀπαιτουμένην ἐξ ἀνάγκης ἀπόφασιν, δύο δὲ ἢ τρία τῶν λοιπῶν ἐκλεξάμενοι καὶ τὰ δοκοῦντα ἐκ τοῦ προχείρου μετριώτερα, πρὸς τὴν αὐτῶν ἐξέτασιν ἐχωρήσαμεν, πρῶτον μὲν, ὅτι καθήμενος ὁ Ἰκονίου ἐν τῷ τοῦ μοναστηρίου μετοχίῳ περὶ τὴν ζωοδόχον πηγὴν κινηθείσης λόγων ὁμιλίας περὶ τῆς σεβασμίας τοῦ Χαρσιανίτου μονῆς καὶ τῶν συμπαρόντων τῷ μητροπολίτῃ θαυμαζόντων ἅμα καὶ ἐπαινούντων τὴν τῶν ἀσκουμένων ἐν αὐτῇ διαγωγὴν, ὅπως τὴν μοναχοῖς ἁρμόζουσαν . . . κατάστασιν διὰ σπουδῆς ἔχουσι κατορθοῦν, οὗτος ὁ Ἰκονίου διέσυρε τὴν πολιτείαν ἐκείνων καὶ αἰσ . . ἐξύβρισε, (φευ)δῆ πάντα λέγων εἶναι τὰ διὰ νηστείας καὶ τῆς λοιπῆς ἐγκρατείας αὐτοῖς κατορθούμενα πι . . . . λέγουσιν . . . ὁ ἅγιος Μακάριος ἵστατο τεσσαράκοντα ἡμέρας ἐν μιᾷ γωνίᾳ, καὶ οὔτε ἔφαγεν . . . . . . οιας, αἰσχρότητος καὶ μωρολογίας, καὶ εἰς τὸν ἅγιον πατέρα ἐκεῖνον τῆς σ . . . . . . ν ἐποίησεν; αἰσχίστως ταῦτα προφέρων ἀπὸ τοῦ . . . . . . . ν ἅμα καὶ τὰ κεκρυμμένα μέλη τοῦ σώματος καὶ σχηματ . . . . ουσιν οἱ ἄνθρωποι . . . . . τράπεζαν ξυλίνην ἱερὰν καθιερωμένην λαβὼν ὁ Ἰκονίου τεχν . . . . . . καταστήσῃ κιβω . . . . . . καὶ ἐπειδὴ τοῖς ἐργαλείοις ἐκεῖνος τῆς ἰδίας τέχνης αὐτὴν κατεσ . . . . . . ην ἐπιτήδειον . . . (κιβ)ωτίου κατασκευῇ . . . ἐξ ἀνάγκης ἐποίησε σανίδας εἰς βιβλία εἰς . . . . . . μαργαρίτας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου. καὶ τρίτον, ὅτι ὁ αἱρετικὸς Νίφων ὁ εὑρισκόμενος ἐν . . . . . μὲν ὁ Ἰκονίου ἀπεδήμει ἢ καὶ ἐνδημῶν οὐκ ἦν ἐπειλημμένος ἔτι τῆς τοῦ μοναστηρίου προστασίας, οὐδὲ αὐτὸ . . . εἰσήρχετο τῶν ἱερῶν ὕμνων τελουμένων· ἐπεὶ δὲ οὗτος ἐπελάβετο τῆς ἡγουμενείας

εἰσήγαγε, καὶ αὐτὸν ... μετὰ τῶν ὀρθοδόξων εὐχόμενον, καὶ κατὰ τὴν ἡμέραν τῶν βαΐων ἔδωκεν αὐτῷ κηρὸν μετὰ βαΐου ὡς καὶ .... πᾶσι, καὶ ἐν τῇ λαμπρᾷ τῶν φώτων ἑορτῇ δέδωκεν αὐτῷ τῷ τῆς ἐκκλησίας ἀλλοτρίῳ ἐπ' ἐκκλησίας ἀναγνῶναι τοῦ ... πατρὸς Γρηγορίου τοῦ θεολόγου τὸν λόγον τό· πάλιν Ἰησοῦς ὁ ἐμός· διὸ καὶ πολλοὶ τῶν ἐναρέτων ἐκεῖ μοναχῶν ζήλου πλησθέντ(ες) εἶπον πρὸς αὐτόν, ἵνα ἐκβάλῃ τοῦτον ἀπὸ τῆς ἐκκλησίας, καὶ οὐκ ἠθέλησεν· ἐνεφάνισαν δὲ αὐτῷ καὶ τὸν δέκατον (ἀπο)στολικὸν κανόνα λέγοντα· „εἴ τις ἀκοινωνήτῳ κἂν ἐν οἴκῳ συνεύξηται, καὶ οὗτος ἀφοριζέσθω," καὶ τὸν με' ὁμ(οίως) λέγοντα· „ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος αἱρετικοῖς συνευξάμενος μόνον ἀφοριζέσθω, εἰ δὲ καὶ ἐπέτρεψεν αὐτ(οῖς) ὡς κληρικοῖς ἐνεργῆσαί τι, καθαιρείσθω." ὁ δὲ μὴ μόνον οὐκ ἐδυσωπήθη τὴν τῶν ἱερῶν κανόνων ἀπόφασιν, ἀ(λλὰ) καὶ διέσυρεν αὐτοὺς ὡς ἰδιώτας, ὅπως αὐτῷ τοὺς κανόνας ἐμφανίζουσι. πρὸς ταῦτα ἐζήτησεν ὁ Ἰκονίου κανο(νικῶς) γενέσθαι τὴν κατ' αὐτοῦ ἐξέτασιν, καὶ προεκόμισε κανόνα ἕκτον τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου διακ(ελεύοντα), μὴ πάντας προσδέχεσθαι τοὺς κατὰ ἐπισκόπου κατηγορίαν προφέροντας, ἀλλ' ὅσοι μήτε αἱρετικοὶ τυγχάνουσιν ὄντες ἢ ἀκοινώνητοι, μήτε προκατεγνωσμένοι ἢ ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντες, καὶ τοὺς ὑπὲρ ταῦτα δὲ πάντα τυγχάνοντες μὴ ἁπλῶς προσδέχεσθαι, πρὶν ἂν ἐγγράφως ὑποσχεθῆναι, εἴπερ ἐλεγχθεῖεν ψευδόμενοι, τὸν ἴσον ὑπελθεῖν κίνδυνον, ὅνπερ ἔμελλεν ὁ κατηγορούμενος πείσεσθαι. ἔδοξεν οὖν δίκαια λέγειν. καὶ ἐξετασθεὶς ὁ ἐκκλησιάρχης οὔτε αἱρετικὸς ἀνεφάνη ἢ ἀκοινώνητος, οὔτε προκατεγνωσμένος ἢ ὑπὸ προλαβοῦσαν κατηγορίαν ὤν, ἱερεὺς γάρ ἐστιν ἐνεργός, παρὰ μηδενός ποτε κατηγορηθείς, ἀλλ' οὐδὲ ἐφάνη ποτὲ κατηγορήσας τινὸς καὶ ψευσάμενος, ἐπ' ἀδείας δὲ νῦν ἔχειν τὸν Ἰκονίου ὡς ἐξ ἀρχῆς κατηγορεῖν αὐτοῦ μὴ εἶναι δίκαιον, παρ' αὐτοῦ πρότερον κατηγορηθέντα. περὶ δὲ τοῦ χρῆναι αὐτὸν ἐγγράφως ὑποσχεθῆναι τὴν ταυτοπάθειαν οὐ σφόδρα ἔδοξεν ἀναγκαῖον ἡμῖν, καὶ ἄκων γὰρ κατὰ πᾶσαν ἀνάγκην εἰς τοῦτο καταδικασθήσεται παρὰ τῆς συνόδου, ἐλεγχθεὶς ψευσάμενος περὶ τὰς ἀποδείξεις τῶν κατηγοριῶν, ὅθεν καὶ δεκτὸς εἰς κατηγορίαν ἀναφανεὶς ὁ ἐκκλησιάρχης ἀπῃτήθη κατὰ τὴν τῶν ἱερῶν κανόνων διαταγὴν παραγαγεῖν μάρτυρας καὶ ἀποδεῖξαι ταῦτα, καὶ παρήγαγεν εἰς τὸ πρῶτον κεφάλαιον ἀξιοπίστους μάρτυρας, τόν τε τι-

μιώτατον ἱερομόναχον καὶ πνευματικὸν κῦρ Γρηγόριον καὶ τὸν ἱερομόναχον Θεοδώριτον, οἳ καὶ δεξάμενοι βάρος ἀφορισμοῦ παρὰ πάσης τῆς ἱερᾶς συνόδου, ὡς ἂν τὸ ἀληθὲς ἐξείπωσιν, ἐξεῖπον καὶ ὡμολόγησαν ἀληθῆ εἶναι πάντα τὰ περὶ τοῦ ἁγίου Μακαρίου ῥηθέντα, ὡς ὁ ἐκκλησιάρχης διηγήσατο. καὶ τοῦ Ἰκονίου διατεινομένου, διηγεῖσθαι ταῦτα ὡς περὶ ἄλλου προσώπου, τοῦ Καλοθέτου δηλονότι ἐκείνου, λέγοντος πολλὰ τοιαῦτα κατὰ τῶν ἁγίων, οἱ μάρτυρες ὑπὸ τῷ ῥηθέντι ἀφορισμῷ διισχυρίζοντο, αὐτὸν ἀφ' ἑαυτοῦ ταῦτα εἰπεῖν, ὡς ἐλαλήθησαν. περὶ δὲ τῆς ἱερᾶς τραπέζης αὐτὸς ὁ Ἰκονίου ὡμολόγησε τοῦτο, πλὴν οὐκ εἶναι τράπεζαν καθιερωμένην διετείνετο, ἀλλ' ἐνθήκην μᾶλλον τῆς ἱερᾶς τραπέζης. ὁμοίως καὶ περὶ τοῦ δυσσεβοῦς καὶ κακοδόξου Νίφωνος αὐτὸς ὡμολόγησε ταῦτα ἀπαραλλάκτως, ὡς ὁ ἐκκλησιάρχης διηγήσατο, καὶ ὅτι εἰς τὸν ναὸν εἰσήρχετο τῆς ἱερᾶς ὑμνῳδίας τελουμένης, καὶ ὅτι καὶ κηρὸν μετὰ βαΐου δέδωκε . . . . . . . . καὶ ὅτι καὶ ἐπ' ἐκκλησίας ἀνέγνω τό· πάλιν Ἰησοῦς ὁ ἐμός. τούτων οὖν οὕτω παρηκολουθηκότων ἡ θεία σύ(νοδος) . . . . . ναμεν βαρέα πάντα εἶναι καὶ ἄτοπα, οἵ τε γὰρ τῶν ὁσίων ἱδρῶτες καὶ ὑπερ . . . . (ἀ)γῶνες καὶ . . . . . . . . κατὰ τοὺς τῶν ἀποστόλων ἀγῶνας καὶ τῶν μαρτύρων τοὺς ἄθλους καὶ αὐτοὶ β . . . . . . . μέχρι τέλους ὑπενεγκεῖν ἐδυνήθησαν, ἀλλὰ τῇ τοῦ . . . . . . . η μηδὲ τιμῶν αὐτά, ἀλλὰ καὶ ἀναιδῶς εἰς αὐτοὺς ἐ . . . . . . αὐτοῖς δωρησάμενον, οὐδὲ γὰρ πιστεύει δύνασθαι τὸν θεὸν τοιαῦτα ποιεῖν . . . . . . . κατὰ τῆς ἱερᾶς δὲ τραπέζης . . . . τόλμημα ποίαν οὐχ ὑπερβάλλει ἀσέβειαν; ὅτε γὰρ καὶ ἐνθήκη ἦν ἁγίας τραπέζης κατὰ τὸν τοῦ Ἰκονίου λόγον, (οὐκ ἔ)δει τοιαῦτα τολμᾶν κατ' αὐτῆς καὶ τὸν τεχνίτην καταπατεῖν αὐτὴν καὶ τεκτονικοῖς ἐργαλείοις . . . . . ς φαῦσαν μέρος τῆς ἁγίας τραπέζης, λόγον γὰρ ἔχει καὶ αὕτη ἱεροῦ τραπεζοφόρου, καὶ ὥσπερ τοῦτο . . . . . . . ὁ καταπατήσας ἢ κατατεμὼν εἰς λεπτὰ ἢ ἄλλην τινὰ χρείαν ἐνηργηκὼς δι' αὐτοῦ ἢ κινδυνεύσει . . . . . . . τοῦτο τετολμηκώς. οὕτως εἰ δοίημεν καὶ τοῦτο ἁγίας εἶναι τραπέζης ἐνθήκην, ἀλλὰ καὶ τὸ τοῖς (αἱρετι)κοῖς κοινωνεῖν καὶ συνεύχεσθαι καὶ εἰσάγειν ἀναγινώσκοντας τοὺς τῶν μεγάλων μυστηρίων λόγους . . . . . . τοῦ μέσου καὶ βαΐα διδόναι μετὰ κηρῶν, ὅπερ ἐστὶ τὸ τῆς κοινωνίας σύμβολον καὶ τῆς περὶ τὴν πίστιν ἑνώσεως καὶ συμφωνίας, τί γε ἄλλο τοῦτον ἀποδεικνύει, ἢ ὡς οἱ προλαβόντες ἱεροὶ τῶν ἀποστόλων κανόνες διαγορεύουσι; διὰ ταῦτα

καὶ περὶ μὲν τῆς ἱερωσύνης, ὡς εἴρηται, οὐδεμίαν ἀπόφασιν δίδομεν, διαγινώσκομεν δὲ καὶ ἀποφαινόμεθα, ἐκβληθῆναι τελείως τὸν Ἰκονίου τῆς ἡγουμενείας καὶ προστασίας τῆς εἰρημένης σεβασμίας μονῆς, μηδὲ γὰρ εἶναι δίκαιον, τὸν τοιαῦτα λέγοντά τε καὶ πράττοντα ἀρχὴν μοναχῶν ἐγχειρίζεσθαι καὶ τύπον ἑαυτὸν τοῖς ἄλλοις διδόναι, καὶ λόγων καὶ πράξεως δυσσεβείας μεστῶν, ἄλλως τε καὶ οἱ μὴ πίστιν ἔχοντες μηδὲ ἀγάπην εἰς αὐτόν, ἀλλὰ καὶ τοσοῦτον σκανδαλιζόμενοι κατ' αὐτοῦ, ὡς καὶ τὸν ναὸν ἑαυτοῖς ἀποκλείειν, ἵνα μὴ φανεῖεν ὅλως αὐτῷ συνευχόμενοι, πῶς ἂν αὐτῷ ὡς ἡγουμένῳ ὑποτάσσοιντο καὶ ψυχικῶς ὠφελοῖντο, καὶ οὐ μᾶλλον τὰ μέγιστα καὶ καιριώτατα βλάπτοιντο; οὔτε τοίνυν ἐν αὐτῇ τῇ μονῇ, οὔτε ἐν ἄλλῃ ἔσται ὁ Ἰκονίου προστασίαν ἐγχειρισθεὶς καὶ τὴν ἡγουμενείαν δεξάμενος, δι' ἅπερ εἴρηται. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις, βεβαιωθεῖσα καὶ ταῖς ἡμετέραις οἰκειοχείροις ὑπογραφαῖς κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης τρίτης ἰνδ. τοῦ ,ϛω' ὀγδοηκοστοῦ ὀγδόου ἔτους †.

† Εἶχε καὶ ὑπογραφάς· Ὁ ταπεινὸς μητροπολίτης Νικαίας Θεοφάνης. Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Ἰωσήφ. Ὁ ταπεινὸς μητροπολίτης Ἁδριανουπόλεως Πολύκαρπος. Ὁ ταπεινὸς μητροπολίτης Ἰωαννίνων Σεβαστειανός. Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας, ὑπέρτιμος καὶ πρόεδρος Μηδείας Μιχαήλ. Ὁ ταπεινὸς μητροπολίτης Σωζοπόλεος καὶ ὑπέρτιμος Νεῖλος. Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας Ἰωακείμ. Ὁ ταπεινὸς μητροπολίτης πάσης Ῥωσίας Κυπριανός. Ὁ ταπεινὸς μητροπολίτης Δέρκω καὶ ὑπέρτιμος Παῦλος. Ὁ ταπεινὸς μητροπολίτης Χαμᾶ Γρηγόριος. Ὁ ταπεινὸς μητροπολίτης Βάρνης Ἀλέξιος †.

† Ταῦτα μὲν ἐγένοντο ἔτι τῆς ἐκκλησίας χηρευούσης, τοῦ δὲ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, εὐδοκίᾳ θεοῦ εἰς τὸν πατριαρχικὸν ἀνελθόντος θρόνον, συνόδου συγκροτηθείσης ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Νικαίας, τοῦ Ἡρακλείας, τοῦ Θεσσαλονίκης, τοῦ Ἰωαννίνων, τοῦ Ἀμασείας,

τοῦ Οὐγγροβλαχίας κῦρ Χαρίτωνος καὶ τοῦ Οὐγγροβλαχίας κῦρ Ἀνθίμου, τοῦ Βάρνης, τοῦ Κερνίτζης, τοῦ Δέρκω καὶ τοῦ ἀρχιεπισκόπου Ἀγχιάλου, ὄντων καὶ διὰ γνωμῶν, πρὸς μὲν τὸν Νικαίας τοῦ Ποντοηρακλείας καὶ τοῦ Λιτβῶν καὶ Μικρᾶς Ῥωσίας, πρὸς δὲ τὸν Ἰωαννίνων τοῦ Σωζοπόλεως, ἀνεγνώσθη τὸ εἰρημένον γράμμα, παρόντος καὶ αὐτοῦ τοῦ Ἰκονίου, καὶ ἐξητάσθη τὸ περὶ τῆς ἁγίας τραπέζης, καὶ εὑρέθη ἀπὸ μαρτυρίας τῶν τοῦ μοναστηρίου μοναχῶν καὶ ἀπὸ τῆς διηγήσεως αὐτοῦ τοῦ Ἰκονίου, δεξαμένων ἀφορισμὸν παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἁγία τράπεζα ἦν, καὶ οὐκ ἐνθήκη, καθὼς ὁ Ἰκονίου διετείνετο. ἐλαλήθη δὲ καὶ ἕτερον, ὅτι κατὰ τὴν ἡμέραν τοῦ μεγάλου σαββάτου . . . ἐφόρεσεν ὁ ἱερομόναχος Γρηγόριος, καὶ ἐποίει τὸν ἐνταφιασμὸν, ἔτυψεν αὐτὸν σφοδρῶς κατὰ τῆς παρειᾶς ὁ Ἰκονίου . . . εὑρέθη καὶ τοῦτο ἀληθές. διὰ ταῦτα καὶ διέκρινεν ἡ θεία σύνοδος, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς ἂν κατὰ τὸν κανόνα τὸν λέγοντα· „εἴ τις ἱερωμένος τι τῶν ἐν τῷ ἁγίῳ βή(ματι) . . . . συντρίψῃ, ἢ εἰς κοινὴν χρείαν χρήσηται τούτῳ, ὑπάρχει καθῃρημένος,“ καὶ ἔτι κατὰ τὸν κανόνα τὸν λέγοντα· „ἱερεὺς τύπτων καὶ τυπτόμενος καθαιρείσθω·“ ὁ δὲ Ἰκονίου καὶ ἱερέα ἔτυψεν ἐνδεδυμένον τὴν ἱερατικὴν (στολὴν), μήτε τὴν ἡμέραν δυσω(πηθεὶς), μήτε τὸ τῆς μεταχειρίσεως ἔργον. καὶ διὰ ταῦτα καὶ δι' ἅπερ ἐβ . . . . . . κατὰ τῶν ἁγίων καὶ κατὰ τὸν προειρημένον ἀποστολικὸν κανόνα περὶ τῶν κοινωνούντων τοῖς ἀκοινωνή(τοις) καὶ ὁ Ἰκονίου πάσης ἀρχιερατικῆς ὑπηρεσίας ἐστερημένος καὶ καθάπαξ καθῃρημένος καὶ (ἀπο)κομμένος τοῦ τῶν ἀρχιερέων χοροῦ καὶ καταλόγου· διὰ ταῦτα καὶ ἐνεγράφη τῷ παρόντι κωδικίῳ . . . . ὡς μηδέποτε εὑρεῖν αὐτὸν ἀνάκλησιν εἰς ἱερωσύνην. κατὰ μῆνα ἰούνιον τῆς τρίτης ἰνδ. †.

† Δι' ἀσφάλειαν ὑπεγράφη παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων †.

† Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης*) †.

---

*) Nomina subscripta ipsorum praesulum manibus.

† Ὁ ταπεινὸς μητροπολίτης Νικαίας Θεοφάνης †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Ἰωσήφ †.

† Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης Ἰσίδωρος †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἰωαννίνων Σεβαστειανός †.

† Ὁ ταπεινὸς μητροπολίτης Σωζοπόλεως καὶ ὑπέρτιμος Νεῖλος †.

† Ὁ ταπεινὸς μητροπολίτης Οὐγγροβλαχίας Ἄνθιμος †.

† Ὁ ταπεινὸς μητροπολίτης Βάρνης Ἀλέξιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Κερνίτζης Ματθαῖος †.

† Смѣреныи митрополитъ Поимииъ киевьс(кыи) и Великое Руси †.

† Ὁ ταπεινὸς μητροπολίτης Δέρκω Παῦλος* †.

## CCCXXXIII. (6892—1383) septembri. ind. VII.

*Professio fidei Zoës.*

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. πρὸς τούτοις ἀποβάλλομαι τὴν παρὰ τῶν Λατίνων γενομένην προσθήκην ἐν τούτῳ τῷ ἁγίῳ συμβόλῳ τὴν λέγουσαν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, πιστεύω γὰρ καὶ ὁμολογῶ, ὅτι ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, ἀποβάλλομαι δὲ καὶ πάντα τὰ ἔθιμα αὐτῶν καὶ τὴν πολιτείαν καὶ διαγωγήν, ὅσα εἰσὶν ἔξω τῆς ἐκκλησίας τῆς ἀποστολικῆς καὶ τῆς νομοθεσίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων πατέρων, καὶ στέργω καὶ φρονῶ πάντα, ὅσα φρονεῖ ἡ ἁγία ἐκκλησία τῆς Κωνσταντινουπόλεως, καὶ προσέρχομαι ὁλοψύχως τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ. μηνὶ σεπτεβρίῳ ἰνδ. ζ΄ †.

---

*) Pars inferior folii abscissa.

† Ἡ ἀπὸ τοῦ Εὐρόπου Ζωὴ προσελθοῦσα τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως ἔστερξε τὴν παροῦσαν ὁμολογίαν, καὶ ἀπεβάλλετο πᾶσαν τὴν τῶν Λατίνων αἵρεσιν καὶ τὴν εἰς τὸ ἅγιον σύμβολον γενομένην παρ' ἐκείνων προσθήκην †.

## CCCXXXIV. (6896—1387) novembri. ind. XI.

*De quodam Bea Catalano.*

† Ἰωάννης ὁ Μπαίας ὁ ἀπὸ τῶν Κατελάνων προσῆλθε τῇ ἁγίᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως ......... κατὰ μῆνα νοέμβριον τῆς ια' ἰνδ. †.*)

## CCCXXXV. 6888 (1380) iunio. ind. III.

*Synodus iterum confirmat imperatoris mandatum, quo episcopatus Kernitzae in metropolim erigitur.*

..... καὶ τοῦτο βασιλέως χρηστοῦ καὶ τῆς περὶ τὸ θεῖον αὐτοῦ εἰλικρινοῦς διαθέσεως τὸ μὴ μόνον τοὺς ἰσχυρῶς μα..... τοῖς ἐναντίοις καὶ περιφανῆ κατ' αὐτῶν ἀνιστῶντας τρόπαια γερῶν ἀξιοῦν, ἀλλὰ καὶ οἷς.....ης ἠθῶν πρόσεστι καὶ ἀναγωγὴ πνευματικὴ καὶ χρίσμα ἱερωσύνης, τιμὰς χορηγεῖν φιλοτίμως καὶ.....ωρον χάριν ἐκ τῆσδε τῆς τάξεως προβιβάζειν εἰς ὑψηλοτέραν ἀνάβασιν. τοῖς δὲ παρὰ.....νοις ἡμῖν τῆς ἐκκλησίας προστάταις οὐδὲν οἶμαι λυσιτελέστερόν τε ἅμα καὶ πρεπωδέστερον τοῦ....μῇ τῆς ἐκκλησίας προβαινούσας βασιλικὰς πράξεις παντὶ τῷ δυναμένῳ κυροῦν τε καὶ συνιστᾶν...ὸν ἀγαθὸν δοκοῦντας ἀποδεδέχθαι, ὁμοῦ δὲ καὶ πρὸς τὴν ἐκκλησίαν ἐφελκομένους τὴν βασιλικὴν..αν, ἧς προσούσης αὐτῇ τὰς προκειμένας ἱερὰς ὁσημέραι πράξεις ῥᾳδίως περαίνειν δύναται. καὶ γὰρ βασιλεία καὶ ἐκκλησία τῆς ἐν ἡμῖν ἡγεμονίας τὰ κράτιστα· ἡ μὲν γὰρ τοῖς ἐκτὸς καὶ φαινομένοις νομοθετεῖ, ἡ δὲ τοῖς ἐντὸς καὶ νοουμένοις ἐπιστατεῖ, καὶ ἄμφω παρ' ἀλλήλων ἀντιδιδοῦσαί τε καὶ λαμβάνουσαι τὰ προσήκοντα μέγα τι τοῖς ἀρχομένοις καθίστανται χρῆμα, καὶ μεγάλης αὐτοῖς ὠφελείας γίνονται πρόξενοι. καὶ τοίνυν

*) Pars folii abscissa.

εὐθύνωμαι κανονικῶς εἰς τὴν ἱερωσύνην μου. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὑπόσχεσις δι' ἀσφάλειαν μηνὶ σεπτεβρίῳ ἰνδ. δ' †.

† Ὁ ταπεινὸς μητροπολίτης Κερνίτζης Ματθαῖος †.

## CCCXXXVII. 6888 (1380) iunio. ind. III.

*Synodus componit controversias ortas in ecclesia Russiae, nominatque hieromonachum Poemenem metropolitam Kioviae et Magnae Russiae.*

. . . . . μὲν πρὸ χρόνων ἤδη πολλῶν χειροτονηθεὶς μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας ὁ ἐκεῖθεν ἀποσταλεὶς θεοφιλέστατος (ἐπίσκ)οπος Βλανδιμοίρου, ὁ κὺρ Ἀλέξιος ἐκεῖνος, φθάνει δὲ μετ' ὀλίγον καὶ ὁ μέγας ἐκεῖνος ῥὴξ Μοσκοβίου καὶ πάσης Ῥωσίας . . . . (ὅ)ς τὸν τῇδε βίον καταλιπὼν οὐ τὸν υἱὸν αὐτοῦ μόνον, τὸν νῦν μέγαν ῥῆγα πάσης Ῥωσίας, Δημήτριον πάνυ . . . . τὸ τηνικαῦτα τῷ μητροπολίτῃ τῷδε παραδοὺς, ἀλλὰ καὶ τὴν τῆς ἀρχῆς ἁπάσης ἐπιτροπείαν καὶ φυλακὴν αὐτῷ . . . . όμενος, μηδενὶ θαρρεῖν ἔχων ἑτέρῳ, πολλῶν μὲν ἐπικειμένων πολεμίων, πολλῶν δὲ τῶν αὐτῷ φθονούντων τῆς ἀρχῆς καὶ . . . μανεῖσθαι ταύτην καιρὸν ζητούντων. τοῦ γοῦν μητροπολίτου καὶ τὸν παῖδα διασώζειν καὶ τὴν χώραν καὶ τὴν ἀρχὴν αὐτῷ συντηρεῖν παντὶ τρόπῳ προθυμουμένου, τοῖς μὲν ἄλλοις καὶ ἠρεμεῖν ὁπωσοῦν ἐδόκει καὶ εἰρήνην ἄγειν, τῷ δὲ πυρσολάτρῃ ῥηγὶ τῶν Λιτβῶν, πᾶσαν μὲν ῥᾳδίως τὴν ἄλλην ἐπιόντι χώραν καὶ ἀφανίζοντι, πᾶσαν δὲ πόλιν ὑφ' ἑαυτὸν ποιουμένῳ, πρὸς δὲ τὴν Μεγάλην Ῥωσίαν οὐδ' ἥντινοῦν εὑρίσκοντι πάροδον οὐκ ἦν ἠρεμεῖν, ἀλλὰ πῦρ ἔπνει κατὰ τοῦ μητροπολίτου, καὶ τὰ χείριστα διαθήσειν αὐτὸν ἐσπούδαζε, καὶ δή ποτε μετὰ ἀπάτης αὐτοῦ λαβόμενος, εἰς ἐπίσκεψιν τῆς Μικρᾶς Ῥωσίας περιιόντος καὶ τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ τελούντων χριστιανῶν, αὐτὸν μὲν καθεῖρξε, τὴν δ' ἀποσκευὴν αὐτοῦ πολύτιμον οὖσαν ἥρπασε, καὶ τοὺς αὐτῷ ἑπομένους ἠνδραποδίσατο, κἂν ἀπέκτεινεν αὐτὸν, εἰ μὴ συνάρσει τινῶν φυγὰς ᾤχετο λάθρα, καὶ οὕτω διέδρα τὸν κίνδυνον· ταύτης τοιγαροῦν ἀεὶ τῆς γνώμης ἐχόμενος κατ' αὐτοῦ καὶ διὰ βίου λυπεῖν αὐτὸν ἐθέλων, ὅτι μὴ τὴν τῆς Μεγάλης Ῥωσίας ἀρχὴν αὐτῷ ἐπιτρέπει, ἀλλὰ καθάπαξ ἀνεπιχείρητον αὐτῷ ταύτην διατηρεῖ, καὶ τὸν Ῥωμανὸν ἐκεῖνον χειροτονηθῆναι παρασκευάζει, ἐνταῦθα πολλῇ χρη-

σάμενος παρακλήσει, προφάσει μὲν τῷ μὴ καταδέχεσθαι ἐν τῷ ὑπ' αὐτὸν ἔθνει τὸν κῦρ Ἀλέξιον ἔχειν μητροπολίτην, τῇ δ' ἀληθείᾳ, ἵνα διὰ τοῦ Ῥωμανοῦ, φιλίαν πρὸς αὐτὸν ἔχοντος, σχοίη τινὰ πάροδον ἐν τῇ τῆς Μεγάλης Ῥωσίας ἀρχῇ· γέγονε μὲν οὖν ἐντεῦθεν σύγχυσις οὐκ ὀλίγη καὶ ταραχή, λύει δὲ ταχέως καὶ ταύτην ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν, ἐξ ἀνθρώπων τὸν Ῥωμανὸν ποιησάμενος, καὶ ἄκοντος μὲν αὐτοῦ, γίνεται δ' οὖν ὅμως ὑπὸ τὸν κῦρ Ἀλέξιον ἡ πᾶσα τῆς ἐκκλησίας ἀρχή, καὶ τὸ ἔθνος εἰρήνην ἄγει, καὶ ἐπίσκοποι ταῖς ἐκκλησίαις ἐγκαθιδρύονται πάσαις. ὁ δέ, καίτοι τῆς χώρας αὐτῷ ὑπὸ πολλοῖς ἐπισκόποις ἰθυνομένης, οὐδ' οὕτως εἰρηνεύειν ὅλως ἐβούλετο, ἀλλὰ καὶ τὸν μητροπολίτην δῆθεν προσεκαλεῖτο, καὶ εἰς τὸ Κύεβον μεθ' ὑποκρίσεως ἠξίου παραγενέσθαι, πολὺν λέγων ἔχειν τὸν καιρόν, ἀφ' οὗ τὴν οἰκείαν μητρόπολιν ἀνεπίσκοπον καταλείποι, καὶ ἢ δεῖ ταύτῃ ἐπιδημῆσαι ἢ δοῦναι χώραν, ἄλλον ἀντ' αὐτοῦ ταύτῃ προχειρισθῆναι ποιμένα. ὁ δὲ μὴ πρὸς τοὺς λόγους, ἀλλὰ τὸν ἐγκεκρομμένον τούτοις δόλον ἀφορῶν, τὴν μὲν μητρόπολιν τῆς προσηκούσης ἠξίου προνοίας δικαίως ἔχων ἐν αὐτῇ καὶ τὰ πρὸς χρείαν κατ' ἔτος αὐτῇ φιλοτιμότατα χορηγῶν, καταλιπεῖν δὲ τὴν πολυάνθρωπον χώραν καὶ τὴν μεγάλην ἐκκλησίαν καὶ ἀπελθεῖν εἰς τὸ περιλειφθὲν ἐν Κυέβῳ μικρὸν λείψανον οὐκ ἀναγκαῖον ἐνόμιζε, πρῶτον μὲν ἐπίσκοπον ἔχον τῶν πλησιοχωρούντων, ἀποπληροῦντα τὰς ἐν αὐτῷ ἱερατικὰς χρείας, ὅτε δεήσει, ἄλλως τε δὲ καὶ τὸν παρὰ τοῦ προδήλως ἐχθροῦ φανερὸν φοβούμενος κίνδυνον, ἐπεὶ οὐδὲ δι' ἄλλο τι ἡ πρόσκλησις ἦν, μηδεμιᾶς ἀναγκαίας, ὡς εἴρηται, χρείας κατεπειγούσης. ἐντεῦθεν ἐγκλήματα συμπλάττονται κατὰ τοῦ μητροπολίτου, καὶ ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης κῦρ Φιλόθεος, τὸν δόλον καὶ τὴν σκηνὴν ἀγνοῶν, τὸν νῦν μητροπολίτην Λιτβῶν καὶ Μικρᾶς Ῥωσίας, τὸν Κυπριανόν, τῶν ὑποθέσεων πέμπει κριτήν, ἀμφοτέροις, ὡς δεῖ, τοῖς μέρεσιν διαιτήσοντα καί, ὡς τὸ δίκαιον ἀπαιτεῖ, εἰρηνεύσοντα αὐτοὺς μετ' ἀλλήλων. ὁ δὲ τῶν μὲν τοῦ πεπομφότος ἐπιλαθόμενος λόγων, τοῦ δὲ τῆς ἐκκλησίας ἐπιλαβέσθαι γενόμενος ὅλος πάντα ποιῶν ἦν, δι' ὧν ἂν ἐνόμιζεν οἷός τε γενέσθαι τοῦ σκοποῦ μὴ διαμαρτεῖν, καὶ πρῶτον μὲν τὸν σὺν αὐτῷ ἐντεῦθεν πεμφθέντα συνεργόν, ὡς ἄν τις εἴποι, καὶ σπουδαστὴν ἀπεσείσατο, ὡς ἄν τι μὴ συνειδείη τῶν πραττομένων αὐτῷ, εἶτα τὸν ῥῆγα τῶν Λιτβῶν καὶ τοὺς αὐτοῦ πάντας οὕτως ὑπέρχεται,

καὶ οὕτως ἑνοῦνται καὶ συμπλέκονται μετ' ἀλλήλων, ὡς αὐτοὺς ἐκεῖνον αὖθις δοκεῖν ἔχειν τὸν Ῥωμανόν, καὶ πέμπονται γράμματα παρ' εὐθὺς ἐξ ἐκείνων, τοῦτον ζητούντων μητροπολίτην, καὶ ὡς εἰ μὴ οὗτος γένοιτο, ἕτ(ερον) λήψονται παρὰ τῆς λατινικῆς ἐκκλησίας· τῶν δὲ τοιούτων γραμμάτων μὴ μόνον αὐτουργὸς αὐτὸς ἦν, ἀλλὰ καὶ διακο . . . ἄλλα μὲν τῷ μητροπολίτῃ Ἀλεξίῳ πράξειν ὑποσχεθεὶς καὶ μένειν οἴκοι παραινέσας καὶ μηδέν τι λυπηρὸν προσδοκᾶν, αὐτοῦ τὴν ὑπὲρ αὐτοῦ πᾶσαν ἀναδεξαμένου φροντίδα, ἄλλα δὲ δείξας ἐπὶ τῶν ἔργων καὶ ἀντὶ φίλου καὶ πολλὰς ὀφείλοντος χάριτας, ἀνθ' ὧν εὗρεν ἐξ ἐκείνου πολλῶν ἀγαθῶν, πολεμιώτατος ἁπάντων ἀναφανεὶς καὶ ψευδεῖς λιβέλλους κομίσας, πολλῶν ἐγκλημάτων μεστούς, καὶ καθελεῖν ἐκεῖνον πάντα τρόπον ἐσπουδακώς. τούτων οὕτω σκαιωρηθέντων λαθὼν χειροτονεῖται μητροπολίτης Κυέβου τε καὶ Λιτβῶν, καὶ κατορθοῖ τὸ τῆς γνώμης αὐτῷ βουλόμενον, καὶ τοῦ μὲν τῆς ἐκκλησίας ἐπιλαμβάνεται, ζῶντος ἔτι τοῦ μητροπολίτου καὶ φίλου, ὑπὲρ δὲ τοῦ λοιποῦ πρᾶξιν συνοδικὴν λαμβάνει, μηδ' αὐτοῦ τοῦ μέρους ἀποτυχεῖν, ἀπαιτεῖ δὲ τοῦ γέροντος ἐκείνου μητροπολίτου τελείαν καθαίρεσιν, πάντων ἀπατηθέντων καὶ πιστευόντων τοῖς αὐτοῦ πλάσμασιν, ἐπεὶ φιλοῦσιν οἱ τῶν ἀνδρῶν ἀγαθοὶ καὶ μηδὲν ἑαυτοῖς κακὸν συνειδότες καὶ τοὺς μὴ τοιούτους χρηστοὺς ὡς ἐπὶ τὸ πλεῖστον ὑπολαμβάνειν, ἀλλὰ τούτου μὲν οὐκ ἐπιτυγχάνει. ἐξαποστέλλονται δὲ σὺν αὐτῷ ἐκκλησιαστικοὶ ἄρχοντες, ἀνερευνήσοντες τὸν ἐκείνου βίον καὶ τὰ κατ' ἐκείνου παρὰ τῶν κατηγόρων καὶ μαρτύρων γνωρίσοντες καὶ τὸ εὑρεθὲν ἐγγράφως τῇ ἱερᾷ συνόδῳ κομίσοντες. τὰ δ' ἦν πάντα λόγος μόνον καινὸς καὶ ἀσύστατος, καὶ οὐθ' ὁ κατηγορῶν ὅλως ἦν, οὐθ' ὁ συνειδὼς ἐκείνῳ τι τῶν ἀπηγορευμένων, πάντες μὲν οὖν μᾶλλον πατέρα ἐκεῖνον ἡγοῦντο, καὶ σωτῆρα τοῦ ἔθνους ἐκάλουν, καὶ ἴσα ταῖς ἑαυτῶν κεφαλαῖς ἅπαντες ἐτίμων, καὶ τῷ μητροπολίτῃ Κυπριανῷ, ὡς εἰς ἅγιον ἄνδρα πεπαρῳνηκότι, κατηρῶντο τὰ φρικωδέστατα. θροῦς δ' ἐπεγείρεται μὲν πλεῖστος ἀνὰ πᾶσαν τὴν ῥωσικὴν ἐπαρχίαν καὶ στάσις καὶ ὄχλησις οὐ μικρά, καταστέλλεται δ' ὅμως ταῖς τοῦ μητροπολίτου Ἀλεξίου καὶ κοινῇ πρὸς ἅπαντας καὶ ἰδίᾳ πρὸς ἕκαστον συχναῖς ὑποθήκαις καὶ συμβουλαῖς, καὶ γράμματα πέμπονται εἰς τὴν καθ' ἡμᾶς ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, ἅμα τό τε κατασκεδασθὲν αὐτῶν τοῖς ὀφθαλμοῖς νέφος τῆς λύπης ὑποδηλοῦντα διὰ τὴν τοῦ μητροπολίτου Κυπριανοῦ

χειροτονίαν καὶ πρὸς συμπάθειαν ἑαυτῶν καὶ οἶκτον τὴν θείαν σύνοδον ἐκκαλούμενα καὶ βοήθειαν δικαίαν ἀντὶ τῆς συμβάσης αὐτοῖς ἀδίκου ἀτιμίας λαβεῖν ἀπαιτοῦντα. αὐτὰ δὲ ταῦτα καὶ οἱ ἡμέτεροι τῆς ἐκκλησίας πρέσβεις ἐκεῖθεν ἐλθόντες συνοδικῶς ἀφηγοῦντο καὶ πολλοὺς ἄλλους ἐκεῖθεν ἐλθόντας ταὐτὰ τούτοις συμφθεγγομένους ἔχοντες. τούτων δ' ἐνταῦθα γραφομένων ὁ μητροπολίτης Κυπριανὸς οὐκ ἦν ἀμελῶν, ἀλλὰ πολὺς ἐνέκειτο τὴν Μεγάλην Ῥωσίαν φιλονεικῶν εἰσελθεῖν καὶ ταύτης ἐπιλαβέσθαι, ἐπεὶ καὶ ὁ μητροπολίτης Ἀλέξιος ἐν βαθεῖ γήρᾳ πρὸς θεὸν ἐξεδήμησεν· ὡς δὲ πολλὰ μογήσας οὐδὲν ἤνυεν, οὐδὲ τὸν ἐκεῖσε παραδεχόμενον ἔσχε, τῆς ὡς ἡμᾶς φερούσης ἅπτεται, καὶ εἰς τὴν ἱερὰν μεγάλην σύνοδον ἀνατρέχει ἐπὶ τοῦ χρηματίσαντος πρὸ ἡμῶν πατριάρχου, ζητῶν βοήθειαν, ἐφ' ᾧ καὶ τὴν Μεγάλην Ῥωσίαν λαβεῖν. ὡς δὲ κἀνταῦθα τὸν καιρὸν εὕρισκεν οὐ συμβαίνοντα τῷ ἰδίῳ σκοπῷ, καθῆστο περιμένων καὶ κεναῖς ἐλπίσι τρεφόμενος. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ χηρευούσης ἔτι τῆς ἐκκλησίας πρέσβεις ἀπὸ τῆς Μεγάλης Ῥωσίας ἀφίκοντο, γράμματα κομίζοντες καὶ μητροπολίτην αἰτοῦντες αὐτοῖς γενέσθαι, ὃν μεθ' ἑαυτῶν εἶχον εὐλαβέστατον ἱερομόναχον καὶ ἀρχιμανδρίτην, τὸν Ποιμένα, τῆς παρὰ κανόνας τοῦ Κυπριανοῦ χειροτονίας καταβοώμενοι. ἄρτι δὲ τῆς ἡμῶν μετριότητος εἰς τὸν ὑψηλὸν πατριαρχικὸν κρίμασι θειοτέροις ἀνελθούσης θρόνον, εἰς αὐτὴν ἀνατρέχουσι καὶ αὐτοί, καὶ τὰ γράμματα ἐγχειρίζουσι, καὶ τὸν τοῦ πέμψαντος αὐτοὺς σκοπὸν μεγάλου ῥηγὸς πάσης Ῥωσίας Δημητρίου καὶ τὴν παράκλησιν ἀνενεγκόντες, ἐκπληρωθῆναι ἀξιοῦσιν αὐτῶν τὴν αἴτησιν. ὡς δὲ καὶ ὁ μητροπολίτης Κυπριανὸς ἀνατρέχει, πρὸς τῷ Κυέβῳ καὶ τὴν Μεγάλην λαβεῖν Ῥωσίαν αἰτῶν, ἡ δὲ μετριότης ἡμῶν τὴν μὲν τῶν ἀπὸ τῆς Μεγάλης Ῥωσίας πρέσβεων ζήτησιν καὶ παράκλησιν δι(καίαν) κρίνασα, τὴν αὐτοῦ δὲ χειροτονίαν, ὡς ζῶντος ἔτι τοῦ μητροπολίτου Ἀλεξίου γεγενημένην, ἀκανόνιστον ἡγουμένη, διέγνω κρίσει καὶ βασάνῳ κανονικῇ, δοθῆναι τὸ κατ' αὐτόν, κἂν μὲν κανονικῶς καὶ νομίμως προβὰν ἀναφανῇ, στέργεσθαι καὶ μὴ ἂν ἄλλο τι τούτου πλέον γενέσθαι, εἰ δ' οὖν, στερηθῆναι αὐτὸν καὶ οὗπερ ἔχειν δοκεῖ, ἐζήτησεν οὖν ἐπὶ τούτῳ. . . ῶν τινῶν ὀλίγων διάσκεψιν εἰς ἀπολογίαν. καὶ μεθ' ἡμέρας εἰς τὴν ἱερὰν σύνοδον ἐλθὼν οὐ κρίσεως ἕνεκεν ἀφῖχθαί φησι, ζητῆσαι δὲ μόνον καὶ λαβεῖν, ὅσον ἡ σύνοδος διὰ τῆς ἐγγράφου πράξεως αὐτῆς αὐτὸν ἔχειν

διαλαμβάνει, κἂν μὲν δοκῇ δίκαιον· εἰ δ' οὖν, ἑτοίμως ἔχειν ἀρκεσθῆναι τῷ ἐν ᾧ μόνῳ κεχειροτόνηται μέρει, τὸ λοιπὸν ἤδη παραιτησάμενον. ταῦτ' εἶπε, καί, ὡς ἔοικεν, οὐκ εἰς καλὸν αὐτῷ ἀπαντήσειν ὑπολογισάμενος, εἰ καὶ αὐτοῦ παρόντος ἐξετάζοιτο, τί δεῖ γενέσθαι πρὸς τὴν αἴτησιν τῶν ἐκ τῆς Μεγάλης Ῥωσίας, λάθρα φυγὼν ᾤχετο, μηδὲ προσρήματος ἀξιώσας τινά. μετὰ ταῦτα ἐζητήθη πρῶτον μέν, εἴ γε δίκαιον δοκεῖ χειροτονηθῆναι τὸν Ποιμένα μητροπολίτην Μεγάλης Ῥωσίας, ἔπειτα καὶ πῶς ἂν γένοιτο, εἰ μὴ καὶ Κυέβου ἐπικηρυχθείη· τοῦ ἀρχῆθεν μητροπόλεως ὄντος τῆς πάσης Ῥωσίας; πολλῶν λόγων τοίνυν κινηθέντων συνοδικῶς, ἔδοξεν ἀναγκαῖον ἅμα καὶ δίκαιον, μὴ περιιδεῖν ἡμᾶς αἴτησιν δικαίαν ἔθνους τοσούτου, ἀλλὰ ψήφους ποιησαμένους δοῦναι αὐτοῖς, ὃν ζητοῦσιν ἀρχιερέα. διεμηνύθη οὖν καὶ ὁ ἱερώτατος μητροπολίτης Νικαίας, ἐνδημῶν μὲν τῇ βασιλίδι τῶν πόλεων, παρεῖναι δὲ καὶ ἐν τῇ ἱερᾷ συνόδῳ κωλυόμενος ὑπὸ ἀσθενείας, διὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος περὶ τῆς προκειμένης ὑποθέσεως δοῦναι γνώμην, οὐκ ἠθέλεσε δέ, λέγων, στέργειν τὴν τῷ μητροπολίτῃ Κυπριανῷ γενομένην πρᾶξιν, ὡς καλῶς γεγενημένην. ἀλλ' ἤκουσε παρὰ τῆς ἡμῶν μετριότητος, οὐχ ἅπαξ μόνον ἀλλὰ καὶ δίς, ὁμογνωμονούντων αὐτῇ καὶ πάντων τῶν περὶ αὐτὴν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, πρῶτον μὲν ἀποσταλέντων ἐκ τούτων πρὸς αὐτὸν τοῦ Ἰωαννίνων καὶ τοῦ Κερνίτζης, εἶτα σὺν τῷ αὐτῷ ἱερωτάτῳ μητροπολίτῃ Ἰωαννίνων καὶ τῶν τιμιωτάτων ἐξωκατακήλων ἐκκλησιαστικῶν ἀρχόντων, τοῦ τε μεγάλου σκευοφύλακος, πρεσβυτέρου κυροῦ Μιχαὴλ τοῦ Βαλσαμών, καὶ τοῦ μεγάλου χαρτοφύλακος, διακόνου κυροῦ Γεωργίου τοῦ Τρικλινίου, μὴ καλήν, μηδὲ ἔνθεσμον καὶ κανονικὴν εἶναι τὴν τοιαύτην πρᾶξιν, διὰ τοῦτο καὶ ἢ δεῖ ἐλθόντα συστῆσαι αὐτὴν καὶ κανονικὴν ἀποδεῖξαι, κἀντεῦθεν καὶ ἡμᾶς πεισθῆναι στέργειν αὐτὴν σὺν αὐτῷ καὶ μηδέν τι πλέον πράττειν ἐπιχειρεῖν, ἢ συμφωνῆσαι τοῖς ἄλλοις ἀρχιερεῦσιν. ὁ δὲ ἀβίαστόν τι τὴν γνώμην, εἶπεν, εἶναι νομίζω, διὰ τοῦτο καὶ περὶ μὲν τοῦ προκειμένου προσώπου οὐ βούλομαι δοῦναι γνώμην δι' αἰτίας τινὰς ἐμοὶ δοκούσας εὐλόγους, οὐ μὴν δὲ καὶ ἀποσχίζομαι τῆς συνόδου, ἀλλὰ τῶν κανόνων λεγόντων, τὴν τῶν πλειόνων ψῆφον νικᾶν, γενέσθω τὸ τοῦ κανόνος, περὶ δὲ τῆς συνοδικῆς πράξεως ἐγὼ μέν, φησί, κανονικὴν αὐτὴν ἐνόμιζον καὶ νομίζω, ἐπειδὴ δὲ οἱ σὺν ἐμοὶ ταύτην πεπραχότες ἀρχιε-

ρεῖς ὁμοῦ πάντες ἄθεσμον αὐτὴν καὶ ἀκανόνιστον εἶναι ψηφίζονται, οὐδὲ αὐτὸς ἀντιλέγω. ταῦτ' ἄρα καὶ μηδενὸς ὄντος τοῦ ἀντιλέγοντος ἡ μετριότης ἡμῶν, συνοδικῶς (συν)διασκεψαμένη τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῖς αὐτῆς ἀδελφοῖς καὶ συλλειτουργοῖς, τῷ Ἡρακλείας, τῷ Θεσσαλονίκης, τῷ Ἰωαννίνων, τῷ Ἀμασείας, τῷ Οὐγγροβλαχίας, τῷ Σωζοπόλεως, τῷ Βάρνης, τῷ Ποντοηρακλείας διὰ γνώμης, τῷ Κελτζηνῆς, τῷ Κερνίτζης, τῷ Δέρκω καὶ τῷ Ἀγχιάλου, διέγνω καὶ ἀπεφήνατο, προηγουμένως μὲν χειροτονηθῆναι τὸν Ποιμένα μητροπολίτην Μεγάλης Ῥωσίας, ἐπικηρυχθῆναι δὲ αὐτὸν καὶ Κυέβου κατὰ τὴν ἀρχαίαν τῆς μητροπόλεως ταύτης συνήθειαν, ἐπεὶ ἀδύνατον Μεγάλης Ῥωσίας γενέσθαι ἀρχιερέα, εἰ μὴ Κυέβου πρότερον ὀνομασθείη, ὅπερ ἐστὶν ἡ καθολικὴ ἐκκλησία πάσης Ῥωσίας, καὶ προκαθεζομένη μητρόπολις, τὸν δὲ Κυπριανὸν ἔδει μὲν οὐ τοῦ Κυέβου μόνον ἐκβληθῆναι, ἀλλὰ καὶ παντὸς μέρους τῆς Ῥωσίας, ὡς μετὰ ἀπάτης ἐπειλημμένον τῆς τοιαύτης ἐκκλησίας καὶ ἀκανονίστως, ὡς εἴρηται, χειροτονηθέντα, ζῶντος ἔτι τοῦ γνησίου ταύτης μητροπολίτου ἐκείνου, τοῦ Ἀλεξίου, καὶ ἀπόντος καὶ δίχα κρίσεως ἀφαιρεθέντος τὴν οἰκείαν ἐκκλησίαν παντάπασιν ἔξω τῆς ἀκριβείας τῶν ἱερῶν τῆς ἐκκλησίας θεσμῶν, συγκαταβάσει δὲ ὅμως χρώμενοι, ἐπειδὴ καὶ κρυφίως ἀπῆλθεν ἐκεῖνος, καὶ οὐκ ἔστιν ὥστε παρὼν κατὰ τοὺς κανόνας τελέως καταδικασθῆναι, λέγομεν, εἶναι αὐτὸν μητροπολίτην μόνης τῆς Μικρᾶς Ῥωσίας καὶ τῶν Λιτβῶν, τὴν δὲ πρᾶξιν, ἣν ἐπιφέρεται, ἀργὴν εἶναι καὶ ἄκυρον ἀποφαινόμεθα, ὡς μὴ κατὰ τοὺς κανόνας προβεβηκυῖαν, ὅθεν καὶ ἐπεὶ ἐξελέγη καὶ ἐχειροτονήθη ὁ τιμιώτατος ἱερομόναχος Ποιμὴν μητροπολίτης γνήσιος Κυέβου καὶ Μεγάλης Ῥωσίας χάριτι τοῦ παναγίου πνεύματος διὰ τῆς ἡμῶν μετριότητος, ψήφῳ τῆς περὶ αὐτὴν ἱερᾶς συνόδου τῶν εἰρημένων ἱερωτάτων ἀρχιερέων καὶ εὐδοκίᾳ καὶ ἐπινεύσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὀφείλει μὲν Κυέβου καὶ εἶναι καὶ ὀνομάζεσθαι μητροπολίτης κατὰ τὴν ἀρχαίαν συνήθειαν, ἐπιλαβέσθαι δὲ καὶ τοῦ Βλανδιμοίρου καὶ πάσης τῆς Μεγάλης Ῥωσίας, καθὼς καὶ πρὸ αὐτοῦ ὁ μητροπολίτης ἐκεῖνος Ἀλέξιος, καὶ πάντων τῶν ὁπουδήποτε εὑρισκομένων κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ προνομίων τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως, ἔχων ἄδειαν ἀπροκριματίστως ἱερουργεῖν ἐν αὐτῇ καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου

λαὸν τὰ ψυχωφελῆ καὶ σωτήρια, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν, ναὶ μὴν καὶ ἐπισκόπους ἐγκαθιστᾶν ἐν ταῖς ἀρχῆθεν ὑποκειμέναις τῷ Κυέβῳ καὶ τῇ Μεγάλῃ Ῥωσίᾳ ἐπισκοπαῖς, ἄνευ μόνον τῶν ἐν τῇ Μικρᾷ Ῥωσίᾳ, ἀνακρίνειν τε καὶ ἐξετάζειν πάντα τὰ παρ' αὐτῶν ἀκανονίστως πραττόμενα καὶ ἐπιδιορθοῦν, ὀφειλόντων πάντων, ἐπισκόπων, ῥηγῶν, ἀρχόντων, ἱερωμένων, μοναχῶν καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος, τὴν προσήκουσαν αὐτῷ ἀπονέμειν αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν, ὡς πατρὶ αὐτῶν καὶ διδασκάλῳ πνευματικῷ καὶ λόγον ὑπὲρ αὐτῶν ἀποδώσοντι ἐν ἡμέρᾳ κρίσεως, εἰδότων, ὡς ἡ πρὸς αὐτὸν διδομένη τιμὴ καὶ ὑποταγὴ καὶ εὐπείθεια εἰς τὴν ἡμῶν μετριότητα ἀναφέρεται καὶ δι' αὐτῆς πρὸς θεόν· εἰ γάρ τις ἀντιπράττειν αὐτῷ πειραθείη, εὐθύνην ὑποστήσεται κανονικῶς τὴν ἀξίαν παρὰ τῆς ἡμῶν μετριότητος. εἴ γε δὲ πρὸ αὐτοῦ ὁ μητροπολίτης Μικρᾶς Ῥωσίας καὶ Λιτβῶν, ὁ Κυπριανός, τὸ χρεὼν λειτουργήσειεν, ἐπιλήψεται αὐτὸς καὶ τῆς Μικρᾶς Ῥωσίας καὶ τῶν Λιτβῶν, καὶ ποιμανεῖ τὸν ἐν αὐταῖς χριστώνυμον τοῦ κυρίου λαόν, τῇ χάριτι τοῦ παντοδυνάμου θεοῦ δυναμούμενος, καὶ Κυέβου καὶ πάσης Ῥωσίας μόνος αὐτός, μέχρις ἂν τῷδε τῷ βίῳ περιῇ, ἀνακηρυχθήσεται, καὶ μετ' αὐτὸν δὲ εἰς τὸν ἅπαντα χρόνον ἀρχιερεὺς ἁπάσης Ῥωσίας ἔσται κατὰ τὴν παλαιὰν ἐκείνην συνήθειαν, ὅταν ἐκ τῆς Μεγάλης Ῥωσίας ζητήσωσι. προσέσται τοίνυν αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ Μεγάλης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα συνοδικὴ αὐτῆς πρᾶξις δι' ἀσφάλειαν, γραφεῖσα κ α τ ὰ μ ῆ ν α Ἰ ο ύ ν ι ο ν τ ο ῦ ,ς ω π η' ἔ τ ο υ ς †.

† Ε ἶ χ ε κ α ὶ δ ι ὰ τ ι μ ί α ς π α τ ρ ι α ρ χ ι κ ῆ ς χ ε ι ρ ὸ ς τ ό · Ν ε ῖ λ ο ς, ἐ λ έ ῳ θ ε ο ῦ ἀ ρ χ ι ε π ί σ κ ο π ο ς Κ ω ν σ τ α ν τ ι ν ο υ π ό λ ε ω ς, Ν έ α ς Ῥ ώ μ η ς, κ α ὶ ο ἰ κ ο υ μ ε ν ι κ ὸ ς π α τ ρ ι ά ρ χ η ς †.

## CCCXXXVIII. 6888 (1380) iunio. ind. III.

*Matthaeus, episcopus Poemanini, in metropolim Hadrianupoleos transfertur.*

† (Οὐ) μικρὰν καὶ περὶ τῆς ἁγιωτάτης μητροπόλεως Ἀδριανουπόλεως ἡ μετριότης ἡμῶν ἐποιήσατο τὴν φροντίδα, εἰς τὸν ὑψηλότατον τοῦτον τοῦ οἰκουμενικοῦ πατριαρχείου θρόνον ἐλθοῦσα· ταύτης γὰρ

πρὸ χρόνων βαρβαρικῇ κατασχεθείσης χειρὶ συγχωρήσει (θεοῦ) καὶ τοῦ πλείστου μὲν αὐτῆς μέρους, φεῦ, αἰχμαλωτισθέντος καὶ μάλιστά γε τοῦ κρείττονος σύν γε τῷ οἰκείῳ ποιμένι καὶ διδασκάλῳ, τοῦ δὲ λοιποῦ κρατηθέντος ἐκεῖ καὶ μέχρι τοῦ νῦν ἀνεπισκόπου μένοντος ἐξ ἐκείνου· οὐδὲ γὰρ ἐδυνήθη (ἐκ) τῆς αἰχμαλωσίας ὁ τῆς ἐκκλησίας ταύτης ἐκεῖνος προστάτης ἐπανελθὼν εἰς τὴν βασιλίδα ταύτην τῶν πόλεων ἄχρι καὶ τῆς αὐτοῦ τελευτῆς ἐκεῖσε παραγενέσθαι, πολλοῖς τε καὶ ποικίλοις νοσήμασι προσπαλαίων καὶ πρὸς γῆρας φθάσας, κἀντεῦθεν καὶ τὴν σωματικὴν ἀφαιρεθεὶς ἐκ τούτων ἰσχύν· ποῦ τῶν καλῶν ὅλως ἡμᾶς μὴ τῶν χριστιανῶν ἐκείνων ἐπιμνησθῆναι καὶ πρὸς τὴν τούτων προστασίαν καὶ πνευματικὴν διοίκησιν εἰσαγαγεῖν ἕτερον καὶ τούτῳ τὴν ἐκκλησίαν ἐκείνην ἁρμόσαι καὶ ὡς πνευματικῇ νύμφῃ συνάψαι πνευματικῶς καὶ ταῦθ' ὑπὸ τῶν ἐθνῶν οὕτως, ὡς ἐρρήθη, κεκρατημένην; τὸ γὰρ καὶ μετ' αὐτῶν τοὺς ἐν αὐτῇ χριστιανοὺς ἀναστρέφεσθαι καθ' ἑκάστην κἀντεῦθεν εὐεπηβόλως ἔχειν μετατίθεσθαι τούτους καὶ τῆς ὑπ' αὐτῶν, ὅσοι ἁπλούστεροι, μεταλαγχάνειν λύμης, καὶ τοῦτο λίαν ἀνέπειθεν τῇ τάχος ἕτερον ἀνακηρῦξαι ταύτης ποιμένα καὶ νυμφίον πνευματικὸν καὶ τὸ κατ' αὐτὴν ἅπαν φρόντισμα καλῶς ἐγχειρίσαι· ὅθεν καὶ ἐπεὶ εὗρεν ἑτοίμως τὸν θεοφιλέστατον ἐπίσκοπον Ποιμανινοῦ, ἄνθρωπον τρόπου καὶ συνειδήσεως ἀγαθῆς μετέχοντα, ταπεινώσεώς τε καὶ εὐλαβείας καὶ τῶν ἄλλων ἀγαθῶν προσηκόντως ἀντιποιούμενον, ἐξ ὧν ὁ τῆς ἀρετῆς καὶ τοῦ θεοῦ χαρακτηρίζεται ἄνθρωπος, καὶ αὐτός, μᾶλλον εἰπεῖν, ὁ θεὸς θεραπεύεται, καὶ διὰ ταῦτα ἄξιον ὄντα πρὸς μείζονά τε βαθμὸν ἀναχθῆναι καὶ πλειόνων οὕτω ψυχῶν οἰκονομίαν τε καὶ φροντίδα καλῶς ἀναδέξασθαι, συνδιασκεψαμένη συνοδικῶς τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις ἡ μετριότης ἡμῶν, τῷ Νικαίας, τῷ Θεσσαλονίκης, τῷ Ἰωαννίνων, τῷ Σωζοπόλεως, τῷ Οὐγγροβλαχίας, κῦρ Χαρίτωνι, καὶ τῷ ἑτέρῳ Οὐγγροβλαχίας, κῦρ Ἀνθίμῳ, τῷ Βάρνης, τῷ Κελτζηνῆς, τῷ Κερνίτζης, τῷ Ποντοηρακλείας καὶ τῷ Δέρκω, μετατίθησιν αὐτὸν εἰς τὴν εἰρημένην ταύτην ἁγιωτάτην τῆς Ἀδριανουπόλεως μητρόπολιν. ἔσται τοίνυν ἀπὸ τοῦ νῦν καὶ τοῦ ὀνόματος αὐτῆς ἀπολαύων καὶ τοῦ θρόνου καὶ τῆς τιμῆς, ἐπιμελούμενός τε τῶν προσόντων αὐτῇ δικαίων καὶ προνομίων καὶ πρό γε πάντων ὀφείλων τῷ ἱερῷ ταύτης συνθρόνῳ ἐγκαθιδρυθεὶς ἀκωλύτως ἱερουργεῖν ἐν πάσαις ταῖς ὑπ'

αὐτὴν ἐκκλησίαις καὶ ἐνορίαις, διδάσκειν τε τὸν ἐν αὐταῖς χριστώνυμον τοῦ κυρίου λαὸν κ. τ. λ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Θρᾴκης, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Ματθαίῳ, καὶ ἡ παροῦσα αὐτῆς συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα ἰούνιον τῆς ἐνισταμένης τρίτης ἰνδ. τοῦ ,ςω ὀγδοηκοστοῦ ὀγδόου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCXXXIX. (6889—1380) decembri. ind. IV.

*Promissio sacerdotis Constantini Cabasilae.*

† Ἐπεὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὁδηγηθεὶς ἐκ θεοῦ συνεχώρησέ μοι τὸ σφάλμα, ὅπερ ἔπταισα, τύψας τὸν ἱερέα καὶ ἀδελφὸν, ἤδη καὶ αὐτὸς ὑπόσχομαι ἐνώπιον τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὡς ἂν μηδέποτε εὑρεθῶ ἀπὸ τοῦ νῦν ἢ τύψας τινὰ ἢ ὑβρίσας ἢ ἄλλο τι ποιήσας ἀνοίκειον τῇ ὀφειλομένῃ πολιτείᾳ καὶ καταστάσει τοῖς ἱερεῦσιν, ἀλλὰ διάγω καὶ πολιτεύωμαι κατὰ τὴν τῶν ἱερῶν κανόνων διαταγὴν καὶ τὸ τῆς ἱερωσύνης ἀξίωμα, πάσης ἀπεχόμενος ἀθεμιτουργίας καὶ ἀκανονίστου καὶ παρανόμου πράξεως. εἰ δὲ εὑρεθείην τι τῶν ἀπηγορευμένων τοῖς ἱεροῖς κανόσι καὶ τῇ ἐκκλησιαστικῇ συνηθείᾳ καὶ καταστάσει διαπραξάμενος, ἵνα εὐθύνωμαι συνοδικῶς παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ ἀσυμπαθῶς κινδυνεύω εἰς τὴν ἱερωσύνην μου. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις μηνὶ δεκεβρίῳ ἰνδ. δ' †.

† Ὁ πρωτοπαπὰς τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου Κωνσταντῖνος ὁ Καβάσιλας †.

## CCCXL. (6889—1381) ianuario. ind. IV.

*Promissio presbyteri Constantini Apocauci.*

† Ἐγὼ πρεσβύτερος Κωνσταντῖνος ὁ Ἀπόκαυκος ὑπόσχομαι ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐάνπερ εὑρεθῇ ἐντὸς δύο ἢ τριῶν χρόνων ἢ καὶ δέκα καὶ ἔλθῃ τις καὶ δείξῃ, ὅτι εὐλόγησα τὸν Χριστόδουλον, μετὰ ἀκριβῆς παραστάσεως, καὶ φανῇ τοῦτο ὡς ἀληθὲς εἶναι, νὰ εὐθύνωμαι εἰς τὴν ἱερωσύνην μου, καὶ νὰ χαώνω ταύτην τελείως, καὶ πρὸς τὸ καθαιρεθῆναί με νὰ πανθάνω καὶ τιμωρίαν, ὁποῖαν διακρίνει ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ αὐθέντης, ὁ οἰκουμενικὸς πατριάρχης. ἐγένετο δὲ ἡ παροῦσα ἔγγραφος ὑπόσχεσις ἐν μηνὶ ἰανουαρίῳ ἰνδ. δ' δι' ἀσφάλειαν †.

† Ὁ εὐτελὴς ἱερεὺς Κωνσταντῖνος ὁ Ἀπόκαυκος †.

## CCCXLI. 6889 (1381) martio. ind. IV.

*Abbati monasterii Prodromi confertur gradus archimandritae et protosyncelli.*

† Σιγίλλιον πατριαρχικὸν ὑπὲρ τοῦ μοναστηρίου του Προδρόμου †.

† Οὐκ ἄν τις ἡμῖν νεμεσήσαι δικαίως περὶ τὰς ἔξωθεν ἡγούμενος τιμὰς καὶ τὰ φαινόμενα μόνα τὸν παρόντα ποιουμένοις λόγον, ᾧ γὰρ πρὸ τῶν ἄλλων αὐτὴ τῶν πραγμάτων ἡ ἀλήθεια καθορᾶται, τοῦτό γε νοεῖν ἔπεστι πάντως, ὡς τὰ φαινόμενα ταῦτα κάλλη καὶ αἱ ἀνθρώπιναι δοκοῦσαι τιμαί τε καὶ προεδρίαι τῆς ἔνδον ἐνυπαρχούσης τῇ ψυχῇ καλλονῆς τε καὶ ὡραιότητος καὶ τῆς τιμῆς, ἣν ἔλαχεν ἔχουσα παρὰ θεοῦ, σύμβολά εἰσι καὶ χαρακτῆρες· οὐ γὰρ κτήμασιν ἀψύχοις ταῦτα παρέχομεν, ἢ ἀναλόγως τῷ τοῦ ναοῦ μεγέθει καὶ τὴν τιμὴν ὁρίζομεν, ἀλλὰ τὴν τῶν ἀνδρῶν ἀρετὴν αἰδούμενοι πρὸς τὴν παροῦσαν σχολὴν καθήκαμεν ἑαυτούς. ἐπὶ μὲν οὖν τοῦ παλαιοῦ νόμου τοῦ διὰ Μωσέως δοθέντος τοῖς Ἰουδαίοις, ἐπειδὴ περὶ τὰ παρόντα μόνα ἐπτόηντο, καὶ οὐδὲν ὑψηλότερον ἐννοῆσαι ἐδύναντο, περὶ τὰ σωματικὰ καὶ ὁρώμενα πᾶσα ἦν ἡ φροντίς, καὶ ἴδοις ἂν τὴν ἱερωσύνην κοσμουμένην ἐκείνην καὶ τοὺς αὐτῆς ὑπηρέτας τῇ ἔξωθεν εὐπρεπείᾳ καὶ τῇ τῶν ἐνδομάτων ποικίλῃ πολυτελείᾳ, καίτοι γε τοῖς

ὀρθῶς νοοῦσιν οὐδ' ἐκεῖνα παντελῶς εἰσιν ἀθεώρητα καὶ μέχρι τῶν παρόντων μόνων ἱστάμενα, πάντα γὰρ τὸν νόμον σκιὰν τῶν μελλόντων καὶ νοουμένων ὁ θεῖος ἀπόστολος ἀπεφήνατο. ἐπεὶ δὲ τῆς εὐαγγελικῆς πολιτείας πᾶσαν τὴν δόξαν τῆς τοῦ βασιλέως θυγατρὸς ἔσωθεν ἔστιν ὁρᾶν, ἥτις τῇ ὑπερβολῇ τοῦ κάλλους καὶ τῆς ὡραιότητος καὶ πρὸς τὰ ἔξω τὴν εὐπρέπειαν ὑπερβλύζει, καὶ συμβόλοις τισὶ καὶ τύποις τὴν οἰκείαν δηλοῖ κατάστασιν, εἰ δὲ καὶ τάξις συνέχει τά τε οὐράνια καὶ τὰ ἐπίγεια, καθὰ καὶ λέγεται καὶ πιστεύεται, καὶ ἡ τῶν οὐρανίων διακόσμησις κατὰ τὸν εἰπόντα σοφὸν θεολόγον ἢ τῇ τάξει τῆς στάσεως τὸν φωτισμὸν μερίζεται, ἢ τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνει, ἧς μίμημα πέφυκεν ἡ καθ' ἡμᾶς ἱερωσύνη καὶ εὐταξία, δικαῖα πάντως ἂν καὶ ἡμεῖς ποιοῖμεν, τάξιν ὁρίζό(μενοι) ἔν τε προεδρίαις καὶ στάσεσιν. ἡ γοῦν σεβασμία βασιλική τε καὶ πατριαρχικὴ μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ (ἁγίου) ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένη τῆς Εὐλογημένης Πέτρας, ἀρχῆθεν σεμνυ(νομένη) τῇ τῶν ἐνοικούντων ἀρετῇ καὶ εὐλαβείᾳ καὶ τῇ τοῖς μοναχοῖς ἁρμοζούσῃ πνευματικῇ καταστάσει καὶ πολιτείᾳ, οὐκ ἔλαχεν ἔχουσα καὶ τὴν ἔξω τιμὴν ἀνάλογον ἔν τε ταῖς συνοδικαῖς συνελεύσεσι καὶ ἐν ταῖς ἱεραῖς τελεταῖς ταῖς κατὰ τὰς μεγίστας τῶν δεσποτικῶν ἑορτῶν τελουμέναις ἐν τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ· ὅθεν ἡ μετριότης ἡμῶν, ὁμοῦ μὲν τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ τὴν χάριν ταύτην καὶ τὴν δωρεὰν παρεχομένη, ὁμοῦ δὲ τιμῶσα καὶ τὸν τιμιώτατον αὐτῆς καθηγούμενον, τὸν ἱερομόναχον κῦρ Διονύσιον, ἀρετῇ καὶ συνέσει καὶ πείρᾳ τῶν πολλῶν διαφέροντα, τὸ παρὸν αὐτῆς ἀπολύει σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ παρακελεύεται ἐν ἁγίῳ πνεύματι, τετιμημένην εἶναι τὴν μονὴν ταύτην τοῦ τιμίου Προδρόμου τῷ ἀρχιμανδριτάτῳ καὶ πρωτοσυγκελλικῷ ὀνόματι ἀπό γε τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ τὸν τιμιώτατον αὐτῆς καθηγούμενον, τόν τε νῦν ὄντα καὶ πάντας τοὺς αὐτὸν διαδεξομένους, εἰς αἰῶνα τὸν ἅπαντα ἀρχιμανδρίτην καὶ πρωτοσύγκελλον καὶ εἶναι καὶ ὀνομάζεσθαι, ἄδειαν ἔχοντα τὰς ἱερὰς ἐκτελεῖν λειτουργίας μετὰ καὶ τοῦ ἱεροῦ ἐπιγονατίου, ὡς σύνηθές ἐστι τοῖς ἀρχιμανδρίταις τῶν λοιπῶν σεβασμίων μονῶν, καὶ τάξιν ἔχειν τρίτην ἐν ταῖς ἱεραῖς τε καὶ συνοδικαῖς συνελεύσεσι. πρῶτον μὲν γὰρ πάντων τὸν ἀρχιμανδρίτην τῶν Στουδίου καὶ ὁ χρόνος κατέστησε καὶ τὸ δίκαιον αὐτό,

δεύτερον δὲ τὸν τῶν Μαγκάνων ὁρῶμεν, τρίτον δὲ καθιστᾷ ἀρτίως ἡ μετριότης ἡμῶν τὸν τιμιώτατον καθηγούμενον ἀρχιμανδρίτην καὶ πρωτοσύγκελλον τῆς σεβασμίας μονῆς τοῦ τιμίου Προδρόμου τῆς Πέτρας, ὃν δὴ τόπον καὶ τάξιν καθέξουσι πάντες οἱ ἀρχιμανδρῖται τῆς εἰρημένης μονῆς εἷς τὸν ἕνα διαδεχόμενος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τῇ ἰσχύει καὶ δυνάμει τοῦ παρόντος σιγιλλιώδους γράμματος τῆς ἡμῶν μετριότητος· ὥστε γὰρ τὴν τάξιν ταύτην καὶ τὴν κατάστασιν ἀκατάλυτον τηρεῖσθαι διηνεκῶς, καὶ τοῖς μετέπειτα βαρύτατον καὶ φρικώδη ἀφορισμὸν ἐκφωνοῦμεν κατὰ τοῦ ἐπιχειρήσοντος εἰς κατάλυσιν ταύτης. τούτου γὰρ χάριν ἀπολέλυται τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα μάρτιον τῆς ἐνισταμένης τετάρτης ἰνδ. τοῦ ,ςωπ ἐνάτου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCXLII. 6889 (1381) martio. ind. IV.

*Matthaeus, metropolita Kernitzae, in metropolim Ioanninorum transfertur, ecclesia Kernitzae iterum subiecta metropoli Antiquarum Patrarum.*

† (Φθά)νει πρό τινος ἤδη καιροῦ ὁ νῦν μητροπολίτης Ἰωαννίνων, κῦρ Ματθαῖος, ἐπίσκοπος πρότερον ὢν Κερνίτζης καὶ ὑποκείμενος τῷ ἱερωτάτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀχαΐας, ἐν (ἁγίῳ) πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, προβιβασθεὶς εἰς μητροπολίτην τῆς θεοσώστου ταύτης πόλεως Κερνίτζης προστάγμασι βασιλικοῖς καὶ συνοδικοῖς γράμμασι τοῦ χρηματίσαντος πρὸ ἡμῶν πατριάρχου, ἐπικυρωσάσης τὴν πρᾶξιν ταύτην συνοδικῶς καὶ τῆς ἡμῶν μετριότητος ὕστερον. τοῦτο δὲ γέγονε καὶ δι' ἄλλας μὲν αἰτίας, ὧν τινὰς ἄμεινον σιωπᾶν, μάλιστα δὲ διὰ τὸ ἐμφανίζειν αὐτὸν γράμματα τοῦ ἀοιδίμου καὶ μακαρίτου δεσπότου τοῦ Κανтακουζηνοῦ, ἀποδεχόμενα δῆθεν τοῦτο· ἐπεὶ δ' ἀπελθὼν ἐκεῖ ὁ Κερνίτζης οὐδαμῶς παρ' ἐκείνου προσεδέχθη περιόντος ἔτι, ἀλλὰ καὶ νῦν αὖθις ὁ κράτιστος καὶ ἅγιος καὶ εὐσεβέστατος βασιλεὺς ἐπαχθὲς καὶ φορτικὸν ἐλογίσατο τοῦτο,

καὶ διὰ σεπτῶν γραμμάτων τῶν εἰς τὴν ἡμῶν μετριότητα ἀδύνατον εἶναι διορίζεται τὸ μητροπολίτην Κερνίτζης τοῦτον εὑρίσκεσθαι, πρὸς δὲ καὶ ὁ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν δι' ἐγγράφου ἀναφορᾶς πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν ἱερὰν σύνοδον ἀνήνεγκεν, τὰ μέγιστα βοῶν ἠδικῆσθαι καὶ περιπαθῶς δεόμενος εὑρεῖν τὸ δίκαιον αὐτοῦ, οὔτε γὰρ ἀρχῆθεν ἔλεγεν ἐπισκοπὴν εἶναι τὴν Κέρνιτζαν, ἀλλὰ μέρος ἦν τῆς κατ' αὐτὸν μητροπόλεως, μητροπολίτης δέ τις ἀνεψιὸν ἔχων καὶ προσπάθειαν εἰς αὐτὸν κεκτημένος, ἀποτεμὼν τοῦτο τῆς μητροπόλεως, ἐχειροτόνησε ἐκεῖνον ἐπίσκοπον, καὶ ἀδικίαν τὸ πρᾶγμα ἐκάλει, οὐδὲ γὰρ χηρευούσης τῆς μητροπόλεως τοῦτο γέγονεν, ἵνα ἐλθὼν οὗτος ὕστερον καταδέξηται τοῦτο, ἀλλὰ περιόντος αὐτοῦ ἐστερήθη ἡ κατ' αὐτὸν μητρόπολις τοῦ ἰδίου δικαίου, καὶ παρεκάλεσε διὰ ταῦτα ἀποκαταστῆναι τῇ κατ' αὐτὸν ἁγιωτάτῃ μητροπόλει τὴν Κέρνιτζαν, ὡς καὶ πρότερον· ἡ μετριότης ἡμῶν καὶ διὰ τὸ τοῦ βασιλέως τοῦ ἁγίου θέλημα καὶ τὴν δικαίαν ζήτησιν καὶ διὰ τὴν τοῦ μητροπολίτου Παλαιῶν Πατρῶν δέησιν, πολὺ τὸ εὔλογον ἔχουσαν, ἄλλως τε καὶ ἀδύνατον ὁρῶσα τὸ ὅλως ὡς μητροπολίτην ἐκεῖνον εὑρίσκεσθαι τὸν Κερνίτζης, συνδιασκεψαμένη τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Κυζίκου, τῷ Νικαίας, τῷ Ἀμασείας, τῷ Οὐγγροβλαχίας καὶ τῷ Ποντοηρακλείας, τὸν μὲν Κερνίτζης μετέθηκεν εἰς τὴν ἁγιωτάτην Ἰωαννίνων μητρόπολιν, διαγινώσκει δὲ καὶ ἀποφαίνεται ἐν ἁγίῳ πνεύματι, εἶναι καὶ πάλιν τὴν ἁγιωτάτην ἐκκλησίαν Κερνίτζης καὶ πᾶσαν τὴν ἐνορίαν αὐτῆς ὑπὸ τὴν ἁγιωτάτην ἐκκλησίαν Παλαιῶν Πατρῶν ὡς καὶ πρότερον καὶ ἄδειαν ἔχειν τὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν πάντα πράττειν καὶ διενεργεῖν ἐν αὐτῇ τὰ ἀρχιερατικὰ καὶ εἰς τὴν ἐξουσίαν αὐτοῦ κεῖσθαι, εἴτε κατέχειν αὐτὴν ὡς τῆς κατ' αὐτὸν μητροπόλεως μέρος, εἴτε καὶ ἐπίσκοπον χειροτονῆσαι, πάντα δὲ τὰ προβάντα ἐπὶ τῇ προεδρίᾳ καὶ τῇ τιμῇ τῆς μητροπόλεως καταλελυμένα εἶναι καὶ ἀργά, ὥσπερ ἂν εἰ μηδὲ ἐγένοντο. ἡ δὲ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἀπαρασάλευτος ἔσται καὶ ἀκατάλυτος εἰς αἰῶνα τὸν ἅπαντα, ἀπολυθεῖσα τῇ ἁγιωτάτῃ μητροπόλει Παλαιῶν Πατρῶν δι' ἀσφάλειαν κατὰ μῆνα μάρτιον τῆς δ' ἰνδ. τοῦ ,ςω ὀγδοηκοστοῦ ἐνάτου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς

τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Παλαιῶν Πατρῶν ἡ ἐκκλησία τῆς Κρήτης ἐξαρχικῶς †.

## CCCXLIII. Sine anno.

*Alexius, metropolita Varnae, olim ex ecclesia sua eiectus, transfertur in metropolim Nicaeae, antistite carentem, collata ei per adiunctionem metropoli Prusae*

ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, ἐπεὶ ἡ τῆς Νικαίας μητρόπολις οὐκ ἀρκούντως ἔχει τὰ πρὸς χρείαν αὐτῷ πορίζειν, ὑπὸ τῶν ἐθνῶν πρὸ χρόνων πολλῶν ἁλοῦσα καὶ διαφθαρεῖσα.

## CCCXLIV. 6889 (1381) maio. ind. IV.

*Synodus confirmat compositionem factam inter Ioannem et Andronicum Palaeologos.*

† (Ὁ) μὲν ἥλιος τῶν συγκαλυπτόντων τέως αὐτὸν νεφῶν διασκεδασθέντων καὶ γαλήνη μετὰ τὴν τῶν κυμάτων σφοδρὰν ταραχήν τε καὶ βίαν καὶ μετὰ τὴν νόσον τὸ τῆς ὑγιείας ποθεινότατον χρῆμα καὶ τιμιώτατον, οὐδὲν δὲ οἷον εἰρήνη μετὰ τὸ σκότος τῆς ἔχθρας καὶ τῆς χαλεπῆς διαιρέσεως φαιδρόν τε καὶ χαρίεν ἀναλάμψασα· αὕτη πᾶν ἀγαθὸν τοῖς ἄρχουσι καὶ τοῖς ὑπηκόοις κομίζουσα πᾶν κακὸν ἀπελαύνει καὶ μακρὰν ἐκδιώκει, ὥσπερ ἡ τοῦ φωτὸς εἰσαγωγὴ διώκει τὸ σκότος, καὶ οὐδεὶς ὃς οὐ χαίρει καὶ ἀγάλλεται καὶ σκιρτᾷ παρρησιαζομένην ὁρῶν τὴν εἰρήνην. ταύτην καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀσπάζεσθαι καὶ φυλάττειν πάντας βουλόμενος, ὡς μεγίστης ὠφελείας τυγχάνουσαν πρόξενον, ἐπὶ τὸν ζωοποιὸν σταυρὸν καὶ τὸν ἑκούσιον ἐρχόμενος θάνατον, οἱονεί τινα θησαυρὸν καὶ κλῆρον πατρῷον ἡμῖν καταλέλοιπε, καὶ τοῦτο τὸ δῶρον τῶν τῆς ἐκείνου μερίδος καὶ ἱερὰν εἶναι σφραγῖδα διετάξατο· „ἐν τούτῳ γάρ“ φησὶ „γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.“ ταύτην χριστομιμήτως καὶ οἱ ἐκ θεοῦ κράτιστοι βασιλεῖς ἡμῶν ἀσπασάμενοι καὶ ὥσπερ τινὰ κόσμον ἑαυτοῖς περιθέμενοι τὴν ἐπισυμβᾶσαν φθόνῳ τοῦ πονηροῦ δαίμονος ἀνατρέποντες ἔριν καὶ τὴν ἐκ τῆς διαστάσεως ἀκοσμίαν ἀποβαλλόμενοι καὶ πόρρω τιθέντες

τῇ συνεργίᾳ τοῦ κρείττονος καὶ ἑαυτοῖς ἀσφάλειαν καὶ τοῖς ὑπηκόοις χαρίζονται σήμερον. ὑπὲρ τούτων χάρις μὲν τῷ τῆς εἰρήνης χορηγῷ καὶ δοτῆρι θεῷ, χάρις δὲ καὶ τοῖς ἐκ θεοῦ βασιλεῦσιν ἡμῶν, καλῶς καὶ βουλευσαμένοις καὶ πράξασιν ὑπὲρ τοῦ κοινοῦ συμφέροντος, ἐπεὶ τὸ τοσοῦτον ἀγαθὸν καὶ ἀξιέπαινον ἀσπασάμενοι χρῆμα καὶ εἰς διαλλαγὰς χωρήσαντες καὶ καταστάσεις καὶ συμβιβάσεις ὅ τε κράτιστος καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ καὶ βασιλεύς, κῦρ Ἰωάννης ὁ Παλαιολόγος, καὶ ὁ ἐρασμιώτατος υἱὸς τῆς ἁγίας βασιλείας αὐτοῦ, ὁ κράτιστος καὶ ἅγιος ἡμῶν βασιλεύς, κῦρ Ἀνδρόνικος ὁ Παλαιολόγος, εἰς πλείονα τὴν εἰς τὸ ἑξῆς ἀσφάλειαν τοῦ μεγίστου τούτου καλοῦ συνθήκας ἐγγράφους πρὸς ἀλλήλους ἐποίησαν, ἅμα καὶ ὅρκοις ἐμπεδώσαντες τὰ συμφωνηθέντα μέσον αὐτῶν καὶ πραχθέντα καὶ ὑποσχεθέντες στέργειν αὐτὰ καὶ τηρεῖν ἀπαρασάλευτα καὶ ἀμετάτρεπτα· ἐζήτησαν δὲ καὶ παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας τὰ ὠμοσμένα παρ' αὐτῶν καὶ ἡμετέρῳ συνοδικῷ γράμματι ἐπικυρωθῆναι καὶ βεβαιωθῆναι εἰς πλείονα συντήρησιν καὶ πληροφορίαν καὶ ἀσφάλειαν. ἤδη καὶ ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, χεῖρας πρῶτον ὑπὲρ αὐτῶν αἴροντες πρὸς θεὸν καὶ εἰρηνικὴν καὶ ἀστασίαστον αὐτοῖς ζωὴν ἐπευχόμενοι, ἀνθ' ὧν ὑπὲρ τῶν χριστιανῶν τοιαῦτα ἐβουλεύσαντο, καὶ τὴν εἰρήνην αὐτοῖς καὶ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν ἐπρυτάνευσαν, εἶτα καὶ τὸ παρὸν συνοδικὸν ἐκτιθέμεθα γράμμα, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελευόμεθα πνεύματι, ἔχειν τὸ στέργον τὰς τοιαύτας πράξεις καὶ συμφωνίας καὶ καταστάσεις τὰς γενομένας ἐγγράφως τε καὶ ἐνόρκως μεταξὺ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος καὶ βασιλέως, κῦρ Ἰωάννου τοῦ Παλαιολόγου, καὶ τοῦ ἐρασμιωτάτου υἱοῦ αὐτοῦ, τοῦ κρατίστου καὶ ἁγίου βασιλέως ἡμῶν, κῦρ Ἀνδρονίκου τοῦ Παλαιολόγου, καὶ κατὰ τὴν αὐτῶν περίληψιν μὴ μόνον εἰρηνεύειν αὐτοὺς διὰ βίου παντός, ἀλλὰ καὶ μετὰ τὸ τὴν οὐράνιον βασιλείαν ἀλλάξασθαι τῆς ἐπιγείου καὶ πρὸς θεὸν ἐκδημῆσαι τὸν κράτιστον καὶ ἅγιον ἡμῶν αὐτοκράτορα καὶ βασιλέα, κῦρ Ἰωάννην τὸν Παλαιολόγον, εἶναι κληρονόμους καὶ διαδόχους τῆς ἀρχῆς καὶ τῆς βασιλείας αὐτόν τε τὸν κράτιστον καὶ ἅγιον ἡμῶν βασιλέα, κῦρ Ἀνδρόνικον τὸν Παλαιολόγον, καὶ τὸν ἐρασμιώτατον υἱὸν αὐτοῦ, τὸν κράτιστον ἡμῶν βασιλέα, κῦρ Ἰωάννην τὸν Παλαιολόγον, καὶ μηδένα ἐξ αὐτῶν χωρῆσαι πρὸς ἀνατροπὴν ἢ κατάλυσιν τῆς εἰ-

ρήνης ἢ τῶν ὧν ἔθεντο πρὸς ἀλλήλους συνθηκῶν τε καὶ καταστάσεων ἐνόρκων τῶν γενομένων ὑπὲρ τῆς συστάσεως καὶ ἀσφαλείας τῶν Ῥωμαίων καὶ τῶν ἁπανταχοῦ χριστιανῶν καὶ ὑπὲρ ἀνενοχλησίας τῆς ἀρχῆς καὶ τῆς βασιλείας αὐτῶν· ὁ γὰρ ἐπιχειρήσων ἐξ αὐτῶν χωρῆσαι πρὸς κατάλυσιν τῶν ὠμοσμένων καὶ ἀνατροπὴν τῶν συμφωνηθεισῶν συνθηκῶν τε καὶ συμβιβάσεων πρῶτον μὲν ἀκούσει παρ' ἡμῶν τὰ δέοντα, καὶ παρακλητικοὺς περὶ τῆς εἰρήνης δέξεται λόγους καὶ διδασκαλικὰς ὑφηγήσεις μετ' ἀξιώσεως, εἰ δεήσει δὲ καὶ τραχυτέρους ἴσως ἀκούσει λόγους, καὶ ὡς ἀνατρέπων τὴν τῶν χριστιανῶν εἰρήνην καὶ ἀσφάλειαν καὶ φθορᾶς αὐτοῖς γινόμενος αἴτιος πρεπόντως ἐλεγχθήσεται (κατὰ) τοὺς τῆς ἐκκλησίας ἱεροὺς νόμους καὶ τὰ τῶν πατέρων καὶ διδασκάλων θεσμά, εἰ δὲ καὶ μετὰ ταῦτα πάντα πρὸς κατάλυσιν τῶν πραχθέντων χωρεῖν βούλεται, γινωσκέτω, ὅτι εὑρήσει μαχομένην αὐτῷ καὶ ἀνθισταμένην καὶ ἀποσχιζομένην τὴν ἡμῶν (μετριότητα) καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ὡς παραβαίνων τοὺς ὅρκους αὐτοῦ καὶ τοῦ τῶν χριστιανῶν συμφέροντος καταλυτὴς γινόμενος. ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ τῆς εἰρήνης καὶ τῆς ἀγάπης ἐστὶ διδάσκαλος καὶ τῆς ὁμονοίας, οὐ τῆς μάχης καὶ τῆς διαστάσεως καὶ τῆς ἔχθρας, ἀφ' ὧν ἅπαν κακὸν εἰς τὸν κόσμον εἰσῆλθε καὶ μάλιστα ἐν τῷ παρόντι καιρῷ. καὶ εἰς τὴν περὶ τούτων πάν(των) ἀσφάλειαν ἀπολέλυται καὶ τὸ παρὸν συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μῆνα μάιον τῆς ἐνισταμένης δ' ἰνδ. τοῦ ,ϛω ὀγδοηκοστοῦ ἐνάτου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Εἶχε καὶ ἑτέρας ὑπογραφὰς τοιάσδε. † Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου καὶ ὑπέρτιμος Σεβαστειανός †. † Ὁ ταπεινὸς μητροπολίτης Νικαίας Ἀλέξιος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας, ὑπέρτιμος καὶ πρόεδρος Μηδείας Μιχαήλ †. † Ὁ ταπεινὸς μητροπολίλίτης Οὐγγροβλαχίας Ἄνθιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας Ἰωακείμ †.

## CCCXLV. 6889 (1381) iulio. ind. IV.

*Patriarcha hieromonachum Cassianum nominat metropolitam Bidynae, rogatus a Strantsimero, rege Bulgarorum.*

† Πρᾶξις τοῦ Βιδύνης †.

† Τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας προστασίαν κρίμασιν ἀρρήτοις παρὰ θεοῦ πιστευθεῖσα ἡ μετριότης ἡμῶν προύργου ποιεῖται παντὸς τὸ τὰς ἑκασταχοῦ τῆς οἰκουμένης ὑπὸ τὴν κατ' αὐτὴν ἐπαρχίαν τελούσας ἁγιωτάτας τοῦ Χριστοῦ ἐκκλησίας ποιμένων καὶ προστατῶν εὐμοιρεῖν ἐπὶ λυσιτελείᾳ ψυχικῇ τοῦ χριστωνύμου πληρώματος. ἐπεὶ γοῦν καὶ ἡ ἁγιωτάτη τῆς Βιδύνης μητρόπολις ἐπὶ χρόνοις ἤδη πολλοῖς γνησίου ἐστέρηται ἀρχιερέως καὶ τῆς ἀπ' αὐτοῦ πνευματικῆς ἐπιστασίας, ἦν δὲ ἀναγκαῖον πρᾶγμα τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ καὶ τῇ ἡμῶν μετριότητι, προστάτην ἐπιστῆσαι ταύτῃ τὸν ἀξίως ἐπιστησόμενον αὐτῆς καὶ πρὸς νομὰς ὁδηγήσοντα σωτηρίους τὸ ἐν αὐτῇ τοῦ Χριστοῦ ποίμνιον, παρέπεμψε δὲ πρὸς ἡμᾶς ὁ ὑψηλότατος βασιλεὺς τῶν Βουλγάρων, κῦρ Ἰωάννης ὁ Σταντζιμηρός, τὸν πρὶν τιμιώτατον ἱερομόναχον κῦρ Κασιανὸν γράμμασιν ἰδίοις τε καὶ ἄλλων τῶν ἐκεῖ, οἳ τοῦτον εὐλαβῆ ἱερέα καὶ συνειδήσεως ἀγαθῆς ἄνθρωπον ὁμολογοῦσι καὶ ἀξιοῦσιν αὐτὸν χειροτονηθῆναι παρ' ἡμῶν τῇ τοῦ παναγίου πνεύματος χάριτι καὶ πεμφθῆναι ἐκεῖ, τὰ δὲ γράμματα καὶ παρ' ἡμῶν ἐστέρχθησαν ὡς ἀληθῆ, πολὺ τὸ ἀξιόπιστον μεθ' ἑαυτῶν ἔχοντα, ἐμαρτυρήθησαν δὲ καὶ παρά τινων τῶν ἐνταῦθα νῦν ὄντων, τοὺς δὲ τόπους ἐκείνους καὶ τὸν ἱερομόναχον τοῦτον εἰδότων, συνοδικῇ ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Οὐγγροβλαχίας, τοῦ Νικαίας, τοῦ Ἀμασείας, τοῦ Ἁδριανουπόλεως, τοῦ Μεσημβρίας, τοῦ Ποντοηρακλείας καὶ τοῦ ἀρχιεπισκόπου Ἀγχιάλου καὶ ἔτι τοῦ ἱερωτάτου μητροπολίτου Βάρνης καὶ τοῦ ὑποψηφίου τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Λήμνου, γνήσιον αὐτὸν ποιμένα τῆς ἁγιωτάτης μητροπόλεως Βιδύνης ἡ μετριότης ἡμῶν ἐχειροτόνησε, μᾶλλον δὲ δι' ἡμῶν ἡ τοῦ παναγίου πνεύματος ἐσφράγισε χάρις, ἄξιον ἀναφανέντα καὶ διακριθέντα εἰς τὸ ἀξίωμα τοῦτο τῆς ἀρχιερωσύνης καὶ τὸν βαθμὸν καὶ μηδὲν ἀπό τινος τῶν ἁπάντων

ἐχόντων κώλυμα καὶ ἐμπόδιον καὶ διὰ τοῦτο καὶ παρὰ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων ἐκλεγέντα, ὃς πολλὴν καὶ μεγάλην τρέφει τῇ οἰκείᾳ φρονήσει καὶ παιδεύσει καὶ τῷ χρηστῷ τρόπῳ, ἐξ ὧν ἄρα βασιλεὺς καὶ ἄρχων θαυμάζεται καὶ κοσμεῖται, πρός τε τὸν θεὸν αὐτὸν πίστιν καὶ τὴν μεγάλην καὶ ἁγιωτάτην τοῦ θεοῦ ἐκκλησίαν, τὴν κοινὴν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν δόξαν καὶ τὸ καύχημα καὶ αὐτὴν τὴν ῥίζαν τῆς εὐσεβείας καὶ τὴν πηγήν, σχέσιν καὶ διάθεσιν καὶ πληροφορίαν, ἀφ' ἧς καὶ τὰς εὐχὰς ἀξίας καὶ τὰς τιμὰς καὶ τοὺς ἐπαίνους εἰς ἀμοιβὴν δέχεται καὶ λαμβάνει· ὅθεν καὶ ὀφείλει οὗτος ἐκεῖ ἀπελθὼν ἱερουργεῖν ἀπροκριματίστως ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς καὶ τῷ ἱερῷ συνθρόνῳ αὐτῆς ἐγκαθιδρυθῆναι, ὡς γνήσιος μητροπολίτης αὐτῆς, ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν καὶ ἐπισκόπους, εἰ δεήσει, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, πνευματικοὺς πατέρας καθιστᾶν καὶ ἁπλῶς εἰπεῖν πάντα ποιεῖν τὰ ἀρχιερατικά, διδάσκειν τε τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ χωρίου λαόν, ὡς λόγον ὑπὲρ αὐτῶν ὀφείλων ἐν ἡμέρᾳ κρίσεως τῷ θεῷ, ὀφειλόντων καὶ πάντων τῶν ἐκεῖ ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ πάντων τῶν χριστιανῶν τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν, ὡς πατρὶ αὐτῶν καὶ διδασκάλῳ πνευματικῷ, καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ λεγόμενα ἐπὶ συστάσει καὶ ὠφελείᾳ αὐτῶν καὶ ψυχικῇ καὶ σωματικῇ καὶ ἀγαπᾶν καὶ στέργειν αὐτόν, ἐπειδήπερ ἡ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ ὑποταγὴ καὶ εὐπείθεια εἰς τὸν θεὸν ἀναφέρεται, οὗ τὴν εἰκόνα φέρει ὁ ἀρχιερεύς· τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Βιδύνης καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα αὐτῆς συνοδικὴ πρᾶξις, μ η ν ὶ ἰ ο υ λ ί ῳ ἰ ν δ. δ' τ ο ῦ ‚ς ω π ἐ ν ά τ ο υ ἔ τ ο υ ς. ὁ δέ γε εὑρισκόμενος ἐκεῖ ἀρχιερεὺς οὐκ ὀφείλει οὐδὲν ποιεῖν ἀρχιερατικόν, ἀλλὰ διαμένειν ἀργὸς καθάπαξ, ἐπεὶ οὔτε γνήσιός ἐστι μητροπολίτης τῆς ἐκκλησίας ταύτης, ἀλλὰ καὶ ἄλλης ἐπαρχίας ἐστί, καὶ οὐκ ἔχει οὐδὲ ἓν δίκαιον ἐν τῇ ἐκκλησίᾳ ταύτῃ, κατὰ χάριν γὰρ κάθηται ἐκεῖ, καὶ οὐ κατὰ δίκαιόν τινα λόγον †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταν-

τινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCXLVI. (6889—1381) augusto. ind. IV.

*Promissiones trium sacerdotum.*

I. † Ἐπεὶ ἐξ ἀφελίας καὶ συναρπαγῆς περιέπεσα εἰς ἐγκλήματά τινα, δι' ἃ καὶ ὑπεσχέθην τῆς ἱερωσύνης, ὁδηγήθη δὲ ἐκ θεοῦ ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ συνέπαθησε καὶ συνεχώρησέ μοι διὰ τὴν ταλαιπωρίαν καὶ τὴν πτωχείαν μου καὶ τὰ δάκρυά μου, ὑπόσχομαι εἰς τὴν μεγάλην ἁγιωσύνην αὐτοῦ, ἵνα ἐὰν εὑρεθῶ ἀπὸ τοῦ νῦν ποιήσας ἀθέμιτον καὶ παράνομον συνοικέσιον, ἐκπίπτω παντελῶς καὶ χωρὶς οἴκτου καὶ συμπαθείας τινὸς τοῦ ἰδίου τῆς ἱερωσύνης βαθμοῦ. τούτου γὰρ χάριν καὶ ἐγγράφως τοῦτο πεποίηκα δι' ἀσφάλειαν, ὑπογράφας καὶ τὸ ἐμὸν ὄνομα †.

† Ὁ εὐτελὴς ἱερεὺς καὶ ταβουλλάριος Ἀνδρόνικος ὁ Βασιλικός †.

II. † Ἐγὼ Ἰωάννης ὁ Στρατήγης ὑπόσχομαι ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐὰν εὑρεθῶ ἀπὸ τὴν σήμερον, ἵνα περάσω εἰς τὸν Γαλατᾶν, ἢ ὁμιλήσω τὸν γαμβρόν μου Ἰωάννην τὸν Σκιζανὸν ἢ ἕτερόν τινα ἀπὸ τῶν ἐκεῖσε εὑρισκομένων, ἢ ἴδω ἢ διὰ μηνύματος βουληθῶ τι διαπράξασθαι, ἵνα ἐκπίπτω τοῦ οἰκείου βαθμοῦ τῆς ἱερωσύνης (καὶ) μηδεμία συμπάθεια γενήσεται εἰς ἐμέ. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα ἔγγραφός μου ὑπόσχεσις δι' ἀσφάλειαν κατὰ μῆνα αὔγουστον τῆς δ' ἰνδ. †.

† Ἰωάννης πρεσβίτερος ὁ Στρατήγης στέργων ὑπέγραψα †.

III. † Ἐγὼ Μάρκος πρεσβύτερος ὁ Ἱεράκης τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ αὐθέντου, τοῦ οἰκουμενικοῦ πατριάρχου, δι' ἧς καὶ ὑπόσχομαι καὶ διαβεβαιοῦμαι καὶ λέγω, ὅτι ἐπεὶ ὁδηγήθη ἐκ θεοῦ τῇ τῶν πολλῶν

παρακλήσει, καὶ συνεπάθησέ με καὶ εὐεργέτησέ με τοῦ ἱερατεύειν, οὐ μὴ εὑρεθῶ ἀπὸ τοῦ νῦν μεθύων ἢ ἀτακτῶν, ἀλλὰ καὶ ὅταν διά τινα ἀταξίαν ἐπισχεθῶ τῆς ἱερωσύνης μου ἀπὸ ὁρισμοῦ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὀφείλω τοῦ ὑπάρχειν ἀργὸς, ἕως ἂν λάβω τὴν συγχώρησιν παρὰ τῆς μεγίστης ἁγιωσύνης αὐτοῦ. εἰ δέ ποτε εὑρεθῶ ποιήσας τι ἄτακτον, καθὼς νῦν ὑπόσχομαι, (ἵνα) ἐκπίπτω τοῦ οἰκείου βαθμοῦ τῆς ἱερωσύνης, καὶ μηδεμία συμπάθεια γένηται (εἰς ἐ)μέ. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα αὔγουστον τῆς δ' ἰνδ., ὑπογραφεῖσα παρ' ἐμοῦ δι' ἀσφάλειαν †:

† (Μάρ)κος πρεσβίτερος ὁ Γεράνκης στέργων ὑπέγραψα †.

## CCCXLVII. Sine anno.

*Patriarcha hortatur populum Magni Novogradii, ut revertatur in sinum ecclesiae, mittens hac de causa legatum Dionysium, archiepiscopum Suzdalii.*

† Εὐγενέστατοι καὶ ἀνδρικώτατοι ἄρχοντες, ὁ υἱός μου ἡ Μποσάνικ, ὁ Τισέασκι καὶ τὰ παιδία μου, ὁ λοιπὸς λαὸς οἱ ὑπὸ τὴν ἁγιωτάτην τῆς Ῥωσίας μητρόπολιν κατὰ τὴν χώραν καὶ ἐνορίαν τοῦ Μεγάλου Νοβογρατίου εὑρισκόμενοι χριστιανοὶ ἅπαντες, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος (καλῶ γὰρ ὑμᾶς ἅπαντας ἔτι καὶ τέκνα καὶ υἱοὺς, εἰ καί τινες ἀπεσχίσθησαν τῆς καθόλου τῶν πιστῶν ἐκκλησίας, καὶ τῆς τῶν χριστιανῶν κοινωνίας ἀπέστησαν συνεργίᾳ τοῦ πονηροῦ δαίμονος)· ἐγνώρισεν ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν ἱερὰ καὶ μεγάλη τῶν ἀρχιερέων θεία σύνοδος, ὅπως τινὲς ἀφ' ὑμῶν προφάσει πλείονος εὐλαβείας καὶ τοῦ νομίζειν φυλάττειν τὰς θείας γραφὰς καὶ τὴν τῶν ἱερῶν κανόνων ἀκρίβειαν, διεσχίσθησαν τῆς καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ ἐκκλησίας, πάντας αἱρετικοὺς νομίζοντες καὶ ἀρχιερεῖς καὶ ἱερεῖς καὶ πάντας τοὺς τῶν στριανῶν κληρικοὺς καὶ τὸν λαὸν, ὡς χειροτονοῦντας καὶ χειροτονουμένους ἐπὶ χρήμασι, καὶ τοὺς λοιποὺς, ὡς κοινωνοῦντας αὐτοῖς, ἑαυτοὺς δὲ μόνους ὀρθοδόξους ἔχοντες. ὅπερ ἀκούσαντες ἐλυπήθημεν σφόδρα, καὶ τὰ σπλάγχνα καὶ τὴν καρδίαν ἠλγήσαμεν τῇ ἀποκοπῇ τῶν τοῦ Χριστοῦ μελῶν· πόσην γὰρ ὀδύνην καὶ λύπην οὐκ ἂν ἔχομεν ἀκούοντες τὰ ἡμέτερα μέλη διασπαραττόμενα ὑπὸ τοῦ τῆς ἀληθείας ἐχθροῦ τοῦ ἐξ ἀρχῆς

ἀνθρωποκτόνου καὶ πολεμίου τῆς ἡμετέρας φύσεως· οὗτος γὰρ ὁ τρόπος ἐστὶν αὐτοῦ πανταχοῦ, καὶ ὅταν μὴ δυνηθῇ φανερῶς πολεμεῖν, ἀφανῶς ἐπιβουλεύει ἐκ τῶν δοκούντων δεξιῶν, οὕτω πᾶσαν αἵρεσιν εἰς τὴν ἐκκλησίαν εἰσήγαγε τοῦ Χριστοῦ, ἐπειδὴ γὰρ μετὰ τὴν ἔνσαρκον παρουσίαν τοῦ Χριστοῦ πᾶσα εἰδωλολατρεία ἠφάνισται, καὶ οὐκ εἶχε χώραν ὁ διάβολος πείθειν τοὺς ἀνθρώπους εἰδωλολατρεῖν, ἀπὸ τῶν δεξιῶν ἐκίνησε μάχεσθαι, καὶ ἵνα δῆθεν μὴ πολλοὺς προσκυνῶσι θεούς, πείθει τὸν Ἄρειον, τὸν υἱὸν τοῦ θεοῦ κτίσμα ὁμολογεῖν. οὕτω καὶ τὰς λοιπὰς αἱρέσεις εἰσήγαγε, πρόφασιν εὑρίσκων πολυθεΐας. τοῦτο βλέπομεν σήμερον καὶ εἰς ὑμᾶς γινόμενον, καὶ ἵνα ἀποστήσῃ ὑμᾶς τέλεον τοῦ χριστιανισμοῦ καὶ τοῦ παρὰ τῆς ἐκκλησίας ἁγιασμοῦ, ὅστις διὰ τῶν ἀρχιερέων δίδοται καὶ ἱερέων τῷ λαῷ, καὶ οὗ χωρὶς ἀδύνατόν τινα σωτηρίας ἔχειν ἐλπίδα, κἂν ὑπὲρ τοὺς ἀγγέλους ἐπὶ γῆς πολιτεύηται, τὴν ψευδῆ ταύτην φήμην ἐνέπειρεν εἰς ὑμᾶς, καὶ πιστεῦσαι ταύτῃ πεποίηκεν, ὡς ἄρα ἐπὶ χρήμασιν ἡ ἐκκλησία τοῦ Χριστοῦ τὰς χειροτονίας ποιεῖ. καὶ τίς πονηρὸς δαίμων τοσοῦτον ὑμῖν ἐβάσκηνεν, ὡς τοιοῦτον πρᾶγμα δέξασθαι; ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ ἡ καθολικὴ καὶ ἀποστολικὴ ἡ ἀπὸ περάτων ἕως περάτων διήκουσα χάριτι καὶ δυνάμει αὐτοῦ τοῦ Χριστοῦ, ὥσπερ ἐν τοῖς δόγμασιν ἀρραγὴς ἵσταται καὶ παγία καὶ ἀσάλευτος, οὕτω καὶ ἐν τῇ τῶν ἱερῶν κανόνων ἀκριβεῖ πολιτείᾳ καὶ καταστάσει, καὶ τοὺς χειροτονοῦντας ἐπὶ χρήμασιν, ὡς πιπράσκοντας τὴν ἄπρατον χάριν τοῦ παναγίου πνεύματος, μετὰ Σίμωνος καὶ Μακεδονίου καὶ τῶν λοιπῶν πνευματομάχων τάττομεν· καθόλου μὲν οὖν πᾶσα ἡ τοῦ Χριστοῦ ἐκκλησία οὕτω καὶ φρονεῖ καὶ δοξάζει, καὶ οὕτω πράττει διηνεκῶς· εἰ δέ που τινὲς εἰσιν εἰς τοῦτο ἀσεβείας ἐλάσαντες, ὡς τολμᾶν ἐπὶ χρήμασι χειροτονεῖν, οὐδὲν τοῦτο πρὸς τὴν καθολικὴν ἐκκλησίαν, εἰσὶ γὰρ καί τινες κρυφίως πορνεύοντες καὶ ἄλλα ἄτοπα ἐργαζόμενοι, ἀλλ' ὅταν ἀπελεγχθῶσι, κολάζονται παρὰ τῆς ἐκκλησίας καὶ καταδικάζονται καὶ καθαιροῦνται. εἰ γοῦν εἰσι καί τινες τῶν ἐπισκόπων ἐπὶ χρήμασι τὰς χειροτονίας ποιοῦντες, οὐ χρὴ ὑμᾶς ἀποσχίζεσθαι τῆς ἐκκλησίας καὶ νομίζειν πάντας αἱρετικούς, ἀλλ' ἡνωμένους εἶναι τῇ ἐκκλησίᾳ καὶ κοινωνικούς, προσαγγεῖλαι δὲ τὸν κακῶς ποιοῦντα ἐπίσκοπον εἰς τὸν ἴδιον μητροπολίτην, ἂν δ' οὐδ' αὐτὸς ποιήσῃ τὴν διόρθωσιν, παιδευθήσεται καὶ αὐτὸς παρὰ τῆς ἡμῶν μετριότητος, ὃν ἔταξεν ὁ θεὸς

πατέρα καὶ διδάσκαλον καὶ πατριάρχην οἰκουμενικόν. διὰ ταῦτα γράφομεν καὶ παραινοῦμεν πρὸς ὑμᾶς πατρικῶς, ὡς ἡμέτερα τέκνα, ὡς τῆς ἐκκλησίας μέρη, ὡς αὐτοῦ τοῦ Χριστοῦ μέλη, τῆς κεφαλῆς πάσης τῆς ἐκκλησίας, παύσασθε τῶν σχισμάτων καὶ τῆς διαστάσεως, καὶ ἑνωθέντες καὶ ὁμονοήσαντες τῷ λοιπῷ τῆς ἐκκλησίας σώματι ὁμόφωνον δόξαν ἀναπέμψατε τῷ θεῷ· ἡ γὰρ ἐκκλησία τοῦ Χριστοῦ καὶ ἐν τοῖς δόγμασιν ὀρθοτομεῖ καὶ ἐν τῇ ἀκριβεῖ πολιτείᾳ, καὶ τὸ χειροτονεῖν ἐπὶ χρήμασιν ἀσέβειαν καλεῖ φανεράν· εἰ δὲ οἱ χειροτονούμενοι πολλάκις ἀφ' ἑαυτῶν μηδενὸς ἀναγκάζοντος εὐλόγους ἐξόδους ποιοῦσιν εἰς κηρία καὶ τραπέζας καὶ τὰς τοιαύτας δαπάνας, οὐδὲν λυμαίνεται τοῦτο, ἡ μὲν γὰρ χειροτονία δωρεὰν γίνεται, καθὼς εἶπεν ὁ Χριστός· „δωρεὰν ἐλάβετε, δωρεὰν δότε", ἄλλο δέ ἐστι τὸ λαβεῖν διὰ τὸ χειροτονῆσαι, καὶ ἕτερόν ἐστι τὸ ὑπὲρ τῶν ἀναγκαίων ἀναλωμάτων ἐξοδιάσαι· εὑρίσκομεν γὰρ καὶ τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν εἰσερχόμενον μὲν ἐν πολλλαῖς οἰκίαις μετὰ τῶν μαθητῶν ταῖς ἀξίαις τῆς ὑποδοχῆς αὐτοῦ καὶ διδάσκοντα τὸν τῆς ἀληθείας λόγον καὶ τὴν θεογνωσίαν καὶ θαύματα πολλὰ ἐργαζόμενον, δεχόμενον δὲ καὶ τὰ παρ' ἐκείνων γενόμενα, καὶ ταῦτα πολυτελῶς καὶ φιλοτίμως· ὅτε γὰρ εἰς τὴν οἰκίαν εἰσῆλθε τοῦ Ματθαίου, ἐποίησε, φησίν, Λευὶς δοχὴν μεγάλην τῷ Ἰησοῦ, καὶ εἰς τὴν οἰκίαν εἰσελθόντος τῆς Μάρθας καὶ τῆς Μαρίας, ἡ Μάρθα, φησίν, περιεσπᾶτο περὶ πολλὴν διακονίαν· καὶ ἕτερα πολλὰ τοιαῦτα εὑρήσεις. ὁ δὲ θεῖος ἀπόστολος τὸν τοῦ Μωσέως νόμον προφέρων „οὐ φιμώσεις, φησί, βοῦν ἀλοῶντα." εἶτα τὴν διάνοιαν τῆς θείας γραφῆς ἑρμηνεύων, „μὴ τῶν βοῶν, φησί, μέλει τῷ θεῷ, ἢ δι' ἡμᾶς πάντως λέγει, καὶ οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἐκ τοῦ θυσιαστηρίου συμμερίζονται." οὕτω καὶ ὁ κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν, καὶ εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; καὶ πολλὰ τοιαῦτά ἐστιν εὑρεῖν ἐν τῇ θείᾳ γραφῇ, ἅπερ πάντα γινώσκοντες σπουδάσατε διορθῶσαι τὸ κακῶς γεγονός. ἐπὶ τούτου γὰρ ἀπέστειλεν ἡ μετριότης ἡμῶν καὶ ἡ μεγάλη σύνοδος τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Σισοβάλεως, κῦρ Διονύσιον, ἄνδρα τίμιον καὶ εὐλαβῆ καὶ ἐνάρετον καὶ τῶν ἱερῶν κανόνων ἀκριβέστατον φύλακα, ἵνα ἴδῃ ὑμᾶς ἀφ' ἡμῶν καὶ εὐλογήσῃ καὶ εὔξηται καὶ παραινέσῃ καὶ διδάξῃ καὶ συμβου-

λεύσῃ τὰ δέοντα καὶ καταπείσῃ ἑνωθῆναι τῇ καθολικῇ καὶ ἀποστολικῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ· γινώσκετε γὰρ πάντως, ὡς ὁ ἀποσχιζόμενος τῆς ἐκκλησίας αὐτοῦ τοῦ Χριστοῦ ἀποσχίζεται, καὶ οὐκ ἔστιν αὐτῷ μερίς, οὐδὲ κλῆρος ἐν τοῖς ἡγιασμένοις ὑπ' αὐτοῦ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. ποίᾳ γοῦν ἐκκλησίᾳ ὑπόκεισθε; ἡ μὲν γὰρ τῆς Ῥώμης ἐκκλησία πάλαι νεωτερίσασα περὶ τὴν ἀποστολικὴν καὶ πατρικὴν πίστιν, ὥσπερ εἰς ἑτέρας ἐνέπεσε μυρίας αἱρέσεις, οὕτως οὐδὲ τοῦτο ταύτην διέλαθε, τὸ χειροτονεῖν ἐπὶ χρήμασιν· ἐκεῖ γὰρ γίνεται τοῦτο κατὰ ἀλήθειαν, καὶ πιπράσκει τὰς ἐκκλησίας ὁ πάπας. εἰ γοῦν διαβάλλετε καὶ τὴν ἡμετέραν ἐκκλησίαν, καὶ ἀποσχίζεσθε ἡμῶν πάντων ὡς αἱρετικῶν, ὁ Χριστὸς ἐπὶ τῆς γῆς σήμερον ἐκκλησίαν οὐκ ἔχει κατὰ τὸν ὑμέτερον λόγον, καὶ ψευδής ἐστιν ὁ λόγος, ὃν εἶπεν, ὅτι μεθ' ἡμῶν ἔσται πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀλλ' οὐκ ἔστι τοῦτο, μὴ γένοιτο. γένοιτο δὲ ὑμῖν ἐπιγνῶναι τὴν τῆς σωτηρίας ὁδὸν καὶ ἑνωθέντας τοῖς ἀδελφοῖς ἐν μιᾷ ὁμονοίᾳ δοξάσαι τὸν κύριον, οὗ ἡ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ πάντων ὑμῶν. ταῦτα μὲν εἴπομεν ἐκ πολλῶν ὀλίγα, τὰ πλείω δὲ ἀνεθήκαμεν πρὸς τὸν ἀρχιεπίσκοπον, τὸν κῦρ Διονύσιον, καὶ ὅσα εἴποι καὶ αὐτὸς ἀπὸ στόματος, δέξασθε ταῦτα ὡς ἡμετέρους λόγους, θέλομεν δέ, ἵνα γράφητε πρὸς ἡμᾶς, καὶ μάθωμεν τὴν διόρθωσιν τὴν γενησομένην χάριτι θεοῦ, ἵνα δοξάσωμεν τὸν θεὸν καὶ εὐφρανθῶμεν ἐπὶ τῇ ἐπιστροφῇ καὶ μετανοίᾳ ὑμῶν, ἐν ᾗ καὶ ἄγγελοι καὶ ἄνθρωποι χαίρουσι κατὰ τὴν τοῦ κυρίου φωνήν †.

## CCCXLVIII. (6890—1381) octobri. ind. V.

*Patriarcha vetat metropolitam Hadrianupoleos exercere iura ecclesiastica in episcopatu Agathopoleos.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν μητροπολίτην Ἀδριανουπόλεως ὑπὲρ τοῦ Ἀγαθοπόλεως †.

† Ἱερώτατε μητροπολῖτα Ἀδριανουπόλεως, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θρᾴκης, ἀγαπητὲ κατὰ κύριον ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ θεοφιλέστατος ἐπίσκοπος Ἀγαθοπόλεως ἐπιδημήσας ἐνταῦθα ἀνήνεγκε τῇ ἡμῶν μετριότητι, ὅπως ἀπῆλθες εἰς αὐτόν, καὶ ταῦτα αὐτοῦ πέμψαντος πρότερον εἰς τὴν σὴν ἱερότητα, ἐπιδημοῦσαν ἐν τῇ ἐκκλησίᾳ του, μετὰ κανισκίου καλόγηρων αὐτοῦ, καὶ εἶπας καὶ πρὸς αὐτὸν

ἀγανακτήσαντος, πῶς ἀπῆλθες εἰς τὴν ἐκκλησίαν αὐτοῦ, ὅτι τρὶς τοῦ ἐνιαυτοῦ ἀπὸ τοῦ νῦν μέλλεις εἰς αὐτὸν παραγίνεσθαι. καὶ ἡγησάμην ταῦτα ἀνοίκεια τῷ τοῦ μητροπολίτου θρόνῳ καὶ τῷ κοινῷ τῆς ἐκκλησίας μάλιστα· ποῖος γὰρ ἀκούσας αὐτὰ ἐπαινέσει ἢ τῶν τῆς ἱερᾶς τάξεως ἢ τῶν ἔξω; ἔρημά εἰσι παντελῶς ταῦτα καὶ ἔξω τῶν ἱερῶν κανόνων καὶ νόμων· καὶ γὰρ μέχρις ἂν ᾖ ἐλευθέρα ἡ ἐπισκοπή, ἔχει ἄδειαν ὁ μητροπολίτης καὶ ἐκεῖ παραγίνεσθαι καὶ ἀπὸ τῶν εἰσοδημάτων αὐτῆς λαμβάνειν, ὅταν δὲ ἔχῃ ἐπίσκοπον, οὐδεμίαν ἄδειαν ἔχει ὁ μητροπολίτης τοιοῦτόν τι ποιεῖν, ἀλλ' ὥσπερ ἐστὶν ὁ μητροπολίτης εἰς τὴν μητρόπολιν, οὕτω καὶ ὁ ἐπίσκοπος εἰς τὴν ἐπισκοπήν, καὶ ἀρκεῖται ἑκάτερος τοῖς ἰδίοις· εἰ γὰρ ἦν τοῦτο συγκεχωρημένον παρὰ τῶν κανόνων καὶ τῆς ἐκκλησίας, ὅπερ αὐτὸς λέγεις καὶ ἀπαιτεῖς, τοῦτο καὶ ἡμῖν ἦν ἂν ἀποδεκτόν. οὐδεμία γὰρ τῶν μητροπόλεων ἔχει τοσαύτην πτωχείαν, ὅσην ἔχει ἡ μεγάλη ἐκκλησία, καὶ ἐμέλλομεν καὶ ἡμεῖς εἰς τὰς ἐκκλησίας παραγίνεσθαι ἢ συνεχῶς ἢ κἂν ἅπαξ καὶ ἀπαιτεῖν φόρους καὶ τέλη, ἀλλ' οὐδὲν ποιοῦμεν αὐτό, ἐπεὶ οὐκ ἐνδέδοται. εἶτα ἐὰν ἐπιδημῇς αὐτὰς εἰς τὴν ἐπισκοπὴν ὄντος ἐπισκόπου, τίς ὑποκείσεται τῷ ἐπεισκόπῳ ἢ τῶν κληρικῶν ἢ τῶν ἱερωμένων καὶ λαϊκῶν; τίς δέξεται τὴν κρίσιν αὐτοῦ ἢ τὸν λόγον καὶ τὴν εἰσήγησιν; πάντες φεύξονται ἀπ' αὐτοῦ, καὶ σοὶ ἀκολουθήσουσι, καὶ τοῦτον οὕτω κενὸν καταλείψουσιν. ὁρᾷς γοῦν, πῶς οὐκ ἔστι καλόν, τὸν μητροπολίτην εἰς τὴν ἐπισκοπὴν παραγίνεσθαι ὄντος ἐπισκόπου, δι' ἃ καὶ τοῖς θείοις κανόσιν αὐτὸ ἀπηγόρευται· ἄφες τοῦτο ἀπὸ τοῦ νῦν, καὶ μήτε αὐτὸς ἐπιδημήσῃς ἐκεῖ, μήτε μὴν πέμψῃς καὶ ἀπαιτήσῃς, οὐδὲν γάρ σοι ὀφείλει ἕτερον, εἰ μὴ ἅπαξ τοῦ ἔτους, ὃ ἂν προαιρεθείη, εἴτε πολύ, εἴτε ὀλίγον, καὶ ἵνα σοι παρέχῃ τιμὴν καὶ ἀγάπην καὶ πνευματικὴν εὐπείθειαν, ὡς μητροπολίτῃ αὐτοῦ, καθὼς λέγουσιν οἱ κανόνες, ὑποκεῖσθαι τοῖς μητροπολίταις οἱ ἐπίσκοποι, οὐ μὴν οὕτως, ὡς ἂν ἐθέλῃς αὐτός. εἰρήνευε γοῦν ἀπὸ τοῦ νῦν ἐν τῇ ἐκκλησίᾳ καθήμενος, καὶ μηδὲν ἀκούσω, ὅτι ποιεῖς ἢ εἰς αὐτὸν ἢ εἰς ἕτερον τῶν ἐπισκόπων σου τοιαῦτα, σκάνδαλα γὰρ προξενοῦσιν ἄτοπα ὄντα. τοῦτο δὲ ἐγράφη καὶ ἐν τῷ ἱερῷ κώδικι εἰς ἀσφάλειαν τοῦ ἐπισκόπου καὶ μνήμην τῶν γραφέντων σοι. καὶ πρόσεχε ἀπὸ τοῦ νῦν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τῆς τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ϛ' †.

## CCCXLIX. (6890—1381) novembri. ind. V.

*Promissio Georgii Apelmene ad officium praefecti sacello episcopatus Cii evecti.*

† Ἐπεὶ ὁ παναγιώτατος ἡμῶν αὐθέντης καὶ δεσπότης, ὁ οἰκουνικὸς πατριάρχης, ὁδηγηθεὶς ἐκ θεοῦ εὐεργέτησέ μοι καὶ προεβίβασέ με εἰς τὸ τοῦ σακελλίου τῆς ἁγιωτάτης ἐπισκοπῆς Κίου ὀφφίκιον, ἤδη καὶ αὐτὸς εὐχαριστῶν τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ ὑπόσχομαι διὰ τοῦ παρόντος μου γράμματος, ἵνα εὑρίσκωμαι διὰ παντὸς εἰς τὸν ὁρισμὸν καὶ τὸ θέλημα καὶ τὴν ὑποταγὴν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ἀποπληρῶν μετὰ πάσης προθυμίας τὴν ἀποδοχὴν αὐτοῦ, εἰρηνικῶς διακείμενος πρὸς πάντας καὶ ἀνενοχλήτως καὶ πᾶσαν ἀπονέμων τὴν τιμὴν καὶ ἀγάπην καὶ ὑποταγὴν πρὸς τὸν καλόγηρον αὐτοῦ τὸν ἐκεῖσε εὑρισκόμενον· εἰ δὲ οὐ ποιῶ, καθὼς ὑπόσχομαι, ἵνα εὐθύνωμαι μὴ μόνον εἰς τὸ ὀφφίκιόν μου καὶ τὴν τιμήν, ἥν μοι εὐεργέτησε, ἀλλὰ καὶ εἰς τὴν ἱερωσύνην μου. τούτου γὰρ χάριν ἐγεγόνει καὶ ἡ παροῦσά μου ὑπόσχεσις μ η ν ὶ ν ο ε μ β ρ ί ῳ ἰ ν δ. ε΄ †.

† Ὁ σ α κ ε λ λ ί ο υ τ ῆ ς ἁ γ ι ω τ ά τ η ς ἀ ρ χ ι ε π ι σ κ ο π ῆ ς Κ ί ο υ π ρ ε σ β ύ τ ε ρ ο ς Γ ε ώ ρ γ ι ο ς ὁ Ἀ π ε λ μ ε ν ὲ †.

## CCCL. (6890—1381) novembri. ind. V.

*Promissio presbyteri Georgii Panormeni.*

† Ἐγὼ Γεώργιος ὁ Πανορμηνὸς ὑπόσχομαι ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐὰν εὑρεθῇ μετὰ παραστάσεως, ἵνα λάβω παρά τινος δοῦκατα εἰς τὴν δουλίαν αὐτοῦ, ἢ νὰ τὸν ἀναγκάσω εἰς ἕτερόν τι, ἤγουν φαγὴν ἢ ποτόν, ἵνα ἐμφανιζομένης τῆς παρούσης μου ὑποσχέσεως ζημιοῦμαι καὶ τὴν ῥῶγαν, πανθάνω δὲ εἰς τὴν ἱερωσύνην μου τιμωρίαν, ἣν ἂν διακρίνει ὁ παναγιώτατος ἡμῶν δεσπότης καὶ αὐθέντης ἡμῶν, ὁ οἰκουμενικὸς πατριάρχης. ἐγεγόνει ἡ παροῦσά μου ὑπόσχεσις κ α τ ὰ μ ῆ ν α ν ο έ μ β ρ ι ο ν, ἰ ν δ. ε΄ †.

† Ὁ ε ὐ τ ε λ ὴ ς ἱ ε ρ ε ὺ ς Γ ε ώ ρ γ ι ο ς κ α ὶ θ η ρ ο ρ ὸ ς τ ο ῦ π α τ ρ ι α ρ χ ι κ ο ῦ κ α ι λ ή ο υ ὁ Π α ν ο ρ μ η ν ό ς †.

## CCCLI. Sine anno.

*Metropolitae Mesembriae committuntur monasteria patriarchalia curanda in eius dioecesi.*

† Ἐδόθη διὰ τιμίας πατριαρχικῆς γραφῆς τῷ ἱερωτάτῳ μητροπολίτῃ Μεσημβρίας τὰ ἐν τῇ Μησημβρίᾳ πατριαρχικὰ μοναστήρια, τὸ τοῦ Σωτῆρος Χριστοῦ τοῦ Ἀκροπολίτου, τὸ τῆς Ἐλεούσης, τὸ τῆς Ἁγιοσοφιτίσσης καὶ τὸ τοῦ ἁγίου Βλασίου, ἵνα κρατῇ ταῦτα ὡς πατριαρχικὰ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, καὶ ἱερουργῇ καὶ χειροτονῇ καὶ ἀνακρίνῃ τοὺς ἡγουμένους καὶ εἰσάγῃ καὶ ἐξάγῃ, οὓς ἂν διακρίνῃ, καὶ μνημονεύηται ἐν αὐτοῖς μετὰ τὸ μνημόσυνον τὸ πατριαρχικόν, ἄνευ μόνων τῶν διπτύχων· ἐν αὐτοῖς γὰρ μόνος ὁ πατριάρχης ὀφείλει μνημονεύεσθαι †.

## CCCLII. (6890—1382) 2. martii. ind. V.

*Indicatio hieromonachi Germani monasterii Cosmidii.*

† Μηνὶ μαρτίῳ, β', ἰνδ. ε', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, παρόντων τῶν τιμιωτάτων ἐξωκατακοίλων, τοῦ μεγάλου σκευοφύλακος, τοῦ μεγάλου χαρτοφύλακος, τοῦ πρωτεκδίκου καὶ λοιπῶν θεοφιλεστάτων ἀρχόντων, τοῦ λογοθέτου, τοῦ ὑπομνηματογράφου, τοῦ ἐπὶ τῆς ἱερᾶς καταστάσεως καὶ τοῦ δευτερεύοντος τῶν ἱερέων καὶ ἑτέρων πολλῶν, ὁ ἀπὸ τῆς μονῆς τοῦ Κοσμιδίου ἱερομόναχος Γερμανὸς ὁ καὶ ἐκκλησιάρχης ὡμολόγησε παραστάς, ὅτι συνήντησεν αὐτῷ ὁ ἄρχων τῶν μοναστηρίων καὶ εἶπεν αὐτῷ· ἢ φέρετε εἰς τὸ πατριαρχεῖον τὸ σύνηθες κρασίον, ἢ ἔχω ὑμᾶς ἐξ ὁρισμοῦ τοῦ πατριάρχου ἀργοὺς τῆς ἱερωσύνης, ἕως ἂν φέρητε αὐτό· ὁ δὲ τὸν λόγον τοῦτον ἀκούσας παρὰ τοῦ ἄρχοντος τῶν μοναστηρίων ἀπελθὼν εἶπε τοῦτον τῷ ἡγουμένῳ αὐτοῦ †.

## CCCLIII. (6890—1381) 23. novembris. ind. V.

*Metropolita Peritheorii excommunicatur.*

† Μηνὶ νοεβρίῳ, εἰκοστῇ τρίτῃ, ἰνδ. πέμπτης, προκαθημένης τῆς ἡμῶν μετριότητος ἐν τοῖς κελλίοις αὐτῆς τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων αὐτῇ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Οὐγγροβλαχίας καὶ τὸν τόπον ἐπέχοντος τοῦ

Νικομηδείας, τοῦ Ἀμασείας, τοῦ Λαοδικείας, τοῦ Πέργης καὶ Ἀτταλείας, τοῦ Ποντοηρακλείας, τοῦ Αἴνου, τοῦ Μεσημβρίας, τοῦ Δέρκου, τοῦ Χαμᾶ καὶ τοῦ ἀρχιεπισκόπου Ἀγχιάλου, ἐλαλήθησαν αἰτιάματα κατὰ τοῦ μητροπολίτου Περιθεωρίου, κῦρ Δωροθέου, καὶ ἄλλα μὲν πολλά, τὸ δὲ πρῶτον καὶ μέγιστον, ὅτι δι' αἰτίας τινὰς περιορισθεὶς ὁρισμῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος εἰς τὸν πύργον τῶν Πόρων, εἶτα ἐκεῖθεν φυγὼν οὔτε εἰς τὴν ἁγίαν βασιλείαν αὐτοῦ ἠθέλησεν ἀναδραμεῖν καὶ ζητῆσαι βοήθειαν, οὔτε εἰς τὴν ἡμῶν μετριότητα, μάλιστα καὶ τὴν ἱερὰν σύνοδον, ἀλλ' εἰς τοὺς Τούρκους ἀναδραμὼν καὶ δύναμιν λαβὼν ἐκεῖθεν μετ' ἐξουσίας τυραννικῆς ἐπελάβετο τῆς ἐκκλησίας Περιθεωρίου, καὶ ταῦτα γραφάσης ἐκεῖ πρότερον τῆς ἡμῶν μετριότητος, μὴ ὅλως τοῦτον προσδέξασθαι τοὺς ἐκεῖ χριστιανούς, ὡς εἰς τοὺς Τούρκους παραγενόμενον, οὐ μήν, ἀλλὰ καὶ ἐν τῇ ἀνατολῇ ὄντι καὶ κατὰ τὸ Περιθεώριον γενομένῳ καὶ δὶς καὶ τρὶς ἔγραφεν αὐτῷ, ἵνα ἐλθὼν ἐνταῦθα κριθῇ συνοδικῶς, καὶ οὐκ ἠθέλησεν ὅλως· καὶ ὅτι μετὰ τῶν Τούρκων ἐποίησε συμφωνίαν, ἵνα ὅσα ἂν προσφύγωσιν αἰχμάλωτα εἰς τὸ Περιθεώριον, παραδιδῷ ταῦτα αὐτὸς πρὸς τοὺς Τούρκους, ὃ καὶ ἐποίησε πολλάκις κατὰ τὴν συμφωνίαν αὐτοῦ. τὰ μὲν οὖν ἄλλα τῶν κατηγορημάτων αὐτοῦ ἐξετάσεως δεόμενα καὶ τοῦ αὐτὸν ἐκεῖνον παρεῖναι δεῖν καὶ ἀπολογεῖσθαι, οὐκ ἔδοξαν ἰσχυρὰ συνοδικῶς τῇ ἡμῶν μετριότητι, ἐπεὶ δὲ οἱ ἱεροὶ κανόνες διαγορεύουσιν οὑτωσὶ κατὰ ῥῆμα· „εἴ τις ἐπίσκοπος κοσμικοῖς ἄρχουσι χρησάμενος δι' αὐτῶν ἐγκρατὴς ἐκκλησίας γένοιτο, καθαιρείσθω καὶ ἀφοριζέσθω", οὗτος δὲ οὐχ ἁπλῶς κοσμικοῖς ἄρχουσι χρησάμενος τοῖς χριστιανοῖς, ἀλλὰ τοῖς ἀσεβέσι προσφοιτήσας καὶ δύναμιν ἐκεῖθεν λαβὼν ἐπελάβετο τῆς ἐκκλησίας, ὡς πᾶσιν ἐστὶν ἀνωμολογημένον καὶ γνώριμον, καὶ οὐ δεῖται παραστάσεως ἢ ἀποδείξεως· φανερῶς γὰρ ἔλεγεν ἐκεῖνος ἐνώπιον πάντων, τοὺς Τούρκους ἔχειν καὶ βασιλεῖς καὶ πατριάρχας καὶ προστάτας ἰδίους, ὡς καὶ τὸ ἔργον ἔδειξε τοῖς λόγοις συμμαρτυροῦν, οὐδὲ αὐτοῦ δυναμένου τοῦτο ἀρνήσασθαι, διεγνώσθη καὶ ἀπεφάνθη παρὰ πάσης τῆς θείας καὶ ἱερᾶς συνόδου, ἐπιψηφισαμένης καὶ βεβαιωσαμένης τοῦτο καὶ τῆς ἡμῶν μετριότητος, καὶ ἀπόντα τοῦτον καθῃρημένον εἶναι διὰ βίου παντὸς καὶ τέλεον ἀποκεκομμένον τοῦ ἱερατικοῦ καταλόγου καὶ τοῦ τῶν ἀρχιερέων χοροῦ· εἰ δὲ καὶ ἔτι περιπατεῖ πλανώμενος μετὰ Τούρκων,

καὶ ἀφωρισμένον εἶναι, ἕως ἂν ἐλθὼν ἐνταῦθα καὶ τὴν προσήκουσαν ἐπιμέλειαν καὶ μετάνοιαν ἐνδειξάμενος ἐν μοναστηρίῳ ὡς ἰδιώτης καθήσῃ, τὸν θεὸν παρακαλῶν ὑπὲρ ὧν ἔπταισεν. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις ὑπογραφεῖσα παρά τε τῆς ἡμῶν μετριότητος καὶ τῆς θείας συνόδου δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας καὶ ἁγίας πατριαρχικῆς χειρός· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὡσαύτως καὶ διὰ τῶν χειρῶν τῶν ἀρχιερέων· † Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Σεβαστειανός †. † Ο ταπεινὸς μητροπολίτης Οὐγγροβλαχίας Ἄνθιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας καὶ πρόεδρος Μηδείας Μιχαήλ †. † Ὁ ταπεινὸς μητροπολίτης Λαοδικείας Μακάριος †. † Ὁ ταπεινὸς μητροπολίτης Πέργης καὶ ›Ἀτταλείας Θεόφιλος †. † Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας Ἰωακείμ †. † Μάρκος, ταπεινὸς μητροπολίτης Αἴνου †. † Ὁ ταπεινὸς μητροπολίτης Μεσημβρίας Ἀντώνιος †. † Ὁ ταπεινὸς μητροπολίτης Δέρκω Παῦλος †. † Ὁ ταπεινὸς μητροπολίτης Χαμᾶ Γρηγόριος †. † Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Ἀγχιάλου Ἰωσήφ †.

## CCCLIV. (6890—1382) iulio ind. V.

*Patriarcha monet metropolitam Thessalonicensem de iuribus patriarcharum.*

† Τῷ Θεσσαλονίκης πιττάκιον πατριαρχικόν †.

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ ἔγγραφος ἀναφορὰ τῆς σῆς ἱερότητος διεκομίσθη τῇ ἡμῶν μετριότητι καὶ ὑπανεγνώσθη καὶ ἐγνωρίσαμεν ἐξ αὐτῆς περὶ ὧν ἔγραφες καὶ ὅσα ἀνέφερες. θαυμάζω γοῦν, πῶς κανόνας προφέρεις ἀποστολικοὺς ἐν τοῖς πατριαρχικοῖς προνομίοις· ποῦ γὰρ ἐν ταῖς τῶν ἀποστόλων ἡμέραις ἡ τῶν πατριαρχῶν τάξις καὶ κατάστασις; ἀλλ' οἱ

μὲν κανόνες τῶν ἀποστόλων ἁπλῶς περὶ πάντων τῶν ἐπισκόπων νομοθετοῦσιν, οἷς ὑπόκεινται καὶ οἱ πατριάρχαι ὡς ἐπίσκοποι, ὡς δὲ τῶν ἐπισκόπων πρῶτοι καὶ κεφαλὴ ἔχουσιν ἰδίους κανόνας, τοὺς ἐκτεθέντας ὕστερον παρὰ τῶν ἁγίων πατέρων, ἀφ' οὗ ἡ τάξις τῶν πατριαρχῶν ἐγένετο καὶ εἰς πέντε τμήματα ἡ οἰκουμένη ἐμερίσθη. καὶ εἰ βούλει μαθεῖν τὸ τοῦ πατριάρχου προνόμιον, ἀπὸ τῶν ἱερῶν κανόνων τῆς ἁγίας καὶ οἰκουμενικῆς δ' συνόδου τοῦτο μαθήσει, τοῦ ἐνάτου τε φημὶ καὶ τοῦ ἑπτακαιδεκάτου, ἵνα μὴ μακρὸν ἀποτείνωμεν λόγον, ἐν ὀλίγοις γράμμασι κατὰ μέρος βουλόμενοι τούτους διεξιέναι. καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ἀναιροῦσιν οὗτοι τοὺς τῶν ἀποστόλων κανόνας· πῶς γὰρ τοὺς μὴ λέγοντάς τι περὶ πατριάρχου; περὶ γὰρ τοῦ μήπω γεγονότος οὐδὲ νομοθετεῖν ἀνάγκην εἶχον οἱ ἀπόστολοι, ἀλλ' οἱ πατέρες νομοθετοῦσι καὶ τάξιν ὁρίζουσι καὶ τὸ προσῆκον ἑκάστῳ προνόμιον διδόασιν, ὅτε τὰ πατριαρχεῖα ἐτάχθησαν, καὶ οὐχ οἱ προειρημένοι μόνον κανόνες, ἀλλὰ καὶ ἕτεροι πολλοί, οἵτινες καὶ τὴν ἔκκλητον ἀπονέμουσι τοῖς πατριάρχαις καὶ μάλιστα τῷ Κωνσταντινουπόλεως θρόνῳ, οὓς καὶ οἱ τῶν ἀοιδίμων βασιλέων ἐβεβαίωσαν νόμοι, καὶ ἡ ἐξ ἐκείνων τῶν χρόνων ἐπικρατήσασα συνήθεια μέχρι τοῦ νῦν, ἥτις εἰ καὶ μηδὲν ἕτερον ἦν, ἤρκει καὶ μόνη τὸ πρᾶγμα συνιστᾶν, τοσούτῳ χρόνῳ βεβαιωθεῖσα. ἄκουε δὲ καὶ τῶν νόμων ῥητῶς οὕτως λεγόντων· „πάντων, μητροπόλεων καὶ ἐπισκοπείων, μοναστηρίων τε καὶ ἐκκλησιῶν ἡ πρόνοια καὶ φροντίς, ἔτι δὲ κρίσεις καὶ κατάκρισις καὶ ἀθῴωσις τῷ οἰκείῳ πατριάρχῃ ἀνάκειται, τῷ δὲ Κωνσταντινουπόλεως προέδρῳ ἔξεστι ἐν ταῖς τῶν ἄλλων θρόνων ἐνορίαις, ἐν οἷς οὐκ ἔστι προκαθιέρωσις ναῶν, σταυροπήγια διδόναι, οὐ μὴν ἀλλὰ καὶ τὰς ἐν τοῖς ἄλλοις θρόνοις γινομένας ἀμφισβητήσεις ἐπιτηρεῖν καὶ διορθοῦσθαι καὶ πέρας ἐπιτιθέναι ταῖς κρίσεσιν". εἰ γοῦν ἐν ταῖς ἄλλαις ἐπαρχίαις ἔχομεν ἄδειαν τοιαῦτα ποιεῖν, πῶς ἐν τῇ ὑμετέρᾳ τοῦτο οὐχ ἕξομεν; εἰς τοῦτο δὲ οὐδὲ ἡ ἱερότης σου ἀντιλέγει· σπουδάζεις μὲν γὰρ ἀποδεῖξαι ὡς οὐκ ἔστιν ἄδεια τῷ πατριάρχῃ πάσας ἀνακρίνειν τὰς τῶν ἀρχιερέων κρίσεις· διὰ γὰρ τοῦτο καὶ τοὺς κανόνας προφέρεις καὶ τὴν ἐξήγησιν τοῦ περιττοῦ καὶ τὰ λοιπά, ὅσα ἔγραψας, παρακατιὼν δὲ λέγεις, ὡς εἰ μὴ ἀναπαύοιτο ὁ καταδικασθείς, ἄδειαν ἔχει τότε πρὸς τὸν πατριάρχην ἀναδραμεῖν καὶ αὐτὸν μανθάνοντα τὴν ἀπόφασιν ἀποφαίνεσθαι τὸ ποιητέον. τί γοῦν καινό-

τερον ἡμεῖς ἐποιήσαμεν; ἐκρίθη μετὰ τῶν Δοβροντηνῶν αὐτόθι ὁ τιμιώτατος ἱερομόναχος καὶ καθηγούμενος τῆς σεβασμίας μονῆς τοῦ ἁγίου Βασιλείου, κῦρ Δωρόθεος, καὶ κατεδικάσθη καὶ μὴ ἀναπαυθεὶς τῇ καταδίκῃ ἀνέδραμεν ἐνταῦθα ἔκκλητον ποιησάμενος. τί γοῦν παράλογον γέγονεν; ὅτι ἐγράψαμεν ἐλθεῖν αὐτοὺς ἐνταῦθα καὶ ἀντικριθῆναι τούτῳ; τὸ δὲ ἐρωτᾶν τὴν σὴν ἱερότητα περὶ τούτου οὔτε κανόνες, οὔτε νόμοι, οὔτε ἡ συνήθεια λέγει, ἀλλ᾿ ἐμέλλομεν ἰδεῖν τὴν ἀπόφασιν ἔγγραφον καί, εἰ μὲν ἦν δικαία καὶ νόμιμος, ἐβεβαιοῦτο ἂν καὶ παρ᾿ ἡμῶν, εἰ δὲ ἄλλως εἶχεν, ἀνετρέπετο ἄν. καλῶς οὖν ἐποιήσαμεν καὶ οὐδὲν παρέβημεν τῶν δεδομένων ἡμῖν προνομίων, μᾶλλον δὲ πολλὰ συγκαταβαίνομεν τῇ φιλίᾳ χαριζόμενοι. περὶ δὲ τῶν μοναστηρίων γράφει ἡ ἱερότης σου, ὅτι εἴπερ πράττει καὶ ὁ πατριάρχης ἐν τοῖς ὑπὸ σέ, τίς ἐστιν ἡ διαφορὰ τῶν πατριαρχικῶν μοναστηρίων καὶ τῶν τοῦ μητροπολίτου; καὶ ἔστιν ἡ διαφορά, ὅτι σὺ μὲν οὐδόλως μετέχεις ἐν τοῖς πατριαρχικοῖς οὐδένα λόγον εἰπεῖν, ἐγὼ δὲ μετέχω καὶ εἰς τὰ σά, ὥστε κρίνειν καὶ ἀνακρίνειν καὶ κατακρίνειν καὶ ἀθῳοῦν, καθὼς καὶ οἱ κανόνες λέγουσιν καὶ οἱ νόμοι, οὓς ἄνωθεν εἴπομεν, καθὼς ὑπόσχονται οἱ ἀρχιερεῖς ὑποτάσσεσθαι κατὰ πάντα τῷ πατριάρχῃ· ὅτι δὲ λέγεις, ἄλλοι μὲ παρεκίνησαν εἰς ταῦτα, θαυμάζω λίαν, πῶς ταῦτα λέγεις· οὐδὲ γὰρ ἔπρεπεν ὅλως παρὰ σοῦ τοῦτο λεχθῆναι· πόση γὰρ ἀπὸ τούτου τίκτεται ὕβρις, φανερόν, σιωπῶ δὲ διὰ τὴν φιλίαν, τὸ δὲ λέγειν, ἔχειν σε πολλὰς ἐπιθέσεις, καὶ διὰ τοῦτο συγκαταβαίνειν ἡμᾶς εἰς ταῦτα, ἵνα μὴ λυπῇ, ὡς ἔοικεν, ἀγνοεῖν ποιεῖ τὴν σὴν ἱερότητα τὰς ἡμετέρας ἐπιθέσεις καὶ πειρασμοὺς καὶ τὰς καθ᾿ ἑκάστην ὀχλήσεις μυριοπλασίονας οὔσας τῶν σῶν. ἀλλ᾿ ἰδοὺ γίνωσκε, ὡς οὐδὲ τῶν τοιούτων ἡμεῖς ἐλεύθεροι, καὶ γινώσκεις ταῦτα ἀκριβῶς. καὶ περὶ μὲν τούτων ἀρκούντως εἰρήκαμεν. ὁ δὲ ἱερεὺς ὁ Ἀλληλούιας ἔγραψεν εἰς τὴν ἡμῶν μετριότητα τὴν ὑπόθεσιν, ἣν ἔχει καὶ δι᾿ ἣν αἰτίαν ἤργησας αὐτὸν τῆς ἱερωσύνης, καὶ οὐδέν μοι δοκεῖ εὔλογος· ἀλλ᾿ εἰ μὲν ἔστιν ἄλλο τι, γνώριμον γενέσθω ἡμῖν παρὰ τῆς σῆς ἱερότητος, εἰ δὲ αὐτὸ μόνον ἔστιν, ὃ καὶ αὐτὸς ἀναφέρει καὶ παρ᾿ ἑτέρων ἤκουσα πολλῶν, γενέσθω, καθὼς λέγουσιν οἱ κανόνες περὶ τούτου. „ὁ λέγων γάρ, φησιν, ἐπίσκοπος, ὡς εἰ ἐξομολογηθείη τις αὐτῷ πταῖσμα, τῆς κοινωνίας αὐτὸν ἐκβάλλοι, οὐ πιστευθήσεται μόνος κατ᾿ αὐτοῦ μαρτυρῶν ὁ ἐπίσκοπος, οὐ μὴν ἀλλὰ καὶ συγκοινωνεῖν ἐκείνῳ

ἀναγκασθήσεται, εἰ δὲ δεινοπαθῶν τὴν συνείδησιν καὶ σκανδαλιζόμενος, οὐ βούλεται τούτῳ κοινωνεῖν, ἐφ' ὅσον χρόνον τούτῳ οὐ κοινωνεῖ, μηδὲ οἱ ἄλλοι τούτῳ ἐπίσκοποι κοινωνείτωσαν.“ ἡ δὲ Ἰουστινιάνειος νεαρά· „πᾶσι, φησί, τοῖς ἐπισκόποις καὶ πρεσβυτέροις ἀπαγορεύομεν χωρίζειν τινὰ τῆς ἁγίας κοινωνίας, πρὶν ἂν ἡ αἰτία δειχθῇ, δι ἣν οἱ ἐκκλησιαστικοὶ κανόνες τοῦτο γίνεσθαι κελεύουσιν· εἰ δέ τις παρὰ ταῦτα τῆς ἁγίας κοινωνίας χωρίσει τινά, ἐκεῖνος μέν, ὃς ἀδίκως τῆς κοινωνίας ἐχωρίσθη, λυόμενος τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως τῆς ἁγίας ἀξιούσθω κοινωνίας, ὁ δὲ ἀδίκως ταύτης χωρίσαι τολμήσας, ὑπὸ τοῦ ἱερέως, ὑφ' ὃν τέτακται, χωρισθήσεται, ἐφ' ὅσον ἂν χρόνον ἐκεῖνος συνίδῃ, ἵνα ὅπερ ἀδίκως ἐποίησε, τοῦτο δικαίως ὑπομείνῃ“. τούτων οὕτως εἰρημένων ἀκολούθως καὶ ἡμεῖς τούτοις συμψηφιζόμεθα, προτιμοτέρους θέμενοι τούς τε κανόνας καὶ τοὺς νόμους καὶ αὐτὸ τὸ δίκαιον τῆς φιλίας. οὐδὲν ἔνι καλόν, οὐδὲ δίκαιον ἐναντιοῦσθαι τὴν σὴν ἱερότητα τῷ πατριάρχῃ καὶ ἀντιλέγειν καὶ δοκεῖν φιλονεικίας εἶναι καὶ σκάνδαλα μέσον ἡμῶν· τοῦτο γὰρ οὔτε πρότερον ἦν ποτε, οὔτε νῦν πολλῷ μᾶλλον δεῖ γίνεσθαι, ἀλλὰ τῇ ἀρχαίᾳ συνηθείᾳ ἑπόμενος εἰρήνευε μετὰ τοῦ πατριάρχου, καὶ στέργε τὰ παρ' αὐτοῦ παρακελευόμενα, ἐπειδὴ λίαν ἀποδέχομαι τὴν εἰρήνην καὶ τὸ ἀνενόχλητον. καὶ ταῦτα εἰς τὴν σὴν ἱερότητα, πρὸς ὃν ἔχω τοσαύτην φιλίαν καὶ οὕτω διάκειμαι, καθὼς καὶ αὐτὸς γινώσκεις, τὸ δὲ δοκεῖν εἶναι σκάνδαλον μέσον τοῦ Θεσσαλονίκης καὶ τοῦ πατριάρχου καὶ ἀπρεπὲς ἔνι καὶ εἰς σκάνδαλον τῶν πολλῶν ἀφορᾷ, καὶ οὐκ εἰς οἰκοδομὴν τῆς ἐκκλησίας καὶ καταρτισμόν, ἀλλ' εἰς καθαίρεσιν. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος μηνὶ ἰουλίῳ ἰνδ. ε' †.

## CCCLV. (6891—1382) septembri. ind. VI.

*Synodus decernit, Elissum aliaque loca a metropolita Chersonis restituenda esse metropoli Sugdaeae.*

† Ὁ ἱερώτατος μητροπολίτης Σουγδαίας καὶ Φούλλων καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς συνεδριάζων τῇ ἡμῶν μητριότητι, καθημένῃ συνοδικῶς ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ ἱερωτάτου μητροπολίτου Χερσῶνος καὶ ὑπερτίμου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ αὐτῆς καὶ συλλειτουργοῦ, εἰπών, ὡς ἡ Ἔλισσος ἦν μὲν ἀπ' ἀρχῆς τῆς ἐνορίας

αὐτοῦ τοῦ Σουγδαίας τῇ αὐτῆς ἐπαρχίᾳ ὑποκειμένῃ, καὶ πάντες οἱ ταύτης ἀρχιερεῖς ὑφ' ἑαυτοὺς εἶχον καὶ ταύτην, καὶ πνευματικῶς ἐπεσκέπτοντο, ὁ δὲ Χερσῶνος πρὸ ὀλίγου καιροῦ ἐνταῦθα ἐλθὼν ἐπὶ τοῦ χρηματίσαντος πρὸ ἡμῶν πατριάρχου καὶ λόγους εἰπὼν, οὓς ἐβούλετο, ἐδικαιώθη παρὰ πάντα δίκαιον λόγον διὰ γράμματος πατριαρχικοῦ, αὐτοῦ ἀπόντος καὶ μηδὲν εἰδότος περὶ τούτου, καὶ ἔλαβε τὴν Ἔλισσον καὶ τὰ περὶ αὐτὴν χωρία καὶ κατέχει. ζητεῖ τοίνυν αὐτὸς ἀρτίως ἀντικρηθῆναι τούτου συνοδικῶς καὶ λαβεῖν ὅπερ ἔχει δίκαιον. παρὼν δὲ καὶ ὁ Χερσῶνος καὶ ἀπολογήσασθαι προτραπεὶς προέτεινε τὸ γεγονὸς αὐτῷ συνοδικὸν δικαίωμα παρὰ τοῦ χρηματίσαντος πατριάρχου, διαλαμβάνον ἔλεον μόνον καὶ συμπάθειαν πρὸς αὐτὸν, ὡς πτωχῆς οὔσης τῆς κατ' αὐτὸν ἐκκλησίας καὶ ἀπόρου καὶ ἐνδεοῦς καὶ διὰ τοῦτο δικαιοῦν αὐτὸν, ὥστε κατασχεῖν τὴν εἰρημένην ἐνορίαν. διεγνώσθη τοίνυν τῇ ἡμῶν μετριότητι καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Οὐγγροβλαχίας καὶ τὸν τόπον ἐπέχοντι τοῦ Νικομηδείας, τῷ Λαοδικείας, τῷ Κοτυαείου, τῷ Γοτθίας καὶ τῷ Ζηκχίας, μὴ εἶναι δίκαιον τὸ εἰρημένον γράμμα, ἀλλὰ καταλελυμένον εἶναι καὶ ἄκυρον, ὡς οὐ νομίμως οὐδὲ κανονικῶς γεγονός· οἱ γὰρ ἱεροὶ κανόνες ἀναφαιρέτους τὰς παροικίας μένειν διωρίσαντο ἑκάστης ἐπαρχίας καὶ ἐπισκοπῆς καὶ μάλιστα, εἰ τριακονταετὴς νομὴ προσεχώρησεν· εἰ γὰρ τοῦτο δώσομεν, ἀφαιρεῖν μὲν ἀπὸ μιᾶς ἐπαρχίας, προστιθέναι δὲ τῇ ἑτέρᾳ, πάντα ἄνω καὶ κάτω γενήσεται, καὶ πρὸς κατάλυσιν ἔσται τῆς ἀρχῆθεν καταστάσεως, καὶ ἀταξίας καὶ συγχύσεως ἔσονται πάντα μεστὰ, καὶ τὸ μέγα χρῆμα τῆς εἰρήνης καὶ ὁμονοίας ἀφανισθήσεται, καὶ μισαδελφία προχωρήσει μέσον τῶν ἀρχιερέων, τῶν διδασκάλων τῆς εἰρήνης, ἀναγκαῖον δὲ διεκρίναμεν ἐξετασθῆναι τὴν ὑπόθεσιν καὶ κατέχειν τὴν δηλωθεῖσαν ἐνορίαν τὸν καὶ πρότερον ταύτην κατέχοντα. ἐπεὶ τοίνυν τοῦ γράμματος καταλυθέντος ἀπῃτήθη ὁ Χερσῶνος παραγαγεῖν δικαιώματα ἢ μάρτυρας καὶ ἀποδεῖξαι, ὅτι τῆς ἐκκλησίας αὐτοῦ ὑπῆρχεν ἡ Ἔλισσος, καὶ οὕτω λαβεῖν αὐτὴν, ὁ δὲ οὐκ εἶχεν οὐδεμίαν παράστασιν εἰς τοῦτο, ἀλλὰ λόγοις μόνον ἔλεγε καὶ διαβεβαιοῦτο, ἐξ ἀμνημονεύτων χρόνων εἶναι δίκαιον αὐτοῦ ἐνοριακὸν, ἐξ ἀνάγκης ἐδικαιοῦτο ὁ Σουγδαίας καὶ ἀπὸ τούτου μόνου, ἐκ περιουσίας δὲ καὶ ἀσφαλείας ἕνεκεν πλείονος ἀπῃτήθη παραγαγεῖν αὐτὸς τὰς ἀποδείξεις, καὶ παρήγαγε μὲν καὶ γράμματα

τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Φιλοθέου, πρὸς τὸν τοῦ Χερσῶνος καλόγηρον ἐπιπηδήσαντα τῇ Ἐλίσσῳ, βάρος καὶ ὀργὴν ἀπειλοῦντα κατ' αὐτοῦ, ἐὰν μὴ ἐξέλθῃ συντόμως ἐκεῖθεν, ὡς ὑποκειμένης τῷ Σουγδαίας τῆς ἐκκλησίας ταύτης, παρήγαγε δὲ καὶ μάρτυρας ἀξιοπίστους, τόν τε μοναχὸν τὸν λεγόμενον Σκάνταριν, γέροντα ἄνθρωπον καὶ τοῖς μέρεσιν ἐκείνοις ἐγχρονίσαντα καὶ ἀκριβῶς πάντα εἰδότα, καὶ τὸν μοναχὸν Ἀθανάσιον καὶ Μιχαὴλ τὸν Μελισσηνόν, οἵτινες ἐξυπηρετοῦντο τῷ Σουγδαίας ἐκείνῳ, κῦρ Εὐσεβίῳ, οἳ μετὰ βάρους ἀφορισμοῦ ὡμολόγησαν, ὅτι τοῦ Σουγδαίας ἦν ἡ Ἔλισσος· ὁ κῦρ Λουκᾶς γὰρ ἐκεῖνος ὁ Σουγδαίας ἐχειροτόνησε καὶ ἐπίσκοπον ἐν αὐτῇ, ὃς καὶ πολλὰ γηράσας, παρὰ τοῦ Σουγδαίας ἀνεκρίνετο πάντοτε ἕως τέλους τῆς ζωῆς αὐτοῦ, ὡς αὐτῷ ὑποκείμενος· ὁ δὲ Σκάνταρις προσέθηκε καὶ ὅτι ἐπέκεινα τῶν ἑβδομήκοντα χρόνων γινώσκει ὑποκειμένην εἶναι τὴν Ἔλισσον τῇ Σουγδαίᾳ· διέγνω τοιγαροῦν καὶ ἀπεφήνατο συνοδικῶς ἡ μετριότης ἡμῶν, ὡς ἂν κατέχῃ καὶ αὖθις ὁ ἱερώτατος μητροπολίτης Σουγδαίας καὶ Φούλλων καὶ πᾶς ὁ μετ' αὐτὸν ἀρχιερεὺς τῆς ἐκκλησίας ταύτης κατὰ διαδοχὴν τὴν Ἔλισσον καὶ τὰ περὶ αὐτὴν χωρία καὶ πᾶσαν τὴν ἐνορίαν αὐτῆς, ὡς ὑποκειμένην τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, καὶ μὴ ἔχειν ἄδειάν ποτε τὸν Χερσῶνος ἀντιποιεῖσθαι ταύτης, ἀλλ' ἀργὸν εἶναι καὶ καταλελυμμένον, ὃ ἐπιφέρεται δικαίωμα τοῦ χρηματίσαντος πατριάρχου, ὥσπερ ἂν εἰ μηδὲ ἐγένετο· ἐκεῖ δὲ πάντοθεν ἀνεφάνη, οὐ πρὸ τριάκοντα μόνων χρόνων, ἀλλὰ καὶ πρὸ πολλῷ πλειόνων κατὰ διαδοχὴν μέχρι τοῦ νῦν κατέχεσθαι ταύτην παρὰ τῶν κατὰ καιροὺς Σουγδαίας ἀρχιερέων καὶ ὅτι τὸ πρὸ ἐκείνου τοῦ κυροῦ Λουκᾶ ἄδηλόν ἐστι, τίνος ἦν ἡ ἐνορία αὕτη, μηδενὸς ὄντος τοῦ τοῦτο εἰδότος· καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. ς' †.

## CCCLVI. (6891—1382) septembri ind. VI.

*Promissio hieromonachi protosyncelli Myronis.*

† Ὑπόσχεσις τοῦ μεγάλου πρωτοσυγκέλλου †.

† Ἐπεὶ παρεκάλεσα τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἵνα ὁρίσῃ καὶ ἀπολυθῶ τοῦ περιορισμοῦ, καὶ

ὑπάγω εἰς τὴν Τραπεζοῦντα, καὶ ὥρισεν ἀπὸ τῆς ἐλεημοσύνης αὐτοῦ, καὶ ἀπελύθην, ἀπῃτήθην δὲ, ἵνα δῶ ὑπόσχεσιν ἔγγραφον περὶ τῶν λαλουμένων κατ' ἐμοῦ, τὸ παρὸν μου ποιῶ ὑποσχετικὸν γράμμα, δι' οὗ καὶ ὑπόσχομαι, μηδέποτε συγκροτῆσαι τὸν βασιλέα τῆς Τραπεζοῦντος εἰς ἅπερ βούλεται ποιῆσαι πρὸς κατάλυσιν τῆς ἐκκλησίας· ἀλλὰ καὶ ἐὰν βουληθῇ προβιβάσαι τὴν μητρόπολιν ἢ εἰς ἀρχιεπισκοπὴν, ἢ εἰς πατριαρχεῖον, ἢ ἀναγκάσῃ γενέσθαι χειροτονίαν εἰς τινὰ τῶν ἐκεῖ μητροπόλεων, ἐμποδίσω τοῦτο πάσῃ μου δυνάμει, ἵνα μὴ γένηταί τι τοιοῦτον, μηδὲ ἐγὼ, ἐάν με προσκαλέσωνται, θελήσω ποτὲ γενέσθαι· ἂν δ' εὑρεθῶ συνεργῶν ὅλως εἰς ἓν ἐκ τῶν προειρημένων ἢ λόγοις ἢ ἔργοις ἢ ὁποιῳδήποτε τρόπῳ, ἵνα εὐθύνωμαι καὶ καταδικάζωμαι εἰς τὴν ἱερωσύνην μου, καθὼς ἂν διακρίνοι ὁ πανάγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης· τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις δι' ἀσφάλειαν κατὰ μῆνα σεπτέβριον τῆς ς' ἰνδ. †.

† Ὁ μέγας πρωτοσύγκελλος Μύρων ἱερομόναχος †.

CCCLVII. 6891 (1382) novembri. ind. VI.

*Metropolita Cotyaei in metropolim Philadelphiae transfertur.*

† Ταῖς χηρευούσαις ἐκκλησίαις τῶν ἰδίων προστατῶν καὶ ποιμένων ἑτέρους ἐφιστᾶν ἀναγκαῖον ὁμοῦ καὶ ὠφέλιμον· τῇ τε γὰρ ἱερᾷ συνόδῳ χρέος ἐστὶν ὀφειλόμενον, μάλιστα δὲ τῇ ἡμῶν μετριότητι, τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας φροντίδα καὶ μέριμναν δεξαμένῃ παρὰ θεοῦ. καὶ ὁ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγος οὐ διαπεσεῖταί ποτε, ὅτι μεθ' ἡμῶν ἔσται πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· ἐκεῖ γὰρ ἀνθ' ἑαυτοῦ καθέστησεν ἐκείνως τοὺς ἰδίους μαθητὰς καὶ ἀποστόλους, τὴν οἰκουμένην ὅλην τῷ τοῦ εὐαγγελίου κηρύγματι σαγηνεύσοντας, οἵτινες ἐπισκόπους κατὰ πᾶσαν ἐκκλησίαν κατέστησαν τὴν ἐκείνων σώζοντας διαδοχὴν, κατὰ δύναμιν ἀλλήλους, κατὰ γενεὰν διαδεχομένους ἅπαντας καὶ διαδεξομένους εἰσέτι μέχρι τῆς συντελείας τοῦ αἰῶνος· οὕτω διὰ τῶν ἀρχιερέων, ὡς εἴρηται, καὶ ποιμένων μεθ' ἡμῶν ἐστιν ὁ κύριος διηνεκῶς, ἐξ ἐκείνων προϊούσης τῆς θείας χάριτος καὶ τοῦ ἁγιασμοῦ διὰ πρεσβυτέρων καὶ διακόνων καὶ τοῦ λοιποῦ ἱερατικοῦ καταλόγου πρὸς τὸν εὐσεβῆ τῶν χριστιανῶν

λαόν. ὅθεν καὶ τῆς ἁγιωτάτης μητροπόλεως Φιλαδελφείας τοῦ οἰκείου στερηθείσης ἀρχιερέως δίκαιον ἔκρινεν ἡ μετριότης ἡμῶν, ἕτερον ἐπιστῆσαι ταύτῃ ποιμένα καὶ διδάσκαλον πρὸς ἁγιασμὸν καὶ ὠφέλειαν τοῦ ἐκεῖ χριστωνύμου πληρώματος. συνδιασκεψαμένη τοιγαροῦν τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Οὐγγροβλαχίας καὶ τὸν τόπον ἐπέχοντι τοῦ Νικομηδείας, τῷ Λαοδικείας, τῷ Ἰκονίου, τῷ Χερσῶνος, τῷ Σουγδαίας, τῷ Γοτθίας καὶ τῷ Ζηκχίας, εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ τῆς ἐκκλησίας προαγωνιστοῦ καὶ προμάχου, μετέθηκε τὸν ἱερώτατον μητροπολίτην Κοτυαείου κῦρ . . . . . εἰς τὴν εἰρημένην ἁγιωτάτην (τῆς) Φιλαδελφείας μητρόπολιν, ταὐτὸν δὲ εἰπεῖν εἰς τὴν Σάρδεων· ἐπεὶ γὰρ τῇ τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἀνωμαλείᾳ αἱ Σάρδεις ἠφανίσθησαν, ὡς μηδὲ σχῆμα πόλεως περισώζειν, καὶ ἀποκατέστη διὰ συνοδικῆς πράξεως ἀντὶ τῆς Σάρδεων μητροπόλεως ἡ Φιλαδέλφεια, ὥστε καὶ τὴν τιμὴν καὶ τὸν τόπον ἔχειν ἐκείνης καὶ τὰς ἐκείνης ἐπισκοπὰς ὑφ᾽ ἑαυτὴν κεκτῆσθαι, ἀκολούθως καὶ ἡ μετριότης ἡμῶν τῇ συνοδικῇ διακελεύεται πράξει, στέργουσα καὶ ἐπικυροῦσα ταύτην ὡς καλῶς γεγονυῖαν. ὀφείλει τοίνυν ὁ ῥηθεὶς ἱερώτατος μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἐπιλαβέσθαι τῆς κατ᾽ αὐτὸν ἐκκλησίας ταύτης καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων αὐτῇ ἐξ ἀρχῆς κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ προνομίων, καὶ παραινεῖν καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου λαὸν καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ ψυχωφελῆ καὶ σωτήρια, ὡς λόγον ὑπὲρ αὐτῶν ἀποδώσων τῷ θεῷ ἐν ἡμέρᾳ κρίσεως, ἔχων ἄδειαν ἱερουργεῖν ἐν αὐτῇ, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν, ναὶ μὴν καὶ ἐπισκόπους ἐν ταῖς ὑποτεταγμέναις ἐπισκοπαῖς τῇ Σάρδεων μητροπόλει, καθὼς δεδήλωται, καὶ πάντα ποιεῖν ἀκωλύτως τὰ ἀρχιερατικά, ὀφείλων ἐγκαθιδρυθῆναι καὶ τῷ ἱερῷ συνθρόνῳ τῆς κατ᾽ αὐτὸν ἐκκλησίας ταύτης, ὡς γνήσιος μητροπολίτης Φιλαδελφείας καὶ ὢν καὶ ὀνομαζόμενος, ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν αὐτῇ κληρικῶν, ἱερωμένων, μοναχῶν, τῶν τῆς πολιτείας ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ ὑπείκειν καὶ

ὑποτάσσεσθαι αὐτῷ, ἐφ' οἷς ἂν ἔχοι λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν· ἡ γὰρ πρὸς αὐτὸν ὑποταγὴ καὶ εὐπείθεια πρὸς τὴν ἡμῶν μετριότητα ἀναφέρεται καὶ δι' αὐτῆς ἄντικρυς πρὸς αὐτὸν τὸν θεὸν διαβαίνει, οὗ τὴν εἰκόνα φέρει ὁ ἀρχιερεύς, μᾶλλον δὲ οὐ τὴν εἰκόνα φέρει μόνον, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ θρόνου κάθηται τοῦ Χριστοῦ· οἱ μὲν γὰρ τῶν Ἰουδαίων ἀρχιερεῖς καὶ διδάσκαλοι, καθὼς αὐτὸς ὁ κύριος εἴρηκεν, ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθησαν, οἱ δὲ τῆς χάριτος καὶ τοῦ εὐαγγελίου μύσται, οἱ ἀρχιερεῖς τῶν χριστιανῶν καὶ διδάσκαλοι, ἐπ' αὐτοῦ τοῦ θρόνου κάθηνται τοῦ Χριστοῦ, ὡς οἱ τῆς ἐκκλησίας φασὶ διδάσκαλοι· τοὺς γοῦν τοσαύτης τιμῆς καὶ χάριτος ἠξιωμένους παρὰ θεοῦ καὶ προεδρίας, πῶς οὐ τιμᾶσθαι δίκαιον παρὰ πάντων; ὀφείλει γε μὴν ὁ εἰρημένος μητροπολίτης Φιλαδελφείας καὶ πάντα κατέχειν τὰ τῆς ἐκκλησίας κτήματα ἀκολόβωτα, ὅσα καὶ οἱ πρὸ αὐτοῦ ἀρχιερεῖς κατεῖχον, μηδενὸς ἔχοντος ἄδειαν ἀφελεῖν καὶ ἀποσπᾶσαι μέρος τι ἀπὸ τούτων ἢ μικρὸν ἢ μέγα διά τινα τῶν ἁπάντων τρόπον· τὰ γὰρ τῷ θεῷ ἀφιερωθέντα ἀναπόσπαστα μένειν ὀφείλουσι καὶ ὁ τολμήσων ἐπιβαλεῖν αὐτοῖς πλεονέκτιν χεῖρα καὶ ἅρπαγα, τῇ τῶν ἱεροσύλων ὑπαχθήσεται καταδίκῃ καὶ παρὰ τῆς ἡμῶν μετριότητος ἐπιτιμίῳ ἀφορισμοῦ ὑποπεσεῖται ὡς ἱερόσυλος, κἂν ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι ᾖ· τούτου γὰρ χάριν ἀπολέλυται τῷ εἰρημένῳ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυδίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ ἡ παροῦσα συνοδικὴ αὐτῆς πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα νοέβριον τῆς ἐνισταμένης ς' ἰνδ. τοῦ ,ςωϟα' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς Πατριάρχης †.

## CCCLVIII. (6891—1382) novembri. ind. VI.

***Anastasio Callisto committuntur iura patriarchalia curanda in ecclesia Prusae.***

† Μηνὶ νοεμβρίῳ ἰνδ. ς' ἐδόθησαν τὰ ἐν τῇ Προύσῃ καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς ἐξαρχικὰ καὶ πατριαρχικὰ πάντα δίκαια πρὸς τὸν ἀπὸ τῆς αὐτῆς πόλεως κῦρ Ἀναστάσιον τὸν Κάλλιστον, ὡς ἂν κατέχῃ

ταῦτα καὶ διοικῇ καὶ ἀπὸ παντὸς τοῦ περιερχομένου αὐτῷ δικαίου τὸ μὲν ἥμισυ τούτου πέμπῃ εἰς τὴν μεγάλην ἐκκλησίαν, τὸ δὲ ἕτερον ἥμισυ λαμβάνῃ αὐτὸς χάριν τοῦ κόπου αὐτοῦ. καὶ τούτου χάριν ἡ παροῦσα ἐγεγόνει παρασημείωσις †.

CCCLIX. (6891—1382) decembri. ind. VI.

*Professio fidei Stephani da Monte et uxoris eius.*

† Πιστεύομεν εἰς ἕνα θεὸν κ. τ. λ. πρὸς τούτοις ἀποβαλλόμεθα τὴν παρὰ τῶν Λατίνων γενομένην προσθήκην ἐν τούτῳ τῷ ἁγίῳ συμβόλῳ, τὴν λέγουσαν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον· πιστεύομεν γὰρ καὶ ὁμολογοῦμεν, ὅτι ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, ἀποβαλλόμεθα δὲ καὶ πάντα τὰ ἔθιμα αὐτῶν καὶ τὴν πολιτείαν καὶ διαγωγήν, ὅσα εἰσὶν ἔξω τῆς ἐκκλησίας τῆς ἀποστολικῆς καὶ τῆς νομοθεσίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων πατέρων, καὶ στέργομεν καὶ φρονοῦμεν πάντα, ὅσα φρονεῖ ἡ ἁγία ἐκκλησία τῆς Κωνσταντινουπόλεως, καὶ προσερχόμεθα ὁλοψύχως τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ καὶ τῇ περὶ αὐτὸν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ μηνὶ δεκεβρίῳ ἰνδ. ϛʹ †.

† Stefano da Monte † Στέφανος ταμοῦντε †.

| Σίγνον | Ὀργέντας |
|---|---|
| τῆς | γυναικὸς αὐτοῦ †. |

CCCLX. (6891—1383) 20. ianuarii. ind. VI.

*Synodus condemnat quosdam clericos.*

† Μηνὶ ἰανουαρίῳ κʹ ἡμέρᾳ τρίτῃ ἰνδ. ϛʹ †.

I. † Προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν αὐθέντου καὶ δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Οὐγγροβλαχίας, κυροῦ Ἀνθίμου καὶ τὸν τόπον ἐπέχοντος τοῦ Νικομηδείας, τοῦ Λαοδικείας, τοῦ Ἰκονίου, τοῦ Γοτθίας καὶ τοῦ ὑποψηφίου Μύρων, ὄντος διὰ γνώμης καὶ τοῦ Χερσῶνος πρὸς τὸν Λαοδικείας, ἔτι τε παρακαθημένων καὶ τιμιωτάτων ἐξωκατακήλων, παρισταμένων δὲ καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, παρήγαγεν εἰς τὸ μέσον ὁ τιμιώτατος μέγας χαρτοφύλαξ τὸ κατὰ τοῦ ἐπὶ τῶν κρίσεων πρεσβυτέρου τοῦ

Μαχητάρη παρόντος καὶ αὐτοῦ οὑτωσί πως εἰπών· ὡς καθημένου μου ἐν τῷ σίκήματί μου ὄντων καὶ ἐπισκοπειανῶν τῶν πλειόνων καὶ ἑτέρων τινῶν ἱερέων ἦλθεν ὁ ἐπὶ τῶν κρίσεων μετά τινος Μιχαὴλ τέκτονος καὶ τοῦ ἐκείνου υἱοῦ καὶ πρὸς ἐμὲ εἴρηκεν οὕτως· ὁ παρὼν Μιχαὴλ καλός ἐστιν ἄνθρωπος καὶ συγγενὴς καὶ φίλος ἡμέτερος, οὗτος δὲ ὁ υἱὸς αὐτοῦ ὢν μέχρι τοῦ νῦν ἄζυξ καὶ κτίζων εἰς τὴν Χρυσῆν Πύλην εὗρεν ἐκεῖ γυναῖκά τινα, ὀρφανὴν οὖσαν, ἀπὸ τῆς χώρας τῶν Ἐνακοσίων, καὶ συνεβιβάσθη εἰδήσει τοῦ πατρὸς αὐτοῦ ἐπὶ τῷ λαβεῖν ἐκείνην γυναῖκα, ὅθεν καὶ „δός ἐμοὶ βούλλαν, ὥστε τελέσαι τὴν ἱερολογίαν ἐπὶ τούτοις·“ ἐμοῦ δὲ εἰπόντος, „ὡς ἐξέτασον ἀκριβῶς περὶ τούτου, μήποτε ἢ ἡ ὀρφανὴ ἐκείνη εἶχεν εἰς τὴν χώραν τῶν Ἐνακοσίων ἄνδρα ἢ καὶ γονεῖς ἔχουσα παρὰ τὴν γνώμην ἐκείνων βούλεται λαβεῖν ἄνδρα, ὅπερ ἐστὶ καὶ αὐτὸ ἄθεσμον καὶ τοῖς φιλευσεβέσι νόμοις ἀπηγορευμένον. ὁ Μαχητάρης ἔφη, ὡς καλῶς ἐξετάσας ἐγὼ εὗρον τοῦτο νόμιμον καὶ κανονικὸν, καὶ ἔσο ἀφρόντιστος, δέχομαι γὰρ ἐγὼ τοῦτο ἐπάνω μου·“ δὸς τοίνυν ἐμοὶ βούλλαν, καὶ πίστευσόν μοι καλῶς μέλλοντι πρᾶξαι. δόντος μου δὲ αὐτῷ τὴν συνήθη βούλλαν καὶ πάλιν παραγγείλαντος πρᾶξαί τι νόμιμον καὶ κανονικὸν ἠβουλήθη καὶ ὁ Παράδεισος ἀπελθεῖν μετὰ τῆς βούλλης ἐκεῖσε, καθώς ἐστιν ἀνέκαθεν σύνηθες. ὁ δὲ Μαχητάρης μυκτηρίσας αὐτὸν καὶ ἐμπαίξας ἔφη· ὡς ἔστι δυνατὸν, ἐξετάσαι σε πλέον καὶ βέλτιον ἐμοῦ; καὶ ἐκώλυσε τὸν Παράδεισον ἐκεῖσε ἀπελθεῖν, λαβὼν δὲ αὐτὸς τὴν βούλλαν καὶ ἀπελθὼν ἀωρὶ τῶν νυκτῶν συνέζευξε τὸν τοῦ Μιχαὴλ υἱὸν τῇ θυγατρὶ τοῦ παπᾶ Γεωργίου τοῦ Βουτζᾶ τῇ καλογραίᾳ, ἥτις διὰ τὸ χωρισθῆναι τὸν ὃν ἔλαβε διὰ σταυρικῶν δεσμῶν ἄνδρα μέλλοντα ἀναχθῆναι εἰς ἱερωσύνην ἐνεδύσατο τὸ μοναχικὸν σχῆμα, καὶ ἦλθεν ὡς μοναχὴ ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς προκαθημένου, καὶ ὑπεσχέθη εἶναι διὰ βίου παντὸς μοναχή, εἰσῆλθε δὲ καὶ εἰς μοναστήριον, καὶ ἦν ἐκεῖσε συναριθμουμένη ταῖς λοιπαῖς τῶν μοναχῶν ἐπέκεινα χρόνου ἑνός. ὁ δὲ Μαχητάρης ὡμολόγησε, ὡς οὕτως ἐποίησεν, ἐδεῖτο δὲ τυχεῖν συμπαθείας, ὡς ἀπατηθεὶς παρὰ τοῦ Μιχαὴλ, θαρρήσας τῇ ἐκείνου φιλίᾳ καὶ συγγενείᾳ. τούτων οὕτως ἐχόντων διασκεψάμενοι οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι ἀπεφήναντο γνώμῃ κοινῇ κατὰ τοῦ Μαχητάρη παντελῆ καθαίρεσιν, ὡς ἄνομόν τι καὶ ἄθεσμον πράξαντος, ἣν δὴ καθαίρεσιν

ἐπεκύρωσε καὶ ἐβεβαίωσεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα συνοδικὴ παρασημείωσις †.

II. † Τῇ αὐτῇ ἡμέρᾳ ἀπεφάνθη καὶ κατὰ τοῦ παπᾶ Βουτζᾶ τοῦ πατρὸς τῆς ἀπεκδυσαμένης τὸ μοναχικὸν σχῆμα καθαίρεσις, ὡς συνεργοῦ ὄντος τοῦ τοιούτου ἀτολμήτου μέχρι τοῦ νῦν γάμου, καίτοιγε διισχυριζομένου καὶ λέγοντος, ὡς δίχα τῆς βουλῆς καὶ τῆς γνώμης αὐτοῦ ἔπραξε τοῦτο ἡ γυνὴ αὐτοῦ. ἦλθεν ὁ ἀπὸ τῶν ἐκσκουβιτόρων Γεώργιος ὁ Μονοφάτζος, καὶ δεξάμενος ἀφορισμὸν ἀπήλεγξεν αὐτόν, ὡς προαγωγὸς τῆς τοιαύτης πράξεως, συμπράττοντα τῇ γυναικὶ αὐτοῦ ἐπὶ τῇ τοιαύτῃ πράξει, ἀλλὰ καὶ τὸ προπίτταχον, εἶπεν, ὡς ἐγράφη παρ' αὐτοῦ, ὅπερ καὶ ἐμφανισθὲν συνοδικῶς εὑρέθη, ὡς παρὰ τοῦ παπᾶ Βουτζᾶ ἐγράφη οἰκειοχείρως. διὰ τοῦτο καὶ καθῃρέθη παρὰ τῶν δηλωθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἐπιβεβαιοῦντος τῇ τούτων ἀποφάσει καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅθεν καὶ ἐπεστρώθη ἐν τῷ παρόντι κώδικι ἡ παροῦσα συνοδικὴ παρασημείωσις †.

III. † Τῇ αὐτῇ ἡμέρᾳ ἤχθη εἰς τὸ μέσον καὶ ὁ παπᾶς Σάβας ὁ Σπαρτηνὸς ὡς εὐλογήσας τετραγαμίαν μηδέποτε τολμηθεῖσαν, ὃς καὶ ἀπελογήσατο καὶ εἶπεν· ὡς ἐγὼ μὲν οὐκ ἐγίνωσκον τοιοῦτόν τι, θαρρήσας δὲ τῇ ἐξετάσει καὶ ἀκριβείᾳ τοῦ παπᾶ Ἰωάννου τοῦ τὸν σταυρικὸν ποιήσαντος δεσμὸν ἀπῆρα παρὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος βοῦλλαν καὶ εὐλόγησα. ἐρωτηθεὶς δὲ ὁ παπᾶς Ἰωάννης, ὅπως ἐποίησεν ἀνεξετάστως καὶ μὴ γινώσκων τὴν γυναῖκα τοὺς σταυρικοὺς δεσμούς, ἐξεῖπεν, ὡς καὶ αὐτὸς δειλιάσας τὴν τοιαύτην παρανομίαν δέδωκε εἰκόνισμα (εἰς) τοὺς γονεῖς αὐτῆς, καὶ ὀμώσαντες εἶπον, ὡς ὁ πρῶτος ταύτης ἀνὴρ ἀπεβίω, ὁ δέ γε δεύτερος διεζεύχθη ταύτης διά τινας αἰτίας συνοδικῶς· καὶ θαρρήσας τούτοις ἐποίησα τοὺς σταυρικοὺς δεσμούς. ὡς κακῶς τοίνυν ἐξετάσαντα καὶ ὡς οὐκ ἔδει καὶ διὰ τοῦτο τὴν τετραγαμίαν ποιήσαντα ἀπεφήνατο κατ' αὐτοῦ ἡ θεία καὶ ἱερὰ σύνοδος παντελῆ καθαίρεσιν, ἐπιψηφίσαντος καὶ ἐπιβεβαιώσαντος ταύτῃ τῇ καθαιρέσει καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπό-

του, τοῦ οἰκουμενικοῦ πατριάρχου· ἐπεσχέθη δὲ καὶ ὁ παπᾶς Σπαρτηνὸς τῆς ἱερωσύνης ἐπὶ μῆνας ἕξ, ὡς ἀπατηθεὶς τῇ τοῦ παπᾶ Ἰωάννου πράξει καὶ ἐξετάσει. διὰ τοῦτο ἐσημειώθη ἐνταῦθα ἡ παροῦσα συνοδικὴ ἀπόφασις †.

IV. † Τῇ αὐτῇ ἡμέρᾳ καθῃρέθη καὶ ὁ ἱερομόναχος Θεοδόσιος ὁ τοῦ Περισσοῦ, ὡς διὰ τὴν ἄμετρον αὐτοῦ μέθην ἐπισχεθεὶς παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ ἀπερχόμενος καὶ ἱερουργῶν ἀργὸς ἔτι ὢν καὶ ἀσυγχώρητος, ὃς καὶ ἀπολογούμενος προεβάλετο πενίαν. κατὰ γοῦν τὴν τῶν ἱερῶν καὶ θείων κανόνων ἀκρίβειαν καὶ διὰ τὴν ἄμετρον αὐτοῦ διηνεκῆ μέθην ἔδοξε τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, μὴ ἔχειν αὐτὸν τὸν μοναχὸν τὴν ἱερωσύνην, ὡς χρυσοῦν ἐνώτιον ἐν ῥινὶ ὑός, διὸ καὶ ἀπεφήνατο κατ' αὐτοῦ παντελῆ καθαίρεσιν, ἥτις καὶ ἐστέρχθη καὶ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου. διὰ τοῦτο ἐσημειώθη καὶ ἐνταῦθα †.

V. † Τῇ αὐτῇ ἡμέρᾳ ἐπεσχέθη τῆς ἱερωσύνης ἐνιαυτὸν ἕνα ὁ ἀπὸ τοῦ μέρους τοῦ Κυνηγοῦ παπᾶς, ὡς δίχα βούλλης εὐλογήσας τὴν τοῦ Ἀσάνη, τοῦ μεγάλου πριμμικηρίου, θυγατέραν μετὰ τοῦ Ῥαοὺλ καὶ διὰ τὸ κεκωλυμένον ἐκ μέρους εἶναι τὸ τοιοῦτον συνοικέσιον †.

## CCCLXI. (6891—1383) 24. augusti. ind. VI.

*Synodus condemnat protopapam Constantinum Cabasilam.*

I. † Μηνὶ αὐγούστῳ, κδ', ἡμέρᾳ δευτέρᾳ, ἰνδ. ἕκτης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Οὐγγροβλαχίας καὶ τὸν τόπον ἐπέχοντος τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Μύρων, τοῦ Λαοδικείας καὶ τοῦ Χαμᾶ, ἐχόντων καὶ ἄλλων ἀρχιερέων γνώμας ἀποδημούντων, ὁ ἀπὸ τῶν εὐλαβῶν ἐπισκοπειανῶν καὶ θυρωρῶν τοῦ πατριαρχικοῦ κελλίου πρεσβύ-

τερος καὶ ἐκκλησιάρχης Γεώργιος ὁ Πανορμηνὸς παραστὰς λιβέλλους κατηγορίας δέδωκε κατὰ τοῦ πρωτοπαπᾶ τῶν Βλαχερνῶν, Κωνσταντίνου τοῦ Καβάσιλα, εἰπών, ὡς ἐπεὶ εὐεργετήθην ὁρισμῷ δεσποτικῷ πατριαρχικῷ καὶ ἐγενόμην ἐπισκοπειανὸς, ἀνάγκην ἔχω πάντα, ὅσα ἂν ἀκούσω κατά τινων ἱερωμένων, ἀναγγεῖλαι κατὰ τὸ χρέος μου, μήποτε ὕστερον γνωσθέντος τοῦ πράγματος ἄλλοθεν, εὕρω βάρος ἐγὼ, συνειδὼς αὐτοῖς τὰ ἁμαρτήματα καὶ σιωπήσας. ὥσπερ οὖν καὶ ἄλλα ἀνέφερον κατά τινων, ἅπερ ἤκουσα, οὕτως ἀκούσας πολλὰ καὶ κατὰ τοῦ πρωτοπαπᾶ, συναγαγὼν αὐτὰ καὶ γράψας ἐν χάρτῃ ἀναφέρω ταῦτα τῇ ἱερᾷ συνόδῳ. καὶ ταῦτα εἰπὼν τοὺς λιβέλλους δέδωκεν ἔχοντας ἐπὶ λέξεως τὰ κεφάλαια ταῦτα· ἄνθρωπός τις ἀπὸ τῆς Ἀνατολῆς ἔχων ἐκεῖσε γυναῖκα, καὶ παῖδας ἦλθεν ἐνταῦθα. ἠθέλησεν οὖν λαβεῖν ἄλλην ἐνταῦθα γυναῖκα, καὶ οὐδεὶς τῶν ἱερέων ἐτόλμησεν εὐλογῆσαι αὐτόν, ὁ δὲ πρωτοπαπᾶς τῶν Βλαχερνῶν εὐλόγησεν αὐτὸν ἀωρὶ τῶν νυκτῶν ἄνευ βούλλης. δεύτερον, ὅτι μετὰ τὸ λειτουργῆσαι ὁ αὐτὸς πρωτοπαπᾶς κατὰ τὴν συνήθειαν ἵστατο καὶ ἐσκόμιζε τὰ ἅγια, ἐν τούτῳ δὲ ἐθυμώθη κατά τινος, καὶ ὕβριζεν εἰς ἐκεῖνον, συνέβη δὲ καὶ ἐν τῷ ὑβρίζειν συναπέπτυσεν εἰς τὴν γῆν καὶ μερίδα τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ. τρίτον, ὅτι μετὰ τὸ λειτουργῆσαι ὁ αὐτὸς εἰς τὸ παλάτιον ἐδίδου τὸ ἀντίδωρον τῷ λαῷ, τοῦτο δὲ ποιῶν ὁρᾷ τινα τῶν τοῦ κλήρου συνάγοντα τὰ κηρία ἀπὸ τῶν κηροπηγίων, καὶ θυμωθεὶς εἶπε πρὸς ἐκεῖνον· ποιεῖς με νῦν, ἵνα γένωμαι διάβολος; τοῦτο ὁ Καλέργης ἀκούσας εἶπεν· ἐγὼ παρὰ διαβόλου ἀντίδωρον οὐ λαμβάνω. τέταρτον, ὅτι ἐβάπτιζε ποτὲ παιδίον, ἵστατο δὲ ἐκεῖσε καὶ γυνή· ἔχρισεν οὖν τὸ βρέφος τῷ ἁγίῳ μύρῳ, εἶτα λέγει πρὸς τὴν γυναῖκα· φέρε μοι τὸ μουνίν σου ἐνταῦθα, ἵνα χρίσω αὐτὸ, καὶ οὐ συγκάπτῃ. πέμπτον, ὅτι ὁ αὐτὸς, ὅτε ἐγένετο διάκονος, ἐλειτούργει μετὰ τοῦ γέροντος τοῦ πρωτοπαπᾶ ἐκείνου, καὶ εἶπεν αὐτῷ ὁ πρωτοπαπᾶς, διδάσκων αὐτὸν ὡς ἄπειρον ἔτι, ὅτι στὰς ἐν τῷδε τῷ τόπῳ, εἰπέ· εὐλόγησον, δέσποτα, ὁ δὲ ἀντὶ τοῦ εἰπεῖν, εὐλόγησον δέσποτα, εἶπε μεγάλῃ φωνῇ πρὸς τὸν πρωτοπαπᾶν, ὅτι γαμεῖ τὸν συμπένθερόν του. πρὸς ταῦτα διέκρινεν ἡ θεία σύνοδος, ἐρωτηθῆναι τὸν πρωτοπαπᾶν περὶ τούτων καὶ ἕκαστον τῶν κεφαλαίων ἐξετασθῆναι κανονικῶς. περὶ μὲν οὖν τοῦ πρώτου τοῦ τῆς μοιχοζευξίας ἀπῃτήθη ὁ παπᾶς Πανορμηνὸς παραγαγεῖν μάρτυρας, καὶ παρήγαγε δύο ἱερωμένους, τόν τε Σαβανᾶν καὶ τὸν Πεταυ-

ρᾶν Γεώργιον, οἵτινες μετὰ βάρους ἀφορισμοῦ ἐρωτηθέντες ἐξεῖπον, ὅτι παρὰ τοῦ Θεοφιλοπούλου τοῦ ταβουλλαρίου ἔλαβον ἄδειαν μετὰ βούλλης, ἵνα εὐλογήσωσι τὸν εἰρημένον ἄνθρωπον, καὶ ὡς ἔμαθον, ὅτι ἔχει γυναῖκα ἐν τῇ Ἀνατολῇ, ἀντέστρεψαν αὐτῷ τὴν βούλλαν· ὁ δὲ λαβὼν εὐχαρίστησεν αὐτοῖς, ἐπειδὴ πρότερον ἠγνόει τὸ πρᾶγμα, ὁ δὲ πρωτοπαπᾶς ἐποίησε τοῦτο· ἐρωτηθεὶς δὲ καὶ αὐτός, διὰ τί τοῦτο ἐποίησεν, εἶπεν· ὡς ἐγὼ ἐγίνωσκον αὐτὸν ἐν τῇ Ἀνατολῇ ἔχοντα γυναῖκα, ἀλλ' ἐπειδὴ ἔμαθον, ὅτι ἡ γυνὴ αὐτοῦ ἔσφαλεν εἰς αὐτὸν καὶ ἀπέλυσεν αὐτήν, διὰ τοῦτο εὐλόγησα αὐτὸν καὶ μετὰ γνώμης τοῦ Θεοφιλοπούλου, ἐξετάσαντος τὸ πρᾶγμα καὶ εὑρόντος τοῦτο ἔννομον. ἀπῃτήθη οὖν ἐμφανίσαι τὴν βούλλαν, καὶ βούλλαν μὲν ὡμολόγησε μὴ λαβεῖν, προεβάλλετο δὲ μετὰ γνώμης ἐκείνου τοῦτο πεποιηκέναι, καὶ προσέκειτο παρακαλῶν, ἐρωτηθῆναι τὸν Θεοφιλόπουλον καὶ πᾶν, ὃ ἂν ἐκεῖνος εἴποι, τοῦτο στερχθῆναι. παρεγένετο τοίνυν ὁ Θεοφιλόπουλος, καὶ ἐρωτηθεὶς μετὰ βάρους ἀφορισμοῦ ὡμολόγησεν, ὅσον εἶπον καὶ οἱ ῥηθέντες ἱερεῖς, ὅπως ἔγραψε πρὸς αὐτοὺς βούλλαν, καὶ οὐκ ἠθέλησαν τοῦτο ποιῆσαι, ὕστερον δὲ ἔρχεται πρὸς αὐτὸν ὁ πρωτοπαπᾶς, καὶ ἠρώτησεν αὐτὸν περὶ τοῦ συνοικεσίου, καὶ εἶπεν ὁ Θεοφιλόπουλος, ὅτι ἀδύνατόν ἐστι γενέσθαι, ἐπειδὴ παράνομον ἔνι, ὁ δὲ πρωτοπαπᾶς ἐνέκειτο λέγων, ὅτι καλόν ἔνι, καὶ μέλλω ποιήσειν αὐτό, ὁ δὲ εἶπε πρὸς αὐτόν· ἐγὼ οὐδέν σοι λέγω, ὅτι τὸ ποιήσῃς, εἰ δὲ θέλεις σύ, ὡς θέλεις, ποίησον, ὥσπερ καὶ ἄλλα πολλὰ ἐποίησας τοιαῦτα, καὶ οὕτως εὐλόγησεν αὐτὸ ἄνευ γνώμης ἡμετέρας. πρὸς ταῦτα ἀνεγνώσθησαν συνοδικῶς αἱ ἐν τῷ παρόντι κώδικι γεγραμμέναι ὑποσχέσεις αὐτοῦ, ἃς πολλάκις ἐποίησεν ὑποσχεθείς, μήτε παράνομόν τι ποιῆσαι, μήτε εὐλογῆσαί τινα χωρὶς βούλλης. περὶ δὲ τοῦ δευτέρου κεφαλαίου ἀπεδείχθη, ὅτι ἐν τῷ εἰσκομίζειν τὰ ἅγια ὕβριζε τινὰ κακῶς καὶ ἔσκωπτεν εἰς αὐτόν, οὐ μὴν ὅτι καὶ ἀπὸ τοῦ στόματος αὐτοῦ ἐξῆλθε μερὶς τῶν ἁγιασμάτων, οὐδὲ γὰρ εὑρέθησάν τινες οἱ τοῦτο μαρτυρήσοντες. τὸ δὲ τρίτον αὐτὸς ὡμολόγησεν ἐπὶ τῆς ἱερᾶς συνόδου, ὅτι ἐν τῷ διδόναι τὸ ἀντίδωρον εἶπε πρὸς τὸν συνάγοντα τὰ κηρία· ποιεῖς με νῦν, ἵνα γένωμαι διάβολος; περὶ δὲ τοῦ τετάρτου κεφαλαίου τοῦ περὶ τοῦ ἁγίου μύρου· ἦλθε μὲν ὁ Χρυσοβέργης, καὶ ἐμαρτύρησε τοῦτο ἰδίᾳ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, παρόντος τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος καὶ τοῦ τιμιω-

τάτου ἱερομονάχου, κῦρ Ματθαίου, καὶ ἦν ἕτοιμος, ὥστε καὶ συνοδικῶς ἐλθεῖν καὶ εἰπεῖν τοῦτο μετὰ τῶν ἄλλων τῶν εἰδότων αὐτό, σκαιωρίαις δέ τισι καὶ μηχαναῖς ὁ πρωτοπαπᾶς χρησάμενος καὶ οἰκονομίαις ὑπὲρ ἑαυτοῦ κατέστησεν, ἵνα μὴ ἔλθωσιν ἐν τῇ ἱερᾷ συνόδῳ οἱ περὶ τούτου μάρτυρες. περὶ δὲ τοῦ πέμπτου κεφαλαίου παρέστησαν μάρτυρες οἱ θεοφιλέστατοι πρεσβύτεροι, ὅ τε Γεώργιος ὁ Χρυσοχόος καὶ ὁ Ἀνδρόνικος, καὶ ἐρωτηθέντες μετὰ βάρους ἀφορισμοῦ ἐξεῖπον καὶ ὡμολόγησαν, ὅτι ἤκουσαν μὲν τὸν λόγον τοῦτον καὶ παρὰ τοῦ γέροντος ἐκείνου τοῦ πρωτοπαπᾶ, πῶς οὗτος ἀντὶ τοῦ εἰπεῖν· εὐλόγησον, δέσποτα, εἶπεν, ὅτι γαμεῖ τὸν συμπένθερόν του. εἶτα βουλόμενοι μαθεῖν τοῦτο καὶ παρ' αὐτοῦ τούτου, ἠρώτησαν αὐτόν, εἰ ἀληθῶς εἶπε τὸν ἀσεβῆ τοῦτον λόγον· ὁ δὲ καὶ ὡμολόγησε τοῦτο, καὶ προσέθηκεν ἔμπροσθεν αὐτῶν, ὅτι καὶ τὴν συμπενθεράν του, καὶ τοῦτο οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις εἶπε καὶ πρότερον καὶ ὕστερον ἔμπροσθεν αὐτῶν. πρὸς ταῦτα διέγνω καὶ ἀπεφήνατο ἡ θεία καὶ ἱερὰ σύνοδος, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς πολλῶν ὄντων τῶν κατὰ τοῦ πρωτοπαπᾶ κεφαλαίων, καὶ τῶν μὲν ὄντων ἀναποδείκτων, τῶν δὲ ἀποδεδειγμένων, ἐπειδήπερ ἔχομεν ἀπὸ τῶν ἀποδεδειγμένων ἀπόφασιν δοῦναι, οὐ χρὴ ζητεῖν καὶ τὰ ἀνεξέταστα. λέγομεν οὖν διά τε τὸν ἀσεβῆ λογον, ὃν εἶπε ἀντὶ τοῦ· εὐλόγησαν, δέσποτα, ἵνα ἀρχὴν ποιήσῃ τῆς ἱερᾶς λειτουργίας, ὅτι γαμεῖ τὸν συμπένθερόν του, καὶ διὰ τὴν μοιχοζευξίαν, ἣν εὐλόγησε, καὶ ὅτι κατέλυσε τὰς ὑποσχέσεις αὐτοῦ, καὶ διὰ τὰ προειρημένα πάντα, καθῃρημένον αὐτὸν εἶναι καὶ ἀποκεκομμένον τοῦ τῶν ἱερέων χοροῦ καὶ καθόλου γεγυμνωμένον τῆς ἱερωσύνης. διὰ γὰρ τοῦτο ἐγράφησαν τὰ περὶ τούτου ἐν τῷ παρόντι ἱερῷ κώδικι, ὥστε μηδέποτε εὑρεῖν αὐτὸν εἰς ἱερωσύνην ἀνάκλησιν †.

II. † Μετὰ τὴν συνοδικὴν ταύτην ἀπόφασιν ὀλίγων παρελθουσῶν ἡμερῶν, ἐπεὶ καὶ εἰς τὰς θείας καὶ βασιλικὰς ἠνώχλησεν ἀκοὰς ὁ παπᾶς Κωνσταντῖνος, συνήχθησαν καὶ αὖθις οἱ αὐτοὶ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, πρὸς ἀλλήλους σκέψασθαι συνοδικῶς, εἰ δικαίως ἀπεφήναντο, ἢ εἴ τι ἔχει τις αὐτῶν εἰπεῖν συμπαθέστερον.

καὶ ἀναγνωσθείσης πρότερον τῆς προγεγραμμένης ψήφου καὶ ἀποφάσεως, ὥστε ἀναμνησθῆναι τῶν λαληθέντων κεφαλαίων κατ' αὐτοῦ, πάντες ὡς ἐκ κοινῆς γνώμης καὶ συμφωνίας ἀπεφήναντο τὰ αὐτά, ἅπερ καὶ πρότερον, ὥστε καθῃρημένον εἶναι αὐτὸν καὶ μηδέποτε εὑρεῖν ἀνάκλησιν εἰς ἱερωσύνην. ἐκ περιουσίας δὲ δι' ἀσφάλειαν πλείονα ἐξητάσθη καὶ τὸ τέταρτον κεφάλαιον τὸ περὶ τοῦ ἁγίου μύρου, καὶ παρέστη τῇ ἱερᾷ συνόδῳ ὁ Χρυσοβέργης, καὶ δεξάμενος βάρος ἀφορισμοῦ, ἵνα τὴν ἀλήθειαν εἴπῃ, εἶπεν οὕτως· ὅτι παιδίον ἐβάπτιζεν, ἵστατο ἐκεῖ καὶ γυνή, χρίων δὲ τὸ παιδίον τῷ μεγάλῳ μύρῳ, στραφεὶς λέγει πρὸς τὴν γυναῖκα· πέσε κάτω, ἵνα ἀλείφω τοὺς μηρούς σου, ἵνα μὴ συγκάπτῃ. ἐπεὶ δὲ ὁ ἕτερος μάρτυς, ὁ λεγόμενος Λουκᾶς, ὃς ἦν καὶ ἀνάδοχος τοῦ παιδίου, ἀπεδήμει εἰς τὴν Φιλέαν, ἔγραφεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, πρὸς τὸν ἱερώτατον μητροπολίτην Δέρκω, ὡς ἂν ἀπελθὼν ἐρωτήσῃ αὐτόν. ἔγραφεν οὖν ἀναφορὰν ὁ Δέρκω ἔχουσαν οὕτως· διὰ τὸν ὁρισμόν σου ἀνελαβόμην καὶ κληρικούς μου τινὰς ἱερεῖς, τὸν σακελλάριον, τὸν χαρτοφύλακα, τὸν πρωτονοτάριον, τὸν ἱερομνήμονα καὶ ἄλλους τινάς, καὶ κατὰ τὸν ὁρισμὸν τῆς μεγάλης ἁγιωσύνης σου ἐξετάσας αὐτὸν μετὰ ἐπιτιμίου ἀλύτου ὡμολόγησεν ἐνώπιον τῶν εἰρημένων ἱερέων, παρόντος καὶ πριμμικηρίου τοῦ Παραδείσου, ὅτι· ἐπίσταμαι ἀκριβῶς περὶ τοῦ λαληθέντος λόγου κατὰ τῆς ἀπωλείας τῷ καιρῷ ἐκείνῳ, ὅτι ἀληθές ἐστι, ὃ ἐλαλήθη ἕνεκεν τοῦ ἁγίου μύρου, καὶ ὅτι αὐτὸς ἐγὼ ἤκουσα τὴν ἀπώλειαν, λαλήσαντος τὸν ἀχρεῖον λόγον τοῦτον· αὐτὰ δὲ ταῦτα ἔγραφεν ὕστερον καὶ ἀνέφερεν καὶ ὁ Λουκᾶς δι' οἰκείου γράμματος. ἔτι ἐλαλήθη κατ' αὐτοῦ, ὅτι εἰς ἱεροσυλίαν ἐνέπεσε, καθὼς ἐκρίθη εἰς τὸ βασιλικὸν σέκρετον μετὰ τῶν κληρικῶν τῶν Βλαχερνῶν, καὶ ἀνεφάνη ὁμολογούμενον. ἀνεγνώσθη δὲ συνοδικῶς καὶ τὸ γράμμα τῶν καθολικῶν κριτῶν, καὶ εὑρέθη οὕτως ἔχον. ἔτι ἐλαλήθη κατ' αὐτοῦ, ὅτι μετὰ τὴν προτέραν ἀπόφασιν τὴν συνοδικὴν ἔλεγεν αὐτός, ὅτι, ἐὰν μὴ συγχωρηθῇ, ἢ εἰς τοὺς Φράγγους ἢ εἰς τοὺς Τούρκους μέλλει ἀπελθεῖν, καὶ ἐβεβαίωσαν τοῦτο καὶ πολλοὶ τῶν ἀρχιερέων, ὅτι πρὸς αὐτοὺς ἔλεγε τὸν λόγον τοῦτον. ἔτι ἐλαλήθη κατ' αὐτοῦ, ὅπερ ὡμολόγησε πᾶσα ἡ ἐκκλησία, ὅτι ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης, κῦρ Φιλόθεος, ἀφορισμὸν ἐξεφώνησεν, ἵνα μηδεὶς τῶν ἱερέων κόψῃ τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τοῦ μοναστηρίου τῆς Ὁδηγητρίας, ὁ δὲ καὶ ἔκοψε τοῦτο, καὶ ἀδεῶς

ἐλειτούργει, μηδόλως φροντίσας τοῦ ἀφορισμοῦ. διὰ ταῦτα πάντα καὶ τὰ πρότερα καὶ τὰ ὕστερα ἀπεφήνατο καὶ αὖθις ἡ ἁγία σύνοδος, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, τέλεον εἶναι τοῦτον καθῃρημένον, καὶ μηδέποτε εὑρεῖν ἀνάκλησιν εἰς ἱερωσύνην, κἂν εἴ τι γένηται †.

III. † Ἔτι καὶ μετὰ τὴν δευτέραν ταύτην συνοδικὴν ἀπόφασιν συνόδου συγκροτηθείσης κατὰ τὴν κζ' τοῦ ὀκτωβρίου μηνὸς τῆς η' ἰνδ., ἐπεὶ παρῆσαν καὶ ἄλλοι τῶν ἀρχιερέων, οἱ μὴ παρόντες τότε, ὁ Ἡρακλείας, ὁ Κυζίκου, ὁ Κερασοῦντος καὶ ὁ ἐπίσκοπος Ἀθύρα, οἷς καὶ μεσίταις χρησάμενος ὁ παπᾶς Κωνσταντῖνος ὁ Καβάσιλας ἠξίου συμπαθείας τυχεῖν, ἀνεγνώσθη καὶ αὖθις ἡ ἐξέτασις ἡ περὶ αὐτοῦ καὶ ἡ συνοδικὴ ἀπόφασις καὶ ἡ προτέρα καὶ ἡ ὑστέρα, ὥστε τοὺς μὲν τότε παρόντας τῶν ἀρχιερέων ἀναμνησθῆναι τῶν λαληθέντων, τοὺς δὲ ἀπόντας τότε καὶ νῦν παρόντας μαθεῖν τὴν ὑπόθεσιν καὶ τὴν συνοδικὴν ἀπόφασιν, καὶ μετὰ τὴν ἀνάγνωσιν τούτων πάντες ὡς ἐκ κοινῆς γνώμης ἀπεφήναντο, δικαίως γενέσθαι τὴν κατ' αὐτοῦ ἀπόφασιν καὶ κανονικῶς καὶ καθῃρημένον εἶναι τὸν παπᾶν Καβάσιλαν τέλεον καὶ ἀποκεκομμένον τοῦ τῶν ἱερέων χοροῦ καὶ μηδ' ἂν εἴ τι γένηται, συγχωρηθῆναι αὐτὸν ὅλως, ὥστε ἐνεργεῖν ἱερατικόν τι, μηδὲ ἐλπίδα ἔχειν μελλούσης ἀποκαταστάσεως ἢ ἀνακλήσεως. καὶ δι' ἀσφάλειαν ἐγράφησαν καὶ ταῦτα καὶ ἐσημειώθησαν ἐνταῦθα †.

IV. † Ἔτι καὶ μετὰ ταῦτα πάντα οὐ πολὺς παρῆλθε καιρός, καὶ ὁ παπᾶς Κωνσταντῖνος ἤρξατο καὶ αὖθις ἐνοχλεῖν ταῖς θείαις καὶ βασιλικαῖς ἀκοαῖς καὶ καταβοᾶν τῆς ἱερᾶς συνόδου, ὡς κακῶς ἐξετασάσης τὰ κατ' αὐτὸν καὶ ἀδίκως ἀποφηναμένης τὴν κατ' αὐτοῦ καταδίκην· ἕτοιμος γάρ ἐστιν, ἔλεγεν, ἀποδεῖξαι, ψευδῆ εἶναι πάντα τὰ κατ' αὐτοῦ λαλούμενα. πρὸς ταῦτα τοίνυν ἐπικαμφθεὶς ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς καὶ συμπαθέστερον ἐπιβλέψας ἐπ' αὐτόν, μηνυτὰς ἔπεμψε πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, τόν τε περιπόθητον θεῖον τῆς ἁγίας βασιλείας αὐτοῦ, κῦρ Κωνσταντῖνον τὸν

'Ασάνην, καὶ τὸν οἰκεῖον τῇ ἁγίᾳ βασιλείᾳ αὐτοῦ, κῦρ 'Αλέξιον τὸν Καβαλλάριον, ἀξιοῦντας ὡς ἐκ προσώπου τοῦ βασιλέως τοῦ ἁγίου, εἴπερ ἔνι δυνατὸν, γενέσθαι τινὰ συμπάθειαν εἰς αὐτὸν, εἰ δὲ μὴ, ὡς ἐξ ἄλλης ἀρχῆς ἐξετασθῆναι τὰ κατ' αὐτοῦ λαλούμενα, ἐπειδὴ οὐ παύεται διόλου βοῶν, ἀδίκως παθεῖν, καὶ διατεινόμενος ἑτοίμως ἔχειν ἀποδεῖξαι ταῦτα ψευδῆ. σκέψεως τοίνυν γενομένης συνοδικῆς ἀπεφάνθη, τὸ μὲν οὕτως ἐχουσῶν τῶν ὑποθέσεων, ὡς ἐξητάσθησαν, γενέσθαι τινὰ συγκατάβασιν, ὥστε συγγνώμης τυχεῖν τὸν παπᾶν Κωνσταντῖνον, παντελῶς εἶναι ἀδύνατον, τὸ δὲ καὶ αὖθις ἐξετασθῆναι ταύτας καί, ὡς ἄν τις εἴποι, τὸ συνοδικὸν κριτήριον αὐτὸ ὑφ' ἑαυτοῦ ἀνακριθῆναι κατὰ τοὺς νόμους καὶ ταῦτα τοῦ βασιλέως ἀξιοῦντος, οὐδὲν ἀπεικός. ὅθεν καὶ τῶν κατ' αὐτοῦ κεφαλαίων πολλῶν ὄντων, τῶν μὲν ἄλλων καὶ ἀληθῶν ὄντων, οὐ καταδικασθήσεται τέλεον ὁ παπᾶς Κωνσταντῖνος, τὰ δὲ τρία ταῦτα, ἤγουν τὸ τῆς μοιχοζευξίας, τὸ περὶ τοῦ μεγάλου μύρου καὶ τὸ τοῦ βλασφήμου λόγου, ὃν εἶπεν ἀντὶ τοῦ εἰπεῖν· εὐλόγησον, δέσποτα, εἴπερ ἀποδειχθεῖεν ἀληθῆ ἢ πάντα ἢ τὰ δύο ἢ καὶ τὸ ἓν μόνον, καθῃρημένος ἔσται, καθὼς καὶ πρότερον· ἂν δὲ οἱ μαρτυρήσαντες τοῖς κεφαλαίοις τούτοις ἱερωμένοι εἴπωσιν νῦν ἕτερα καὶ ἐναντία τοῖς προτέροις, ἢ ἀπελεγχθῶσι ψευσάμενοι, τότε αὐτὸς μὲν ἀνεύθυνος ἔσται καὶ συγκεχωρημένος, ἐκεῖνοι δὲ ἀσυμπαθῶς καθαιρεθήσονται. ἤρεσε ταῦτα καὶ τοῖς τοῦ βασιλέως ἄρχουσι καὶ τῷ παπᾷ Κωνσταντίνῳ, καὶ ἕτοιμός ἐστιν, ἔλεγεν, ἀποδεῖξαι ταῦτα ψευδῆ, καὶ αὐτοὶ γὰρ οἱ τότε κατειπόντες αὐτοῦ τὰ ἐναντία λέγουσι καὶ ἀρνοῦνται τὰ ἐνταῦθα γεγραμμένα, ἄλλως γάρ, φησίν, εἶπον, καὶ ἄλλως ἐγράφησαν. πρὸς ταῦτα ἡ θεία σύνοδος ἀπεφήνατο, μὴ οὕτως ἔχειν· ὅτι γὰρ οὕτως ἔχουσιν, ὡς ἐγράφησαν, μάρτυρες καὶ οἱ τότε παρόντες ἀρχιερεῖς καὶ ἡ ἐκκλησία πᾶσα, εἰ δὲ ἄλλως λέγουσι νῦν, μέλλουσιν εὐθύνεσθαι. καὶ δῆτα συνόδου συγκροτηθείσης κατὰ μῆνα ὀκτώβριον ἑκκαιδεκάτῃ τῆς ἐνάτης ἰνδ., ἡμέρᾳ δευτέρᾳ, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Νικομηδείας, τοῦ Οὐγγροβλαχίας, τοῦ Μονεμβασίας, τοῦ Γοτθίας, τοῦ Ῥωσίας καὶ τοῦ ἀρχιεπισκόπου Λήμνου ἤρξαντο ἐξετάζεσθαι τὰ εἰρημένα κεφάλαια καὶ πρῶτον τὸ περὶ τῆς μοιχοζευξίας. παρήχθησαν τοίνυν οἱ τότε

παραχθέντες μάρτυρες ἱερεῖς, ὅ τε Σαβανᾶς καὶ Γεώργιος ὁ Πεταυρᾶς, καὶ ἐρωτηθέντες μετὰ βάρους ἀφορισμοῦ εἰπεῖν, ὅσον γινώσκουσι περὶ τῆς ὑποθέσεως ταύτης, ἐξεῖπον καὶ ὡμολόγησαν ὑπὸ τῷ ῥηθέντι ἀφορισμῷ αὐτά, ἅπερ καὶ πρότερον, ὅπως ἐγράφη πρὸς αὐτοὺς ἡ βούλλα παρὰ τοῦ Θεοφιλοπούλου, καὶ αὐτοὶ γινώσκοντες τὸν ἄνθρωπον ἔχοντα γυναῖκα ἐν τῇ Ἀνατολῇ, οὐκ ἠθέλησαν εὐλογῆσαι αὐτόν, ἀλλ' ἀντέστρεψαν τῷ ταβουλλαρίῳ τὴν βοῦλλαν. ἐρωτηθέντες δὲ καί, πῶς ἐγίνωσκον τοῦτο, εἶπον, ὅτι πλησίον αὐτῶν ἔμενεν ὁ ἄνθρωπος, καὶ ἤρχετο συνεχῶς ἀπὸ τῆς Ἀνατολῆς, ἔβλεπον δὲ καὶ τὸν πενθερὸν αὐτοῦ ἐρχόμενον καὶ ὀνειδίζοντα αὐτόν, πῶς ἀφῆκε τὴν γυναῖκα αὐτοῦ· ὁ δὲ Σαβανᾶς προσέθηκεν, ὅτι καὶ ἐν τῇ Ἀνατολῇ εἶδεν αὐτὸν εἰς τὴν χώραν τὴν λεγομένην Βιλίκωμιν, καὶ ἀπῆλθεν εἰς τὸ ὀσπήτιον αὐτοῦ, καὶ εἶδε καὶ τὴν γυναῖκα αὐτοῦ. πρὸς ταῦτα ἐρωτηθεὶς ὁ παπᾶς Κωνσταντῖνος, τί λέγει, ὡμολόγησε μὲν καὶ αὐτός, γυναῖκα ἔχειν αὐτόν, πλὴν ἔλεγε, μὴ ἔχειν ταύτην νομίμως, ἀλλ' ἀνευλόγητον, ὁ δὲ παπᾶς Σαβανᾶς ἔλεγεν, ἀκηκοέναι παρὰ τοῦ ἱερέως τοῦ εὐλογήσαντος αὐτὸν τοῦτο· ὁ δὲ παπᾶς Κωνσταντῖνος παρήγαγε τὸν ἄνθρωπον τὸν ἔχοντα τὴν γυναῖκα, περὶ οὗ ἦν (ἡ) ὑπόθεσις, Ἰωάννην τὸν Γραμματᾶν λεγόμενον, ὃς πρότερον μὲν ὑπ' αὐτοῦ διδαχθεὶς ἄλλα ἐπ' ἄλλοις ἔλεγεν, ὕστερον δὲ ἀκούσας τὸν ἀφορισμὸν ὡμολόγησε, μετὰ εὐλογήσεως νομίμου ταύτην ἔχειν. προεβάλετο τοίνυν ὁ παπᾶς Κωνσταντῖνος, ὅτι μετὰ εἰδήσεως τοῦ Θεοφιλοπούλου τοῦτο πεποίηκεν. ἦλθεν οὖν ὁ Θεοφιλόπουλος, καὶ ἐρωτηθεὶς μετὰ ἀφορισμοῦ τὰ αὐτὰ εἶπεν, ἅπερ καὶ πρότερον· εἰ γὰρ καὶ εἷς ἦν μόνος, ἀλλ' αὐτὸς ἔστερξεν αὐτόν, ἵνα ἐρωτηθῇ, καὶ πᾶν, ὅπερ ἂν εἴποι, ἔχῃ τὸ στέργον. ἀνεγνώσθησαν δὲ καὶ αὖθις αἱ ἔγγραφοι ὑποσχέσεις αὐτοῦ, ἃς ἐποίησεν, ὑποσχεθείς, ἵνα ἐὰν εὐλογήσῃ τινὰ χωρὶς βούλλης, καταδικάζηται ἀσυμπαθῶς. προεβάλλετο δὲ καὶ αὖθις, ὅτι διὰ τὸ εὑρεῖν τὴν γυναῖκα μοιχευθεῖσαν ἀπόντος αὐτοῦ, ἀπέλυσε ταύτην ὁ Γραμματᾶς, καὶ οὐκέτι ἔνι μοιχεία τὸ δεύτερον συνοικέσιον, δικαίως γὰρ ἐχωρίσθη ταύτης. πρὸς ἅπερ εἶπεν ἡ θεία σύνοδος, ὅτι καὶ ἀληθοῦς ὄντος τούτου, οὐκ εἶχεν ἄδειαν λαβεῖν ἄλλην γυναῖκα, μὴ χωρισάσης τοῦτο τῆς ἐκκλησίας, τὸ δὲ ἐστι καὶ ἀμφίβολον· οὐδὲ γὰρ ἐκρίθη ἡ γυνὴ καὶ κατεδικάσθη. εἶτα ἐξητάσθη τὸ περὶ τοῦ βλασφήμου λόγου, ὃν εἶπεν ἀντὶ τοῦ· εὐλόγησον, δέσποτα, καὶ ὁ μὲν παπᾶς Κωνσταντῖνος ἔλεγεν, ὅτι ἐν τῇ τραπέζῃ

εἶπε τοῦτον τὸν λόγον, καθημένων πολλῶν καὶ ἐσθιόντων καὶ πινόντων, ὡς ἀστεῖόν τινα λόγον, ἵνα γελάσωσιν. παραχθέντες δὲ οἱ δύο ἱερωμένοι, ὅ τε Ἀνδρόνικος καὶ Γεώργιος ὁ Χρυσοχόος, καὶ ἐρωτηθέντες μετὰ βάρους ἀφορισμοῦ, εἰπεῖν, ὅσον γινώσκουσι, εἶπον, ὅτι παρὰ τοῦ γέροντος ἐκείνου τοῦ πρωτοπαπᾶ ἤκουσαν, ὅτι ᾠκονομοῦντο ἵνα λειτουργήσωσιν οἱ δύο, καὶ ἐδίδασκεν ἐκεῖνος αὐτὸν ὡς ἄπειρον ἐντὸς τοῦ ἁγίου βήματος, ἃ δεῖ ποιεῖν, καὶ ἐν τῷ ἵστασθαι ἔμπροσθεν τῆς ἁγίας τραπέζης καὶ λειτουργεῖν ἀντὶ τοῦ εἰπεῖν· εὐλόγησον, δέσποτα, εἶπεν, ὅτι γαμεῖ τὸν συμπένθερόν του. βουλόμενοι δὲ τοῦτο μαθεῖν καὶ παρ' αὐτοῦ τούτου, ἠρώτησαν αὐτὸν ὕστερον ἐντὸς τοῦ ἁγίου βήματος ἀποροῦντες καὶ ἐκπληττόμενοι, εἰ ἀληθῶς εἶπε τὸν λόγον τοῦτον ἐν τοιούτῳ καιρῷ καὶ ἐν τοιούτῳ τόπῳ, ὁ δὲ καὶ ὡμολόγησε τοῦτο φανερῶς ἔμπροσθεν αὐτῶν, καὶ προσέθηκε· καὶ τὴν συμπενθεράν του. πρὸς ταῦτα διέκρινεν ἡ θεία σύνοδος, μὴ ἀπὸ τοῦ λόγου τοῦ πρωτοπαπᾶ ἐκείνου τοῦτον καταδικάζεσθαι, ἀλλ' ἀπὸ τῆς ὁμολογίας αὐτοῦ τοῦ παπᾶ Κωνσταντίνου, ἣν εἶπε πρὸς τοὺς ῥηθέντας ἱερεῖς. ὁ δὲ ἀντεπήγαγε, μὴ μάρτυρας εἶναι τοὺς εἰρημένους ἱερεῖς, ἀλλὰ κατηγόρους, καὶ οὐ χρὴ πιστεύεσθαι αὐτούς, πρὶν ἂν δείξωσι ταῦτα διὰ μαρτύρων, ὅπερ οὐκ ἐφάνη οὕτως ἔχον· κατήγορος γὰρ ὁ παπᾶς Πανορμηνὸς ἦν, καὶ μάρτυρας παρήγαγε τούτους, ἀλλ' οὐδ' ἐχθροὶ τούτου ἐφάνησαν, ὡς αὐτὸς ἔλεγεν· εἰ γὰρ καὶ οὐ δι' ἐγκληματικά, ἀλλὰ διὰ χρηματικά τινα ἐκρίνοντο μετ' αὐτοῦ ἐν τῷ βασιλικῷ σεκρέτῳ, ἀλλ' ὕστερον ἐφιλιώθησαν μετ' αὐτοῦ, καὶ συνελειτούργων αὐτῷ καὶ συνήσθιον, ὅπερ οὐκ ἔχθρας, ἀλλὰ φιλίας σημεῖον ἦν, καὶ οὐκ αὐτοὶ μόνον ἦσαν οἱ ἐγκαλοῦντες αὐτῷ, ἀλλὰ πάντες οἱ κληρικοὶ τῶν Βλαχερνῶν. τούτων οὕτω παρηκολουθηκότων διέγνω καὶ ἀπεφήνατο ἡ θεία σύνοθος, ἐπιψηφισαμένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἀδύνατον εἶναι συγχωρηθῆναι αὐτὸν ποτὲ εἰς τὴν ἱερωσύνην, ἀλλὰ διὰ βίου παντὸς εἶναι καθῃρημένον καὶ ἀποκεκομμένον τοῦ τῶν ἱερέων χοροῦ, καὶ ἐάν ποτε ζητήσῃ καὶ ἄλλην ἐξέτασιν, μὴ ἐξακουσθῆναι παρά τινος, ἀλλ' ἀποδιώκεσθαι παντάπασι καὶ ἀποκεκλεισμένην εἶναι τέλεον κατ' αὐτοῦ τὴν τῆς ἱερᾶς συνόδου καὶ τοῦ κατ' αὐτὴν δικαστηρίου θύραν †.

V. † Οὐδὲ μετὰ ταῦτα πάντα πάλιν ἡσύχασεν ὁ παπᾶς Κωνσταντῖνος, ἀλλὰ καὶ αὖθις ἠνώχλησε ταῖς θείαις καὶ βασιλικαῖς ἀκοαῖς, καὶ αὖθις μηνύματα διὰ τῶν εἰρημένων ἀρχόντων ἐπέμφθησαν πρός τε τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ πρὸς τὴν θείαν καὶ ἱερὰν σύνοδον, περὶ μὲν τῆς ἱερωσύνης αὐτοῦ οὐδένα λόγον λέγοντα, ἀλλ' ἐπειδὴ πολλάκις καθῃρέθη συνοδικῶς, καθῃρημένον εἶναι, ἀξιοῦντα δὲ μόνον, εἴπερ ἔνι εὔκολον, ἐπιτραχήλιον φορεῖν καὶ τὰς λοιπὰς ἱερατικὰς ὑπηρεσίας ποιεῖν, πλὴν μόνης τῆς λειτουργίας. συνόδου τοίνυν συγκροτηθείσης περὶ τούτου, τῶν αὐτῶν ὄντων ἀρχιερέων καὶ σκέψεως πολλῆς γενομένης, ἀπεφάνθη συνοδικῶς, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, μὴ εἶναι δίκαιον τοῦτο, μηδὲ εὔλογον, ἀλλὰ καὶ λίαν παράνομον· τὸ σύμβολον γὰρ τῆς τοῦ πρεσβυτέρου τάξεως καὶ ἀξίας τὸ ἐπιτραχήλιον ἔνι. ὁ γοῦν συνοδικῶς καθαιρεθεὶς δι' αἰτίας εὐλόγους πολλάκις πῶς ἐπιτραχήλιον φορέσει καὶ ἱερατικὴν ὑπηρεσίαν τινὰ ποιήσει, ἀνάξιος κριθεὶς ταύτης; πῶς δὲ καὶ καθῃρημένῳ δώσομεν χώραν ὑπὲρ τῶν βασιλέων εὔχεσθαι καὶ τῶν λοιπῶν χριστιανῶν, ἀνιέρῳ τυγχάνοντι; οὐδέπω γὰρ εἴδομεν μέχρι καὶ νῦν γενόμενόν ποτε τοιοῦτον. εἰ δὲ καὶ ἅπαξ γέγονέ ποτε, οὐ χρὴ τὰ τοιαῦτα τὴν ἐκκλησίαν ὡς νόμον δέχεσθαι καὶ παραβαίνειν πατέρων ὅρια, ἅπερ ἐκεῖνοι καλῶς ἔθεσαν. ἀπεφάνθη τοίνυν, μήτε εἰς ἱερωσύνην ποτὲ εὑρεῖν τοῦτον ἀνάκλησιν, μήτε περὶ τοῦ ἐπιτραχηλίου ζητηθῆναι, ἀλλ' εἴπερ ποτὲ κινήσει τὸν περὶ τούτου λόγον, μηδὲ εἰσακούεσθαι, ἀλλ' ἀποδιώκεσθαι παντελῶς ἀπὸ τοῦ συνοδικοῦ κριτηρίου, ὡς ἐνοχλοῦντα καὶ βασιλικαῖς ἀκοαῖς καὶ σύνοδον ἐπιβαρύνοντα καὶ πατριάρχην ἀκαίρως παντάπασι καὶ ἀλόγως † *).

## CCCLXII. (6892—1384) februario. ind. VII.

*Promissio presbyteri Styliani Sparteni.*

† Ἐγὼ Στυλιανὸς πρεσβύτερος ὁ Σπαρτηνὸς τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην καὶ αὐθέντην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς οὐ μὴ εὑρεθείην πώποτε ὁμιλήσας τῇ τοῦ Βουτζᾶ γυναικί, μεθ' ἧς

---

*) Haec quinque acta in codice obliterata sunt.

ὑποπτεύθην εἰς ἔγκλημα καὶ κατηγορήθην συνοδικῶς ἕνεκεν τούτου, οὔτε εἰς τὸ οἴκημα αὐτῆς, οὔτε μὴν ἐν ἑτέρῳ τινὶ τόπῳ· εἰ δ' οὖν, ἵνα καθαιρῶμαι ἀσυμπαθῶς καὶ δίχα τινὸς οἴκτου. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν κατὰ μῆνα φευρουάριον τῆς ζ' ἰνδ. †.

† Ο ευτελης υερευς Στιλυανος ο Σαρντηνος τα ανοθεν γεγραμενα στεργον ὑπεγραφα †.

CCCLXIII. (6893—1384) octobri. ind. VIII.

*Promissio Constantini Cabasilae.*

† Ἐπεὶ ὑπὸ προπετείας κινηθεὶς ἀφώρισα τὸν ταβουλλάριον τὸν Θεοφιλόπουλον, διὸ καὶ ἀφωρίσθην παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς τολμητίας καὶ αὐθάδης, πολλὰ δὲ παρακαλέσας ἔτυχον συμπαθείας, ὑπόσχομαι διὰ τοῦ παρόντος γράμματος, ἵνα μὴ ἀφορίσω ποτὲ τινά, εἰ δὲ τολμήσω ἐκβαλεῖν ποτὲ τοιοῦτον λόγον ἀπὸ τοῦ στόματός μου, ἵνα διαμένω ἐγὼ ἀφωρισμένος διὰ βίου παντός. τούτου γὰρ χάριν ἐποίησα καὶ τὴν παροῦσάν μου ὑπόσχεσιν δι' ἀσφάλειαν μηνὶ ὀκτωβρίῳ ἰνδ. η' †.

† Ὁ πρωτοπαπᾶς Κωνσταντῖνος ὁ Καβάσιλας †.

CCCLXIV. 6892 (1384) maio. ind. VII.

*Patriarcha donat ecclesiae pagum Oeconomii et vineam, constituens, ut pars redituum distribuatur ecclesiasticis.*

† Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἡ μετριότης ἡμῶν κρίμασιν οἷς οἶδε θεὸς ἐπὶ τὸν ὑψηλὸν πατριαρχικὸν ἀνελθοῦσα θρόνον καὶ τὴν μεγάλην ἐκκλησίαν παραλαβοῦσα, ἐπείπερ εὗρεν αὐτὴν κτημάτων μὲν καὶ πραγμάτων καὶ προσόδων ἐτησίων, ἅπερ ἐν τῇ πρὶν εἶχεν εὐδαιμονίᾳ, πάντων στερηθεῖσαν ὑπὸ τῆς τῶν πραγμάτων στενότητος καὶ ἀνωμαλίας, τοὺς δὲ τοῦ κλήρου πάντας, μεγάλους τε καὶ μικρούς, πένητας καὶ ἀπόρους καὶ τῶν ἀναγκαίων ἀποροῦντας αὐτῶν καὶ δουλείαν μὲν καθ' ἑκάστην ἀπονέμοντας πολλὴν καὶ τὰ δυνατὰ συμβαλλομένους ἐν ταῖς μεγίσταις

τῶν ὑποθέσεων τῇ ἐκκλησίᾳ κοινῶς καὶ τῇ ἡμῶν μετριότητι, μάλιστα τοὺς τῶν πολλῶν ὑπερέχοντας, τοὺς δὲ λοιποὺς πάντας καὶ αὐτοὺς τὴν δυνατὴν ἕκαστον δουλείαν εἰσφέροντας, ὀλίγον δὲ ἢ οὐδὲν κέρδος ἔχοντας, πτηνῶν δὲ βίον ζῶντας καὶ καθ' ἑκάστην ἐκδεχομένους, εἴ τι περ ἂν ἐξαίφνης κατὰ τύχην ἐξ ἀέρος ἐπελθὸν τὴν πολλὴν αὐτῶν παραμυθήσηται ἔνδειαν. ταῦτα τοίνυν εὑροῦσα ἡ μετριότης ἡμῶν καὶ ἔλεον λαβοῦσα τῆς κατεχούσης αὐτοὺς ἐσχάτης ταλαιπωρίας (τὸ γὰρ περιλειφθὲν ἐν τῇ μεγάλῃ ταύτῃ ἐκκλησίᾳ ἐπέτειον εἰσόδημα οὐδὲ εἰς μικρὸν μέρος τῆς καθόλου φωταγωγίας ἐστὶν ἀρκετὸν) δεῖν ἔγνω τρόπον θεραπείας τὸν δυνατὸν εἰσαγαγεῖν, εἴπερ οἷόν τε, καὶ κτῆμα εἰς τὴν ἐκκλησίαν ἀφιερῶσαι, δι' οὗ κατ' ἔτος ἕξουσιν οἱ τοῦ κλήρου μέρος τι προμηθείας ἕκαστος· καὶ ἐπειδήπερ τὸ χωρίον τοῦ Οἰκονομίου χώρα μὲν ἦν πρότερον μεγάλη καὶ πολυάνθρωπος, ὑποκειμένη τῇ καθ' ἡμᾶς ταύτῃ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ, πρὸ δὲ χρόνων πολλῶν ἀρξαμένης τῆς κοσμικῆς συγχύσεως, ἥτις τὰ τῶν Ῥωμαίων ἠφάνισεν ἅπαντα καὶ εἰς οὐδὲν ἀποκατέστησεν, διεφθάρη καὶ αὕτη καὶ πεδίον ἀφανισμοῦ γέγονε, διασπαρέντων ἄλλων ἀλλαχοῦ τῶν ἀνθρώπων, τῶν πλειόνων δὲ καὶ αἰχμαλωτισθέντων, λίαν ὀλίγων περιλειφθέντων τῶν ἔτι περισωζομένων τῆς ἐκκλησίας ἀνθρώπων καὶ ἐλαττόνων ἢ δέκα καὶ αὐτῶν διὰ τὸ μὴ ἔχειν ἐκεῖ φρούριον ἐν ἄλλῃ κατοικησάντων χώρᾳ, καὶ οὐδὲν εἶχεν ἡ ἐκκλησία ἐξ αὐτῆς, εἰ μὴ μερικήν τινα μορτὴν ἀπὸ τῶν κατασπειρόντων ἐν αὐτῇ ξένων ἀνθρώπων, ἡ μετριότης ἡμῶν οἴκοθεν καὶ παρ' ἑαυτῆς καὶ ἐξ οἰκείων ἐξόδων οὐκ ὀλίγα ἐκένωσε χρήματα· οὐδὲ γὰρ ἔχει τις εἰπεῖν, τῆς ἐκκλησίας εἶναι ἐκεῖνα, ἐπεὶ μηδὲ πολλούς τινὰς χρόνους ἀργήσασα καὶ ἔξωθεν ἐρανισαμένη ταῦτα, καθώς τινες τῶν πρὸ ἡμῶν, ὅτε καὶ λείψανον ἦν μερικῆς τινος εὐδαιμονίας ἔτι περισωζόμενον, τοῦτο πεποίηκεν, ἀλλ' ἅμα τε τὴν ἐκκλησίαν παρέλαβε καὶ τοῦ ἔργου ἤρξατο, ὅτε καὶ τῆς μάχης ἐπικρατούσης ἀπό τε γῆς καὶ θαλάττης ἀπορία μεγίστη πάντοθεν ἦν, ὡς ἅπαντες ἴσασιν. εὐδοκίᾳ τοίνυν καὶ συνεργίᾳ τοῦ παντοδυνάμου θεοῦ κόπῳ πολλῷ καὶ πόνῳ καὶ σπουδῇ καὶ τῶν ἡμετέρων καλογήρων, οὐδὲ τοῦ καιροῦ κἂν εὐκόλου τότε τυγχάνοντος, ἀλλὰ καὶ τὰ μέγιστα ἐναντιουμένου, πρὸς ἅπερ ἄλλοι τινὲς καὶ τοῦ ἔργου ἁψάμενοι καὶ πολλὰς καταβαλόντες ἐξόδους ἰλιγγίασαν, ἂν καὶ τέλεον ἀπέστησαν τούτου, ἐδυνήθημεν εἰς τέλος τὸ ἔργον ἀγα-

γεῖν καὶ τὸν πύργον, ὡς ἔχει σήμερον, οἰκοδομῆσαι, τῆς μὲν ἡμετέρας προθυμίας ἐλάττω, μείζονα δὲ τῶν πραγμάτων καὶ τοῦ παρόντος καιροῦ, εὐεργετηθέντες καὶ σεπτὸν χρυσόβουλλον παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ τῆς ἐκκλησίας προαγωνιστοῦ καὶ προμάχου, διοριζόμενον κατὰ μέρος, ἅπερ εὐεργετεῖ, διὸ καὶ νῦν ἤρξατο πληθύνεσθαι καὶ αὐξάνεσθαι καὶ ἀγαθὰς ἐλπίδας παρέχειν καὶ πλειόνων εἰσοδημάτων τοῦ καιροῦ προϊόντος (σὺν θεῷ δὲ εἰρήσθω) οὐ μὴν ἀλλὰ καὶ ζευγάρια συνεστήσατο ἡ μετριότης ἡμῶν, καὶ ἀμπέλιον κατεφύτευσε, καὶ τὰ πρὸς ἀπαρτισμὸν καὶ χρείαν τοῦ πύργου καὶ τὰ ἄλλα τὰ ἀναγκαῖα οἴκοθεν καὶ παρ' ἑαυτῆς πάντα κατεβάλετο, ὡς ἐξοδιασθῆναι μέχρι τῆς σήμερον διὰ πάντων ἀπὸ τοῦ κελλίου μου ὑπέρπυρα μόνα ἐπέκεινα τῶν πέντε χιλιάδων δίχα τῶν εἰς τροφὴν καὶ πόσιν ἐξωδιασθέντων εἰδῶν, ἐπεὶ δὲ καὶ ἀμπέλιον εὗρεν ἡ μετριότης ἡμῶν πέραν ἐν τῷ Βραχοφάγῳ ἄρτι τότε καταφοτευθὲν παρὰ τοῦ χρηματίσαντος πρὸ ἡμῶν πατριάρχου καὶ πολλῆς δεόμενον ἐπιμελείας, ἔμελλε δὲ τέλεον ἀφανισθῆναι τῆς μάχης ἐπικρατούσης, μηδενὸς τολμῶντος διαπερᾶν ἐκεῖ, καὶ τοῦτο πολλῆς κηδεμονίας ἠξίωσε καὶ προνοίας· τοσαύτην καὶ γὰρ ἔξοδον κατεβάλετο καὶ ἐν τῷ καιρῷ τῆς μάχης καὶ νῦν γεγονυίας εἰρήνης ὑπὲρ αὐτοῦ, ὡς ὑπερβαλέσθαι τὴν αὐτοῦ τιμὴν πολλαπλασίως τὰς ἐξόδους. ταῦτα τοίνυν ἐξωδίασα καὶ κατεβαλόμην εἰς τὴν χώραν τοῦ Οἰκονομίου καὶ εἰς τὸ εἰρημένον ἀμπέλιον, οὔτε δι' ἐμαυτὸν, οὔτε διὰ τοὺς ἡμετέρους καλογήρους· τρεφόμεθα γὰρ ἀπὸ τοῦ κελλίου μου, ὡς καὶ πρότερον, οὐδενὸς δεόμενοι τῶν ἀναγκαίων, χορηγοῦντος ἄνωθεν τὰ πάντα τοῦ θεοῦ, ἀλλ' οὐδὲ διὰ μόνον τὸν μέλλοντα μετ' ἐμὲ γενήσεσθαι πατριάρχην, ἀλλὰ πολλῷ πλέον, ὡς εἴρηται, διὰ τοὺς ἐκκλησιαστικούς, ὅθεν καὶ ὡς περὶ ἡμετέρων κτημάτων τὸν λόγον ποιουμένη ἡ μετριότης ἡμῶν, ἐπειδήπερ ἡμέτερά εἰσιν, ὑπὲρ ὧν τοσαῦτα κατεβαλόμην, ὡς ἐν τύπῳ διαθήκης τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, ὡς ἂν πρῶτον μὲν διαμένωσι τὰ τοιαῦτα πάντα, καὶ ὁ πύργος καὶ τὰ ζευγάρια καὶ τὸ ἐν αὐτῷ ἀμπέλιον καὶ οἱ προσκαθεσθέντες ἄνθρωποι καὶ τὰ λοιπὰ πάντα, ὅσα εἰσὶν ἐν αὐτῷ κινητά τε καὶ ἀκίνητα, ὅσα τε ἐγένοντο ἕως τοῦ νῦν, καὶ ὅσα γενήσονται ἕως τέλους τῆς ἡμετέρας ζωῆς, καὶ τὸ ἐν τῷ Βραχοφάγῳ ἀμπέλιον ἀφιερωμένα πάντα τῇ μεγάλῃ ἐκκλησίᾳ καὶ μηδένα τολμῆσαί

ποτε ἀποσπᾶσαι ἐξ αὐτῶν τὸ τυχὸν ἢ ἀπὸ τῶν κτημάτων ἢ ἀπὸ τῶν εἰσοδημάτων, κἂν ὁποῖος ἂν καὶ εἴη, κατὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ σεπτοῦ χρυσοβούλλου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος. ἔπειτα λέγει καὶ διατάσσεται ἡ μετριότης ἡμῶν περὶ μὲν τῆς χώρας τοῦ Οἰκονομίου καὶ τῶν εἰσοδημάτων αὐτῆς, ἐκβαλλομένων πρότερον τῶν ἐξόδων, τὰ μὲν τρίτα λαμβάνειν τὸν πατριάρχην χάριν τοῦ κελλίου αὐτοῦ, τὰ δὲ δίμοιρα λαμβάνειν τοὺς ἐκκλησιαστικοὺς καὶ μερίζειν αὐτὰ πρὸς ἑαυτοὺς ἀναλόγως ἕκαστον πρὸς τὴν ἰδίαν τάξιν καὶ τὸν βαθμὸν καὶ πρὸς τὸν κόπον αὐτοῦ, ἀπὸ δὲ τοῦ ἀμπελίου τοῦ περατικοῦ λαμβάνειν τοὺς ἐκκλησιαστικοὺς, ὅσον ἂν μέρος ὁ πατριάρχης διακρίνῃ, εἰς τὴν ἐκείνου γὰρ διάγνωσιν ἀνατίθησι τοῦτο ἡ μετριότης ἡμῶν. ταῦτα τοίνυν τυπωθέντα καὶ διαταχθέντα παρὰ τῆς ἡμῶν μετριότητος τὸ κῦρος ὀφείλουσιν ἔχειν εἰς αἰῶνα τὸν ἅπαντα καὶ τὸ βέβαιον καὶ ἀρραγὲς καὶ ἀμετακίνητον· ὥστε γὰρ οὕτω ταῦτα ἀνυπερθέτως καὶ ἀπαραιτήτως γενέσθαι καὶ μηδένα τολμῆσαι καταλῦσαί τι τῶν ἐμπεριειλημμένων τῷ παρόντι σιγιλλίῳ γράμματι μέχρι καὶ τοῦ λεπτοτάτου, τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος ἄλυτον καὶ φρικώδη καὶ βαρύτατον ἀφορισμὸν ἐκφωνεῖ ἡ μετριότης ἡμῶν κατὰ τοῦ ἐπιχειρήσοντος εἰς κατάλυσιν τούτου ἢ καθόλου ἢ ἐν μέρει, κἂν ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι διατελῶν τυγχάνῃ. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν κατὰ μῆνα μάιον τῆς ζ' ἰνδ. τοῦ ,ϛωϟβ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCLXV. 6893 (1384) octobri. ind. VIII.

*Patriarcha confirmat electionem episcopi Limniorum, Ioseph, conferens ei administrationem metropoleos Amaseae.*

† Γράμμα συστατικὸν τοῦ ἐπισκόπου Λιμνίων †.

I. † Ἔφθασε μὲν ὁ θεοφιλέστατος ἐπίσκοπος Λιμνίων, κῦρ Ἰωσήφ, πλανηθεὶς καὶ αὐτὸς παρὰ τοῦ υἱοῦ τῆς ἀπωλείας, τοῦ ἀσεβοῦς Τάγαρι, καὶ ἐξ ἐρημίας τοῦ κωλύσοντος· πάλαι γὰρ ὁ τῆς Ἀμα-

σείας ἀρχιερεὺς τὸν τόπον ἐκεῖνον καταλιπὼν, ἄλλης ἐπελάβετο ἐκκλησίας· ὁ Τάγαρις πρεσβύτερον τοῦτον εὑρὼν, ἐπίσκοπον Λιμνίων χειροτονεῖ· ἐπεὶ δὲ ὁ χρηματίσας πατριάρχης Μακάριος, ἔτι Σεβαστείας ὢν μητροπολίτης, εἰς τὴν ἐκκλησίαν ταύτην αὐτοῦ ἀπήρχετο, ἔλαβε παρὰ τῆς ἱερᾶς συνόδου τότε ψῆφόν τε καὶ ἀνάθεσιν, ὡς ἂν τοὺς εὑρεθέντας εὐλαβεῖς ἄνδρας καὶ τῆς ἀρετῆς, ἀφ' ὧν ὁ Τάγαρις ἐχειροτόνησεν, ὡς ἐξ ἄλλης ἀρχῆς αὐτὸς ἐκείνους χειροτονῇ. ἀπελθὼν οὖν καὶ εἰς τὰ τῆς Ἀμασείας μέρη καὶ εὑρὼν τὸν ῥηθέντα ἐπίσκοπον Λιμνίων παρ' ἐκείνου μὲν τοῦ ἀσελγοῦς χειροτονηθέντα, μαρτυρηθέντα δὲ παρὰ πάντων τῶν ἐκεῖ καὶ ἱερωμένων καὶ ἀρχόντων ταπεινὸν καὶ φρόνιμον καὶ εἰρηνικὸν καὶ καταστάσεως καὶ πολιτείας θεοφιλοῦς ἀντιποιούμενον, ἐπίσκοπον τοῦτον Λιμνίων ἐχειροτόνησεν. ἐπεὶ γοῦν οὗτος ἤδη καὶ εἰς τὴν ἡμῶν μετριότητα παρεγένετο, προτροπῇ αὐτῆς καὶ διακελεύσει, καὶ τοιοῦτος ἔδοξεν, οἷος εἴρηται, καθὼς καὶ παρὰ τῶν αὐτοῦ μεμαρτύρηται, προσεδέξατο τοῦτον καὶ ἡ μετριότης ἡμῶν, καθὼς καὶ ἐχειροτονήθη, καὶ στέργει τοῦτον ἐπίσκοπον Λιμνίων, καὶ διαγινώσκει καὶ παρακελεύεται, ἐπίσκοπος οὕτω εἶναι καὶ ὀνομάζεσθαι καὶ τιμὴν ἔχειν καὶ καθέδραν καὶ στάσιν ἐπισκόπων, καθὼς δηλονότι καὶ οἱ λοιποὶ πάντες τῶν μητροπολιτῶν ἐπίσκοποι, καὶ κατέχειν αὐτὸν τὴν ἐκκλησίαν αὐτοῦ ταύτην ἀνενοχλήτως καὶ ἀνεμποδίστως καὶ ἱερουργεῖν καὶ χειροτονεῖν καὶ θείους ναοὺς καθιεροῦν καὶ πᾶν ἄλλο πράττειν ἐκκλησιαστικὸν, ὡς γνήσιον ἀρχιερέα ταύτης, ὀφείλοντα καὶ παρὰ πάντων τῶν ἐκεῖ τῆς προσηκούσης ἀπολαύειν ἀγάπης τε καὶ εὐλαβείας καὶ τιμῆς, ἐπεὶ πατὴρ αὐτῶν ἐστιν οὗτος πνευματικὸς, καὶ παρ' αὐτοῦ μέλλουσιν ἐκεῖνοι λαμβάνειν καὶ δέχεσθαι τὸν ἁγιασμόν. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ή †.

---

II. † Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Λιμνίων, κυρῷ Ἰωσήφ, τὴν οἰκονομίαν καὶ διοίκησιν πάσης τῆς ἁγιωτάτης μητροπόλεως Ἀμασείας, ὃς δὴ καὶ ὀφείλει ἀπελθὼν ἐκεῖ ἐπιλαβέσθαι τῆς ἐκκλησίας ταύτης

καὶ πάσης τῆς ἐνορίας αὐτῆς καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων αὐτῇ δικαίων τε καὶ προσόδων καὶ προνομίων καὶ φροντίζειν τῆς αὐτῶν συστάσεως καὶ διαμονῆς καὶ τῆς ἐπὶ τὸ κρεῖττον βελτιώσεως καὶ αὐξήσεως, διδάσκειν τε ὡς ἀρχιερεὺς αὐτοὺς τὰ ψυχωφελῆ καὶ σωτήρια, ὥστε τοὺς μὲν ἱερωμένους τύπον εἶναι τῷ λαῷ τῆς εὐαγγελικῆς πολιτείας· ἡμεῖς γὰρ ἅλας ὀφείλομεν εἶναι τῆς γῆς, ὅσοι τῷ τῆς ἱερωσύνης ἐτιμήθημεν ὕψει, καθὼς ὁ κύριος εἴρηκε, καὶ τὸ φῶς ἡμῶν λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων, τὸν δὲ λαὸν ὑπείκειν καὶ ὑποτάσσεσθαι τοῖς ἱερεῦσι καὶ μὴ ἀνθίστασθαι, μηδὲ ἀντιλέγειν. ἐκχωρεῖ γοῦν αὐτῷ ἡ μετριότης ἡμῶν ἱερουργεῖν ἐν αὐτῇ τῇ ἐκκλησίᾳ, ὅτε δεήσει, καὶ ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους καὶ διακόνους χειροτονεῖν, πρεσβυτέρους προβιβάζειν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν καὶ πᾶν ἄλλο πράττειν ἐκκλησιαστικὸν δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφειλόντων καὶ πάντων τῶν ἐκεῖ ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀποδιδόναι τούτῳ στοργὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν, εἰδότων, ὡς ἡ πρὸς αὐτὸν στοργὴ καὶ ὑποταγὴ καὶ εὐπείθεια εἰς τὴν ἡμῶν μετριότητα ἀναφέρεται καὶ δι' αὐτῆς εἰς αὐτὸν τὸν θεὸν διαβαίνει, οὗ τὴν εἰκόνα φέρει ὁ ἀρχιερεύς, καὶ ὡς, εἴ τις ἀντιλέγειν αὐτῷ πειραθείη καὶ ἀντιπράττειν, εὐθυνθήσεται κανονικῶς, κἂν ὁποῖος καὶ ᾖ. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ὀφείλει δὲ ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ λειτουργίαις μνημονεύειν τοῦ ἱερωτάτου μητροπολίτου Ἀμασείας, ἐπεὶ διὰ τὸ ἀποδημεῖν τόνδε τὸν μητροπολίτην τῆς ἰδίας αὐτοῦ ἐκκλησίας καὶ μὴ δυνάμενον ἀπελθεῖν ἐκεῖ, καὶ ταῦτα παρὰ τῆς ἡμῶν μετριότητος πολλάκις ἀναγκασθέντα εἰς τοῦτο, παρέδωκε τῷδε τῷ ἐπισκόπῳ τὴν πνευματικὴν ἐπίσκεψιν τῶν ἐκεῖ χριστιανῶν, καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν, ὡς δικαίῳ καὶ ἐξάρχῳ, τούτους μόνον διδάσκειν καὶ ἁγιάζειν, τοῦ δὲ ἰδίου ἀρχιερέως μνημονεύειν κατὰ τὴν ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. η' †.

## CCCLXVI. (6893—1384) octobri. ind. VIII.

*Hieromonachus Lazarus promittit obedientiam.*

† Ἐγὼ ὁ ἀπὸ τῆς μονῆς τοῦ Καλέος ἱερομόναχος Λάζαρος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς ἂν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εὑρίσκωμαι εἰς πᾶσαν ὑποταγὴν τοῦ τιμιωτάτου καθηγουμένου καὶ μετὰ τῶν λοιπῶν πατέρων καὶ ἀδελφῶν μου εἰρηνικὸς καὶ ἀνενόχλητος, καὶ ἀπονέμω πρὸς αὐτοὺς τὴν προσήκουσαν τιμὴν καὶ εὐπείθειαν. εἰ δὲ εὑρεθείην ποτὲ τὰ ἐναντία ποιῶν καὶ ὄχλησιν καὶ ὕβρεις ἐκχέων πρὸς αὐτούς, καθὼς ἀπὸ αὐθαδίας ἐποίησα πρότερον, ἵνα καθαιροῦμαι ἀσυμπαθῶς. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις καὶ ἐπεστρώθη τῷ ἱερῷ κώδικι δι' ἀσφάλειαν κατὰ μῆνα ὀκτώβριον τῆς η' ἰνδ. †.

## CCCLXVII. (6893—1384) novembri. ind. VIII.

*Patriarcha metropolitam Sugdaeae et hieromonachum Isidorum iubet dirimere controversias ortas inter metropolitas Chersonis et Gotthiae.*

† Ἐπεὶ πρὸ χρόνου τινὸς συνέβησαν οὐκ ὀλίγα σκάνδαλα μεταξὺ τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, τοῦ τε Χερσῶνος καὶ τοῦ Γοτθίας, περὶ τῆς ἐνορίας τῆς Συκήτας, τῆς Παρθενίτας, τῆς Λαμπάδος, τῆς Ἁλούστας, τῆς Φούνας καὶ τῆς Ἀλανίας, ἑκατέρου αὐτῶν ἀντιποιουμένου τῶν χωρῶν τούτων, καὶ ἐγένετο μὲν εἰρήνη ἐνταῦθα ἐπιδημησάντων αὐτῶν παρὰ τῆς ἡμῶν μετριότητος εἰς αὐτοὺς καὶ ἀπῆλθον, νῦν δὲ ἀναστάντες οἱ κλῆροι τῶν ἐκκλησιῶν τούτων καὶ οἱ τῶν χωρῶν ἄρχοντες στασιάζουσι καὶ πρὸς μεγάλας χωροῦσι μάχας, ὥστε καὶ πρὸς φόνους χωρεῖν περὶ τούτων, οἱ μὲν λέγοντες, ἀνήκειν ταύτας τῇ ἐκκλησίᾳ τῆς Χερσῶνος, οἱ δὲ τῆς Γοτθίας, ἡ μετριότης ἡμῶν εἰς ἀνεύρεσιν ἀκριβῆ τῆς ἀληθείας τοπικὴν ἐκεῖ γενέσθαι τὴν ἐξέτασιν ἀνεφήνατο· καὶ ἰδοὺ ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Σουγδαίας καὶ Φούλλων, ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τῷ τιμιωτάτῳ ἱερομονάχῳ κυρῷ Ἰσιδώρῳ, κατὰ πνεῦμα υἱῷ αὐτῆς, ὡς ἡμετέρῳ καλογήρῳ καὶ τοῦ κελλίου μου, τὴν περὶ τούτων ἐξέτα-

σιν, καὶ διακελεύεται, ὡς, εἰ μὲν ἀπελθόντες ἐκεῖ δυνηθεῖεν εἰρηνεῦσαι καὶ τοὺς ἀρχιερεῖς καὶ τὸν λαόν, ὥστε στέργειν τὴν προγεγονυῖαν κατάστασιν παρὰ τῆς ἡμῶν μετριότητος, ἣν ἐγγράφως ἑκάτερος τῶν ἀρχιερέων κατέχει, καλόν, τοῦτο καὶ θεῷ καὶ ἡμῖν ἀρεστόν, εἰ δ' οὐ δυνήσονται, ἵνα συναγαγόντες πάντας τοὺς ἐκεῖ γέροντας ἄνδρας καὶ τῶν λοιπῶν ὑπέρχοντας φρονήσει καὶ ἀγαθῷ τρόπῳ καὶ συνειδήσει, ἐκφωνήσωσι βάρος ἀφορισμοῦ κατ' αὐτῶν, ὡς ἂν εἴπωσι, τίνος ἐνορίας εἰσὶν αἱ δηλωθεῖσαι χῶραι, εἴτε τῆς Χερσῶνος, εἴτε τῆς Γοτθίας, καὶ πᾶν, ὅπερ ἂν εὕρωσι ἀπὸ τῆς ὁμολογίας καὶ μαρτυρίας αὐτῶν, γράψωσιν ἐκεῖ καὶ ὑπογράψωσι διὰ τὸ ἀδιάβλητον, καὶ διακομίσωσι τοῦτο τῇ ἡμῶν μετριότητι. ὀφείλουσι οὖν τοῦτο ποιῆσαι καθαρῶς καὶ ἐπιμελῶς, ὡς τοῦ θεοῦ ἄνωθεν ἐφορῶντος, παρόντων καὶ τῶν δύο ἀρχιερέων, τοῦ τε Χερσῶνος καὶ τοῦ Γοτθίας. ἔτι ἀνατίθησιν αὐτοῖς ἡ μετριότης ἡμῶν καὶ περὶ τῆς πατριαρχικῆς χώρας τῆς Γιαλίτας, ὡς ἂν ἐξετάσωσι περὶ τῶν ἐκεῖ σεβασμίων ἐκκλησιῶν, καὶ ὅσας ἂν εὕρωσι καθιερωθείσας εἰς σταυροπήγια, εἴτε παρὰ ἀρχιερέως Γοτθίας, εἴτε παρὰ πατριαρχικοῦ ἐξάρχου, καταστήσωσι ταύτας εἶναι ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν καὶ διοίκησιν, καὶ μνημονεύωσι τοῦ πατριαρχικοῦ ὀνόματος, οὐδὲ γάρ, ὅτι καθιερώθησαν παρὰ τοῦ ἀρχιερέως Γοτθίας, ἐξάρχου ὄντος πατριαρχικοῦ, διὰ τοῦτο εἰσὶ καὶ τοῦ Γοτθίας οἱ ναοί, ἀλλ' εἴπερ ἔχει καὶ ὁ Γοτθίας ἐκεῖ τόπον καὶ καθιέρωσε ναοὺς ὡς ἰδίους, ἐκείνους ὀφείλει ἔχειν, ὅσοι δὲ καθιερώθησαν μὲν παρ' ἐκείνου, ἐν τῇ πατριαρχικῇ δὲ χώρᾳ, κἀκεῖνοι πατριαρχικοί εἰσιν. ὅσους γοῦν εὑρήσουσι τοιούτους ναούς, ὀφείλουσιν ἄνευ λόγου τινὸς καταστῆσαι ὑπὸ τὴν πατριαρχικὴν διοίκησιν εἶναι, κατὰ τὴν ἄνωθεν ἐπὶ τούτοις συνήθειαν. τούτου γὰρ χάριν ἀπολέλυται αὐτοῖς καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ⁴ μηνὶ νοεμβρίῳ ἰνδ. η' †.

CCCLXVIII. (6893—1385) augusto ind. VIII.

*Patriarcha metropolitae Chersonis subiicit ecclesiam Cinsanus, quamquam sit metropoleos Gotthiae.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν Χερσῶνος †.

† Ἱερώτατε μητροπολῖτα Χερσῶνος καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. γινώσκεις, ὅπως ὅτε ἦλθες ἐνταῦθα μετὰ τοῦ Γοτθίας ἐκείνου, τοῦ κυροῦ Θεοδοσίου, καὶ ἐκρίνεσθε περὶ τῶν ἐνοριακῶν δικαίων τῶν ὑμετέρων ἐκκλησιῶν, οὐδαμῶς εὑρέθη, ὅτι ἡ Κινσάνους ὑπὸ τὴν ἐνορίαν τελεῖ τῆς Χερσῶνος, ἀλλὰ μᾶλλον διὰ πολλῶν ἀνεφάνη, ὅτι τῆς Γοτθίας ἦν ἄνωθεν, ἐπεὶ δὲ ὁ μητροπολίτης ἐκεῖνος ὡς καλὸς ἄνθρωπος τὴν εἰρήνην βουλόμενος καὶ τὸ ἀνενόχλητον ἠθέλησε, καὶ παρῃτήσατο ταύτην, ἔστερξε τοῦτο καὶ ἡ μετριότης ἡμῶν, καὶ κατέστησε διὰ γραμμάτων, ὡς ἂν κατέχῃ ἑκάτερον μέρος, ὅσον ἐστέρχθη. ἐκεῖνος μὲν οὖν καὶ οὕτως εἰρήνευε, καὶ οὐδεμίαν ὄχλησιν ἐκίνησέ ποτε, σὺ δὲ πάντα τρόπον ἐποίησας καὶ πᾶσαν ἐκίνησας μηχανήν, ἵνα λάβῃς καὶ τὸ ἄλλον μέρος, ὅσον ἐκεῖνος ἐκράτει, καὶ πολλάκις γραψάσης τῆς ἡμῶν μετριότητος, ἵνα εἰρηνεύῃς καὶ ἐμμένῃς τοῖς γεγραμμένοις παρ' ἡμῶν, οὐδέποτε κατεπείσθης, ἀλλὰ τελευταῖον ἔπεμψας ἐνταῦθα τὸν παπᾶν Γεώργιον, παρακαλῶν καὶ δεόμενος δι' αὐτοῦ, ἵνα γένηται ἐξέτασις αὐτόθι τοπική. ἀναγκασθεῖσα τοίνυν ἡ μετριότης ἡμῶν ἔπεμψε τὸν τιμιώτατον ἱερομόναχον κῦρ Ἰσίδωρον, καὶ οὐδὲ αὐτῷ μόνῳ ἀνέθηκεν ἡ μετριότης ἡμῶν τὴν ἐξέτασιν, ἀλλ' ἔταξε καὶ τὸν ἱερώτατον μητροπολίτην Σουγδαίας, ὃν καὶ σὺ γινώσκεις ἄνθρωπον λίαν καλὸν καὶ εὐσυνείδητον, οἳ καὶ ἐλθόντες αὐτόθι ἐποίησαν τὴν ἐξέτασιν ἀποθανόντος τοῦ Γοτθίας. ὅσα τοίνυν ἐποίησας σὺ κατ' αὐτῶν, καὶ ὅσα κακὰ ἐνεδείξω, καὶ πόσας δολιότητας κατεσκεύασας, καὶ ὅτι συνεφωνήσατε, ἵνα ἀπέλθητε μετὰ ὀλίγων ἀνθρώπων, σὺ δὲ εἶχες στρατὸν κεκρομμένον καὶ κατέστησας, ἵνα σφάξωσιν αὐτούς, εἰ καὶ ὁ θεὸς ἐβοήθησε καὶ διέφυγον τὰς ἐνέδρας σου, πάντα ἤκουσεν ἡ μετριότης ἡμῶν καὶ γινώσκει ἀκριβῶς. ἔπρεπεν οὖν διὰ ταῦτα, ἵνα ἔλθῃς ἐνταῦθα καὶ κριθῇς συνοδικῶς καὶ καθαιρεθῇς. ἄλλη γὰρ αἰτία εἴπερ οὐκ ἦν, κἂν τοῦτο μόνον, ὅτι τὸ δικαίωμα τῆς Γοτθίας, τὸ γράμμα τὸ ἡμέτερον, κατέλυσας λαβὼν ἀπὸ τῶν χειρῶν

τοῦ ἡμετέρου ἐξάρχου, ἱκανὸν ἦν καταδικάσαι σε τέλεον. καὶ πόθεν ἔμαθες τὴν τοιαύτην παίδευσιν, ἵνα καταλύῃς τὰ γράμματά μου, ὅπερ ἐποίησέ ποτε οὐδὲ βασιλεύς; δίκαιον μὲν οὖν ἦν ἐλθεῖν σε ἐνταῦθα καὶ δοῦναι δίκην περὶ τῶν τοιούτων, διὰ δὲ συγκατάβασιν ἀφίημι τοῦτο πρὸς τὸ παρὸν, θέλω δὲ, ἵνα μοι πέμψῃς χωρὶς λόγου τὸ γράμμα ἐκεῖνο τὸ καταλελυμένον, ὁποῖον ἂν εἴη, γράφει δὲ καὶ παρακελεύεταί σοι ἡ μετριότης ἡμῶν τελευταίαν ταύτην ἀπόφασιν περὶ τῆς ὑποθέσεως. μητρολίτης Γοτθίας ἐχειροτονήθη ψήφῳ συνοδικῇ παρὰ τῆς ἡμῶν μετριότητος ἄνθρωπος καλὸς καὶ εὐλαβὴς καὶ ἐνάρετος καὶ φρόνιμος καὶ εἰρηνικὸς, ἀνενόχλητος καὶ πεπαιδευμένος, τῶν τοῦ κελλίου μου καλογήρων εἷς, ὃν ἀπεδεχόμην ἐνταῦθα εἶναι, ὑπ' ἀνάγκης δὲ ἐγένετο. ἔπρεπεν οὖν, ἐπειδὴ ἀπὸ τῆς ἐξετάσεως εὑρέθη, ὅτι ἡ Κινσάνους τῆς Γοτθίας ἔνι, (ἵνα) λάβῃ αὐτὴν νῦν ὁ Γοτθίας διὰ γράμματός μου· ὅτι δὲ αὐτὸς ἔνι καλόγηρώς μου καὶ στέργει, ὅσον ἐγὼ λέγω, διὰ συγκατάβασιν λέγω, ἵνα κρατῇς σὺ μόνην τὴν Κινσάνους καὶ τὰ περὶ αὐτὴν χωρία, τὰ δὲ λοιπὰ πάντα, ὅσα ἂν ὦσιν, ἔχῃ ὁ Γοτθίας. εἰ μὲν οὖν ἀπὸ τοῦ νῦν εἰρηνεύσεις καὶ παύσῃ τῶν προτέρων σκανδάλων καὶ τῆς ταραχῆς, καλὸν, εἰ δὲ ἀκούσω, ὅτι ἐποίησάς τι σκάνδαλον μέχρι καὶ τοῦ μικροτάτου, καὶ τὴν Κινσάνους ἀπολέσειν μέλλεις, ἵνα λάβῃ αὐτὴν ὁ Γοτθίας, καὶ ἐνταῦθα ἐλεύσῃ συνοδικῶς κριθησόμενος, καὶ καθαιρεθήσῃ ἀσυμπαθῶς. τοῦτό σοι γράφω τελευταῖον, καὶ πρόσεχε αὐτῷ, μήποτε μεταμεληθῇς· τότε γὰρ καὶ τὰ προγεγονότα παρά σου πάντα ἐξετασθήσονται, καὶ οὐδεμία ἔσται συμπάθεια ἢ συγγνώμη, καθὼς γίνεται νῦν. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. η' †.

## CCCLXIX. (6893—1395) augusto. ind. VIII.

***Patriarcha suscipit patronatum monasterii S. Georgii in urbe Capha, constituens, ut sit et nominetur patriarchale.***

### † Γράμμα περὶ τοῦ ἐν τῷ Καφᾷ μονυδρίου τοῦ Ἀσθλάνη ἐκείνου †.

† Ἐπεὶ ὁ ἐν τῷ Καφᾷ εὑρισκόμενος Ἀσθλάνης, ὁ μαρκέσης ἐκεῖνος, ἔτι τῷ βίῳ περιὼν, ἀνήγειρε μονύδριον εἰς ὄνομα τιμώμενον

τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, ᾧ καὶ προσεκύρωσε καὶ ἀφιέρωσε καὶ κτήματά τινα, ἐν δὲ τῷ μέλλειν τελευτᾶν καθέστησεν ἐπιτρόπους ἑπτὰ ἐνδιαθήκως, ὡς ἂν ἐπιμελῶνται καὶ οἰκονομῶσιν αὐτό, διαταξάμενος, ὡς ἂν ἀποθανόντος τοῦ ἑνὸς ἐκλέγηται ἕτερος παρὰ τῶν ἕξ, ὥστε μὴ ἐλαττωθῆναί ποτε τοὺς ἑπτά, διαμένῃ δὲ τὸ μονύδριον ἀνενόχλητον παρά τε τῶν συγγενῶν αὐτοῦ καὶ παρὰ παντὸς ἑτέρου. ἀρτίως δὲ δι' ἀσφάλειαν πλείονα καὶ ἀνενοχλησίαν τοῦ μονυδρίου ἐζήτησαν οἱ εἰρημένοι ἐπίτροποι, ἔχειν παρὰ τῆς ἡμῶν μετριότητος βοήθειαν καὶ σύναρσιν, παραδόντες αὐτῇ καὶ τὴν ἐφορείαν καὶ κτητορίαν τοῦ μονυδρίου τούτου, καὶ ἐδεήθησαν τυχεῖν καὶ γράμματος αὐτῆς εἰς βεβαίωσιν, ἡ μετριότης ἡμῶν τὴν δέησιν αὐτῶν προσδεξαμένη τὸ παρὸν ἀπολύει γράμμα, δι' οὗ καὶ παρακελεύεται, ὡς ἂν πρῶτον μὲν ἀπολαύῃ τὸ εἰρημένον μονύδριον τῆς πατριαρχικῆς βοηθείας καὶ ἐπισκέψεως καὶ δεφενδεύσεως, καὶ ἔχῃ κτήτορα καὶ ἔφορον τὴν ἡμῶν μετριότητα, καὶ πατριαρχικὸν εἶναι καὶ ὀνομάζεσθαι, τηρουμένου δηλονότι τοῦ ὀφειλομένου κανονικοῦ δικαίου πρὸς τὸν ἀρχιερέα τοῦ τόπου, τοῦ τε μνημοσύνου καὶ τῶν λοιπῶν δικαίων, ἔπειτα οἰκονομῆται καὶ οἰκοκυρεύηται παρὰ τῶν εἰρημένων ἐπιτρόπων, ὡς καὶ πρότερον, μετὰ συνειδήσεως καὶ φόβου θεοῦ, ὀφειλόντων διοικεῖν τὰ κατ' αὐτό, μηδενὸς τῶν ἐκείνου συγγενῶν ἢ καὶ τῶν ἀλλοτρίων ὀφείλοντος διενοχλεῖν τῷ μονυδρίῳ ἢ τοῖς ἐπιτρόποις αὐτοῦ μέχρι καὶ τοῦ τυχόντος· εἰ γάρ τις τὸ σύνολον διενοχλήσει αὐτοῖς ἢ ἀπαιτήσει τι ἐξ αὐτοῦ ἢ ἐφορείαν ζητήσει καὶ διοίκησιν πραγμάτων ἢ ἄλλο τι πράξει παρὰ τὸ θέλημα τῶν ἐπιτρόπων, ἀφωρισμένον ἔχει αὐτὸν ἡ μετριότης ἡμῶν, ὁποῖος ἂν εἴη. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. η' †.

## CCCLXX. 6894 (1386) martio. ind. IX.

*Synodus subiicit metropolitae Chersonis ecclesiam Cinsanus.*

† Πρᾶξις τῷ Γοτθίας περὶ τῆς Κινσάνους †.

† Φθάνει πρό τινων ἤδη χρόνων ὁ ἱερώτατος μητροπολίτης Χερσῶνος καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, οὐ καλῶς διατεθεὶς περὶ τὴν τῆς

Γοτθίας ἐνορίαν, ἀλλ' ἐνοχλῶν ἀεὶ τῷ ἱερωτάτῳ μητροπολίτῃ Γοτθίας ἐκείνῳ, κυρῷ Θεοδοσίῳ, καὶ βουλόμενος λαβεῖν τὴν αὐτοῦ ἐπαρχίαν. ἐπεὶ μὴ εὗρεν εὔκολον ἐκεῖ τοῦτο ποιῆσαι, ἀνέδραμεν ἐνταῦθα εἰς τὸν χρηματίσαντα πρὸ ἡμῶν, καὶ γράμμα λαμβάνει παρ' ἐκείνου σιγιλλιῶδες, οὐδένα μὲν λόγον ἔχον δικαίου, οὐκ ἐξέτασιν, ὡς ἐν τοῖς τοιούτοις εἴθισται, οὐ κρίσιν συνοδικήν, οὐ τὴν ἐπακολουθοῦσαν ἀπὸ τῆς ἐξετάσεως ἀπόφασιν, ἀλλ' ὅτι μόνον πτωχή, φησίν, ἐστὶν ἡ τῆς Χερσῶνος ἐκκλησία, δεῖ λαβεῖν αὐτὴν τὴν τῆς γείτονος ἐνορίαν. τοιοῦτον τοίνυν σαθρὸν θεμέλιον ὑποθέμενον τὸ γράμμα ἀποτέμνει μὲν τῆς ἁγιωτάτης μητροπόλεως Γοτθίας μέρος πολύ, ἀποσπᾷ δὲ τῆς μητροπόλεως Σουγδαίας ἕτερον οὐκ ὀλίγον, καὶ προστίθησι τῇ τῆς Χερσῶνος ἐκκλησίᾳ. ἐντεῦθεν ὀχλήσεις καὶ σκάνδαλα μεταξὺ τῶν ἀρχιερέων, καὶ οἱ τοῖς ἄλλοις τὴν εἰρήνην διδάσκειν ἐπιτετραμμένοι παρὰ θεοῦ καὶ παράδειγμα σφᾶς αὐτοὺς κελευσθέντες διδόναι εἰς τὸ ἐναντίον ἅπαν ἐχώρησαν, καὶ κατ' ἀλλήλων ὡπλίζοντο. ὅθεν καὶ ἡ μετριότης ἡμῶν κρίμασιν οἷς οἶδε θεὸς ἐπὶ τὸν ὑψηλὸν πατριαρχικὸν ἀνελθοῦσα θρόνον δεῖν ἔγνω θεραπείαν τὴν δυνατὴν εἰσαγαγεῖν καὶ εἰρηνεῦσαι τοὺς ἀρχιερεῖς μαχομένους. μετακαλεσαμένη τοίνυν αὐτοὺς εἰς τὴν ἱερὰν καὶ μεγάλην σύνοδον, τῆς ὑποθέσεως ἐξετάσει δοθείσης καὶ βασάνῳ συνοδικῇ, ὁ μὲν Γοτθίας γράμματα προεκόμιζε καὶ δικαιώματα παλαιά, δι' ὧν ἐδείκνυ, τῆς ἐνορίας αὐτοῦ εἶναι τὴν Κινσάνους καὶ τὰ λοιπὰ πάντα, περὶ ὧν ἡ διένεξις, καὶ τελευταῖον γράμμα σιγιλλιῶδες συνοδικὸν τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Φιλοθέου, διαλαμβάνον, τοῦ Γοτθίας εἶναι ταῦτα, ὁ δὲ Χερσῶνος οὐδὲν ἕτερον εἶχεν ἐμφανίσαι, εἰ μὴ τὸ εἰρημένον γράμμα τοῦ χρηματίσαντος πατριάρχου. ἔδοξε τοίνυν τότε συνοδικῶς τῇ ἡμῶν μετριότητι, πρὸς τὸν Γοτθίας ἀποβλέπειν τὸ δίκαιον, ἐπεὶ δὲ ὁ Χερσῶνος οὐκ ἔληγε τῆς ὀχλήσεως, ἀλλὰ βοῆς τὰ πάντα πληρῶν ἀδικεῖσθαι διετείνετο, καὶ ἄνω καὶ κάτω πάντα ἐποίει, ἡ μετριότης ἡμῶν τὴν εἰρήνην, ὡς εἴρηται, καὶ τὸ ἀνενόχλητον αὐτῶν βουλομένη, συγκαταβατικώτερον διατεθεῖσα, στέρξαντος τοῦτο καὶ τοῦ Γοτθίας, τὴν μὲν Κινσάνους καὶ τὰ περὶ αὐτὴν χωρία τὸν Χερσῶνος ἔχειν ἀπεφήνατο, τὰ δὲ λοιπὰ πάντα, ὅσα ἂν ὦσιν, ἔχειν τὸν Γοτθίας, καὶ οὕτως αὐτοὺς εἰρηνεύσασα καὶ γράμμασιν ἑκάτερ' ἐφοδιάσασα περὶ τούτου διαλαμβάνουσιν εἰρηνικῶς πρὸς τὰ οἰκεῖα ἐξέπεμψεν. ἦν ταῦτα. καὶ ὁ μὲν

Γοτθίας εἰρήνευε, τοῖς παρ' ἡμῶν δεδογμένοις ἀρκούμενος καὶ μηδεμίαν ὄχλησιν προξενῶν, ὁ δὲ Χερσῶνος ἐνταῦθα μὲν ἔδοξεν εἰρηνεῦσαι, ἐκεῖ δὲ γενόμενος καὶ αὖθις τῆς ὀχλήσεως ἤρξατο, καὶ λαβεῖν καὶ τὰ λοιπὰ τοῦ Γοτθίας ἐβούλετο, καὶ πέμψας πρὸς τὴν ἡμῶν μετριότητα διὰ γραμμάτων μηνύει καὶ πρέσβεων, ἐξέτασιν γενέσθαι τοπικὴν ἐδεῖτο· ἕτοιμος γάρ ἐστιν, ἔλεγεν, ἀποδεῖξαι, πάντα ταῦτα τῆς ἐνορίας εἶναι τοῦ Χερσῶνος. καὶ γράφει μὲν ἡ μετριότης ἡμῶν ἀναγκασθεῖσα, ὥστε πέρας λαβεῖν τὴν ὑπόθεσιν, πρὸς τὸν ἱερώτατον μητροπολίτην Σουγδαίας καὶ Φούλλων καὶ ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν; πέμπει δὲ καὶ ἐντεῦθεν τὸν τιμιώτατον ἱερομόναχον, κῦρ Ἰσίδωρον, ὡς ἂν ἑνωθέντες καὶ ἀπελθόντες ἐκεῖ τοπικῶς ποιήσωσι τὴν ἐξέτασιν ἀπὸ μαρτυρίας γερόντων ἐρωτηθέντων μετὰ βάρους ἀφορισμοῦ. ἀπῆλθον μὲν οὖν ἐκεῖ, πρὶν δὲ τὴν ἐξέτασιν ποιῆσαι κατὰ τὴν πρὸς αὐτοὺς ἡμετέραν ἀνάθεσιν, ἀπολείπει τὸν βίον ὁ Γοτθίας, ὅθεν καὶ καιροῦ λαβόμενος ὁ Χερσῶνος ἐπιτηδείου ἔσπευσε γενέσθαι τὴν ἐξέτασιν χηρευούσης τῆς ἐκκλησίας Γοτθίας· καὶ γίνεται μὲν ἡ ἐξέτασις, ἀναφαίνεται δὲ διὰ πάντων, πάντα τῆς Γοτθίας εἶναι, καὶ ἡ Κινσάνους καὶ τὰ περὶ αὐτὴν καὶ πάντα, ὅσα ὁ Χερσῶνος κρατεῖ. ἐν τούτοις χειροτονεῖται ὁ νῦν ἱερώτατος μητροπολίτης Γοτθίας, ὑπέρτιμος καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ὁ κῦρ Ἀντώνιος, καὶ δεῖται τῆς ἡμῶν μετριότητος, ἔχειν τὴν κατ' αὐτὸν ἐκκλησίαν τὸ οἰκεῖον δίκαιον, ἐπειδήπερ ἐλθὼν καὶ ὁ ἱερομόναχος κῦρ Ἰσίδωρος ἐνεχείρισεν ἐγγράφως τὴν γεγονυῖαν ἐξέτασιν τῇ ἡμῶν μετριότητι, πάντα κατὰ μέρος διαλαμβάνουσαν. ἡ δὲ μετριότης ἡμῶν, ἔτι φειδομένη τοῦ Χερσῶνος καὶ περιποιουμένη τὸ ἀνενόχλητον, καὶ αὖθις πρὸς τὸν Χερσῶνος ἔγραφεν, ὥστε κρατεῖν καὶ ἔτι τὴν Κινσάνους μόνην καὶ τὰ περὶ αὐτὴν χωρία, τῶν δὲ λοιπῶν παντελῶς ἀποσχέσθαι καὶ μηδαμῶς αὐτὰ ζητεῖν, ἐπεὶ ἐὰν ὅλως γένηταί τι σκάνδαλον παρ' αὐτοῦ μέχρι καὶ τοῦ μικροτάτου, λήψεται καὶ τὴν Κινσάνους ὁ Γοτθίας, ὡς ἰδίαν ἐνορίαν αὐτοῦ. ἐπεὶ δὲ ἀρτίως ὁ Γοτθίας ἀπερχόμενος εἰς τὴν ἐκκλησίαν αὐτοῦ ἐζήτησεν ἐπὶ τῆς ἡμῶν μετριότητος προκαθημένης συνοδικῶς, συνεδριαζόντων αὐτῇ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Θεσσαλονίκης, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Οὐγγρο-

βλαχίας, τοῦ Μονεμβασίας καὶ τοῦ Παλαιῶν Πατρῶν καὶ τοῦ Ῥωσίας, ὡς ἂν ἡ ἀπόφασις αὕτη γένηται γνώριμος καὶ τῇ ἱερᾷ συνόδῳ, καὶ ἀποκαταστῇ διὰ πράξεως συνοδικῆς δι' ἀσφάλειαν, ἤδη πρότερον ἀναγνωσθέντος συνοδικῶς τοῦ πρὸς τὸν Χερσῶνος γράμματος τῆς ἡμῶν μετριότητος καὶ στερχθέντος παρὰ πάντων τῶν ἀρχιερέων, ἀποφηναμένων, πολλῇ χρήσασθαι συγκαταβάσει τὴν ἡμῶν μετριότητα πρὸς τὸν Χερσῶνος, τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα συνοδικῶς, δι' οὗ καὶ παρακελεύεται ἐν ἁγίῳ πνεύματι, μόνην τὴν Κινσάνους καὶ τὰ περὶ αὐτὴν χωρία κρατεῖν τὸν Χερσῶνος καὶ πλέον οὐδέν, τὰ δὲ λοιπὰ πάντα, ὅσα ἂν ὦσι, κατέχειν τὸν Γοτθίας ἀνενοχλήτως καὶ ἀδιασείστως, ἀναφαιρέτως καὶ ἀναποσπάστως, ὡς τῆς ἐκκλησίας αὐτοῦ ὄντα καὶ ὑπὸ τὴν ἐνορίαν αὐτῆς τελοῦντα. ἂν μὲν οὖν ἀπὸ τοῦ νῦν ὁ Χερσῶνος εἰρηνεύῃ, καὶ παύσηται τῶν προτέρων σκανδάλων καὶ τῆς ταραχῆς, εὖ ἂν ἔχοι· εἰ δὲ καὶ ἔτι τὰ αὐτὰ ποιεῖ καὶ ἐγείρει τὸ τυχὸν σκάνδαλον μέχρι καὶ τοῦ μικροτάτου, ἢ πρὸς τὴν ἡμῶν μετριότητα γράφει βοῶν ἀδικεῖσθαι καὶ ἀπαιτῶν πάλιν αὐτά, ἐκπεσεῖται τέλεον καὶ ὧν ἔχει νῦν, καὶ λήψεται ὁ Γοτθίας καὶ τὴν Κινσάνους καὶ τὰ περὶ αὐτὴν κατὰ τὴν γενομένην ἐκεῖ τοπικὴν ἐξέτασιν, καὶ καθέξει ταῦτα ὡς τῆς ἐνορίας αὐτοῦ δίκαια κατὰ ἀναφαίρετον ἐξουσίαν καὶ κυριότητα. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ τε καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ Γοτθίας καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν κατὰ μῆνα μάρτιον τῆς ἐνισταμένης θ' ἰνδ.* τοῦ ‚ϛωϟδ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCLXXI. (6894—1386) martio. ind. IX.

*Patriarcha committit metropolitae Gotthiae administrationem pagi patriarchalis Ialitae.*

† Ἔνταλμα τῷ Γοτθίας περὶ τῆς Γιαλίτας †.

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Γοτθίας καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ αὐτῆς καὶ συλλειτουργῷ, τὴν ἐξαρχίαν καὶ διοίκησιν

τῆς πατριαρχικῆς χώρας τῆς λεγομένης Γιαλίτας, ὅστις καὶ ὀφείλει ἐπιβλέπειν αὐτὴν καὶ πάντας τοὺς εὑρισκομένους ἐν αὐτῇ ἱερωμένους καὶ τὸν λοιπὸν τοῦ χορίου λαὸν τὸν χριστώνυμον, ὥστε παραινεῖν καὶ διδάσκειν καὶ εἰσηγεῖσθαι τούτοις τὰ ψυχωφελῆ καὶ σωτήρια, ἔχων ἄδειαν ἱερουργεῖν ἐν τοῖς εὑρισκομένοις ἐν αὐτῇ πατριαρχικοῖς ναοῖς ἀκωλύτως, ἀναγνώστας σφραγίζειν, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν καὶ τἄλλα πάντα ποιεῖν τὰ ἀρχιερατικὰ δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀναφερομένου μόνου τοῦ πατριαρχικοῦ ὀνόματος ἐν ταῖς ἱεραῖς τελεταῖς· ἐπεὶ δέ τινες τῶν μητροπολιτῶν Γοτθίας, κατὰ καιρὸν λαβόντες ἐξαρχικῶς τὴν εἰρημένην πατριαρχικὴν χώραν, πλησίον τῶν πατριαρχικῶν ναῶν, μᾶλλον δὲ ἐντὸς αὐτῶν ἕτερα θυσιαστήρια συνεστήσαντο παρὰ τὴν διαταγὴν τῶν ἱερῶν κανόνων, ἐπ' ὀνόματι ἑαυτῶν ταῦτα πήξαντες, πρᾶγμα πεποιηκότες καθαιρέσεως ἄξιον (οὐδεμίαν γὰρ ἄδειαν ἔχουσιν ἐν τοῖς πατριαρχικοῖς θυσιαστήρια ἱστᾶν ἴδια, καθὼς ἐπ' ἐκκλησίας ὑπόσχονται ἐν ταῖς ὁμολογίαις αὐτῶν) παρακελεύεται ἡ μετριότης ἡμῶν, καὶ ταῦτα πάντα πατριαρχικὰ λογίζεσθαι καὶ τὸν πατριάρχην ἐν αὐτοῖς μνημονεύεσθαι μόνον. ἐπεὶ δὲ καὶ περὶ κτημάτων τινῶν τῶν ἐκεῖσε ναῶν ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὅτι κατέχονται παρά τινων, προβαλλομένων, ὡς ἠγόρασαν ταῦτα παρὰ ἐξάρχων τινῶν, ἀνατίθησι καὶ περὶ τούτου τῷ μητροπολίτῃ, ὡς ἂν σπουδάσῃ καὶ ἀγωνίσηται ἐπαναλαβεῖν ταῦτα καὶ ἀποδοῦναι ταῖς ἐκκλησίαις, οὐδὲ γὰρ εἶχον ἄδειαν οἱ ταῦτα πωλήσαντες τοῦτο ποιῆσαι. ὀφείλουσιν οὖν οἱ κατέχοντες ταῦτα, καὶ ὅσα καὶ οἵ ἂν ὦσι, μετὰ βάρους ἀφορισμοῦ φρικώδους ἀπολῦσαι αὐτὰ καὶ παραλαβεῖν τοὺς ἔχοντας αὐτὰ ἱεροὺς ναούς, περὶ δὲ τοῦ εἰσοδήματος τῆς εἰρημένης χώρας τῷ μητροπολίτῃ θαρρεῖ ἡ μετριότης ἡμῶν καὶ ὡς ἡμετέρῳ καλογήρῳ καὶ ὡς συνείδησιν ἔχοντι, ὡς ἂν ἅπαν τὸ εἰσόδημα πέμπῃ ἀνελλιπῶς εἰς τὸ πατριαρχικὸν κελλίον. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαρτίῳ ἰνδ. ἐνάτης †.

## CCCLXXII. (6894—1386) maio. ind. IX.

*Metropolitae Corinthi, exarcho totius Peloponnesi,* διὰ τὸ μὴ ἔχειν ἱκανῶς τὰς πρὸς τὸ ζῆν ἀναγκαίας χρείας ἐκ τῆς ἐκκλησίας αὐτοῦ *confertur per adiunctionem metropolis Christianupoleos,* μὴ δυναμένη ἔχειν γνήσιον ἀρχιερέα. *Eidem conferuntur* δι' ἑτέρου πατριαρχικοῦ γράμματος πάντα τὰ ἐν τῇ Πελοποννήσῳ πατριαρχικὰ δίκαια ἐξαρχικῶς κατὰ τὴν ἀναγεγραμμένην ἴνδικτον †.

## CCCLXXIII. (6895—1387) februario, aprili. ind. X.

*Promissiones duorum clericorum.*

I. † Ἐγὼ πρεσβύτερος ὁ Ἀθανάσιος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς, ἐπεὶ ὡδηγήθη ἐκ θεοῦ, καὶ συνεπάθησέ μοι εἰς ἅπερ ἐπλημμέλησα ἀπὸ περιπετείας καὶ συναρπαγῆς, καὶ ἕνεκα τῶν ὕβρεων ὧν κατὰ τοῦ πνευματικοῦ ἐξέχεον, καὶ δέδωκέ μοι τὴν ἱερωσύνην μου, ὀφείλω καὶ αὐτὸς ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς διάγειν καλῶς καὶ ἔχειν θύραν φυλακῆς περὶ τὰ χείλη μου καὶ μήτε κατὰ τοῦ πνευματικοῦ, μήτε καθ' ἑτέρου τινὸς ὕβρεις ἀλλοκότους κινῆσαι· ἔτι τε ὀφείλω τηρεῖν τὴν ἱερατικὴν πολιτείαν καὶ κατάστασιν ἀκριβῶς καὶ μὴ πωλεῖν καπηλικῶς οἶνον ἐντὸς τοῦ ὀσπητίου μου, ἀλλὰ καὶ τὴν λοιπήν μου πολιτείαν καὶ τοῦ οἴκου μου διατηρεῖν ἄμεμπτον, καθὼς ἐστι προσῆκον. εἰ δὲ εὑρεθείην μὴ φυλάξαι ταῦτα πάντα, καθὼς νῦν ὑπόσχομαι, ἵνα καθαιρῶμαι δίχα τινὸς οἴκτου καὶ συμπαθείας. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν κατὰ μῆνα φευρουάριον τῆς ι' ἰνδ. †.

† Ἀθανάσιος ἱερεὺς στέργον ὑπέγραφα †.

II. Ἐγὼ ὁ ἱερόμοναχος Θεόφιλος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς, ἐπεὶ ὡδηγήθη ἐκ θεοῦ καὶ συνεπάθησέ μοι, καὶ δέδωκέ μοι τὴν ἱερωσύνην μου, οὐ μὴ εὑρεθῶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μεθ' ἧς κατηγοροῦμαι καὶ ὑποπτεύομαι,

οὔτε εἰς τὸ οἴκημα αὐτῆς ὀφείλω ἀπέρχεσθαι· εἰ δὲ εὑρεθείην ποτὲ εἰς τὸ οἴκημα αὐτῆς ἢ ἄλλοθι ὁμιλῶν ἐκείνῃ, ἵνα καθαιρῶμαι ἀσυμπαθῶς. τούτου γὰρ χάριν καὶ ἡ παροῦσά μου ὑπόσχεσις ἐγράφη κατὰ μῆνα ἀπρίλλιον τῆς ι' ἰνδ. †.

† Θεόφιλος ἱερομόναχος στέργον ὑπέγραφα †.

CCCLXXIV. (6895—1387) maio. ind. X.

*Patriarcha declarat falsas esse accusationes institutas a patriarcha Macario in metropolitam Serrarum.*

† Ὁ ἱερώτατος μητροπολίτης Σερρῶν καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, συνεδριάζων τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, συνεδριαζόντων αὐτῇ καὶ ἄλλων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἐφέσου, τοῦ Θεσσαλονίκης, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοιάνδε τινὰ ἀναφορὰν ἐποιήσατο· ὡς τέταρτον ἤδη χρόνον ἄγει, ἀφ' οὗ τῇ κακίστῃ περιέπεσεν αἰχμαλωσίᾳ, δεσμοῖς καὶ φυλακαῖς ταλαιπωρῶν ἀεὶ καὶ ταῖς ἀπὸ τούτων συμφοραῖς πιεζόμενος, καὶ νῦν πωληθεὶς ἐπὶ μεγάλῳ τιμήματι καὶ ἐγγυητὰς δοὺς φιλοχρίστους ἀνθρώπους ἐξῆλθε περιπατῶν καὶ πλανώμενος καὶ ζητῶν ἐλεημοσύνην παρὰ τῶν χριστιανῶν, ὡς ἂν ἐλευθερώσῃ ἑαυτὸν καὶ τοὺς ἐγγυητάς. ἐπεὶ τοίνυν τοσοῦτον ἔχει χρόνον καὶ οὐκ ἔσχεν ἐλευθερίαν ἱερουργῆσαι, ὥστε κοινωνῆσαι τῶν ζωοποιῶν τοῦ Χριστοῦ μυστηρίων καὶ ἁγιασθῆναι, ἐδεήθη τῆς ἡμῶν μετριότητος μετὰ προτροπῆς αὐτῆς τοῦτο ποιῆσαι, ἔνθα ἂν αὕτη διακρίνῃ. ἡ γοῦν μετριότης ἡμῶν εἶχε μὲν ἑτοίμως τὴν ζήτησιν αὐτοῦ δέξασθαι δικαίαν οὖσαν καὶ εὔλογον καὶ ἀποπληρῶσαι ταύτην· ἀλλ' ἐπεί, ἀφ' οὗ κρίμασιν οἷς οἶδε θεὸς ἀνῆλθεν εἰς τὸν πατριαρχικὸν θρόνον, ἡ μετριότης ἡμῶν εὗρεν ἐν τοῖς ἱεροῖς κώδιξι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας γεγραμμένα τινὰ ἐγκλήματα κατὰ τούτου δὴ τοῦ ἱερωτάτου μητροπολίτου Σερρῶν, φόνων κατηγορίαν ἔχοντα, ἐπὶ τοῦ χρηματίσαντος πρὸ ἡμῶν πατριάρχου γενόμενα, φευδῆ μὲν καὶ ἀνυπόστατα καὶ σαθρὰ καὶ προδήλως κατεγνωσμένα, ὅμως μέντοι δεόμενα ἐξετάσεως κανονικῆς, ἐκέλευσεν ἡ μετριότης ἡμῶν δι' ἀσφάλειαν ἑαυτῆς ἀναγνωσθῆναι ταῦτα ἐπὶ τῆς θείας καὶ ἱερᾶς συνόδου καὶ εἰπεῖν μὲν τὸν Σερρῶν ὑπὲρ ἑαυτοῦ, εἴ τι καὶ εἰπεῖν ἔχει, εἰπεῖν δὲ καὶ τοὺς ἀρχιερεῖς, τίνα γνώμην ἔχουσι περὶ αὐτῶν. ἀναγνωσθέν-

των τοίνυν, ἐρωτηθεὶς ὁ Σερρῶν ἀπεκρίνατο οὕτως· ὅτι πρῶτον μὲν οὐδεὶς, φησὶ, ἀγνοεῖ, πῶς διέκειτο πρὸς ἐμὲ ὁ χρηματίσας πατριάρχης, ὅτε γὰρ ἐχειροτονήθην μητροπολίτης Σερρῶν ψήφῳ συνοδικῇ παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου καὶ ἁγιωτάτου πατριάρχου, κυροῦ Φιλοθέου, ἐκεῖνος μητροπολίτης ὢν Σεβαστείας, ἔχων καὶ ἄλλους δύο τῶν ἀρχιερέων συνεργοὺς, οὐκ ἠθέλησε δοῦναι γνώμην, καὶ ἐγὼ μὲν νικησάσης τῆς τῶν πλειόνων ψήφου κανονικῶς ἐχειροτονήθην, οἱ δὲ φιλονείκως ἀντιλέγοντες κατὰ τὸν κανόνα παρωράθησαν· ὡς δὲ συγχωρήσει θεοῦ ἐξῆλθε μὲν τοῦ πατριαρχείου ὁ ἅγιος ἐκεῖνος, παρέλαβε δὲ τὴν ἐκκλησίαν οὗτος, καὶ πατριάρχης οἰκουμενικὸς προεβλήθη, πάντα λίθον ἐκίνει τρόπους ἐξευρεῖν καὶ μηχανὰς συσκευάσαι, ὥστε με τῆς ἐκκλησίας ἐξῶσαι καὶ παντελῶς διαφθεῖραι καὶ οὐ μόνον τῆς τιμῆς με καθελεῖν καὶ τῆς πνευματικῆς ἀξίας, ἀλλὰ καὶ σωματικῷ παραδοῦναι κινδύνῳ, καὶ τοῦτο δῆλον ἐξ ὧν πρὸς ἐμὲ μὲν οὐκ ἔγραφεν ἐκεῖνος, οὐδὲ ἐδεξάμην ὅλως ἐκείνου γράμματα, πρὸς δὲ τοὺς ὑπ' ἐμὲ κληρικοὺς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν ἔγραφεν, ἵνα με ἐκβάλωσι τῆς ἐκκλησίας μου γυμνὸν μετὰ ὕβρεων καὶ πληγῶν καὶ, εἰ δυνατὸν, μηδὲ τὸν τελευταῖον χιτῶνα ἐάσωσί με φορεῖν· ἀλλὰ καὶ τὰ νῦν ἀναγνωσθέντα κατ' ἐμοῦ πάντα ἐκείνου δόλοι καὶ σοσκευαί εἰσιν· ἐγὼ γὰρ, εἰ καὶ πρὸς ἐμὲ λέγει γραφῆναι γράμμα ἐκείνου, ἵνα ἔλθω καὶ κριθῶ, εἰ δὲ μὴ, ἵνα διαμένω ἀργὸς, ἀλλ' οὔτε ἐδεξάμην ὅλως γράμμα τοιοῦτον, οὔτε ἤκουσα ταῦτα τὰ κατ' ἐμοῦ λαλούμενα μέχρι τῆς ὥρας ταύτης. πῶς δὲ καὶ, εἰ ἐδεχόμην γράμμα τοιοῦτον, ἔμελλον ἐλθεῖν; ποῖον κανονικὸν μήνυμα βλέπω; τίνες κατήγοροι τῇ συνόδῳ παραστάντες καὶ λιβέλλους δόντες κατ' ἐμοῦ ἐνεγράψαντο, ἵνα τὴν ταυτοπάθειαν λάβωσι, τῶν ἀποδείξεων ἀπορήσαντες; τίνες τῶν ἀρχιερέων ἐπέμφθησαν πρὸς ἐμὲ, καθὼς οἱ θεῖοι καὶ ἱεροὶ κανόνες διαγορεύουσι; ποίαν διωρίαν κανονικήν μοι δέδωκεν, ἢ πόσα μηνύματα, ἵνα, ἐὰν οὐκ ἔλθω, ἀργήσω; πῶς δέ μοι ἔγραφεν ἐν τῇ ἀρχῇ τοῦ γράμματος; ὁ προϊστάμενος τῆς ἐκκλησίας τῶν Σερρῶν, κῦρ Ματθαῖος Φακρισῆ. τοιούτων γραμμάτων ἐλθόντων πρὸς ἐμὲ, εἴπερ καὶ ἤρχοντο, ἔδει με ἐλθεῖν ἐνταῦθα καὶ κρίνεσθαι; οὐδέποτε ἂν ἐποίησα τοῦτο. ἐγὼ δὲ καὶ τούτων πάντων κανονικῶς προβάντων, εἰ προέβαινον, οὐδόλως ἔμελλον ἐλθεῖν· ἔφευγον γὰρ ἂν οὐ τὴν κρίσιν, οὐδὲ τὴν δικαίαν ἐξέτασιν, ἀλλὰ φανερῶς ἐχθρὸν ἡμέτερον καὶ πολεμιώτατον.

ὅμως καὶ τούτων ὄντων τότε μέν, δι' ἃς εἶπον αἰτίας, τὴν κρίσιν ἴσως ἐξέφευγον, νῦν δὲ ἰδοὺ πάρειμι, καὶ εἴπερ εἰσὶ κατήγοροι λέγοντες κατ' ἐμοῦ, ἕτοιμός εἰμι, περὶ ὧν κατηγοροῦμαι, προθύμως ἀπολογεῖσθαι, δικαίαν κρίσιν βλέπων· πάντα γὰρ τὰ κατ' ἐμοῦ λαλούμενα ψεῦδος εἶναι λέγω καὶ μὴ ὄν. πρὸς ταῦτα ἡ μετριότης ἡμῶν γνώμῃ καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων διέκρινε, δίκαια λέγειν αὐτόν· ὅπως γὰρ πρὸς αὐτὸν ὁ χρηματίσας πατριάρχης διέκειτο, πᾶσίν ἐστι φανερὸν καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ τοῖς τιμιωτάτοις ἄρχουσι τῆς μεγάλης ἐκκλησίας καὶ τῷ κλήρῳ παντί, καὶ τὰ κατ' αὐτοῦ γεγραμμένα οὐδενὸς ἔχονται λόγου κανονικοῦ, ἀλλ' αὐτόθεν ἐλέγχονται ψευδῆ καὶ κατεγνωσμένα, οὔτε γὰρ κατηγόρους ἔχουσιν, οὔτε μηνύματα κανονικὰ πρὸς αὐτὸν ἐπέμφθησαν, οὔτε διωρία ἐδόθη, οὔτε κἂν ὅλως ἑαυτοῖς συμφωνοῦσιν· ὃν γὰρ ἐν τῇ ἀρχῇ τοῦ γράμματος ἀπεστέρησε τοῦ τῆς ἀρχιερωσύνης ὀνόματος καὶ τοῦ συνήθους προσρήματος τῶν μητροπολιτῶν καὶ καθεῖλε τῆς ἀξίας δίχα κρίσεως, δίχα ἐξετάσεως, δίχα μηνυμάτων, μηδὲ χώραν ἀπολογίας αὐτῷ δούς, τοῦτον ὕστερον ἀργεῖ τῆς ἱερωσύνης, ἣν οὐ συγχωρεῖ αὐτῷ κατ' ἀρχὰς ἔχειν. ἐπεὶ τοίνυν οὔτε τότε, οὔτε νῦν πάρεισιν οἱ κατηγοροῦντες αὐτοῦ, ἵνα κανονικῶς ἀπολογήσηται, διαγινώσκει καὶ ἀποφαίνεται συνοδικῶς ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος γράμματος, διαμένειν τὸν ἱερώτατον μητροπολίτην Σερρῶν ἀθῷον πάντῃ καὶ ἀνεύθυνον ἀπὸ τῶν κατ' αὐτοῦ γραφέντων ἐγκλημάτων παρὰ τοῦ χρηματίσαντος πατριάρχου καὶ ἀργὰ εἶναι καὶ ἄκυρα καὶ ἀβέβαια ταῦτα, ὥσπερ ἂν εἰ μηδὲ ἐγένοντο διαγραφόμενα, ἤδη διὰ τοῦ παρόντος γράμματος τῆς ἡμῶν μετριότητος, ὡς ψευδῆ καὶ ἀνυπόστατα καὶ κατεγνωσμένα καὶ πολεμίου καὶ ἐχθροῦ κατηγορήματα, αὐτὸν δὲ τὸν μητροπολίτην Σερρῶν καὶ ἀδελφὸν ἔχομεν καὶ συλλειτουργὸν καὶ τῆς μεθ' ἡμῶν ἀξιοῦμεν κοινωνίας, οὐ λόγοις μόνον, ἀλλὰ καὶ πράγμασιν, οὐδαμῶς ἐνεχόμενον ποτὲ τῶν καιρῶν εἰς τὴν περὶ τῶν κατ' αὐτοῦ ψευδῶς λαληθέντων ἐξέτασιν ἢ ὅλως ὀφείλοντα περὶ τούτων ἀπολογεῖσθαι. τούτου γὰρ χάριν ἀπολέλυται τῷ δηλωθέντι ἱερωτάτῳ μητροπολίτῃ Σερρῶν καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τὸ παρὸν αὐτῆς ἀθωοτικὸν γράμμα δι' ἀσφάλειαν†.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. δεκάτης †.

## CCCLXXV. 6891 (1383) martio. ind. VI.

*Patriarcha iubet dividi monasteria patriarchae Athanasii, in quibus viri mulieresque una habitabant.*

† Σιγίλλιον τοῦ μερισμοῦ τῶν κτημάτων καὶ τῶν μοναστηρίων τοῦ ἁγίου Ἀθανασίου †.

† Εἰ μὲν οἷόν τε ἦν καὶ τὸ πεφυκὸς ἐχορήγει ἐπὶ τοῦ προσήκοντος σχήματος μένειν τὰ καλῶς τὴν ἀρχὴν γεγονότα, οὐδὲ διορθώσεως ἂν ἐδέησε τοῖς τὴν τοιαύτην ἀρχὴν ἐγχειρισθεῖσι παρὰ θεοῦ, ἀρκούσης τῆς τῶν πραγμάτων φύσεως καὶ τῆς ἀρχῆθεν ἐντεθείσης αὐτοῖς τάξεως πρὸς τὴν ἰδίαν διαμονήν τε καὶ σύστασιν. ἐπεὶ δὲ οὐχ ἧττον ἡ ῥᾳθυμία καὶ ἡ περὶ τὰ φαῦλα τῶν πλειόνων σπουδὴ ἤπερ ἡ τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἄτακτος φορά τε καὶ κίνησις ὥσπερ ἐξ ἀντιρρόπου παρασκευῆς εἰς τἀναντία πολλάκις τὰ κάλλιστα μεθιστᾷ, ἀνάγκη τοῖς τῶν τοιούτων διορθωταῖς περὶ τὴν θεραπείαν σπουδὴν εἰσάγειν, ὅση δυνατή, καὶ χεῖρα τοῖς κειμένοις ὀρέγειν· καὶ γὰρ καὶ ὁ κύριος ἡμῶν καὶ θεὸς τὴν ἀνθρωπείαν φύσιν τὴν πρώτην ἀπολέσασαν πλάσιν ἐλεεινῶς καὶ εἰς ἔσχατον ἀπωλείας βάραθρον ἐμπεσοῦσαν οὐ παρεῖδε διὰ πέλαγος ἄφατον ἐλέους, ἀλλὰ καὶ δευτέρας ἐδέησεν αὐτῷ ἀναπλάσεως, πολλῷ τῆς προτέρας θαυμασιωτέρας καὶ μείζονος. ὁ γοῦν ἁγιώτατος πατὴρ ἡμῶν Ἀθανάσιος ὁ ἐν πατριάρχαις ἀοίδιμος οὐ πρὸ πολλοῦ τῆς καθ᾽ ἡμᾶς γεγονὼς γενεᾶς καὶ τὸν πατριαρχικὸν θρόνον, εἴπερ τις ἄλλος, κοσμήσας καὶ πολλὰ λόγου καὶ μνήμης ἄξια πεποιηκὼς πρὸς ὠφέλειαν ψυχῶν, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰργάσατο, τὴν τῶν μοναστηρίων οἰκοδομὴν καὶ τὴν ἐν αὐτοῖς τῶν τοσούτων ψυχῶν κατοίκησιν τῶν ἐκ τοῦ κλύδωνος τῆς ἁμαρτίας ἐπιστρεφόντων, λιμένα τὴν τῶν οὐρανῶν προξενοῦντα βασιλείαν, οἷς πολλὰ μὲν ἀφιέρωσε κτήματα, οὐκ ὀλίγα δὲ καὶ ἕτερα πράγματα καὶ τύπους καὶ κανόνας ἐξέδωκε προσευχῆς καὶ διαίτης καὶ τῆς ἀκριβεστέρας τῶν μοναχῶν πολιτείας· ἓν δὲ μετὰ τῶν ἄλλων ἀποκατέστησε, καλὸν μὲν καὶ αὐτό, καὶ τελείων ἀνδρῶν τε καὶ γυναικῶν ἔργον, οἷς πρὸς τὸ τῆς ἀπαθείας ἀκρότατον ἀνελθοῦσιν οὐδὲ διαίρεσίς ἐστιν ἄρρενος καὶ θήλεος, οἷος ἐκεῖνος ὁ μέγας ἦν, τοιούτους καὶ τοὺς μαθητὰς εἶναι διδάσκων, τὴν τῶν γυναικῶν φημι μετὰ τῶν ἀνδρῶν ἕνωσιν ὁμοῦ καὶ διαίρεσιν, ὥστε τὴν μὲν κατοικίαν ἰδίαν ἔχειν καὶ

χωρὶς ἑκάτερον μέρος μονάζειν, ὑποκεῖσθαι δὲ τοῖς μοναχοῖς τὰς γυναῖκας καὶ τὴν αὐτὴν ἔχειν καὶ δίαιταν καὶ πολιτείαν καὶ ὑφ' ἑνὶ καθηγεμόνι τετάχθαι, καὶ κοινὰ μὲν εἶναι τὰ κτήματα, κοινὴν δὲ καὶ τὴν τροφήν, ἀνάγκην ἐχόντων τῶν ἀνδρῶν τῆς καθ' ἑκάστην τραπέζης ἐκείνων φροντίζειν, ἅπερ, ἕως μὲν ὁ τοῦ θεοῦ ἄνθρωπος ἐκεῖνος ἐν τῷ παρόντι βίῳ εἰς κοινὸν ἁπάντων ὄφελος ἦν, καὶ καλῶς ἐτηροῦντο καὶ παρὰ πάντων ἐστέργοντο, ἀγγέλων πολιτείαν ἐπὶ γῆς μιμουμένων, ἐκείνου δὲ πρὸς ὃν ἐπόθει θεὸν ἐκδημήσαντος, τοσοῦτον ὑπορρεῖν ἤρξατο κατὰ μικρὸν τὸ καλὸν τοῦτο καὶ ἀξιόλογον ἔργον, καὶ εἰς τοσαύτην κατήντησεν ἀταξίαν, ὥστε καὶ εἰς τὸ ἐναντίον κατ' ὀλίγον ἐλθεῖν καὶ κακίαν ἀντὶ τῆς ἀρετῆς γενέσθαι καὶ μὴ μόνον οὐκ ἐπαινεῖσθαι τὴν πρᾶξιν ἐκείνην παρά τινων, ἀλλὰ καὶ ψέγεσθαι παρὰ πάντων, κατηγορούντων τῆς ἁγίας ἐκείνης καὶ ἀπλάστου ψυχῆς· οὐ μόνον γὰρ οὐδεμία ὠφέλεια ἦν πνευματική, μᾶλλον μὲν οὖν καὶ πολλὴ ἡ ζημία καὶ εἰς αὐτὰ τὰ καιριώτατα τὸν ψυχικὸν φέρουσα κίνδυνον, ἀλλὰ καὶ τοῖς σωματικοῖς οὐκ ὀλίγην φθορὰν προεξένησε, τῶν μὲν γυναικῶν οὐδαμῶς ἐργαζομένων, τῶν δὲ ἀνδρῶν ἀμελούντων παντάπασι τῶν κτημάτων, ὡς οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων ἐργαζομένων. ἐντεῦθεν διαίρεσις καὶ διχοστασίαι καὶ ἔρις, καὶ τὸ τῆς ἀγάπης ἀπελήλατο χρῆμα, καὶ οὐδαμοῦ εἰρήνη, καὶ τὸ φιλάδελφον ἀπέπτη παντάπασιν, καὶ πᾶν αὐτοῖς εἰσεφθάρη τὸ ἐναντίον, καὶ πάσης κακίας εἰσεκώμασε εἶδος, καὶ ἔργα πράττουσι μή τοι γε μοναχῶν, ἀλλ' οὐδὲ χριστιανῶν ἁπλῶς ἄξια· δι' ἅπερ ἡ μετριότης ἡμῶν, κρίμασι θειοτέροις ἐπὶ τὸν πατριαρχικὸν ἀνελθοῦσα θρόνον, ὠδινομένη τὴν ψυχὴν καὶ ἀλγοῦσα καὶ τρόπον θεραπείας ἐπιζητοῦσα εὗρε καὶ δὴ σὺν θεῷ οὐκ ἀπᾴδοντα οἶμαι καὶ τῷ σκοπῷ τοῦ ἁγίου, ἀλλὰ καὶ λίαν συνᾴδοντα· συνδιασκεψαμένη καὶ γὰρ ἡ μετριότης ἡμῶν τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, προθύμους εὑροῦσα καὶ τοὺς τῶν μοναστηρίων τούτων μοναχοὺς ἄνδρας τε καὶ γυναῖκας καὶ λίαν ἀποδεχομένους τοῦτο, διέγνω καὶ ἀπεφήνατο, ἀπ' ἀλλήλων διαιρεθῆναι τὰ μοναστήρια, καὶ ἐπεὶ ἀκριβεῖ βασάνῳ καὶ ἐξετάσει τὸ πρᾶγμα δοῦσα εὗρε τοὺς μὲν ἄνδρας πολλούς, τὰς δὲ γυναῖκας ὀλίγας, ἀναλόγως κατὰ τὸν ἀριθμὸν τῶν προσώπων ἔγνω τὸν μερισμὸν τῶν κτημάτων ποιῆσαι. ἐπεὶ τοίνυν διπλάσιοι γίνονται πρὸς αὐτὰς ἀριθμηθέντες οἱ μοναχοί, εἰς δίμοιρα

## CCCLXXVI. (6892—1384) martio. ind. VII.

*Professio fidei trium Latinorum.*

† Ὁμολογία τοῦ ἀπὸ τῶν Λατίνων ἐλθόντος Τίτου †.

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. πρὸς τούτοις ἀποβάλλομαι τὴν παρὰ τῶν Λατίνων γενομένην προσθήκην ἐν τούτῳ τῷ ἁγίῳ συμβόλῳ τὴν λέγουσαν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον· πιστεύω γὰρ καὶ ὁμολογῶ, ὅτι ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, ἀποβάλλομαι δὲ καὶ πάντα τὰ ἔθιμα αὐτῶν καὶ τὴν πολιτείαν καὶ διαγωγήν, ὅσα εἰσὶν ἔξω τῆς καθολικῆς ἁγίας τῶν χριστιανῶν ἐκκλησίας καὶ τῆς νομοθεσίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων καὶ θεοφόρων πατέρων, καὶ στέργω καὶ φρονῶ πάντα, ὅσα καὶ ἡ ἁγία ἐκκλησία τῆς Κωνσταντινουπόλεως, καὶ προσέρχομαι ὁλοψύχως καὶ καθαρῶς τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, καὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ μηνὶ μαρτίῳ ἰνδ. ζʹ †.

† Piero da Uerona.

Σίγνον | Ἰωάννου

τοῦ | Ἀμινσέλη. οὗτος ἔστερξε τὴν παροῦσαν ὁμολογίαν, καὶ προσῆλθε τῇ ἁγίᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως, καὶ ἀπεβάλετο τὸ σέβας καὶ τὰς αἱρέσεις τῶν Λατίνων μηνὶ μαρτίῳ ἰνδ. ζʹ †.

## CCCLXXVII. (6892—1383) maio. ind. VII.

*Promissio monachi Theodosii Phudulis, magi.*

† Ἐπεὶ πολλάκις εὑρέθην διενεργῶν ἐποδὰς καὶ μαγίας, καὶ οὐ μόνον τὴν ἐμαυτοῦ ψυχὴν ἔφθειρα καὶ τῆς δόξης ἐξέπεσον τοῦ Χριστοῦ, τοῖς ἔργοις ἀκολουθήσας τοῦ σατανᾶ, ἀλλὰ καὶ ἄλλων πολλῶν ἀνθρώπων ψυχὰς ἀπώλεσα τῶν προσελθόντων μοι, διὰ καὶ ἐ(πη)ρίας καὶ ὕβρεις καὶ διωγμοὺς ὑπέστην καὶ παρὰ τῆς ἐκκλησίας τοῦ Χριστοῦ καὶ παρὰ πάντων τῶν χριστιανῶν, νῦν δὲ πρὸς γῆρας ἔφθασα, καὶ τὸν θάνατον ὁρῶ πρὸ ὀφθαλμῶν, ἀνέδραμον εἰς τὸν παναγιώτατον δεσπότην ἡμῶν, τὸν οἰκουμενικὸν πατριάρχην, τὸν κοινὸν προστάτην τῶν χριστιανῶν καὶ τῶν ἁμαρτωλῶν πρὸς σωτηρίαν ὁδηγὸν καὶ βοηθόν, καὶ ἐξομολογησάμην πάντα μετὰ ἀληθείας, ὅσα ἐποίησα, καὶ

ἐζήτησα βοήθειαν, πῶς ἵνα σωθῶ. ἐπεὶ γοῦν τὸν φιλάνθρωπον θεὸν μιμούμενος ἐδέξατο τὴν ἐμὴν ἐξομολόγησιν καὶ μετάνοιαν, πλὴν μετὰ ὑποσχέσεως, ἤδη ποιῶ τὴν παροῦσαν ἐγγράφως, καὶ ὑπόσχομαι ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ καὶ πάσης τῆς ἐκκλησίας, μηδέποτε εὑρεθῆναί με, ἔνθα ἂν εὑρίσκομαι, ἵνα πράξω τι μαγικὸν ἢ ἐργασίαν ἄλλην ἀσεβείας σατανικήν, ἀλλ' οὐδὲ εἴπω πρός τινα τὸν ἐλθόντα ἴσως ποτὲ καὶ ζητήσαντα, ἀλλὰ τηρήσω καὶ φυλάξω ἐμαυτὸν μέχρι καὶ τῆς τελευταίας μου ἀναπνοῆς ἀνώτερον καὶ ἐλεύθερον καὶ ἔξω σχεδὸν πάσης ὑποψίας τῶν σατανικῶν τούτων ἔργων, τηρῶν ἐμαυτὸν ἐν μετανοίᾳ καὶ δάκρυσιν καὶ πάσῃ κακουχίᾳ, ὅπως τὸν θεὸν λάβω ἵλεω καὶ εὐμενῆ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς δικαίας ἀνταποδώσεως. ἔτι δὲ καὶ ταύτην τὴν ἀσφάλειαν δίδωμοι, ἵνα, ἐὰν εὑρεθῶ εἰς τοιοῦτόν τοι, ὃν ἐποίουν πρώτερον, καταδικάζομαι οὐκ εἰς ἐξορίαν καὶ φυλακήν, οὐδὲ ἀκροτηριασμὸν σωματικόν, ἀλλὰ θάνατον παντελῆ, καὶ κατακαίομαι πυρί. τούτου γὰρ χάριν καὶ ἐγγράφως τοῦτο οἰκειοχείρως πεποίηκαι μηνὶ μαΐῳ ἰνδ. ζ' †.

† Ἐγὼ ὁ ταλαίπωρος Θεοδόσιος μοναχὸς ὁ Φουδούλης †.

## CCCLXXVIII. (6893—1384) septembri. ind. VIII.

*Isidorus, metropolita Thessalonicensis, suspenditur.*

† Ὁ χρηματίσας μητροπολίτης Θεσσαλονίκης, μοναχὲ κῦρ Ἰσίδωρε· γινώσκεις, ὅτι πολλάκις σοι ἐγράψαμεν, ἀφ' οὗ παρῃτήσω τὴν ἐκκλησίαν καὶ τὴν ποίμνην, ἥν σοι ἐνεχείρισεν ὁ θεός, καὶ παρῃνέσαμεν καὶ εἰσηγησάμεθα, ἵνα παραλάβῃς τὴν ἐκκλησίαν, καὶ ποιῇς τὸ ἔργον τοῦ θεοῦ, μᾶλλον δὲ ἡ μετριότης ἡμῶν, καὶ πρὶν ἂν τοῦτο ποιήσῃς, ἔγραφε καὶ συνεβούλευσέ σοι πολλάκις, ἵνα μὴ γένηται, καὶ ὅτι ἀσυγχώρητον ἔχω τοῦτο, σὺ δὲ παρ' οὐδὲν θέμενος τὰς ἡμετέρας παραγγελίας καὶ τὰς τοσαύτας εἰσηγήσεις καὶ τὰ ἐπιτίμια, ψόφον μόνον κενὸν ἡγησάμενος ἐν τοσαύτῃ συγχύσει πραγμάτων καὶ ταραχῇ καὶ μεγίστῳ κλύδωνι, ὅτε οἱ χριστιανοὶ ἐκεῖνοι τὸν περὶ ψυχῆς τρέχουσι καὶ κίνδυνον ὑφίστανται τοιοῦτον, ἔφυγες, προδότης γενόμενος τοῦ σώματος καὶ τῶν μελῶν τοῦ Χριστοῦ, ἅτινά εἰσιν οἱ χριστιανοί. ἐπειδὴ τοίνυν οὕτως ἐποίησας, ἄκουε τῆς σοι πρεπούσης προσηγορίας, ἥν οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ θεὸς ἄνωθεν ἔθηκεν· ὁ ποιμήν, φησίν,

ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων, ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει, καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων· ἐπεὶ οὖν παρ' αὐτοῦ τοῦ κυρίου τὴν ἀπόφασιν ἔλαβες, ὅτι μισθωτὸς εἶ, καὶ οὐ ποιμὴν, καὶ παρεῖδες τὴν πρὸς αὐτὸν ἀγάπην καὶ φιλίαν (εἰ φιλεῖς με γάρ φησιν ποίμαινε τὰ πρόβατά μου) σὺ δὲ ἔργοις αὐτοῖς ἔδειξας, ὅτι οὐδόλως φιλεῖς τὸν Χριστὸν, ἔχομέν σε καὶ ἡμεῖς, ἐγώ τε καὶ ἡ ἱερὰ σύνοδος τῶν ἀρχιερέων, τῶν ἐμῶν ἀδελφῶν ἐν κυρίῳ καὶ συλλειτουργῶν, καθῃρημένον τέλεον καὶ ἀποκεκομμένον τοῦ χοροῦ τῶν ἀρχιερέων ὡς ἀνάξιον πάσης ἱερωσύνης, καὶ μήτε εἶναι, μήτε ὀνομάζεσθαι ἱερέα ὅλως. ἐπεὶ δὲ καὶ ὁ μισθωτὸς, παρ' ὅσον μὲν καιρὸν δουλεύει, λαμβάνει τὸν μισθὸν, τῆς δὲ δουλείας παυσάμενος στερεῖται καὶ τοῦ μισθοῦ, ἦν μὲν δίκαιον ἀποδοῦναί σε καὶ ὅσα ἐκέρδησας ἀπὸ τῆς ἐκκλησίας ἐκείνης πράγματα, δίχα μόνων ὧν ἐκεῖ καθήμενος ἐξωδίασας ὑπὲρ σαυτοῦ. καὶ οὕτως ἀπεφήνατο ἡ σύνοδος, ὡς ἂν πάντα ἀποδῷς πρὸς τοὺς εὑρισκομένους ἐκεῖ πτωχοὺς καὶ ἐνδεῆς, ἡ δὲ μετριότης ἡμῶν διὰ συγκατάβασιν ἀφίησι ταῦτα, πλὴν ὅσα ἔλαβες καὶ ἐξῆλθες, οὐ μὴν καὶ τὰ τῶν ἔμπροσθεν χρόνων εἰσοδήματα, ἅτινα ἐπώλησας· τοῦτο γὰρ ἔνι ἀδύνατον †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. η' †.

## CCCLXXIX. (6893—1384) septembri. ind. VIII.

***Epistola Patriarchae ad papam Urbanum VI. de unione ecclesiarum.***

† Πιττάκιον εἰς τὸν Πάπαν †.

† Τῷ μακαριωτάτῳ δεσπότῃ, τῷ Πάπᾳ, κυρῷ Οὐρβανῷ, ἄκρῳ ἀρχιερεῖ ἀξιωτάτῳ Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης. τὸν προσήκοντα χαιρετισμὸν ἀπονέμω τῇ μακαριότητί σου. ἦλθεν ἐνταῦθα ὁ αἰδεσιμώτατος ἐπίσκοπος Διαυλίας, φρὰ Γουλιάμος, καὶ εἶπε πρὸς ἡμᾶς λόγους τινὰς ὡς ἀπὸ τῆς μακαριότητός σου, οὓς ἀπεδεξάμεθα ὑπερβαλλόντως, καὶ εὐχαριστήσαμεν τῷ θεῷ καὶ τῇ μακαριότητί σου, ὅτι

δὲ οὐκ ἔφερε γράμματα τῆς μακαριότητός σου πρὸς ἡμᾶς, ἵνα πληροφορηθῶμεν βεβαίως περὶ ὧν εἶπε, διὰ τοῦτο οὐδὲν λέγομεν, ὅταν δὲ λάβωμεν ἀκριβῆ πληροφορίαν καὶ διὰ γραμμάτων καὶ δι' ἀποκρισιαρίων τῆς μακαριότητός σου, καὶ γνωρίσωμεν φανερώτερον τὸν σκοπὸν αὐτῆς καὶ τὸ θέλημα, τότε θέλομεν δώσειν ἀπολογίαν τὴν πρέπουσαν· καὶ ἡμεῖς γὰρ λίαν ἀποδεχόμεθα τὴν εἰρήνην καὶ τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, πλὴν ἵνα γένηται, καθὼς θέλει ὁ θεὸς καὶ καθὼς ἦν καὶ πρὸ τοῦ σχίσματος, οὐδὲ γάρ ἐστι, καθὼς λέγουσί τινες περὶ ἡμῶν, ὅτι θέλομεν ἵνα ἔχωμεν ἡμεῖς τὰ πρωτεῖα, καὶ διὰ τοῦτο οὐδὲν ἀπεδεχόμεθα τὴν ἕνωσιν, τοῦτο οὐκ ἔστιν ἀληθὲς, ἡμεῖς γὰρ ὁμολογοῦμεν, ὅτι πρῶτόν σε ἔχομεν κατὰ τοὺς κανόνας τῶν ἁγίων πατέρων, μόνον ἐὰν γένηται ἡ ἕνωσις, καθὼς πρέπει, ἀλλ' οὐδὲ τοῦτο ἔνι ἀληθὲς, ὅτι ὅσα γράμματα ἔρχονται εἰς ἡμᾶς, εἰς τὸν Τοῦρκον ὑπάγουσι πρότερον, πάσχομεν γὰρ ὑπὸ τῶν Τούρκων συγχωρήσει θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν, πλὴν ἔχομεν πᾶσαν ἐλευθερίαν ὥστε καὶ γράμματα δέχεσθαι καὶ ἀντιγράφειν καὶ ἐπιστέλλειν καὶ χειροτονεῖν καὶ πέμπειν ἐπισκόπους, ὅπου βουλόμεθα, καὶ πάντα πράττειν ἀκωλύτως τὰ ἐκκλησιαστικὰ καὶ ἐν μέσῳ τῷ τόπῳ τῶν ἀσεβῶν. πληροφοροῦμεν οὖν καὶ τοῦτο τὴν μακριότητά σου, ὡς ἂν ἀνεμποδίστως γράφῃ πρὸς ἡμᾶς, περὶ ὧν βούλεται, ἕτοιμοι γάρ ἐσμεν ἀπολογεῖσθαι περὶ τούτων. ἔρρωσο, μακαριώτατε δέσποτα. διὰ τὸ ἀξιόπιστον ὑπεγράφη οἰκειοχείρως παρὰ τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Ἐγράφη τὸν σεπτέβριον μῆνα τῆς η' ἰνδ.

## CCCLXXX. (6893—1385) martio. ind. VIII.

*Metropolita Philadelphiae nominatur exarchus.*

† Μηνὶ μαρτίῳ ἰνδ. η' ἐδόθησαν ἐξαρχικῶς τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυδίας, τὰ Σύναδα καὶ ἡ Ἱεράπολις μετὰ καὶ τῶν ἐνοριῶν αὐτῶν. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα †.

## CCCLXXXI. (6892—1384) augusto. ind. VII.

*Metropolita Laodiceae nominatur exarchus.*

† Μηνὶ αὐγούστῳ ἰνδ. ζ' ἐδόθησαν τῷ ἱερωτάτῳ μητροπολίτῃ Λαοδικείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ Φρυγίας Καππατιανῆς, ἐξαρχικῶς αἱ Χῶναι, τὸ Κοτυάειον καὶ τὸ Κουλᾶ καὶ ἡ Κόλιδα, πατριαρχικὰ ὄντα, μετὰ τῶν δικαίων καὶ προνομίων αὐτῶν πάντων. διὰ τοῦτο ἐσημειώθη ἐνταῦθα †.

## CCCLXXXII. (6893—1385) maio. ind. VIII.

*Promissiones duorum hieromonachorum.*

I. † Ἐγὼ Μαρκιανὸς ἱερομόναχος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς ἐπεὶ ὡδηγήθη ἐκ θεοῦ καὶ διὰ συγκατάβασιν συνεχώρησέ μοι τοῦ πταίσματος, καὶ εὐεργέτησέ μοι ἱερουργεῖν ἀκωλύτως, οὐ μὴ εὑρεθείην ποτὲ εἰς τὸ ἑξῆς ποιῆσαι ὀχλήσεις καὶ ταραχὰς ἢ μετὰ τῶν ἀδελφῶν μου τῶν μοναχῶν ἢ μεθ' ἑτέρου τινός· εἰ δέ γε εὑρεθείην τὰ πρότερον ποιῶν, ἵνα καθαιροῦμαι ἀσυμπαθῶς. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις καὶ ἐπεστρώθη ἐν τῷ ἱερῷ κώδικι κατὰ μῆνα μάιον τῆς η' ἰνδ. ὑπογραφεῖσα καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Μαρκιανὸς στέργων ὑπέγραφα †.

II. † Ὁμοίως καὶ ἐγὼ Νεόφυτος ἱερομόναχος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς ἐπεὶ διὰ συγκατάβασιν συνεχώρησέ μοι τοῦ πταίσματος, καὶ εὐηργέτησέ μοι ἱερουργεῖν, οὐ μὴ εὑρεθείην εἰς τὸ ἑξῆς ὀχλήσεις καὶ ταραχὰς ποιῆσαι καὶ τύψαι τινά, κἂν ἐκεῖνός μοι ἐπαγάγῃ ὕβρεις καὶ αἴτιος γένηται τοῦ σκανδάλου καὶ τῆς ταραχῆς· εἰ δ' οὖν, ἵνα καθαιροῦμαι ἀσυμπαθῶς. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα μάιον τῆς η' ἰνδ. †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Νεόφυτος στέργων ὑπέγραφα †.

## CCCLXXXIII. (6893—1385) iunio. ind. VIII.

*Metropolitae Gangrorum, Arsenio, exarcho totius Paphlagoniae, confertur per adiunctionem administratio ecclesiae Ancyrae.*

## CCCLXXXIV. (6893—1385) iunio. ind. VIII.

*Metropolita Iconii suspenditur.*

† Πιττάκιον τῷ Ἰκονίου †.

† Μητροπολῖτα Ἰκονίου· ἐγνώρισεν ἡ μετριότης ἡμῶν, ὅτι καταλιπὼν τὴν ἐκκλησίαν σου ἦλθες αὐτόθι εἰς τὴν Ἀττάλειαν καὶ ἱερουργεῖς καὶ χειροτονεῖς καὶ ποιεῖς τὰ ἀρχιερατικά, μηδεμίαν ἔχων ἄδειαν εἰς τοῦτο καὶ ἐξουσίαν παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς ἱερᾶς συνόδου. ἐπεὶ γοῦν τοῦτο οὕτως ἔχει, καὶ οὐκ ἔχεις ἀρνήσασθαι, μετὰ βάρους ἀφορισμοῦ σοι παρακελευόμεθα, ἵνα ὡς ἂν δέξῃ τὴν παροῦσαν γραφήν, ἐξέλθῃς ἀπὸ τῶν αὐτόθι. ἐπεὶ δὲ καὶ παρὰ τοὺς ἱεροὺς κανόνας ἐποίησας, ὅτι εἰς μὲν τὴν ἐκκλησίαν σου, πρὸς ἣν ἀπήρχου, οὐκ ἀπῆλθες, ἀλλ' ἀφῆκας αὐτὴν ἀποίμαντον, ἑτέρας δὲ ἐλάβου μόνος καὶ ἀφ' ἑαυτοῦ, τῇ οἰκείᾳ ἀφελείᾳ καὶ ἀναισθησίᾳ χρησάμενος, ἔχει σε ἀργὸν πάσης ἀρχιερατικῆς ὑπηρεσίας, μέχρις ἂν καταλάβῃς ἐνταῦθα καὶ κριθῇς καὶ καθαιρεθῇς συνοδικῶς καὶ κανονικῶς †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## CCCLXXXV. (6894—1386) augusto. ind. IX.

*Promissio sacerdotis Andronici Basilici.*

† Ἐπεὶ ἐνέπεσον πολλάκις εἴς τινα παραπτώματα, καὶ ἐξ ἐκείνων παρασυρεὶς ἐποίησα βασιλικὸν ὁρισμὸν ψευδῆ, καὶ διὰ τοῦτο ἐκωλύθην τῆς ἱερουργίας παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ πάλιν διὰ συμπαθείας καὶ μηνύματος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως εὐηργέτησέ μοι ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, τὴν ἱερωσύνην μου, ἤδη καὶ αὐτὸς ὑπόσχομαι πρὸς τὴν μεγίστην ἁγιωσύνην αὐτοῦ ἐνώπιον τῶν τιμιωτάτων ἐξωκατακήλων, τοῦ τε μεγάλου σκευοφύλακος, τοῦ πρωτεκδίκου καὶ τοῦ πρωτονοταρίου, ἵνα ἀπὸ τοῦ νῦν διατηρῶ ἐμαυτὸν ἀνώτερον πάσης ψαλσογραφίας καὶ πάσης κακῆς πράξεως ἀπηγορευ-

μένης τῇ τῶν ἱερέων πολιτείᾳ· εἰ δὲ εὑρεθείην ποτὲ ποιῆσαι τοιοῦτόν τι καὶ προσκροῦσαι εἰς τοὺς ἱεροὺς κανόνας, ἵνα καθαιροῦμαι ἀσυμπαθῶς. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα αὔγουστον τῆς θ' ἰνδ. †.

† Ἱερεὺς ὁ Βασιλικὸς στέργων ὑπέγραφα †.

† Ἔτι ἀσφαλίζομαι, ἵνα μήτε ἔννομον, μήτε παράνομον εὐλογήσω συνοικέσιον παρὰ γνώμην τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος· εἰ δὲ ἢ εὐλογήσω παρὰ γνώμην, ὡς εἴρηται, ἔννομον ἢ παράνομον συνοικέσιον, ἢ ἄλλῃ τινὶ παρανομίᾳ ὁπωσδήποτε ὑπηρετήσω, ἢ ψαλσογραφίαν ποιήσω, ἵνα ἀναπολογήτως καὶ δίχα τινὸς συμπαθείας ἀπογυμνῶμαι πάσης ἱερωσύνης †.

† Ἱερεὺς Ἀνδρόνικος ὁ Βασιλικός †.

## CCCLXXXVI. (6895—1386) decembri. ind. X.

*Metropolita Prusae nominatur exarchus.*

† Μηνὶ δεκεμβρίῳ ἰνδ. ι' ἐδόθησαν ἐξαρχικῶς τῷ ἱερωτάτῳ μητροπολίτῃ Προύσης καὶ ὑπερτίμῳ τὸ Κοτυάειον καὶ ἡ ἐνορία αὐτοῦ πᾶσα. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα †.

## CCCLXXXVII. (6895—1387) ianuario. ind. X.

*Patriarcha monet rectores insulae Chii, ut permaneant in conventione facta cum Romanis, mittitque hieromonachum Ieremiam, ut administret iura patriarchalia in ea insula.*

† Εὐγενέστατοι ἄρχοντες καὶ διοικηταὶ τῆς νήσου Χίου· ἂν ποτε ἵνα ὑγιαίνῃ ἡ εὐγένειά σας καὶ ἔχῃ καλῶς. γινώσκει ἀκριβῶς ἡ εὐγένειά σας, ὅτι κατ' ἀρχάς, ὅτε παρελάβετε τὴν νῆσον Χίον καὶ τὸ κάστρον, ἐποίησατε συμφωνίας μετὰ τῶν τοπικῶν τῶν Ῥωμαίων γεγραμμένας, καὶ ἔχετε ταύτας καὶ ὑμεῖς, ἔχομεν δὲ καὶ ἡμεῖς ἐνταῦθα ἐν τῷ σκευοφυλακείῳ τῆς μεγάλης ἐκκλησίας· τὰ μὲν οὖν ἄλλα, ὅσα εἰσὶν ἐν αὐταῖς γεγραμμένα, οὐδέν μοι δοκοῦσιν ἀναγκαῖα νῦν ἵνα λέγω περὶ τούτων· ὃ δὲ ἔχω ἐγὼ ἀναγκαιότατον καὶ ἔνι καὶ πρῶτον κεφάλαιον εἰς τὰ γεγραμμένα τῆς συμφωνίας, ἔνι τοῦτο, ἵνα ἔχωσι τὰ μοναστήρια καὶ ὁ κλῆρος καὶ αἱ ἐκκλησίαι πᾶσαν τὴν τάξιν καὶ κατάστασιν αὐτῶν καὶ τὰ κτήματα καὶ τὰ εἰσοδήματα αὐτῶν, καὶ ἐὰν ἀποθάνῃ ὁ μητροπολίτης, ἵνα γίνηται ἕτερος κατὰ τὴν συνήθειαν τῆς

ἐκκλησίας τῆς Κωνσταντινουπόλεως· τοῦτο ἔνι γεγραμμένον εἰς τὰ ὁρκωμοτικά, ἅπερ ἐποιήσατε καὶ ὠμόσατε ἐπάνω αὐτῶν, ἵνα ἔχωσι τὸ στέργον. ὕστερον δὲ ἀποθανόντος τοῦ μητροπολίτου ἐζητήσατε ὑμεῖς, καὶ ἐγένετο ἄλλη συμφωνία καὶ κατάστασις διὰ συγκατάβασιν διὰ μέσων τῶν ἀρχόντων, τοῦ τε κυροῦ Νικολάου τοῦ Κουρέση καὶ σὺρ Τζιάνο Τορνέλο, εἰς τὸν ἁγιώτατον καὶ ἀοίδιμον πατριάρχην, κῦρ Φιλόθεον, ἵνα ἐπεὶ οὐδὲν ἔνι εὔκολον, ἵνα γένηται ἀρτίως μητροπολίτης Χίου, πρῶτον μέν, ἵνα ἔχῃ ὁ πατριάρχης εἰς τὴν Χίον καλόγηρων ἰδικόν του, καὶ κρατῇ τὰ δίκαια τῆς ἐκκλησίας κατὰ τὴν τάξιν καὶ τὴν κατάστασιν τῆς ἡμετέρας ἐκκλησίας· ἔπειτα, ἵνα ἀποδιδῶτε εἰς τὴν μεγάλην ἐκκλησίαν δι' αὐτὸ τοῦτο καὶ ὑπέρπυρα ἑκατὸν πεντήκοντα, καὶ ἐγένετο τοῦτο καὶ εἰς τὴν ζωὴν ὅλην τοῦ πατριάρχου ἐκείνου τοῦ ἁγίου καὶ εἰς τὴν ἡμέραν τοῦ πατριάρχου τοῦ κῦρ Μακαρίου. ἦλθον καὶ ἐγὼ εἰς τὸ πατριαρχεῖον, καὶ εὗρον τοῦτο γινόμενον, εἶτα εἰς τὴν ἡμέραν τὴν ἰδικήν μου ἐξεβάλετε τὸν καλόγηρων τῆς μεγάλης ἐκκλησίας ἐκτός τινος ἀφορμῆς καὶ αἰτίας, καὶ ἐδιώξατε αὐτόν, καὶ ἀπὸ τότε λείπει· καὶ ἀπέμειναν οἱ εὑρισκόμενοι αὐτόθι ἱερεῖς, καὶ ποιοῦσιν ἄτοπα καὶ παρανομίας πολλάς, καὶ ἔνι βαρὺ καὶ εἰς τὸν θεὸν καὶ μέμψις εἰς τὴν εὐγένειάν σας· διὰ τοῦτο ἔγραψα καὶ μίαν καὶ δὶς καὶ πολλάκις περὶ τούτου, καὶ οὐδὲ κἂν ἀπεκρίθητέ μοι, καὶ ἔχω καὶ τοῦτο εἰς περιφρόνησίν μου καὶ ἄδικον εἰς τὸν θεὸν καὶ εἰς τὴν ἐκκλησίαν αὐτοῦ. ὑμεῖς οὖν, ὡς ἀκούω παρὰ πολλῶν, ὅτι ἐστὲ ἄνθρωποι καλοὶ καὶ φιλοδίκαιοι, καὶ ζητεῖτε καὶ τοῦ μικροτέρου ἀνθρώπου τὸ δίκαιον, τὸ δὲ δίκαιον τοῦ θεοῦ ἵνα ἀπολύητε, πόσον ἔνι βαρὺ εἰς τὰς ψυχὰς ὑμῶν. διὰ ταῦτα ἀναγκασθεὶς ἐγὼ νῦν ἔπεμψα αὐτόθι ἄνθρωπον καλὸν καὶ ἀξιόλογον, φρόνιμον καὶ εἰρηνικόν, τὸν ἱερομόναχον καὶ πνευματικὸν κῦρ Ἱερεμίαν, εἰς τὸ κρατεῖν καὶ ἐπιτηρεῖν τὴν ἐκκλησίαν, ἵνα ᾖ καὶ διὰ τιμὴν τῆς εὐγενείας σας καὶ διὰ ψυχικὴν ὠφέλειαν τῶν χριστιανῶν· ἀξιῶ γοῦν τὴν εὐγένειάν σας, ἵνα δέξησθε αὐτὸν καὶ δῶτε αὐτῷ καὶ κάθισμα, ἵνα κάθηται, καθὼς ἔνι τὸ δίκαιον· εἰ δὲ οὐ ποιήσετε τοῦτο, καθὼς ἔνι δίκαιον, ἰδού, ὑμεῖς καταλύετε τὴν δευτέραν συμφωνίαν, ἣν ἐποιήσαμεν, ἣν καὶ ἐστείλαμεν αὐτόθι γεγραμμένην μετὰ βούλλης πατριαρχικῆς, καὶ ἔχετε ταύτην. εἰμὶ γοῦν ἐγὼ ἀπὸ τούτου ἀνεύθυνος, διότι ὑμεῖς καταλύετε αὐτήν, καὶ ἐγὼ κατὰ τὴν προτέραν συμφωνίαν καὶ κατάστασιν ὑμῶν, ἣν ἐποιή-

σατε, ὅτε παρελάβετε τὴν νῆσον, καὶ ὠμόσατε ἐγγράφως, ἵνα στέργητε ταύτην, ἧς καὶ ἔχομεν ἐνταῦθα τὸ ἴσον, μέλλω χειροτονήσειν μετὰ τῆς συνόδου τῶν ἀρχιερέων γνήσιον μητροπολίτην Χίου, καθὼς ὑπόσχεσθε ὑμεῖς ἐγγράφως. καὶ ἐκεῖνος οἶδε, πῶς μέλλει ζητεῖν τὸ δίκαιον αὐτοῦ. τοῦτο δὲ πάλιν λέγω, ὅτι ἐγὼ οὐδὲν πταίω, οὐδὲ καταλύω τὴν δευτέραν συμφωνίαν. εἰ δὲ καταλύετε ταύτην ὑμεῖς, τότε καὶ ὅσα ἐκρατήσατε δίκαια τῆς ἐκκλησίας καὶ συνεχώρησεν αὐτὰ ἡ ἐκκλησία, ἀσυγχώρητα μέλλω ἔχειν αὐτά, καὶ θέλετε ὀφείλειν ἀντιστρέψαι αὐτά. ὁ θεὸς ποιήσαι τὴν εὐγένειάν σας πολυχρόνιον †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ι´ †.

---

II. † Μηνὶ ἰανουαρίῳ ἰνδ. ι´ ἐδόθη πρὸς τὸν ἱερομόναχον καὶ πνευματικὸν κῦρ Ἱερεμίαν γράμμα ἐξαρχικόν, ὅπως ἀπέλθῃ εἰς τὴν νῆσον Χίον, καὶ διενεργῇ πάντα τὰ πατριαρχικὰ δίκαια. ἔτι τε καθιεροῖ καὶ θείους ναοὺς καὶ σφραγίζῃ καὶ ἀναγνώστας. διὰ τοῦτο ἐσημειώθη καὶ ἐνταῦθα †.

## CCCLXXXVIII. (6895—1387) ianuario. ind. X.

*Patriarcha componit controversiam ortam inter metropolitas Attaliae et Myrorum.*

† Ἐπεὶ ὁ ἱερώτατος μητροπολίτης Πέργης καὶ Ἀτταλείας, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Παμφυλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀπῆλθε χειροτονηθεὶς εἰς τήνδε τὴν ἐκκλησίαν αὐτοῦ, καταφρονήσας καὶ πελάγους καὶ κόπου τοσούτου καὶ αὐτοῦ τοῦ σωματικοῦ θανάτου διὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ καὶ τὸ χρέος, ὅπερ ὀφείλει τῷ θεῷ, ὑπὲρ ὧν ἐδέξατο χριστιανῶν, εὗρε δὲ μὴ μόνον τὴν τοῦ κρατοῦντος ἔθνους ἐκεῖ δυναστείαν καὶ ἐξουσίαν πάντα τὰ τῆς ἐκκλησίας αὐτοῦ λαβοῦσαν καὶ κατέχουσαν, πρὸς δὲ καὶ τέλη ἐτήσια βαρύτατα αὐτὸν ἀπαιτοῦσαν, ἀλλὰ καὶ τὸν ἱερώτατον μητροπολίτην Μύρων καὶ ὑπέρτιμον χώρας τινὰς λαβόντα τῇ τοῦ ἄρχοντος ἐκεῖ ἐνδόσει καὶ κρίσει ὑποκειμένας μὲν τῇ τῶν Μυρέων ἐκκλησίᾳ, πρὸ δὲ χρόνων κατεχομένας παρὰ τῶν κατὰ καιροὺς προϊσταμένων ἀρχιερατικῶς τῆς μητροπόλεως Ἀτταλείας, ἀφ' ὧν ἐπορίζοντο κἂν τὰ πρὸς ἀναγκαίαν διατροφὴν οἱ

τῆς Ἀτταλείας, καὶ ἦσαν ἐκεῖ προσμένοντες καὶ τὸν ὀλίγον ἐκεῖ τοῦ κυρίου λαὸν πνευματικῶς ποιμαίνοντες καὶ πρὸς σωτηρίαν καθοδηγοῦντες, καὶ μὴ δυνάμενος ὁ Ἀτταλείας φέρειν τὴν κακοπάθειαν καὶ τὴν στενοχωρίαν, ἔτι ἐκεῖ καθήμενος ἐζήτησε βοήθειαν παρὰ τῆς ἡμῶν μετριότητος, καὶ ἔγραφεν αὕτη τῷ Μυρέων, οὐδὲν δὲ πλέον ἐγένετο, ἀλλ' ἔστιν αὐτὰς ὡς οἰκείας κατέχων, ἤγουν τὸν Φοίνικα, τὸν Βαθὺν Ποταμόν, τὴν Ὀρικαντὴν καὶ τὸ Στενόν, καὶ νῦν ἀναγκασθεὶς ἐπανῆλθεν ἐνταῦθα, ταῦτά τε τῆς ἐνδείας αὐτοῦ ἐκτραγῳδῶν καὶ ὡς οὐκ ἔστιν ὅλως δυνατὸν ἐκεῖ πλέον ἢ αὐτὸν ἢ ἕτερον ἀρχιερέα ἐπιδημῆσαι. τῶν δὲ τῶν χωρῶν οὕτω κατεχομένων παρὰ τοῦ Μυρέων ἡ μετριότης ἡμῶν τὸ ἀναγκαῖον ἰδοῦσα τοῦ πράγματος καὶ μήτε δίκαιον κρίνουσα τὸν Μυρέων τούτων στερηθῆναι, ὑποκειμένων τῇ αὐτοῦ ἐκκλησίᾳ, μήτε ἄλλην ἐκκλησίαν ἐν τοῖς ἐκεῖ μέρεσι ἔχουσα, προσθεῖ τῇ Ἀτταλείᾳ ἐπὶ κορισμῷ τινι καὶ προμηθείᾳ τοῦ μητροπολίτου, βουλομένη καὶ ταύτην ἵστασθαι τὴν τῆς Ἀτταλείας καὶ τὴν τῶν Μυρέων ἔχειν τὰ ἴδια, ἐπειδὴ προφθάσασα ἐδεδώκει τῷ Μυρέων κατ' ἐπίδοσιν τὴν ἁγιωτάτην μητρόπολιν Ῥόδου, διαγινώσκει καὶ παρακελεύεται ἡ μετριότης ἡμῶν συνοδικῶς, ὡς, εἰ μὲν ἐθελήσει ὁ Μυρέων ἀπολῦσαι τὰς εἰρημένας χώρας, ὥστε κατέχειν αὐτὰς τὸν Ἀτταλείας κατ' ἐπίδοσιν καὶ τὰ ἐκεῖ ἐκκλησιαστικὰ διενεργεῖν καὶ ἐπιδημεῖν αὐταῖς καὶ λαμβάνειν τὰ πρὸς ἰδίαν διατροφήν, καθὼς καὶ οἱ πρὸ αὐτοῦ τινες τῶν τῆς Ἀτταλείας κατεῖχον μητροπολιτῶν, ἔστω καὶ ὁ Μυρέων κατέχων τὴν Ῥόδον μετὰ τῶν περὶ αὐτήν, ὡς παρεδόθη αὐτῷ παρ' ἡμῶν· εἰ δὲ βουληθείη αὐτὸς ἐκείνας κατέχειν ὡς ἰδίας τὰς χώρας, ἐκχωρεῖ καὶ ἄδειαν δίδωσι τῷ ῥηθέντι Ἀτταλείας ἐπιλαβέσθαι τῆς μητροπόλεως Ῥόδου ἐπιδόσεως λόγου καὶ μετὰ πάσης ἀδείας καὶ ἐξουσίας ἱερουργεῖν καὶ ἐν τῇ Κῷ καὶ τῇ αὐτῶν ἐνορίᾳ καὶ χειροτονεῖν ἀναγνώστας, ὑποδιακόνους, διακόνους καὶ πρεσβυτέρους, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν, καὶ ἁπλῶς εἰπεῖν, πάντα πράττειν τὰ ἐκκλησιαστικὰ καὶ ἐν αὐτῇ τῇ Ῥόδῳ καὶ τῇ Κῷ καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῶν, μηδεμίαν ἐπαγαγόντος αὐτῷ τοῦ Μυρέων διενόχλησιν ἢ καταδυναστείαν καὶ ἐπήρειαν, ἐπεὶ οὐκ ἀφαιρούμέν τι τῆς ἐνορίας αὐτοῦ, ἀλλὰ τὴν ἰδίαν αὐτῷ τῷ Ἀτταλείας παρέχομεν ἐκκλησίαν, καὶ τοῦτο δὲ διὰ τὴν πολλὴν τούτου ἀνάγκην πράττομεν καὶ ταλαιπωρίαν, εἰδότες, οὕτω δυνατὸν εἶναι καὶ ἀμφοτέρας τὰς ἐκκλη-

σίας ἵστασθαι καὶ ποιμαίνεσθαι καὶ τοὺς ἐν αὐταῖς ἀρχιερεῖς ἔχειν τὰ πρὸς ζωήν, καὶ ἄδικον κρίναντες, ἐνὸν αὐτὰς καὶ ἀμφοτέρας οὕτω τηρεῖσθαι καλῶς, τὴν μὲν τοσαῦτα χορηγεῖσθαι, τὴν δὲ καὶ αὐτῶν στερεῖσθαι τῶν ἀναγκαίων, ὡς μηδὲ χώραν ἔχειν ἐν αὐτῇ τὸν αὐτῆς προϊστάμενον. διὰ τοῦτο καὶ ὀφείλει ὁ Ἀτταλείας ἐπιλαβέσθαι τῆς ἐκκλησίας ταύτης τῆς Ῥόδου καὶ τῆς Κῶ καὶ πάντα πράττειν τὰ ἐκχωρηθέντα τούτῳ ἐκκλησιαστικά, εἴπερ ὁ Μυρέων οὐ πεισθείη αὐτῷ παραδοῦναι τὰς δηλωθείσας χώρας, ὀφειλόντων καὶ τῶν ἐν τῇ Ῥόδῳ κληρικῶν, ἱερωμένων, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος ὑποτάσσεσθαι αὐτῷ καὶ ζητεῖν παρ' αὐτοῦ πᾶσαν τὴν ἐκκλησιαστικήν, ἣν ἂν χρῄζωσιν, ὑπηρεσίαν καὶ στέργειν τὰ παρ' αὐτοῦ γινόμενα, ὡς παρὰ τῆς ἡμῶν μετριότητος λαβόντος τὴν ἄδειαν καὶ ἐξουσίαν, μηδενὸς τῶν ἁπάντων ἔχοντος ἄδειαν ἐναντιωθῆναι αὐτῷ τὸ σύνολον, ἐπεὶ ὁ τοῦτο τολμήσων εὐθύνην λήψεται κανονικὴν τὴν ἀξίαν παρὰ τῆς ἡμῶν μετριότητος. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν συνοδικὸν αὐτῆς γράμμα εἰς ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰαννουαρίῳ ἰνδ. ι' †.

## CCCLXXXIX. (6895—1387) 3. ianuarii. ind. X.

*Patriarcha metropolitam Myrorum iubet metropolitae Attaliae restituere quaedam loca.*

† Ἱερώτατε μητροπολῖτα Μύρων, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυκίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ ἱερότης σου, ὅπως ἔγραφεν ἐνταῦθα εἰς τὴν ἡμῶν μετριότητα ὁ ἱερώτατος μητροπολίτης Πέργης καὶ Ἀτταλείας, ὑπέρτιμος καὶ ἔξαρχος δευτέρας Παμφυλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς αὐτῆς καὶ συλλειτουργός, καὶ ἀνέφερεν, ὅτι οἱ πρὸ αὐτοῦ ἀρχιερεῖς Ἀτταλείας εἶχον χώρας τινάς, τὸν Φοίνικα, τὸν Βαθὺν Ποταμόν, τὴν Ὀρικαντὴν καὶ τὸ Στενόν, ἡ δὲ ἱερότης σου ἔλαβες ταῦτα, καὶ στερεῖται οὗτος τοῦ ἰδίου δικαίου, καὶ πάσχει καὶ στενοχωρεῖται· ἐγράψαμεν οὖν τότε πρὸς τὴν σὴν ἱερότητα, ἵνα ἀπολύσῃς αὐτὰ ὡς τῆς ἐκκλησίας αὐτοῦ ἴδια· εἶτα ἦλθεν ἐνταῦθα ἀποσταλεὶς παρά σου ὁ κῦρ Πρόχορος, λέγων, ὅτι τῆς ἐκκλησίας τῶν Μύρων εἰσὶ ταῦτα, καὶ οὐ

τῆς Ἀτταλείας, καὶ ἐγράψαμεν, ἵνα γένηται ἐξέτασις, καὶ εἴ τινος εὑρεθῶσιν, ἵνα κατέχῃ αὐτά· νῦν ἦλθεν ἐνταῦθα ὁ Ἀτταλείας, καὶ λέγει μέν, ὅτι ἀπ' ἀρχῆς τοῦ Μύρων ἦσαν, πρὸ δὲ χρόνων ἐπέκεινα τῶν τριάκοντα κατέσχον αὐτὰ κατὰ διαδοχὴν οἱ τῆς Ἀτταλείας ἀρχιερεῖς μέχρι καὶ τοῦ νῦν, καὶ τοσοῦτον περιέστη ἡ ἀπορία τῆς Ἀτταλείας, ὅτι δίχα τῶν χωρίων τούτων οὐδὲ ἐκκλησία ἔνι, οὐδὲ δυνατόν ἐστι κατοικῆσαι ὅλως ἐν αὐτῇ ἀρχιερέα ἄνευ τούτων. ἐπικαμφθεῖσα τοίνυν αὐτῷ ἡ μετριότης ἡμῶν γράφει καὶ παραδηλοῖ πρὸς τὴν σὴν ἱερότητα καὶ διακρίνει οὕτως· ὅτι πρῶτον μὲν οὐδὲν ἔνι καλόν, ἵνα μία ἐκκλησία αὐξηθῇ, καὶ ἔχῃ προσόδους πολλὰς καὶ χωρία καὶ κτήματα, ἄλλη δὲ ἀπορήσῃ τέλεον, ὥστε μηδὲ δύνασθαι τρέφειν ἐπίσκοπον, ἀλλ' ἐπεὶ καὶ πρὸ πολλῶν χρόνων ἐνεμήθη ταῦτα ἡ Ἀττάλεια, καὶ ἀδιακόπως κατεῖχον αὐτὰ οἱ ταύτης ἀρχιερεῖς, ἵνα κρατῇ πάλιν ταῦτα ὁ Ἀτταλείας. ἐπεὶ δὲ οἱ ἱεροὶ κανόνες ῥητῶς περὶ τούτου λέγουσιν, ἵνα κατεχόμενα παρά τινος ἐκκλησίας ἐπὶ τριάκοντα χρόνοις διαμένωσιν ἀναφαίρετα, ἡ δὲ ἱερότης σου ἔχεις μὲν τὴν ἐνορίαν σου πᾶσαν, ἔχεις δὲ ἐπέκεινα, παρ' ἐμοῦ λαβὼν τήν τε Ῥόδον μετὰ πάσης τῆς ἐνορίας αὐτῆς καὶ τὴν Κῶν καὶ τὰ ἄλλα, ἅπερ ἔχεις, καὶ ἀρκετά εἰσι ταῦτα εἰς σέ, εἰ δὲ ἀντιποιούμενος καὶ ἔτι τῶν εἰρημένων χωρῶν θέλεις ταύτας κατέχειν ὡς τῆς ἐκκλησίας σου, καλῶς λέγεις, καὶ ἔχε ταύτας, πλήν, ἅπερ σοι ἔδωκα ἐγώ, ἄδειαν ἔχω δοῦναι πρὸς ἕτερον, καὶ δέδωκα πρὸς τὸν Ἀτταλείας διὰ γράμματός μου ταῦτα, καὶ ἀπολυθήτωσαν παρὰ τῆς σῆς ἱερότητος· οἷον γοῦν θέλεις καὶ ἔχεις εὔκολον ἐκ τῶν δύο, ἐκεῖνο ποίησον· ἢ ἀπόλυσον τὰς χώρας ταύτας, ἵνα ἔχῃ αὐτὰς ὁ Ἀτταλείας, καὶ ἔχε σὺ τὰ ἄλλα πάντα, ἢ ἂν θέλῃς νὰ ἔχῃς ἐκείνας, ἀπόλυσον τὴν Ῥόδον καὶ τὰ ἄλλα πάντα, ἵνα κατέχῃ ὁ Ἀτταλείας, ἐπεὶ καὶ γράμμα μου κρατεῖ εἰς τοῦτο. ἀνυπερθέτως τοίνυν καὶ ἀμεταθέτως γενέσθω ἓν ἐκ τῶν δύο, καθὼς παρακελεύεται ἡ μετριότης ἡμῶν, καὶ εἰρηνεύετε πρὸς ἀλλήλους, ὡς ἀδελφοὶ καὶ ἀρχιερεῖς καὶ τῆς εἰρήνης διδάσκαλοι, καὶ μήτε αὐτὸς διενοχλείτω τῇ σῇ ἱερότητι πρὸς τὸν ἀμηρᾶν, μήτε σὺ αὐτῷ, ἀνάξια γάρ εἰσι τοιαῦτα τοῦ καθ' ἡμᾶς τάγματος καὶ τῆς ἀρχιερωσύνης. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος. ἀπελύθη τῇ γ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ι' †.

## CCCXC. (6895—1387) 2. maii. (ind. X).

*Synodus statuit designandos esse duos episcopos qui examinent controversiam ortam inter metropolitas Ephesi et Smyrnae.*

I. † Μηνὶ μαΐῳ, ἡμέρᾳ β', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Ἀμασείας, τοῦ Ἁδριανουπόλεως, τοῦ Σερρῶν, τοῦ Γάννου καὶ τοῦ Ῥωσίας, ἐκινήθη εἰς τὸ μέσον ἡ ὑπόθεσις, ἣν ἔχει ὁ Ἐφέσου μετὰ τοῦ Σμύρνης περὶ ἐνοριακῶν δικαίων τῶν Ἀμβριούλων λεγομένων, καὶ ἀπεφάνθη συνοδικῶς, ἵνα γένηται τιμία πατριαρχικὴ γραφὴ πρὸς δύο τινὰς ἀρχιερεῖς τῶν ἐκεῖσε πλησιοχόρων, καὶ ἀπέλθωσι καὶ ἐξετάσωσιν ἐκεῖνοι ἀκριβῶς, καὶ πᾶν, ὅπερ ἂν εὑρεθείη ἀπὸ ἀκριβοῦς ἐξετάσεως, στείλωσιν ἐνταῦθα, καὶ δοθῇ ἡ ἀπόφασις παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα †.

---

II. †. Τῷ αὐτῷ μηνὶ ἐδόθη τῷ Σμύρνης ἐξαρχικῶς ἡ σεβασμία πατριαρχικὴ μονὴ τοῦ Κρίτζους †.

## CCCXCI. Sine anno.

*Patriarcha confert Michaeli Exarcho administrationem iurium patriarchalium in urbe Philadelphia.*

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν αὐτῆς ἀπολύουσα γράμμα ἀνατίθησι τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Μιχαὴλ τῷ Ἐξάρχῳ τὴν οἰκονομίαν καὶ διοίκησιν τῶν ἐν τῇ θεοσώστῳ πόλει Φιλαδελφείᾳ πατριαρχικῶν δικαίων, ὃς δὴ καὶ ὀφείλει ἐπιλαβέσθαι αὐτῶν, ἔνθα ἂν ὦσιν, ἐν καθίσμασιν, ἐν μοναῖς, ἐν ἐκκλησίαις καὶ πανταχοῦ, καὶ φροντίζειν καὶ ἐπιμελεῖσθαι αὐτῶν καὶ σπουδάζειν παντὶ τρόπῳ καὶ πάσῃ δυνάμει ὑπὲρ τῆς αὐτῶν συστάσεως καὶ βελτιώσεως καὶ αὐξήσεως ἐπὶ τῷ καὶ τοὺς θείους ναοὺς ψάλλεσθαι εἰς ὕμνον θεοῦ καὶ ἁγιασμὸν τῶν προσερχομένων εἰς αὐτοὺς καὶ τὰ εἰσοδήματα αὐτῶν καὶ τὰ κτήματα προκόπτειν καὶ ἐπίδοσιν λαμβάνειν τὴν πρέπουσαν καὶ κατέχειν αὐτὰ

τα δίκαια ἀπὸ τοῦ νῦν χρόνους τέσσαρας καὶ ἐπ' ἀδείας ἔχειν καὶ ἐξουσίαν εἰσάγειν ἱερεῖς ἐν αὐτοῖς τοὺς δόξαντας αὐτῷ ἁρμοδίους ἐπὶ βελτιώσει τῶν κτημάτων καὶ ὑμνῳδίᾳ τῶν ναῶν καὶ ἐξάγειν τοὺς μὴ τοιούτους καὶ ποιεῖν ἐν αὐτοῖς τὰ δοκοῦντα αὐτῷ εἰς σύστασιν αὐτῶν καὶ αὔξησιν, ἐπειδὴ τὰ δίκαια ἔχει τῆς ἡμῶν μετριότητος, καὶ τοιαύτην ἰσχὺν ἔλαβε καὶ ἐξουσίαν παρ' αὐτῆς, ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτοῖς τοῖς πατριαρχικοῖς δικαίοις, ἱερωμένοι, μοναχοὶ καὶ λαϊκοὶ τὴν προσήκουσαν ἀποδιδόναι αὐτῷ στοργὴν καὶ τιμὴν καὶ εὐπείθειαν καὶ στέργειν τὰ παρ' αὐτοῦ πραττόμενα ἐπὶ συστάσει τῶνδε τῶν πατριαρχικῶν δικαίων καὶ μὴ ἀντιλέγειν, μηδὲ ἀνθίστασθαι· εἰ δὲ καί τινες ἔφθασαν καὶ ἐκράτησαν δυναστεύσαντες πατριαρχικὰ δίκαια, καὶ οὐ βούλονται ἀπολῦσαι αὐτά, οὐδὲ ἀποδιδόναι τὸ ἄνωθεν καὶ ἐξ ἀρχῆς πατριαρχικὸν δίκαιον πρὸς τὸν ἔξαρχον, εἰ μὲν ἀπολύσουσι ταῦτα ἑκόντες διὰ τὸ τοῦ θεοῦ δίκαιον καὶ τῆς ἐκκλησίας, συγγνώμης τεύξονται περὶ τῶν παρελθόντων καὶ ἀπὸ θεοῦ καὶ ἀφ' ἡμῶν, εἰ δὲ δυναστεύειν καὶ ἔτι θελήσουσιν, ἐπειδὴ ἡ περιφρόνησις αὕτη εἰς τὸν θεὸν ἀνέρχεται, καὶ ἡμεῖς τὴν τοιαύτην ψυχὴν ἐκκαθᾶραι καὶ ἐκπλῦναι τῆς ἁμαρτίας βουλόμεθα καὶ τοῦτο ἡμῖν τὸ ἔργον τὸ ψυχὰς ἁρπάζειν ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος καὶ λόγοις καὶ εἰσηγήσεσι καὶ παραινέσεσι, ἔστι δ' ὅτε καὶ τιμωρίαις καὶ κολάσεσι πνευματικαῖς, ἀφορισμῷ καθυποβληθήσονται οἱ τοιοῦτοι, εἴπερ εἰσὶ λαϊκοί, εἰ δὲ ἱερωμένοι, ἀργίαν καὶ καθαίρεσιν λήψονται κανονικῶς παρὰ τῆς τοῦ θεοῦ ἐκκλησίας· τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## CCCXCII. 6895 (1387) 22. martii. (ind. X.)

*Promissio diaconi Manuelis Sguropuli.*

† Ἐπειδὴ χρόνων ὢν εἴκοσι δύο ἠξίωσα καὶ παρεκάλεσα τὸν παναγιώτατον ἡμῶν αὐθέντην καὶ δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἀναχθῆναι εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ γενέσθαι με διάκονον, προσδεξάμενος οὖν τὴν πολλήν μου παράκλησιν καὶ ἀξίωσιν, ὥρισε καὶ ἐνέδωκε τοῦτο, ἐζητήθην δὲ δοῦναι ὑπόσχεσιν καὶ ὁμολογεῖν, ὅταν ἐρωτηθῶ, ὅτι ἐγενόμην εἰκοσιδύο χρόνων διάκονος, ἤδη λέγω καὶ ὑπόσχομαι, ὅτι οὐ μὴ εἴπω ἀλλέως, ὡς εἴρηται, ὅταν ἐρωτηθῶ, εἰ δὲ μή, ἵνα καταδικάζωμαι καὶ ἀργῶ ἀπὸ ταύτης τῆς δια-

κονίας. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις δι' ἀσφάλειαν ἐν μηνὶ μαρτίῳ, κβ', ἔτους ,ςωϟε' †.

† Ὁ τοῦ ἐβαγοῦς κλήρου τῆς μεγάλης ἁγιωτάτης τοῦ θεοῦ ἐκκλησίας καὶ ὑποδιάκονος Μανουὴλ ὁ Σγουρόπουλος †.

## CCCXCIII. (6895—1387) 29. maii. ind. X.

*Cyprianus, metropolita Russiae, in ius vocatur.*

† Μηνὶ μαΐῳ, κθ' ἡμέρᾳ, δ', ἰνδ. ι', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Ἐφέσου, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Ἀμασείας, τοῦ Ἀδριανουπόλεως, τοῦ Σερρῶν καὶ τοῦ Γάννου, ἐλαλήθη περὶ τοῦ μητροπολίτου Ῥωσίας, κῦρ Κυπριανοῦ, ζητήσαντος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ἵνα ἀπέλθῃ πρῶτον εἰς τὴν δουλείαν, εἰς ἣν ἀποστέλλεται ὁρισμῷ τῆς ἁγίας βασιλείας αὐτοῦ, καὶ μετὰ ταῦτα ἔλθῃ καὶ κριθῇ συνοδικῶς περὶ τῶν ἐγκλημάτων ὧν κατηγορεῖται, καὶ πάντες οἱ ἀρχιερεῖς εἶπον ἐκ κοινῆς γνώμης, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, γενέσθαι τοῦτο διά τε τὴν ζήτησιν τοῦ βασιλέως τοῦ ἁγίου καὶ διὰ τὸ κοινωφελὲς τῆς δουλείας, καθὼς καὶ τοῦτο διορίζεται, πλὴν ἵνα ἀπαραιτήτως ὑποστρέψῃ εἰς τὴν Κωνσταντινούπολιν ἄνευ μεγάλης ἀνάγκης καὶ ἀπαραιτήτου ἐντὸς ἑνὸς χρόνου, καὶ ἵνα μηδόλως ἐνεργήσῃ τι ἱερατικὸν ἐν τῇ μεγάλῃ Ῥωσίᾳ, μήτε ὅλως ἀπέλθῃ ἐκεῖ, εἰ μὴ εἰς μόνην τὴν ἐνορίαν, εἰς ἣν εὑρίσκεται σήμερον, καὶ ἵνα, ἀφ' οὗ ἔλθῃ, μὴ ἔχῃ ἄδειαν παραιτήσασθαι τὴν κρίσιν τῆς θείας καὶ ἱερᾶς συνόδου, ἀλλὰ δίχα τινὸς λόγου καὶ τῆς τυχούσης προφάσεως κριθῇ εἰς τὴν σύνοδον, περὶ ὧν ἐγκαλεῖται· ἂν δὲ ἀθετήσῃ ἕν τι ἀπὸ τούτων, ἵνα καὶ δίχα κρίσεως ὑπάρχῃ καταδεδικασμένος καὶ καθῃρημένος, καὶ ἵνα δῷ αὐτὸς ὁ μητροπολίτης κῦρ Κυπριανὸς ἔγγραφον ὑπόσχεσιν περὶ τούτων πάντων, ὃ καὶ ἐγένετο, καὶ ὑπεσχέθη καὶ ἔστερξε ταῦτα, ὑπογράψας τὴν ὑπόσχεσιν οἰκειοχείρως. ἐδόθη δὲ αὐτῷ καὶ συγχώρησις συνοδικῶς, ἵνα ἱερουργῇ, ἕως ἂν

κριθῇ, καὶ δι' ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις, βεβαιωθεῖσα καὶ ταῖς ὑπογραφαῖς τῶν ἱερωτάτων ἀρχιερέων †.

† Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης Ἰσίδωρος †. † ......... † Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας Μακάριος †. † Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας Ἰωσήφ †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας καὶ πρόεδρος Μηδείας Μιχαήλ †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀδριανουπόλεως Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Σερρῶν Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Γάννου Νίκανδρος †.

## CCCXCIV. (6897—1389) aprili. ind. XII.

*Professio fidei Nicolai Amaranti.*

## CCCXCV. (6895—1387) iunio. ind. X.

*Synodus tollit ordinationem Ioannis Linelopolae, a metropolita Nicaeae contra canones factam.*

I. † Μηνὶ ἰουνίῳ ἰνδ. δεκάτης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐν τοῖς κελλίοις αὐτοῦ τοῖς ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Ἐφέσου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μονεμβασίας, τοῦ Ἀδριανουπόλεως, τοῦ Γάννου, ἔτι τε παρακαθημένων τιμιωτάτων ἐξωκατακήλων καὶ παρισταμένων θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων καὶ τῶν λοιπῶν κληρικῶν, ὁ τιμιώτατος μέγας χαρτοφύλαξ ἀνήνεγκεν εἰς τὴν μεγίστην ἁγιωσύνην αὐτοῦ οὕτως· ἐγώ, δέσποτά μου ἅγιε, εἶδον πρᾶγμα γεγονος ἄτοπον λίαν καὶ τὴν ἐμαυτοῦ τιμὴν περιποιούμενος, μή ποτε μαθὼν ἡ μεγίστη ἁγιωσύνη σου τοῦτο παρ' ἑτέρου μέμφιν ἐπαγάγῃς μοι ὡς ἐξεταστῇ τῶν τοιούτων, ἅμα δὲ καὶ τὸ καθαρὸν καὶ ἀκίβδηλον τῆς ἱερατικῆς πολιτείας περιποιούμενος καὶ λίαν φροντίζων, ἀναφέρω, οὐχ ὡς ἐγκαλῶν τῷ Νικαίας, ἀλλὰ τὴν διόρθωσιν τοῦ ἀτοπήματος βουλόμενος· πρὸ χρόνων τινῶν ἦλθεν εἰς ἐμὲ ὁ τοῦ Λινελοπόλῃ ἐκείνου υἱός, ὁ Ἰωάννης, καὶ ἐλυπεῖτο κατὰ τοῦ πενθεροῦ αὐτοῦ, πρεσβυτέρου Μανουὴλ τοῦ Λεονταρίτου, λέγων, ὅτι ἀπεστέρησεν

αὐτὸν τὴν γυναῖκα αὐτοῦ, ἐζήτησε δὲ παρ' ἐμοῦ βοήθειαν· εἰς τοῦτο, μετεκομισάμην δὲ τὸν τοιοῦτον πρεσβύτερον, καὶ ἐρωτήσας αὐτόν, ὅτου χάριν οὕτως ἐποίησεν, εἰπέ μοι ἐνώπιον τῶν ἐπισκοπειανῶν, ὅτι πολλὰ ἀναγκασθεὶς τοῦτο πεποίηκε, ἔλαβε γὰρ αὐτὸν γαμβρὸν ἐπὶ τὸ ἀναχθῆναι εἰς ἱερωσύνην, ὁ δὲ ἐξοκείλας εἰς ἀτοπήματα κατέφαγε τὴν προῖκα αὐτοῦ καὶ ἔτι τὰ γονικόθεν ἐλθόντα αὐτῷ ἐν καπηλίοις καὶ λοιποῖς ἀτοπήμασιν, ὥστε οὐκέτι εἰς ἱερωσύνην ἀναχθήσεται, καὶ λυπηθεὶς ἐποίησα τοῦτο. ἐγὼ δὲ ἐπέστυφα αὐτὸν ἀπελθεῖν καὶ δοῦναι τῷ Ἰωάννῃ τὴν γυναῖκα αὐτοῦ, εἰπών, ὡς οὐκ ἔνι δίκαιον ἀφίστασθαι τὴν θυγατέρα σου τοῦ ἀνδρὸς αὐτῆς διὰ τὸ ἀπολέσαι αὐτὸν τὸν τῆς ἱερωσύνης βαθμὸν συνεργίᾳ τοῦ δαίμονος, δύναται γὰρ καὶ δίχα ἱερωσύνης διατρέφειν αὐτὴν ὡς καὶ οἱ λοιποὶ πάντες. ἐρωτηθεὶς δὲ παρ' ἐμοῦ καὶ ὁ πνευματικὸς αὐτοῦ, ὁ ἱερομόναχος Θεοδόσιος, περὶ τῆς πολιτείας αὐτοῦ εἰπέ μοι, ὡς ἀφ' ὧν ἐξωμολογήσατο, ἀνάξιός ἐστι τῆς ἱερωσύνης, μᾶλλον δὲ ἐκώλυσα αὐτὸν καὶ τῆς ἁγίας κοινωνίας, δοὺς αὐτῷ καὶ κανόνα ἐκδουλεύειν· μετὰ δὲ παραδρομὴν ὀλίγου καιροῦ ἀπεβίω τὸ γύναιον αὐτοῦ, καὶ δεξάμενος αὐτὸν ὁ Νικαίας ἀπέκειρε κατὰ μοναχοὺς ἀδοκιμάστως, καὶ ἀπελθὼν ἅμα εἰς τὴν ἐκκλησίαν αὐτοῦ ἐχειροτόνησεν αὐτὸν διάκονον. ταῦτα οὕτω κακῶς προβάντα ἀναφέρω. ἐπὶ τούτοις ἀπελογήσατο ὁ Νικαίας, καὶ εἶπεν, ὡς ἐξέτασεν αὐτόν, καὶ ἔλαβε καὶ μαρτυρίας τινῶν ἱερέων καὶ πνευματικῶν, καὶ διὰ τοῦτο ἐχειροτόνησεν αὐτόν. διεκρίθη τοίνυν συνοδικῶς, ἐξετασθῆναι τοὺς μαρτυρήσαντας αὐτόν, εἴ γε ἐγίνωσκον τὴν πολιτείαν αὐτοῦ, ὅθεν καὶ ἡ μὲν σύνοδος διελύθη κατ' αὐτὴν τὴν ἡμέραν. ὁ δὲ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, μεταστειλάμενος, οὓς ὁ Νικαίας εἶπε μαρτυρήσαντας τὸν διάκονον Ἰωσήφ, ἠρώτησεν αὐτούς, ὅπως ἐμαρτύρησαν αὐτόν. πρὸ δὲ τούτων ἠρωτήθη ὁ πνευματικὸς Θεοδόσιος εἰπεῖν μετὰ συνειδήσεως πᾶν, ὅπερ γινώσκει περὶ τοῦ μοναχοῦ Ἰωσήφ, δέδωκε δὲ ἐγγράφως τὴν παροῦσαν ἀπόκρισιν, πεπιστωμένην οἰκειοχείρῳ αὐτοῦ ὑπογραφῇ, οὕτως ἔχουσαν· „ἐπεὶ ἠρωτήθην πρότερον μὲν παρὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος, ὕστερον δὲ καὶ παρὰ τοῦ παναγιωτάτου ὑμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς ἂν εἴπω, ὅσον γινώσκω περὶ τοῦ μοναχοῦ Ἰωσήφ, καὶ εἰ κρίνω αὐτὸν ἁρμόδιον εἰς ἱερωσύνην, λέγω, ὅτι κατὰ τὴν ἐξομολόγησιν αὐτοῦ, ἥν μοι ἐξωμολογήσατο, οὐ μόνον οὔτε τότε, οὔτε νῦν κρίνω αὐτὸν ἄξιον τῆς ἱερωσύνης,

ἀλλ' οὐδὲ τῆς κοινωνίας τῶν θείων μυστηρίων ἔκρινα αὐτὸν ἄξιον, διὸ καὶ ἐκανόνισα αὐτόν, ἵνα μὴ κοινωνήσῃ, ἕως ἂν συγχωρήσω αὐτῷ, εἶπον δὲ αὐτῷ, ἵνα ποιήσῃ καὶ εὐχέλαιον, καὶ μετὰ ταῦτα ἔλθῃ εἰς ἐμὲ, καὶ γένηται, ὅσον ἂν ἐγὼ διακρίνω. ταῦτα ἀκούσας πλέον οὐκ ἦλθεν εἰς ἐμὲ, ἀλλ' ἐξαίφνης βλέπω αὐτὸν καλόγηρων, καὶ λέγω· τίς διάβολός σε ἐποίησε καλόγηρων; πότε σε ἐδοκίμασα; καὶ οὐδέν σε γινώσκω ἐγώ, ὅτι οὐδὲν δύνασαι, οὐδὲ ὀφελήσειν μέλλεις εἰς τὴν καλογερικήν; ἂν τύχῃ ἐκεῖνος ὁ ποιήσας σε καλόγερων, ἵνα βουληθῇ νά σε ποιήσῃ καὶ παπᾶν· καὶ ποῦ εἶδεν ἄνθρωπος χείρονα ταύτης παρανομίαν; ταῦτα εἶπον, ὡς ἀκριβῶς γινώσκων τὸν ἄνθρωπον ἀνάρμοστον καὶ ἀνάξιον μὴ μόνον τῆς ἱερωσύνης, ἀλλὰ καὶ τῆς κοινωνίας τῶν θείων μυστηρίων καὶ αὐτοῦ τοῦ μοναχικοῦ σχήματος, ὡς μὴ δυνάμενον ἐκτελεῖν τὸ ἐπάγγελμα.“ καὶ (ὁ) μὲν πνευματικὸς οὕτως εἴρηκεν ἐγγράφως, οἱ δὲ μαρτυρήσαντες αὐτὸν, ὡς ὁ Νικαίας διετείνετο, εἶπον καὶ αὐτοὶ ἐγγράφως οὕτως· „ἐπειδὴ ἠρωτήθημεν παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Νικαίας περὶ τοῦ μοναχοῦ Ἰωσήφ, ὥστε εἰπεῖν ἡμᾶς, εἴπερ ἔνι ἄξιος ἀναχθῆναι εἰς ἱερωσύνην, εἶπον μὲν ἐγώ, ὁ πνευματικὸς Ἰωσήφ, ὅτι περὶ σαρκικοῦ πάθους οὐκ ἐπίσταμαι, ἀλλοτρόπως δὲ εἰς τὴν πολιτείαν αὐτοῦ γινώσκω αὐτὸν ἄτακτον καὶ ἀπαίδευτον. ἐγὼ δὲ ὁ πνευματικὸς Ἰωάσαφ εἶπον, ὅτι γινώσκω αὐτὸν καὶ ἐγὼ μέθυσον, καταλυτὴν καὶ ἀπαίδευτον κατὰ πάντα. καὶ ἐγὼ ὁ ἱερομόναχος Θεόπεμπτος εἶπον τὰ αὐτά, εἶπον δὲ καὶ πρὸς τὸν ἱερώτατον μητροπολίτην, ὅτι τοὺς ἐκκλησιαστικοὺς ἔλαθές τους, καὶ ζητεῖς τὰς μαρτυρίας μόνος σου· καὶ εἶπέ μοι, ὅτι εἰς τὴν ἐκκλησίαν μου τὸν θέλω χειροτονήσειν, καὶ οὐδὲν ἔχω ἀνάγκην περὶ τῶν ἐκκλησιαστικῶν· οὕτως εἴπομεν καὶ οὐκ ἄλλως. ταῦτα ἀκούσας ὁ μητροπολίτης εἶπε· περὶ σαρκικοῦ πάθους ἔχομεν ἀνάγκην νὰ μηδὲν ἔνι, περὶ δὲ αὐτῶν οὐδέν τα ἔχομεν τίποτε· ταῦτα καὶ ὑπέγραψαν οἰκειοχείρως διὰ τὸ βέβαιον καὶ ἀδιάβλητον· ὁ δὲ παπᾶς Ἰωάννης εἶπεν, ὡς πολλὰ ἀναγκασθεὶς παρὰ τοῦ Νικαίας ὑπογράψαι εἰς μαρτυρίαν οὐκ ἠθέλησε, καὶ ἀπῆλθε πέραν εἰς τὸ ἀμπέλιον αὐτοῦ, ὕστερον δὲ ἤκουσε μεθ' ἡμέρας, ὅτι μετὰ τὸ ἀπελθεῖν αὐτὸν εἰς τὸ ἀμπέλιον αὐτοῦ ἔδωκαν τῷ Ἀληθινῷ τῷ Χρυσοβέργῃ, καὶ ὑπέγραψε τὸ ὄνομα αὐτοῦ“. οὕτως τὰ περὶ τοῦ παπᾶ Ἰωσήφ ἐξετασθέντα καὶ εὑρεθέντα διέκρινε καὶ αὖθις ὁ παναγιώτατος ἡμῶν δεσπότης, λαληθῆναι ταῦτα πάλιν

συνοδικῶς καὶ προκαθημένης τῆς μεγίστης (ἁγιωσύνης) αὐτοῦ, συνεδριάζον(των) ταύτῃ τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Μονεμβασίας καὶ τοῦ Σουγδαίας, ἀνεγνώσθησαν αἱ ῥηθεῖσαι μαρτυρίαι καὶ ἡ περὶ τοῦ παπᾶ Ἰωσὴφ γεγονυῖα ἐξέτασις, παρόντος καὶ αὐτοῦ καὶ μὴ δυναμένου ἀπολογήσασθαί τι ἢ ἀντιλέγειν τῷ πνευματικῷ αὐτοῦ, τῷ Θεοδοσίῳ, ὅθεν καὶ διέκριναν οἱ ἱερώτατοι ἀρχιερεῖς, ἐπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, γεγυμνωμένον εἶναι τὸν μοναχὸν Ἰωσὴφ τῆς ἱερωσύνης, ἣν ἀναξίως ἐδέξατο, καὶ μηδόλως ἅψασθαί τι ποτὲ ἱερατικόν, ἡ γὰρ εἰς αὐτὸν προβᾶσα χειροτονία ὡς μὴ γεγονυῖα ἐλογίσθη τῇ ἱερᾷ συνόδῳ. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα ἐν τῷ παρόντι κώδικι †.

II. † Ἐγὼ πρεσβύτερος Μανουὴλ ὁ Λεονταρίτης ὁμολογῶ διὰ τοῦ παρόντος μου γράμματος ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς προκαθημένου, ὅτι ὅσα εἶπεν ὁ τιμιώτατος μέγας χαρτοφύλαξ, ὅτι ἤκουσε παρ' ἐμοῦ κατὰ τοῦ ποτέ μου γαμβροῦ, τοῦ μοναχοῦ Ἰωάσαφ, ἀληθῶς εἴρηκεν, ὅτι ἀπὸ τοῦ στόματος ἐμοῦ ἤκουσε ταῦτα πολλῶν παρόντων, καὶ ὅτι ἀναγκαζόμενος παρὰ τοῦ Νικαίας μαρτυρῆσαι αὐτὸν ἄξιον εἰς ἱερωσύνην, οὐκ ἐποίησα τοῦτο, ἀλλ' εἶπον πρὸς αὐτόν, ὅτι οὔτε καλὸν γινώσκω αὐτόν, οὔτε κακόν, ὁ δὲ ἐχειροτόνησεν αὐτόν, καθὼς ἐβούλετο, καὶ εἰς ἀσφάλειαν ὑπεγράφη καὶ παρ' ἐμοῦ τὸ παρὸν οἰκειοχείρως †.

† Ἱερεὺς Λιονταρίτης τὰ ἄνω γεγράμενα στέργων ὑπέγραψα †.

## CCCXCVI. (6895—1387) iulio ind. X.

*Metropolitae Amastridis Anastasio confertur metropolis Heracleae Ponticae per adiunctionem.*

Γράμμα γεγονὸς τῷ Ἀμάστριδος περὶ τῆς Ποντοηρακλείας.

† Οὐδὲ τὸ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Ποντοηρακλείας περιλειφθὲν ἐξ ἐφόδου βαρβαρικῆς τῶν χριστιανῶν λείψανον περιιδεῖν ἀνεπισκόπητον δίκαιον· ψυχαὶ γὰρ καὶ αὗται πνευματικῆς ἐπισκέψεως δεό-

μεναι καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, ἐπειδὴ καὶ ὡς ἄνθρωποι τῇ ἀπάτῃ τοῦ βίου παρασυρόμενοι ὀλίγα τῶν οὐρανίων ἐκείνων ἀγαθῶν καὶ ἀθανάτων φροντίζουσιν, ἀλλὰ καὶ τῷ μέσον τῶν ἐθνῶν οἰκεῖν καὶ τούτοις συναναστρέφεσθαι μέγιστον εἰς σωτηρίαν ἐμπόδιον· ἐπεὶ γοῦν τὸ γνήσιον ἔχειν ἀρχιερέα μεθ' ἑαυτῶν ἀδύνατον φαίνεται, τῆς ἐκκλησίας πάλαι καταλυθείσης καὶ μηδὲ τῶν ἐκεῖ τοσούτων ὄντων εἰς παραμυθίαν αὐτοῦ καὶ διατροφήν, ὁ δὲ πλησίον ἐκεῖ ἱερώτατος μητροπολίτης Ἀμάστριδος καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ὡς ἡ τῆς ἐκκλησίας αὐτοῦ κατάλυσις καὶ φθορὰ καὶ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς ἐρχόμενοι μαρτυροῦσι, καὶ αὐτῶν στερεῖται τῶν ἀναγκαίων, καὶ πολλάκις ἐζήτησε βοήθειαν παρ' ἡμῶν, ἵνα κἂν τούτων τυγχάνων ἐπιμένῃ καὶ καρτερῇ ἐκεῖ κατὰ τὸ χρέος αὐτοῦ καὶ τὴν ἐντολήν, ἡ μετριότης ἡμῶν συνοδικῶς διασκεψαμένη παραδίδωσιν αὐτῷ κατὰ λόγον ἐπιδόσεως τήνδε τὴν ἁγιωτάτην μητρόπολιν Ποντοηρακλείας, ἅμα μὲν καὶ δι' ἁγιασμὸν καὶ ὠφέλειαν καὶ ψυχικὴν προκοπὴν τῶν ἐκεῖ χριστιανῶν, ἅμα δὲ καὶ διὰ προμήθειαν αὐτοῦ καὶ χρείαν τῆς τοῦ σώματος διατροφῆς, ὅθεν καὶ ὀφείλει ἀπὸ τοῦ νῦν ἐπιλαβέσθαι αὐτῆς καὶ ἀπελθεῖν ἐκεῖ καὶ ἰδεῖν καὶ ἐπισκέψασθαι τὸν ἐκεῖ τοῦ κυρίου λαὸν καὶ διδάξαι καὶ παραινέσαι τὰ πρὸς σωτηρίαν καὶ μετὰ πάσης ἀδείας καὶ ἐξουσίας ἐξετάσαι καὶ εὑρεῖν τὰ τῆς ἐκκλησίας ταύτης δίκαια καὶ λαβεῖν αὐτὰ καὶ κατέχειν εἰς ἰδίαν, ὡς ἐδηλώθη, βοήθειαν καὶ ἱερουργεῖν ἐν αὐτῇ κ. τ. λ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀμάστριδος, ὑπερτίμῳ καὶ προέδρῳ Ποντοηρακλείας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα αὐτῆς συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. δεκάτης †.

## CCCXCVII. 6896 (1387) septembri. ind. XI.

*Actio synodalis de confinibus metropolium Ephesi et Smyrnae.*

† Πρᾶξις συνοδικὴ τῷ Ἐφέσου περὶ τῶν ἐνοριῶν αὐτοῦ †.

† Ὁ ἱερώτατος μητροπολίτης Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν με-

τριότητος καὶ συλλειτουργός, συνεδριάζων τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, τοιάνδε τὴν ἀναφορὰν ἐποιήσατο ὑπὲρ τῆς κατ' αὐτὸν ἐκκλησίας καὶ τῆς ἐνορίας αὐτῆς, εἰπών, ὡς ἡ κατ' αὐτὸν αὕτη μητρόπολις πολλοῖς πρότερον ἐκόμα τοῖς ἀγαθοῖς, ὅτε καὶ τὰ τῶν Ῥωμαίων ἤνθει καὶ ηὔξανε, καὶ εἰρήνη πανταχοῦ τῆς οἰκουμένης ἦν, καὶ πλῆθος μὲν ἦν περὶ αὐτὴν κτημάτων τε καὶ πραγμάτων, οὐδὲ ῥᾳδίως ἀριθμητόν, σύνοδον δὲ μεγάλην ἐπισκόπων εἶχεν ὑφ' ἑαυτήν, πάσας ὁμοῦ τὰς κατὰ τὴν ἀνατολὴν μητροπόλεις, μήτοι γε τὰς δυτικὰς τῷ πλήθει τῶν ἐπισκόπων καὶ τῷ μεγέθει τῆς ἐνορίας νικῶσα, ἐξ ἧς καί τινες τῶν ἐπισκοπῶν ἀφαιρεθεῖσαι εἰς μητροπόλεις ἐτιμήθησαν, καὶ καθ' ἑαυτὰς εἶναι προεβιβάσθησαν καὶ ὑπὸ τὸν πατριαρχικὸν θρόνον τελεῖν· εἰ μὲν οὖν καλῶς εἶχε τοῖς Ῥωμαίοις τὰ πράγματα καὶ προσῆν εὐδαιμονία ταῖς πόλεσιν, ὥστε δύνασθαι ἑκάστην τῶν ἐκκλησιῶν ἴδιον ἔχειν ἀρχιερέα, καὶ αὐτὸς τοῖς πάλαι δεδογμένοις στοιχεῖν ἔμελλε καὶ μὴ ζητεῖν μετακινεῖσθαι πατέρων ὅρια, ἐπεὶ δὲ πᾶσα πόλις καὶ χώρα τῶν ἐθνῶν παρανάλωμα γέγονε, καὶ παντελῶς ἠφανίσθησαν, καὶ αἱ μὲν οὐδὲ ὀνόμασι κἂν ὅτι ποτὲ πόλεις ἦσαν γινώσκονται, αἱ δὲ ἀπό τινων ὀλίγων λειψάνων γνωρίζονται, λίαν εὐαριθμήτους χριστιανοὺς οἰκητὰς ἔχουσαι, καὶ μὴ μόνον μητροπολίτην ἢ ἐπίσκοπον οὐ δύνανται τρέφειν, ἀλλ' οὐδὲ ἱερέα ἕνα τῶν ἐνδεῶν καὶ πενήτων, ἐζήτησεν ἐπὶ τῆς ἡμῶν μετριότητος καὶ τῆς περὶ αὐτὴν θείας καὶ ἱερᾶς συνόδου, ἐπανασωθῆναι τῇ κατ' αὐτὸν ἁγιωτάτῃ μητροπόλει τῆς Ἐφέσου τὰς γενομένας πάλαι ποτὲ ἀπὸ ἐπισκοπῶν μητροπόλεις, ἤγουν τὸ Πυργίον, ὅπερ ἐν τοῖς τακτικοῖς Διὸς Ἱερὸν ὀνομάζεται, καὶ τὴν Πέργαμον, καὶ ἔχειν ὁμοίως καὶ τὰς ἀπ' ἀρχῆς ὑποτεταγμένας τῇ ἐκκλησίᾳ τῆς Ἐφέσου πάσας ἐπισκοπὰς μετὰ τῶν ἐνοριῶν αὐτῶν καὶ τῶν ὁροθεσίων εἰς τριάκοντα καὶ ἑπτὰ τὰς πάσας ἀριθμουμένας ἐν τοῖς ἀρχαιοτέροις τῶν βιβλίων, ἐπειδήπερ μὴ μόνον αἱ εἰρημέναι ἐκκλησίαι τῆς ἀπ' ἀρχῆς μητροπόλεως ἀποσπαθεῖσαι καθ' ἑαυτὰς τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, ἀλλὰ καὶ μέρος ἕτερον οὐκ ὀλίγον τῆς κατ' αὐτὸν ἐνορίας ἡ τῆς Σμύρνης μητρόπολις καὶ ὁ ταύτης ἀρχιερεὺς κατέχει, ἐν ᾧ εἰσι καὶ δύο ἐπισκοπαὶ τῆς Ἐφέσου ἥ τε Φώκαια καὶ αἱ Κλαζομεναί· ἐζήτησε τοίνυν ὁ Ἐφέσου καὶ ταύτας ἐπανασωθῆναι τῇ κατ' αὐτὸν ἐκκλησίᾳ καὶ ὑπὸ ταύτην πάλιν τελεῖν καθὰ καὶ πρότερον ὡς οἰκείαν μητρόπολιν· ταῦτα

ειπών καὶ πολλὰ βιβλία ἐνεφάνισε, τῇ ἀρχαιότητι καὶ τῷ πλήθει τὸ ἀξιόπιστον ἔχοντα, ἐν οἷς ἀριθμούμεναί εἰσι μετὰ τῶν ἄλλων καὶ αἱ εἰρημέναι ἐπισκοπαὶ ὑπὸ τὴν τῆς Ἐφέσου μητρόπολιν. πρὸς ταῦτα συνδιασκεψαμένη ἡ μετριότης ἡμῶν τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Θεσσαλονίκης, τῷ Ἡρακλείας, τῷ Νικομηδείας, τῷ Νικαίας, τῷ Μονεμβασίας, τῷ Φιλιππουπόλεως, τῷ Ἀδριανουπόλεως, τῷ Σερρῶν, τῷ Λακεδαιμονίας, τῷ Σουγδαίας, τῷ Γάννου καὶ τῷ Δέρκω, διέγνω καὶ ἀπεφήνατο δικαίαν εἶναι τὴν τοῦ Ἐφέσου ζήτησιν, καὶ περὶ μὲν τῶν ἐκκλησιῶν τοῦ Πυργίου καὶ τῆς Περγάμου τῶν τιμηθεισῶν ἀπὸ ἐπισκοπῶν εἰς μητροπόλεις πρὸ χρόνων καὶ πάλιν ἐπισκοπὰς εἶναι παρακελευόμεθα καὶ ὑποκεῖσθαι τῇ τῆς Ἐφέσου μητροπόλει, οὐ μόνον διότι οὐκ ἔστι νῦν δυνατὸν ἐκεῖ μητροπολίτας χειροτονηθῆναι, ἀλλ' ὅτι καὶ σύνηθές ἐστι τοῦτο καὶ πολλάκις γεγονὸς ἐν πολλαῖς ἐκκλησίαις, τιμηθείσαις μὲν καιροῦ καλοῦντος ἀπὸ ἐπισκοπῶν εἰς ἀρχιεπισκοπὰς ἢ μητροπόλεις διά τινα χρείαν ἀναγκαίαν, πάλιν δὲ τῶν πραγμάτων μεταπεσόντων εἰς ὃ ἦσαν πάλιν γενομέναις ἐπισκοπαῖς, εἰ μή που τινὰς ἐκκλησίας καὶ ὁ χρόνος ἐτίμησε καὶ τὸ δύνασθαι διὰ παντὸς ἔχειν μητροπολίτην καὶ τὸ πολλοὺς ἐν αὐτῇ χειροτονηθῆναι μητροπολίτας, ἕνα τὸν ἕτερον διαδεχόμενον, καὶ ἀδύνατον εἶναι ταύτην ἐπισκοπὴν γενέσθαι· ὅθεν καὶ λήψεται ταύτας ὁ ἱερώτατος μητροπηλίτης Ἐφέσου, καὶ ἐπ' αὐταῖς τὸ βουλητέον ποιήσει ὡς οἰκείαις ἐπισκοπαῖς· περὶ δὲ ὧν ὁ μητροπολίτης Σμύρνης κατέχει τῆς Ἐφέσου ἐπισκοπῶν, δίκαιον εἶναι διέγνωμεν, καὶ ταύτας τὸν Ἐφέσου λαβεῖν ὡς οἰκείας, ἀπὸ τῶν βιβλίων ὧν προεκόμισε, δικαιούμενον· ἐπεὶ δὲ τὰ αὐτὰ βιβλία καὶ τῷ Σμύρνης ὑποκεῖσθαι Φώκαιαν ἐπισκοπὴν δηλοῦσι, καὶ φαίνεται δύο εἶναι Φωκαίας, ὡς καὶ τὰ πράγματα μαρτυρεῖ, διακρίνομεν καὶ ἀποφαινόμεθα, τὴν μὲν μίαν κατέχειν τὸν Σμύρνης, ἐν ᾗ καὶ κάθηται, ἣν καὶ παλαιὰν ὀνομάζουσι, τὴν δὲ λοιπὴν Φώκαιαν καὶ ἔτι τὰς Κλαζομενὰς κατέχειν τὸν Ἐφέσου μετὰ τῶν ἐνοριῶν αὐτῶν. ἐπιλήψεται τοίνυν ὁ Ἐφέσου καὶ ταύτας κἀκείνας, καὶ καθέξει μετὰ τῶν λοιπῶν ἐπισκοπῶν τῶν ὑποκειμένων ἀρχῆθεν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ σὺν πάσῃ τῇ ἐνορίᾳ αὐτῶν καὶ τοῖς ἀπ' ἀρχῆς ὁροθεσίοις καὶ τοῖς ὑποκειμένοις ταῖς ἐπισκοπαῖς προνομίοις, εἴτε ἐκκλησίαι εἰσίν, εἴτε χῶραι, εἴτε ἄλλα τινὰ δίκαια αὐτῶν, καὶ πᾶν, ὅπερ βούλεται, ἐπ' αὐτοῖς διαπράξεται, μηδε-

νὸς ἐναντιουμένου αὐτῷ τὸ σύνολον ἢ ἀντιλέγοντος, ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν ταῖς εἰρημέναις ἐπισκοπαῖς καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῶν, κληρικῶν, ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος, αὐτῷ ὑπείκειν καὶ ὑποτάσσεσθαι, ὡς οἰκείῳ αὐτῶν ἀρχιερεῖ, καὶ παρ' αὐτοῦ τὴν εὐλογίαν καὶ τὸν ἁγιασμὸν καὶ τὴν χειροτονίαν δέχεσθαι καὶ πρὸς μηδένα ἄλλον ἀρχιερέα βλέπειν ἢ μὴ πρὸς αὐτόν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἐφέσου, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἀσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τῇ κατ' αὐτὸν ἁγιωτάτῃ ἐκκλησίᾳ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης ια' ἰνδ. τοῦ ,ςωϞς' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †. † Εἶχε καὶ τὰς τῶν ἔνδον ἀρχιερέων καταγεγραμμένων ὑπογραφὰς οἰκειοχείρους †.

## CCCXCVIII. 6896 (1387) novembri. ind. XI.

*Metropolitae Stauropoleos conferuntur Rhodus, Cos, Cyclades, Myrorum metropolita aut mortuo aut in aliam ecclesiam translato aut his regionibus ab eo ultro dimissis.* (Initium deest.)

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

χθὲς καὶ πρότριτα γενομένην, οὐκ εὐπρεπὲς ἔκρινεν, οὐδὲ δίκαιον, τοῦτο δὲ μᾶλλον ἀντὶ πάσης ἄλλης ἐπὶ τῷ πράγματι θεραπείας, ὥστε καὶ τὴν πρᾶξιν τὴν ἡμετέραν τηρεῖσθαι ἐκείνην καὶ τὴν τοῦ Σταυροουπόλεως ἀθυμίαν διαλῦσαι καὶ λύπην, ἵνα τὴν μὲν Ῥόδον καὶ τὰ περὶ αὐτὴν ὁ Μυρέων κατέχῃ, ὡς ἐδόθη αὐτῷ, ἐπὰν δὲ οὗτος ἢ πρὸς θεὸν ἐκδημήσῃ, ἢ μεταβὰς ἐκεῖθεν καὶ ἐνταῦθα παραγενόμενος εἰς θρόνον ἕτερον μετατεθῇ, ἢ καὶ ἑκὼν οὕτως ἔχων, ὡς εὑρίσκεται νῦν, τὴν τῆς Ῥόδου παραιτήσεται προστασίαν διὰ τὴν τοῦ ἀδελφοῦ φιλίαν καὶ πνευματικὴν ὁμόνοιαν καὶ ἀγάπην, ἐπιλάβηται ταύτης τῆς Ῥόδου μετὰ τῶν περὶ αὐτήν, τῆς τε Κῶ, τῶν Κυκλάδων νήσων καὶ τῆς ἄλλης πάσης ἐνορίας αὐτῆς ὁ ἱερώτατος μητροπολίτης Σταυρουπό-

λεως, καὶ κατέχῃ ταύτην ἀνενοχλήτως, ἀνεμποδίστως καὶ ἀδιασείστως ἐφ' ὅρῳ πάσης τῆς ἰδίας ζωῆς αὐτοῦ, ποιμαίνων τὸ ἐκεῖ λογικὸν τοῦ Χριστοῦ ποίμνιον ἀξίως ἑαυτοῦ καὶ τῆς ἐναρέτου καὶ θεοφιλοῦς αὐτοῦ πολιτείας καὶ τάξεως, παράδειγμα καὶ τύπον ἑαυτὸν καταστήσας καὶ πᾶσι προθεὶς εἰς μίμημα εἴτε ταπεινώσεως, εἴτε εἰρήνης, εἴτε ἀγάπης, εἴτε μεταδόσεως καὶ ἐλεημοσύνης, εἴτε ἄλλης ἧς ἄν τις εἴπειεν ἀρετῆς· αὐτὰ γοῦν ταῦτα καλῶς οὕτω δόξαντα παρ' ἡμῶν καὶ στερχθέντα καὶ γράμμασι ταῦτα τοῖσδε ἐπικυροῦμεν, βουλόμενοι καὶ παρ' ἡμῶν εἰς τὸ ἑξῆς ἀπαράθραυστα μένειν καὶ ἀμεταποίητα, δι' ἃς εἴπομεν αἰτίας εὐλόγους δίκαιον εἶναι καὶ ἀναγκαῖον τὸν Σταυρουπόλεως κατέχειν τὴν Ῥόδον ὑπὲρ ἄλλον τινὰ τῶν ἀδελφῶν καὶ δι' αὐτὸν τοῦτον καὶ διὰ τὸν ἐκεῖ λαὸν πολὺν, εἰς τοῦτον, ὡς ἐμάθομεν, τρέφοντα τὴν ἀγάπην καὶ ὑποτασσόμενον αὐτῷ καὶ πειθόμενον καὶ παρὰ πάντων τῶν λοιπῶν ἡμῶν ἀδελφῶν τῶν μεθ' ἡμᾶς τὴν ἱερὰν συγκροτούντων σύνοδον, εἰς γὰρ πάντες ἐσμὲν τῇ χάριτι τοῦ Χριστοῦ καὶ μία τις ἀδελφικὴ σύμπνοια, πνεύματι ἁγίῳ κινούμενοι καὶ τὰ καλῶς ἡμῖν δεδογμένα ἀποφαινόμενοι καὶ ἐπισφραγίζοντες, ἐπιστατούσης καὶ προοδηγούσης ἐν ἅπασιν ὡς κεφαλή τις ἐπὶ τῷ λοιπῷ σώματι τῆς ἡμῶν μετριότητος. τὸ γὰρ παρὸν ἔσται τῷ Σταυρουπόλεως ἀντὶ παντὸς ἄλλου γράμματός τε καὶ δικαιώματος, καὶ ὅταν ἓν ἐκ τῶν τριῶν γένηται, ἢ ὁ Μυρέων τὸ χρεῶν λειτουργήσῃ, ἢ εἰς ἄλλην ἐκκλησίαν μετατεθῇ, ἢ τρόποις οἷς οἶδεν ἐκεῖνος τὴν Ῥόδον παραιτήσηται, χρήσεται τούτῳ, καὶ ἄλλου οὐ δεηθήσεται, ἀλλὰ τῇ ἰσχύι τοῦ παρόντος γράμματος καὶ δυνάμει ἐπιλήψεται τῆς Ῥόδου, τῆς Κῶ, τῶν Κυκλάδων νήσων καὶ τῆς ἄλλης ἐνορίας αὐτῶν, ἔχων ἐπ' ἐξουσίας ἀναγνώστας σφραγίζειν ἐν πᾶσι τούτοις, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν καὶ πᾶν ἄλλο πράττειν ἐκκλησιαστικὸν ἀρχιερατικὸν δίκαιον, δίχα τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀπολαύων καὶ τοῦ συνήθους αὐτοῦ μνημοσύνου παρὰ πάσης ταύτης τῆς ἐκκλησίας καὶ τῆς προσηκούσης παρά τε ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος αἰδοῦς καὶ εὐλαβείας καὶ προσοχῆς καὶ τιμῆς, εἰδότων, ὡς εἴ τις αὐτῷ ἐναντιωθείη κατά τι, εὐθύνην ὑποστήσεται κανονικῶς τὴν ἀξίαν, κἂν ὁποῖος ἄρα καὶ ᾖ,

εἴτε τῶν ἱερωμένων, εἴτε τῶν λαϊκῶν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Σταυρουπόλεως Καρίας καὶ ὑπερτίμῳ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος κατὰ μῆνα νοέμβριον τῆς ια' ἰνδ. τοῦ ͵ςωϞ' ἕκτου ἔτους †.

## CCCXCIX. 6896 (1387) novembri. ind. XI.

*Hieromonacho et confessori Matthaeo confertur metropolis Cyzici, addita per adiunctionem metropoli Chalcedonis.*

† Ἡ πρᾶξις τοῦ Κυζίκου †.

† Νόμος οὗτος ἐκ παλαιοῦ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ διενεργούμενος πάντοτε τὸ τοὺς τῶν ἀνδρῶν ἀρίστους τε καὶ λογάδας καὶ τῶν πολλῶν ὑπερέχοντας ἀρετῇ καὶ συνέσει καὶ κατὰ τὴν ἀξίαν αὐτοὺς ὑπεραίρειν, καὶ οἷον εὐαγγελικῶς εἰπεῖν, τὸ φῶς ἐπὶ τὴν λυχνίαν τιθέναι, ὡς ἂν πολλούς τε καὶ ἄλλους ἐπὶ τὴν τῆς σωτηρίας ὁδὸν ὁδηγῶσιν ἀπαλλάττοντες τοῦ σκότους τῆς ἁμαρτίας, καὶ μάλιστα, εἰ φθάσαιεν τὴν ἐμπιστευθεῖσαν αὐτοῖς μικρὰν διακονίαν παρὰ τῆς ἐκκλησίας καλῶς καὶ ἀξίως ἑαυτῶν καὶ τῆς δεδωκυίας οἰκονομήσαντες· πρὸς τοῦτο γὰρ οἶμαι καὶ τὴν δεσποτικὴν ἐκείνην φέρειν ἀπόφασιν· ὁ ἐν ἐλαχίστῳ πιστὸς καὶ ἐν πολλῷ πιστός ἐστιν, καί· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ᾖς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· διὰ ταῦτα καὶ ἡ μετριότης ἡμῶν, κρίμασι θειοτέροις ἐπὶ τὸν ὑψηλὸν πατριαρχικὸν ἀνελθοῦσα θρόνον, προὔργου ποιεῖται παντὸς τοὺς εὐλαβείᾳ καὶ ἀρετῇ σεμνονομένους καὶ δοκίμους ἐν πᾶσιν ἀναφανέντας τῷ διδασκαλικῷ κοσμεῖν ἀξιώματι καὶ τῷ χορῷ τῶν ποιμένων τῆς ἐκκλησίας ἐγκαταλέγειν, ἄδικον ἡγουμένη τοὺς πολλὰ δυναμένους ὀλίγα τινὰ καὶ μέτρια ἐγχειρίζειν, καὶ ἅπερ οἱ τυχόντες πράττειν δύναιντ' ἄν, ἐπεὶ καὶ τῷ κοινῷ τῆς ἐκκλησίας οὐκ ὀλίγα τοῦτο λυμαίνεται, τῶν ἄλλων ῥᾳθυμοτέρων ἀεὶ γινομένων, ἐκ τοῦ μὴ τοὺς ἐναρέτους εἰκότως τιμᾶσθαι καὶ ἐπὶ πολλὴν ἀξίαν ἀνάγεσθαι, ἀλλ' ἐν γωνίᾳ που παρερρίφθαι μετὰ τῶν τυχόντων. ὁ γοῦν τιμιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικὸς πατὴρ, κῦρ Ματθαῖος, ἐκ νέας πάνυ τῆς ἡλικίας προσελθὼν τῷ ὁσιωτάτῳ ἐν μοναχοῖς καὶ ἁγίῳ μου πατρὶ καὶ καλογέρῳ, κυρῷ Μάρκῳ, οὗ τὸν ὑψηλὸν βίον καὶ τὴν θεάρεστον πολιτείαν μικροῦ τῇ τῶν ἀγγέλων παρισουμένην οὐδεὶς ἐστιν ὃς ἀγνοεῖ, καὶ παρ' ἐκείνου καλῶς

ἄρχεσθαι παιδευθεὶς καὶ τοὺς τῆς ὑποταγῆς καὶ ὑπακοῆς νόμους ὡς εἴ τις τῶν ὀνομαστῶν ἐκμαθὼν καὶ καλῶς ἀλειψάμενος πρὸς τοὺς τῆς ἀσκήσεως πόνους καὶ μετὰ τὴν ἐκείνου πρὸς θεὸν ἐκδημίαν τῇ ἡμῶν μετριότητι παρηκολουθηκὼς ἐν ἅπασιν, οὐδὲ πρὶν ἀφιστάμενος, καὶ τὴν αὐτὴν ἐνδεικνύμενος ὑπακοὴν καὶ μηδὲν πράττων παρὰ τὸ ἐμὸν θέλημα καὶ πρὸς ἱερωσύνην ἁρμόδιος ἔδοξε, καὶ πρὶν μὲν χειροτονεῖται διάκονος, ὕστερον δὲ καὶ πρεσβύτερος, τοῦ θεοῦ κατ' ὀλίγον αὐτὸν ἀνάγοντος ἐπὶ τὰ μείζω καὶ τελεώτερα, καὶ τὸ λειτούργημα τῆς πνευματικῆς πατρότητος δέχεται, καὶ τὴν προστασίαν τοῦ ἡμετέρου κελλίου καὶ τῶν εὑρισκομένων ἐν αὐτῷ ψυχῶν ἀναδέχεται, ὡς τῶν ἡμετέρων ἠθῶν τε καὶ παιδευμάτων καὶ τῶν ἐθῶν μιμητὴς ἀκριβέστατος· ἐπεὶ τοίνυν τὴν δεδομένην αὐτῷ παρὰ τοῦ θεοῦ χάριν δι' ἡμῶν οὐ κατήσχυνεν, ἀλλὰ καὶ πρὸς ἐπίδοσιν ἤγειρε καὶ λόγοις καὶ παραινέσεσι καὶ πρὸ πάντων τῷ καθ' ἑαυτὸν ὑποδείγματι τύπος ἀγαθοῦ παντὸς τοῖς αὐτῷ προσερχομένοις καὶ ὑπ' αὐτὸν τελοῦσι γινόμενος, καὶ πρὸς ὑψηλοτέραν ἀξίαν δεῖν ᾠήθημεν αὐτὸν ἀναγαγεῖν καὶ ποιμένα καὶ ψυχῶν οἰκονόμον αὐτὸν ἐγκαταστῆσαι, οὐκ ὀλίγα καὶ εἰς τὴν ἱερὰν σύνοδον ἡμῖν συμβαλλόμενον ἐν ταῖς ἐκκλησιαστικαῖς ὑποθέσεσι τῇ ἐνούσῃ αὐτῷ ἀρετῇ καὶ ἀγαθῇ συνειδήσει· γνώμῃ τοίνυν καὶ ψήφῳ τῆς ἱερᾶς καὶ μεγάλης συνόδου τὸν ἀρραβῶνα τῆς ἁγιωτάτης μητροπόλεως Χαλκηδόνος δέχεται, πολλὰ βιασθεὶς εἰς τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος, μᾶλλον δὲ κατ' ἐπιταγὴν αὐτῆς καὶ τοῦτο δεξάμενος, ἐπειδήπερ ἴδιον οὐκ ἔχει θέλημα· ἄλλως ἡ πρόνοια τὰ κατ' αὐτὸν ᾠκονόμει, πρὸς ὑψηλοτέρας ἀναβάσεις αὐτὸν ἀνάγων, ὡς ἔοικε· τῆς γὰρ πόλεως Χαλκηδόνος πρὸ χρόνων πολλῶν ἀφανισθείσης καὶ λίαν ὀλίγων ὄντων τῶν ἐποίκων αὐτῆς, ὡς μηδὲ ἐπισκόπου χρείαν ἔχειν αὐτούς, καί τι παρεμπεσὸν καιρικὸν ἐμπόδιον τὴν χειροτονίαν ἐκώλυεν, ὅθεν καὶ γνώμῃ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Ἐφέσου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μονεμβασίας, τοῦ Σταυρουπόλεως, τοῦ Ἀδριανουπόλεως, τοῦ Σερρῶν, τοῦ Μεσημβρίας, τοῦ Σουγδαίας καὶ τοῦ Δέρκω, ἐχειροτόνησεν αὐτὸν ἡ μετριότης ἡμῶν γνήσιον μητροπολίτην Κυζίκου, εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ τῆς ἐκκλησίας προαγωνιστοῦ καὶ προμάχου καὶ τοῦ περὶ πάντα τὰ καλὰ φιλότιμον ἐν πᾶσι δεικνύντος. ὀφείλει τοίνυν ὁ ἱερώτατος μητροπολίτης Κυζίκου, ὑπέρτιμος

καὶ ἔξαρχος παντὸς Ἑλλησπόντου, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Ματθαῖος, ἐπιλαβέσθαι ταύτης τῆς κατ' αὐτὸν ἁγιωτάτης μητροπόλεως καὶ πάσης τῆς ἐνορίας αὐτῆς καὶ διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου λαὸν καὶ παραινεῖν καὶ εἰσηγεῖσθαι αὐτοῖς τὰ ψυχωφελῆ καὶ σωτήρια, ἔχων ἄδειαν ἱερουργεῖν ἀκωλύτως ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτοῦ, ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν, ἔτι γε μὴν καὶ ἐπισκόπους ἐν ταῖς ἀρχῆθεν ὑποκειμέναις ἐπισκοπαῖς τῇ κατ' αὐτὸν ἁγιωτάτῃ μητροπόλει τῆς Κυζίκου καὶ τἄλλα πάντα ποιεῖν ἀκωλύτως τὰ ἀρχιερατικά, ὀφείλων ἐγκαθιδρυθῆναι καὶ τῷ ἱερῷ συνθρόνῳ τῆς κατ' αὐτὸν ἐκκλησίας ταύτης, ὡς γνήσιος μητροπολίτης Κυζίκου καὶ ὢν καὶ ὀνομαζόμενος. παραδίδωσι δὲ αὐτῷ ἡ μετριότης ἡμῶν καὶ τὰ ἐν τῷ Ὑρτακίῳ εὑρισκόμενα πατριαρχικὰ δίκαια, ἤγουν τὰ δύο προσκυνήματα, τό τε τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τῆς Ἀχειροποιήτου καὶ τὸ τοῦ ἁγίου μου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, καὶ ἔτι τὸ κάθισμα τοῦ ἱερομονάχου καὶ πνευματικοῦ ἐκείνου Μαλαχίου μετὰ τῶν κελλίων αὐτοῦ καὶ τῶν προσόντων αὐτῷ κτημάτων, ἅπερ ἐκεῖνος ἀφιέρωσε τῇ μεγάλῃ ἐκκλησίᾳ· καὶ ταῦτα τοίνυν ἅπαντα πατριαρχικὰ ὄντα ὀφείλει κατέχειν ὁ ἱερώτατος μητροπολίτης Κυζίκου καὶ τῶν κτημάτων ἐπιμελεῖσθαι καὶ τὰς προσόδους αὐτῶν λαμβάνειν καὶ ἀποφέρεσθαι ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ, ἔχων ἄδειαν καὶ ἐν αὐτοῖς ἱερουργεῖν καὶ χειροτονίας ποιεῖν ἀκωλύτως, ὅταν βούληται· ἔτι παραδίδωσιν αὐτῷ ἡ μετριότης ἡμῶν κατὰ λόγον ἐπιδόσεως τὴν ἁγιωτάτην μητρόπολιν Χαλκηδόνος καὶ πᾶσαν τὴν ἐνορίαν αὐτῆς καὶ τὰ ἐν τῇ βασιλίδι τῶν πόλεων δίκαια τῆς ἐκκλησίας ταύτης, ἤγουν τὰ ἐν τῷ ναῷ τῆς πανευφήμου μάρτυρος Εὐφημίας δίκαια, καὶ ὅσα περὶ τὸν ναὸν ἐμφυτεύματα καὶ χωράφια καὶ λοιπὰ πάντα δίκαια, ὅσα κατεῖχε πρὶν καὶ ὁ μητροπολίτης Χαλκηδόνος, καὶ κατέχειν αὐτὸν καὶ ταῦτα ἀναφαιρέτως καὶ ἀναποσπάστως μέχρι τέλους τῆς ζωῆς αὐτοῦ· καὶ ἔτι πρὸς τούτοις πᾶσι παρακελεύεται ἡ μετριότης ἡμῶν κατέχειν αὐτὸν καὶ τὴν ἐξαρχίαν καὶ διοίκησιν πάντων τῶν πατριαρχικῶν δικαίων τῶν εὑρισκομένων περί τε τὸν Ἑλλήσποντον καὶ ὅλην τὴν Βιθυνίαν, ὅσα καὶ οἷα ἂν ὦσι, καὶ ἔχειν ἄδειαν καὶ ἐν τοῖς κατ' ἐπίδοσιν δοθεῖσιν αὐτῷ καὶ ἐν τοῖς πατριαρχικοῖς

ἅπασι διδάσκειν τὸν τοῦ κυρίου λαὸν τὸν χριστώνυμον καὶ ἱερουργεῖν καὶ χειροτονεῖν ἀναγνώστας, ὑποδιακόνους καὶ πρεσβυτέρους καὶ τοὺς ἀνεγειρομένους ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ καὶ πνευματικοὺς πατέρας ἐγκαθιστᾶν καὶ τἄλλα διενεργεῖν ἀκωλύτως τὰ ἀρχιερατικά, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὀφείλει τοίνυν ἅπαντα ταῦτα κατέχειν ἐπὶ πάσῃ τῇ ζωῇ αὐτοῦ, ὅπου ἂν εὑρίσκηται, εἴτε ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει, εἴτε ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ, εἴτε ἀλλαχοῦ ἀποδημήσῃ ὁπωσδήποτε, παρὰ μηδενὸς εὑρήσων τὴν τυχοῦσαν ἐπήρειαν ἢ διενόχλησιν, ὀφειλόντων καὶ πάντων τῶν εὑρισκομένων ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καὶ ἐν τῇ τῆς Χαλκηδόνος ἐνορίᾳ καὶ ἐν τοῖς πατριαρχικοῖς ἅπασι κληρικῶν, ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ ὑποτάσσεσθαι αὐτῷ, ἐφ' οἷς ἂν ἔχοι λέγειν πρὸς αὐτοὺς ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν· ἡ γὰρ πρὸς αὐτὸν τιμὴ καὶ ὑποταγὴ καὶ εὐπείθεια πρὸς αὐτὸν τὸν θεὸν ἀναφέρεται, οὗ τύπος ἐστὶν ὁ ἀρχιερεύς. τούτου γὰρ χάριν ἀπολέλυται τῷ εἰρημένῳ ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου, ὑπερτίμῳ καὶ ἐξάρχῳ παντὸς Ἑλλησπόντου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα συνοδικὴ αὐτῆς πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα νοέμβριον τῆς ια' ἰνδ. τοῦ ,ϛωϞϛ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Νεῖλος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

IX.

† Μηνὶ ἰανουαρίῳ ἰνδ. ιβʹ, ἔτους ,ϛωϟζʹ, ἐχειροτονήθη θεοῦ χάριτι ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Ἀντώνιος, καὶ ἤρξαντο καταστρώννυσθαι ἐνταῦθα αἵ τε συνοδικαὶ πράξεις καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων σημειώματα, πρὸ πάντων δὲ προετέθη ἡ αὐτοῦ ὁμολογία †.

CCCC. 6897 (1389) ianuario. ind. XII.

*Professio fidei neoelecti patriarchae Antonii.*

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἱερομόναχος, ὑποψήφιος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, προέταξα †.

† Πιστεύω εἰς ἕνα θεόν, πατέρα παντοκράτορα κ. τ. λ. πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ᾽ αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους διετυπώθησαν, πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος. ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν καὶ κατ᾽ οὐδένα τρόπον ἐναντία φρονεῖν αὐταῖς διὰ βίου παντός, προσεπαγγελλόμενός τε ἐν φόβῳ θεοῦ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης ὑπολήψεως πονηρᾶς καθαρὸν ἐμαυτὸν συντηρῶν, ὁπόση μοι περίεστι δύναμις· ἔτι ἀσφαλίζομαι, μηδέποτε τῶν δογματισθέντων παρὰ τοῦ γεγονότος Νικαίας, Εὐστρατίου, καὶ ἀποβληθέντων ἀντιποιήσασθαι, ὡς ἀλλοτρίων ὄντων τῆς ὀρθῆς πίστεως, καὶ παρὰ τῆς ἐκκλησίας ἀποπεμφθέντων καὶ ἀναθέματι καθυποβληθέντων· ἀναθεματίζω δὲ καὶ τὰ δογματισθέντα καὶ λαληθέντα παρὰ Μιχαὴλ τοῦ γενομένου πρωτεκδίκου καὶ μαΐστορος τῶν ῥητόρων, τοῦ Βασιλάκη Νικηφόρου, καὶ Σωτηρίχου, τοῦ ὑποψηφίου θεουπόλεως μεγάλης Ἀντιοχείας, τοῦ ἐπονομαζομένου Παντευγένου, περὶ τῆς προσαγωγῆς καὶ θυσίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἔτι δὲ

καὶ τῆς καθ' ἑκάστην παρὰ τῶν ἱερουργῶν τελουμένης, ὡς ἀποδοκιμασθέντα καὶ ἀποβληθέντα παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. ἔτι ἀσπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις εὐαγγελίοις δεσποτικῆς φωνῆς τῆς· ὁ πατήρ μου μείζων μου ἐστί, παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα καὶ διατρανωθέντα ὑπὸ τοῦ εὐσεβοῦς τόμου τοῦ ἐκτεθέντος παρὰ τοῦ τρισμάκαρος βασιλέως, κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ, ἤγουν, ὅτι τὴν φωνὴν ταύτην εἴρηκεν ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστός, καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν πέπονθε, μὴ λαμβανομένην γυμνὴν καὶ κεχωρισμένην τῆς θεότητος κατὰ τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν, μήτε πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναγομένην ἢ νοουμένην, ἀλλὰ καὶ τοὺς κατὰ τὰ τῆς κενώσεως μέτρα μόνον εἰρηκέναι τὸν κύριον λέγοντας ταύτην τὴν φωνὴν καὶ τῇ κενώσει ταύτην μόνῃ προσαρμόζοντας, τοῦτ' ἔστι, διὰ μόνην τὴν κένωσιν, ἤγουν διὰ τὸ λαβεῖν σάρκα, καὶ οὐ κατὰ τὴν σάρκα, ἣν προσελάβετο, καθυποβάλλω τῷ ἀναθέματι· δέχομαι καὶ τὰς περὶ τούτου ἑρμηνείας τῶν ἁγίων πατέρων. πρὸς τούτοις στέργω καὶ ἀποδέχομαι καὶ τὰς κατὰ τὴν μεγαλόπολιν ταύτην συγκροτηθείσας ἱερὰς συνόδους, ἔν τε τῷ περιωνύμῳ τῆς ἁγίας τοῦ θεοῦ Σοφίας καὶ ἐν τῷ θεοφρουρήτῳ παλατίῳ κατὰ τοῦ Καλαβροῦ Βαρλαὰμ καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτοῖς, οἳ τὴν κοινὴν καὶ θείαν χάριν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθ' ὃ καὶ οἱ δίκαιοι λάμψουσιν, ὡς ὁ ἥλιος, ὡς καὶ ὁ Χριστὸς ἐπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος καὶ πᾶν τὸ ὁπωσοῦν διαφέρον τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι, καὶ κατατέμνουσι καὶ οὗτοι δυσσεβῶς εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα, καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ θεῷ προσόντων φυσικῶς, διθεΐτας φρενοβλαβῶς ὀνομάζουσι καὶ πολυθέους, ὡς καὶ Ἰουδαῖοι, Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς· ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους ὡς ὄντας ἀθέους καὶ πολυθέους ἀποβαλλόμεθα καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, εἰ μὴ μεταμεληθεῖεν, ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία διὰ τῶν προβάντων ἱερῶν τόμων,

τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτουσαν διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις. ἔτι ἀσφαλίζομαι, ὅτι οὐ δέδωκα τὸ οἱονοῦν χάριν τοῦ ψηφισθῆναί με εἰς τήνδε τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, ἀλλ' οὐδὲ ὑπεσχέθην τι παρασχεῖν ἕνεκα τούτου πρός τινα, οὐδὲ δώσω, ἀλλ' ἀσπάζομαι καὶ τὰς περὶ τούτου ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν ἀκρίβειαν τῆς νεαρᾶς παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως τοῦ Παλαιολόγου, κυροῦ Ἀνδρονίκου, ἐπὶ τῇ τοιαύτῃ ἱερᾷ πράξει τὴν στερχθεῖσαν καὶ βεβαιωθεῖσαν παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ὑπισχνοῦμαι φυλάττειν ταύτην ἀπαρεγχείρητον. ὑπεγράφη ταῦτα διὰ χειρὸς ἡμετέρας δι' ἀσφάλειαν μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος δωδεκάτης, ἔτους ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἐνενηκοστοῦ ἑβδόμου ἔτους †.

† Ἀντώνιος ἱερομόναχος, ἐλέῳ θεοῦ ὑποψήφιος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης, ὑπέγραφα †.

## CCCCI. (6897—1389) 9. februarii. ind. XII.

*Georgius Moscholeon profitetur fidem orthodoxam.*

† Μηνὶ φευρουαρίῳ, θ', ἰνδ. ιβ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἦλθε Γεώργιος ὁ Μοσχολέων, καὶ ὡμολόγησεν ἔμπροσθεν τῆς μεγίστης ἁγιωσύνης αὐτοῦ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Δέρκω, τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος, τοῦ πρωτονοταρίου, τοῦ λογοθέτου, τοῦ ἄρχοντος τῶν ἐκκλησιῶν, τοῦ πνευματικοῦ, κυροῦ Μαξίμου τοῦ Συροπούλου, κυροῦ Ἰωάννου τοῦ Σανιάνου, ὅτι στέργει τὴν ἁγίαν τοῦ Χριστοῦ ἐκκλησίαν τῆς Κωνσταντινουπόλεως, καὶ πιστεύει εἰς πᾶν, ὅπερ πιστεύει ὁ παναγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης, κῦρ Ἀντώνιος †.

CCCCII. (6897—1389) 17. martii. ind. XII.

*Suspensio presbyteri Georgii ab Eremiis.*

† Μηνὶ μαρτίῳ, ιζ', ἰνδ. ιβ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Οὐγγροβλαχίας, τοῦ Ἀτταλείας, τοῦ Σμύρνης, τοῦ Βάρνης, τοῦ Γοτθίας, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως, τοῦ Μηδείας, τοῦ Δέρκω καὶ τοῦ ὑποψηφίου Δράμας, ἐλαλήθη τὸ κατὰ τοῦ πρεσβυτέρου Γεωργίου, τοῦ ἀπὸ τῶν Ἐρημιῶν, ὅπως θυμῷ ἀσχέτῳ κινηθεὶς ἔτυψε τὸν φλαμούλην ἐντὸς τοῦ ἁγίου βήματος, καὶ ἐν τῷ τύπτειν αὐτὸν ἔχυσε καὶ τὸ ἁγίασμα, ἔτι τε καὶ ὅπως ἠναισχύντησε τὸν λογαρᾶν, εἰπόντα, αὐτὸν ὁρισμῷ θείῳ πατριαρχικῷ ἐλθεῖν εἰς τὴν σύνοδον καὶ δοῦναι λόγον εἰς ταῦτα, καθὼς καὶ ἐλθὼν ὕστερον εὑρέθησαν πάντα ἀληθῆ, ὅθεν ἐπεσχέθη, ὡς μηδόλως ἅψασθαί τι ἱερατικὸν χρόνον ἕνα καὶ μῆνας ἕξ. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα †.

CCCCIII. (6897—1389) februario. ind. XII.

*Synodus diiudicat causam matrimonialem.*

† Ὁ Λαγκιδᾶς ἐλθὼν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἔτι ὑποψήφιον ὄντα, συνεδριαζόντων αὐτῷ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Οὐγγροβλαχίας, τοῦ Νικαίας, τοῦ Μονεμβασίας, τοῦ Ἀδριανουπόλεως, τοῦ Ἀτταλείας, τοῦ Σερρῶν, τοῦ Βάρνης, τοῦ Σηλυβρίας, τοῦ Γοτθίας, τοῦ Σουγδαίας, τοῦ Μηδείας, τοῦ Δέρκω καὶ τοῦ Χαμᾶ, ἀνέφερεν εἰς τὴν μεγίστην ἁγιωσύνην αὐτοῦ, ὡς βουλόμενος λαβεῖν γυναῖκα κωλύεται παρὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος, ὅτου χάριν ἔσχε δύο γυναῖκας διὰ τελείας ἱερολογίας καὶ ἑτέραν διὰ δεσμοῦ ἐγκολπίων, κωλύεται δέ, ἵνα μὴ λογισθῇ τετραγαμία τὸ εἰς αὐτὸν γεγονός. ἐδεήθη γοῦν τῆς συνοδικῆς τυχεῖν διαγνώσεως, ὅθεν καὶ ἐξετασθὲν ἀκριβῶς τὸ περὶ τούτου καὶ εὑρεθὲν οὕτως, καθὼς ἀνέφερε, καὶ μὴ ἄλλως ἔχειν, διέγνωσται τοῖς δηλωθεῖσιν ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, συνεπιψηφισαμένου καὶ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ

πατριάρχου, λαβεῖν καὶ ἑτέραν γυναῖκα, ὡς εἰς τρίτον γάμον ἐρχόμενον αὐτόν, τὸ γὰρ τῶν ἐγκολπίων οὐδέν τι λογίζεται διὰ τὸ μὴ ἐπακολουθῆσαι καὶ εὐχὴν ἱερατικὴν εἰς αὐτά, καθὼς ἀνεφάνη ἀπὸ ἀκριβοῦς ἐρεύνης, ἀλλὰ ἁπλῶς ἐν συμποσίῳ πεποιήκασι τοῦτο. ὅθεν καὶ ἐπεστρώθη ἡ τοιαύτη τῶν ἀρχιερέων διάγνωσις ἐνταῦθα κατὰ μῆνα φευρουάριον τῆς ιβ' ἰντικτιῶνος †.

## CCCCIV. 6897 (1389) februario. ind. XII.

*Synodus confirmat excommunicationem Poemenis, metropolitae Russiae, et electionem Cypriani in metropolitam totius Russiae, statuens, ecclesias Russiae iterum esse uniendas.*

† Ἡ ὑπὲρ τοῦ Ῥωσίας κυροῦ Κυπριανοῦ συνοδικὴ πρᾶξις †'

† Ἡ τῆς Ῥωσίας ἐπαρχία πᾶσα ὑφ' ἕνα μητροπολίτην ἀπ' ἀρχῆς ἐτάχθη ποιμαίνεσθαί τε καὶ διευθύνεσθαι, ἀφ' οὗπερ ἀπὸ Χριστοῦ καλεῖσθαι ἠξιώθησαν καὶ τῇ καθ' ἡμᾶς μεγάλῃ τοῦ Χριστοῦ καθολικῇ τε καὶ ἀποστολικῇ ἐκκλησίᾳ ὑπετάγησαν, οὐχ ἁπλῶς, ὡς ἄν τις εἴποι, καὶ ὡς ἔτυχε, τοῦτο τῶν θείων ἐκείνων πατέρων διαταξαμένων, ὥστε τὸ πολυάνθρωπον ἔθνος ἐκεῖνο καὶ μυριάριθμον, σχεδὸν δὲ εἰπεῖν καὶ ἀναρίθμητον ἕνα μόνον ἔχειν καθηγεμόνα καὶ διδάσκαλον καθολικόν. ἀλλ' ἐπειδὴ πολλὴ μὲν ἡ κατὰ τὴν Ῥωσίαν ἐνορία, εἰς πολλὰς δὲ καὶ διαφόρους κοσμικὰς ἀρχὰς ἐμερίσθη καὶ πολιτείας τοσαύτας, ὡς πολλοὺς μὲν ἐπάρχοντας ἔχειν, πλείονας δὲ τοπάρχας, καὶ τούτους οὐχ ἧττον τὰς γνώμας μεμερισμένους ἢ τὰ πράγματα καὶ τοὺς τόπους, ὥστε καὶ πολλοὺς ἀλλήλων κατεξανίστασθαι κα κατεπεμβαίνειν ἀλλήλοις καὶ πρὸς πολέμους καὶ μάχας διερεθίζεσθαι καὶ πρὸς ὁμόφυλον φόνον, οἱ θεῖοι πατέρες ἐκεῖνοι, πνεύματι θείῳ ταῦτα προϊδόντες καὶ τοῦ εἰρηνικοῦ καὶ πράου Χριστοῦ μαθηταὶ τυγχάνοντες καὶ τὴν ἀγάπην καὶ τὴν εἰρήνην καὶ τὴν πρὸς ἀλλήλους ἕνωσιν καὶ ὁμόνοιαν πάντας διδάσκειν ὀφείλοντες οὐ λόγοις μόνον, ἀλλὰ καὶ πράγμασι, τῇ θείᾳ σοφίᾳ καὶ τὴν ἀνθρωπίνην γνῶσιν συνάψαντες, καὶ λογισάμενοι, μὴ καλὸν αὐτοῖς εἶναι, μηδὲ συμφέρον, εἰς πολλὰ καὶ τὴν πνευματικὴν ἀρχὴν διασκεδασθῆναι, ἀλλ' οἱονεί τινα σύνδεσμον καὶ πρὸς ἑαυτὸν καὶ πρὸς ἀλλήλους συνάφειαν τὸν ἕνα εἶναι μητροπολίτην, ἐπεὶ τὴν κοσμικὴν οὐκ ἦν δυνατὸν ἀρχὴν εἰς ἓν

ἀγαγεῖν, μίαν κατέστησαν τὴν πνευματικήν, καλῶς διανοηθέντες, ὡς ἄν, ὑφ' ἑνὶ καθηγεμόνι καὶ ὁδηγῷ ταττόμενοι, καὶ πρὸς ἑαυτοὺς καὶ πρὸς ἀλλήλους εἰρηνεύωσι, τὴν μίαν αἰδούμενοι κεφαλήν, ἥτις πάντως τύπος καθέστηκε τῆς κυρίως καὶ πρώτως μιᾶς κεφαλῆς τοῦ Χριστοῦ, ἐξ οὗ πᾶν τὸ σῶμα τῆς ἐκκλησίας συναρμολογεῖται καὶ συμβιβάζεται, κατὰ τὸν θεῖον εἰπεῖν ἀπόστολον, καὶ εἰς ἑνότητα τῆς πίστεως καταντᾷ. εἶχε μὲν οὕτω ταῦτα, καὶ καλῶς προεχώρει τὰ κατὰ τὴν ἐκκλησίαν ἐκείνην καὶ εἰρηνικῶς· πρὸ δέ τινων ὀλίγων χρόνων σχίσματά τινα καὶ ταραχαὶ καὶ ὀχλήσεις οὐ μικραὶ προεχώρησαν, ὡς εἰς τοὐναντίον ἅπαν τὰ πράγματα μεταβῆναι. δεῖ δὲ ἡμᾶς ἄνωθεν αὐτὰ κατὰ μέρος διαλαβεῖν, ὡς ἂν εὐσύνοπτα γένηται καὶ σαφῆ, καὶ τοῖς μὲν γινώσκουσιν ὡς ἐν ὑπομνήσεως λόγῳ ταῦτα παραδοθῇ, τοῖς δὲ μήπω τῶν τοιούτων πεπειραμένοις καὶ ἀγνοοῦσιν ἴσως τρόπους οἰκονομίας, οἷς οἱ κατὰ καιρὸν τῆς ἐκκλησίας καθηγεμόνες χρῶνται, πρὸς μόνην ἀφορῶντες τὴν τῶν ἀνθρωπίνων ψυχῶν ὠφέλειαν, διδασκαλία καὶ μάθησις γένηται καὶ παράδειγμα τοῖς βουλομένοις ἐκ τῶν ὕστερον ἀναφυέντων κακῶν καταμανθάνειν τὰ χρήσιμα. φθάνει πρό τινων ἤδη χρόνων χειροτονηθεὶς μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Φιλοθέου, ἐπὶ τῆς πρώτης πατριαρχείας αὐτοῦ ὁ ἐκεῖθεν ἀποσταλεὶς ἐπίσκοπος Βλανδιμοίρου, κῦρ Ἀλέξιος, ὃς ἀπελθὼν ἐκεῖ καὶ τὴν τοσαύτην ἀρχὴν παραλαβὼν καὶ οὐχ ὁμοίως πρὸς πάντας διακείμενος ῥῆγας, μηδ' ἐπίσης ὑπὲρ πάντων φροντίζων, ὡς ὑπὲρ πάντων ὀφείλων ἀποδοῦναι τῷ θεῷ λόγον ἐν ἡμέρᾳ κρίσεως, ἀλλὰ τοὺς μὲν ἀποτρεπόμενος, τοῖς δὲ προσκείμενος. ἐπειδὴ καὶ ὁ μέγας ῥὴξ τοῦ Μοσχοβίου, ὁ Ἰωάννης, ἀποθνήσκων τὴν ἐπιτροπείαν αὐτῷ καὶ ἀνάθεσιν τοῦ υἱοῦ αὐτοῦ Δημητρίου ἐπέθηκε καὶ τὴν ὑπὲρ αὐτοῦ πρόνοιαν, ὅλος εὐθὺς τῆς ὑπὲρ αὐτοῦ φροντίδος μόνης γίνεται, καὶ καταφρονεῖ μὲν τῶν θείων νόμων καὶ διατάξεων, ἀντὶ τοῦ ποιμαίνειν καὶ διδάσκειν τοὺς χριστιανοὺς κοσμικὰς ἀρχὰς ἀναδεδεγμένος καὶ περὶ πολέμους καὶ μάχας καὶ ὀχλήσεις ἠσχολημένος ὁ τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν διδάσκειν κεκελευσμένος, ὅλην δὲ τὴν τῶν Λιτβῶν ἐπαρχίαν καὶ ὅσης ὁ μέγας ῥὴξ τῶν πυρσολατρῶν ἦρχε, καὶ αὐτὴν δὲ τὴν τῆς Ῥωσίας πάσης μητρόπολιν, τὸ Κύεβον λέγω, ἀνεπισκόπητα καταλείπει· ἐντεῦθεν σχίσματα καὶ διαιρέσεις καὶ πόλεμοι καὶ αἱμάτων ἐκχύσεις πάντων ῥηγῶν

κατ' ἀλλήλων ῥυέντων καὶ κατ' αὐτοῦ δὲ τοῦ ἰδίου ποιμένος, ὡς αἰτίου τούτων ἁπάντων, ἅπερ ὁ ἁγιώτατος πατριάρχης ἐκεῖνος γνωρίσας πρῶτον μὲν ἰδίοις γράμμασι τοὺς ῥῆγας διδάσκει καὶ πολλαῖς ἀξιοῖ παραινέσεσι, τῆς μάχης ἀποσχέσθαι καὶ τῶν πολέμων καὶ πρὸς εἰρήνην ἀπιδεῖν, ἧς οὐδὲν τιμιώτερον, οὐ μὴν ἀλλὰ καὶ τῷ μητροπολίτῃ γράφει, καὶ νουθεσίαις καὶ ἀπειλαῖς διδασκαλικῶς ἐπιπλήττει, μὴ ἀνάξια τοῦ σχήματος πράττειν, μηδὲ ἀντὶ τῆς εἰρήνης καὶ ὁμονοίας, ἣν ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς καταλέλοιπε, στάσεις καὶ μάχας καὶ πολέμους ἐγείρειν καὶ πρὸς σχίσματα τοὺς ῥῆγας ἐρεθίζειν αὐτόν, καὶ ταῦτα τῆς εἰρήνης ὄντα διδάσκαλον. οἱ μὲν οὖν ῥῆγες, μεταλαβόντες καὶ τὰ πατριαρχικὰ αἰδεσθέντες γράμματα καὶ ταῖς πολλαῖς παραινέσεσι καὶ διδασκαλίαις πεισθέντες, ἕτοιμοι εἶναι διωμολόγουν καὶ τὸν μητροπολίτην δέξασθαι, εἴπερ ἐθελήσει πρὸς αὐτοὺς ἀπελθεῖν καὶ διαλῦσαι τὰ προγεγονότα σκάνδαλα καὶ εἰρηνεῦσαι, συνιδόντες, ὅτι καὶ ψυχικὴν καὶ σωματικὴν ὠφέλειαν αὐτοῖς τοῦτο προξενεῖ. ὁ δὲ μητροπολίτης, ὁ μᾶλλον ὀφείλων εἰς τοῦτο παρακινεῖν καὶ τοὺς ἄλλους, ὁ τῆς εἰρήνης διδάσκαλος καὶ τῆς ἀνεξικακίας, οὐ μόνον οὐδὲν ἐκ τῶν πατριαρχικῶν παραινέσεων ὠφελημένος γέγονεν, ὡς αὐτὸν ἀπῄτει τὸ σχῆμα καὶ ἡ τῆς ἀρχιερωσύνης κατάστασις, ὁ δὲ καὶ μᾶλλον ἐλάττων ὤφθη τῶν κοσμικῶν ἀρχόντων ἐν τούτῳ τέως τῷ μέρει, καὶ τὴν εἰρήνην ἀπείπατο παντελῶς, ὡς οὐδὲν τὰς πατριαρχικὰς γραφὰς λογισάμενος καὶ τὴν ἐκ τούτων ἀποπέμψας ὠφέλειαν. ὁ πατριάρχης τοίνυν, ἐπεὶ τὰ γράμματα οἶδε μηδὲν ἀνύοντα, τὸν οἰκεῖον πέμπει καλόγηρων, τὸν νῦν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, κῦρ Κυπριανόν, ἄνθρωπον ἀρετῆς καὶ εὐλαβείας ἀντιποιούμενον καὶ καλῶς εἰδότα πράγμασι χρῆσθαι καὶ κατὰ λόγον οἰκονομεῖν ὑποθέσεις, ὡς ἂν καὶ μάλιστα τοὺς ῥῆγας πρὸς ἑαυτούς τε καὶ πρὸς τὸν μητροπολίτην εἰρηνεύσῃ, καὶ τοῦτον οἰκονομήσῃ, πρὸς αὐτοὺς ἀπελθεῖν καὶ ἐπισκέψασθαι μὲν τὴν οἰκείαν μητρόπολιν, ἧς ἀφίστατο ἐννεακαίδεκα χρόνους ἤδη, ἐπισκέψασθα δὲ καὶ τὸ λοιπὸν μυριάριθμον ἔθνος, ἐστερημένον ἐπὶ τοσούτοις χρόνοις τῆς παρ' αὐτοῦ διδασκαλίας καὶ ἐπισκέψεως, οὗ καὶ γενομένου οἱ μὲν ῥῆγες καὶ ἔτι πολλὴν τὴν ὑπακοὴν ἐνεδείξαντο πρὸς τὸν πατριάρχην, καὶ προθύμως ἐδέξαντο τὴν αὐτοῦ συμβουλήν, καὶ πρέσβεις εὐθὺς πρὸς τὸν μητροπολίτην ἀπέστειλαν, ὑποσχόμενοι, διαλύειν τὰ προγεγονότα σκάνδαλα

καὶ πᾶσαν ἔριν καὶ φιλονεικίαν τὴν μεταξὺ γεγονυῖαν καὶ στέργειν αὐτὸν ὡς οἰκεῖον μητροπολίτην καὶ πᾶσαν νέμειν αὐτῷ στοργὴν καὶ ὑποταγὴν καὶ ἀγάπην, ἅμα καὶ ὅρκοις φρικωδεστάτοις ἑαυτοὺς ὑποβάλλοντες, εἴ τι πράξαιεν ἕτερον, τὴν αὐτοῦ καταλύον τιμήν, καὶ μὴ πάντοτε εἶεν τὸ αὐτοῦ ποιοῦντες θέλημα. ὁ δὲ πᾶν τὸ ἐναντίον ποιῶν ἐφαίνετο, καὶ τὰς πατριαρχικὰς παραινέσεις καὶ τὸν εἰρημένον πρέσβυν πολεμίους ἐνόμιζεν ἑαυτῷ, καὶ παντελῶς ἀπείπατο τὴν εἰς ἐκείνους ἄφιξιν, τὴν πρὸς τοὺς οἰκείους παῖδας στοργήν, οὓς ἡ μεγάλη τοῦ Χριστοῦ ἐκκλησία διὰ τοῦ εὐαγγελίου καλῶς αὐτῷ υἱοθέτησε, κακῶς ἀποβαλόμενος παντάπασιν, ὃ καὶ μᾶλλον τοὺς ῥῆγας ἐρέθισεν εἰς ὀργὴν καὶ κατ' αὐτοῦ ἐξέμηνε, περιφρόνησιν οἰκείαν τὸ πρᾶγμα λογισαμένους, καὶ πρὸς μὲν ἀλλήλους ἀπόφασιν οὗτοι ἐξήνεγκαν, μηδέποτε τοῦτον δέξασθαι ἔτι, κἂν καὶ βουληθῇ πρὸς αὐτοὺς ἀφικέσθαι, πρὸς δὲ τὸν πατριάρχην ὁμοῦ πάντες ἔγραφαν καὶ ἀνέφερον, ἕτερον ζητοῦντες ἀρχιερέα· ὁ δὲ οὐδὲ οὕτω τὴν αὐτῶν παράκλησιν ἐδέξατο, πρὶν ἂν καὶ αὖθις ἐκείνῳ γράφῃ καὶ συμβουλεύσῃ τὰ δέοντα, ὥστε πρὸς τοὺς ῥῆγας εἰρηνεῦσαι καὶ ἀπελθεῖν πρὸς αὐτοὺς καὶ πνευματικῶς ἐπισκέψασθαι τὰ οἰκεῖα τέκνα· ἀλλ' ἐκεῖνος ἀσπὶς ἦν τὰ ὦτα βύων πρὸς φωνὰς ἐπᾳδόντων αὐτῷ τὰ λυσιτελῆ καὶ ὠφέλιμα, οὕτω γὰρ διετέθη περὶ τὸ πρᾶγμα, ὡς μηδὲ ἀποκρίσεως ἀξιῶσαι τὸν γράφαντα, ἀλλ' ἀναισχυντῆσαι καθάπαξ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς. ἀγανακτήσαντες τοίνυν οἱ ῥῆγες καὶ πρὸς τὸ πρᾶγμα ἀπαγορεύσαντες πρεσβείαν μεγάλην πρὸς τὸν ἅγιον ἐκεῖνον πατριάρχην καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον ἐξέπεμψαν μετὰ γραμμάτων, ἱκετεύοντες καὶ δεόμενοι, ἕτερον αὐτοῖς δοθῆναι ἀρχιερέα τὸν εἰδότα πνευματικῶς αὐτοὺς ἐπισκέπτεσθαι καὶ εἰσηγεῖσθαι καὶ διδάσκειν τὰ ψυχωφελῆ καὶ σωτήρια, ταύτην γὰρ ἔλεγον τελευταίαν πεῖραν αὐτοὺς ποιεῖσθαι, καὶ εἰ τοῦ σκοποῦ ἀποτύχοιεν, ἑτοίμους εἶναι προσελθεῖν ἐκκλησίᾳ ἑτέρᾳ, ἀφεστηκυίᾳ πρὸ χρόνων τῶν ὀρθῶν δογμάτων καὶ ἀλλοτρίᾳ τῆς ὀρθοδόξου τῶν χριστιανῶν ἐκκλησίας. πρὸς ταῦτα τί ποιεῖν ἔδει τὸν μέγαν ἐκεῖνον ἄνθρωπον τοῦ θεοῦ καὶ ἀληθῶς πατριάρχην; οὔτε γὰρ εἰς δύο μητροπόλεις ἔδει τὴν Ῥωσίαν διαιρεθῆναι, οὔτε πάλιν ἔθνος τοσοῦτον παριδεῖν, ἐστερημένον μὲν ἐπὶ τοσούτοις χρόνοις ἀρχιερατικῆς ἐπισκέψεως καὶ τοῦ ἐντεῦθεν ἁγιασμοῦ, δεόμενον δὲ τούτων τυχεῖν παρ' αὐτοῦ μετὰ λόγων εὐλόγων τε καὶ δικαίων καὶ ἱκεσίας ἀληθινῆς·

ὅθεν καὶ συναγαγὼν μὲν ἑαυτὸν καὶ συγκλείσας τῷ πνεύματι, συναθροίσας δὲ καὶ τοὺς τῶν ἀρχιερέων λογάδας καὶ συμβούλοις αὐτοῖς χρησάμενος καὶ παραινέταις γνησίοις, μέσην χωρεῖ περὶ τὸ πρᾶγμα, καὶ ἵνα μὲν μὴ τοσοῦτον ἔθνος ἀνεπισκόπητον καταλειφθῇ, μᾶλλον δὲ καὶ παντελεῖ ὀλέθρῳ παραδοθῇ καὶ ἀπωλείᾳ ψυχικῇ, ἀλλοτρίᾳ προστεθὲν ἐκκλησίᾳ, οἰκονομίᾳ μεγίστῃ χρησάμενος, συγκαταβαίνει τοῖς δεομένοις τὸ αἴτημα, καὶ χειροτονεῖ μητροπολίτην Κυέβου, Ῥωσίας καὶ Λιτβῶν τὸν εἰρημένον κῦρ Κυπριανόν, ἐκείνων δηλαδὴ τῶν μερῶν, ὅσα ἀφῆκεν ἀπρονόητα ἐπὶ πολλοῖς χρόνοις ὁ μητροπλίτης κῦρ Ἀλέξιος· ἵνα δὲ καὶ ἡ ἀρχαία κατάστασις τῆς Ῥωσίας σώζηται, καὶ ὑφ ἕνα μητροπολίτην καὶ αὖθις εἰς τὸ ἑξῆς εὑρίσκηται, διὰ συνοδικῆς νομοθετεῖ πράξεως, μετὰ θάνατον τοῦ κυροῦ Ἀλεξίου πάσης τῆς Ῥωσίας ἐπιλαβέσθαι τὸν κῦρ Κυπριανὸν καὶ τὸν αὐτὸν καὶ ἕνα μητροπολίτην εἶναι πάσης Ῥωσίας, οὐδὲ γὰρ εἰς δύο νῦν ἔλεγε ταύτην διελεῖν μητροπόλεις, ἀλλὰ τὸ τὸν μὲν κῦρ Κυπριανὸν ἄρτι χειροτονηθῆναι τῆς κατεπειγούσης αἰτίας εἶναι καὶ τῆς ἀπαραιτήτου ἀνάγκης, ἵνα μὴ ἔθνος ὁλόκληρον ἀπωλείᾳ παραδοθῇ, τὸ δὲ καὶ αὖθις ἕνα εἶναι μητροπολίτην Ῥωσίας καὶ τὸ δίκαιον καὶ τὸ χρήσιμον καὶ τὴν συνήθειαν ἀπαιτεῖν. καὶ μακάριον ἦν, εἰ καὶ μέχρι τέλους ἡ τοιαύτη πρᾶξις καὶ κατάστασις κατὰ τὸ ἀκέραιον διεσώζετο, καὶ μετὰ τὸν τοῦ Ἀλεξίου θάνατον ἐγκρατὴς ὁ κῦρ Κυπριανὸς τῆς καθόλου ἐκκλησίας τῆς Ῥωσίας ἐγένετο· πάλαι γὰρ ἂν ἦν ἀπηλλαγμένη πραγμάτων ἡ καθολικὴ καὶ ἀποστολικὴ τοῦ Χριστοῦ ἐκκλησία καὶ τῶν διὰ τὰς ὑποθέσεις ταύτας ἀδίκως αὐτῇ προστριβέντων μώμων καὶ γογγυσμῶν καὶ ὕβρεων, ἀλλὰ τῷ ἀπ' ἀρχῆς ἀνθρωποκτόνῳ καὶ πονηρῷ δαίμονι οὐκ ἦν ἀνεκτὰ ταῦτα, οὐδ' ἠνέσχετο ὢν φύσις πονηρὰ καὶ μισάνθρωπος, εἰρηνεύουσαν ὁρῶν τὴν ἐκκλησίαν ἐκείνην, ἀλλ' εἰ μὴ ταράξει καὶ συγχέει ταύτην καὶ σχισμάτων ἐμπλήσει παντοδαπῶν, οὐδ' αὐτὸν πρὸς ἑαυτὸν εἰρηνεύειν. καὶ σκοπεῖτε, ὅθεν ἡ τῶν σχισμάτων καὶ στάσεων ἀφορμὴ καὶ αἰτία . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . ἅμα τε γὰρ ἐγνώρισεν ἐκεῖνον ἀποθανεῖν, καὶ παραυτίκα γράφει πρὸς τὴν Μεγάλην Ῥωσίαν, μηδαμῶς παραδέξασθαι τὸν

κῦρ Κυπριανόν, ἀλλὰ παραδίδωσι τὴν ἐκκλησίαν ἐκείνην διὰ γραμμάτων πρὸς τὸν ἀρχιμανδρίτην ἐκεῖνον Μιχαήλ, ὃν ἐγνώρισε δι' αἰδοῦς ἔχειν τὸν εὐγενέστατον ῥῆγαν, κῦρ Δημήτριον, καὶ πλὴν τῆς χειροτονίας αὐτῷ πᾶσαν τὴν ἀρχὴν ἐγχειρίζει τῆς ἐκκλησίας ἐκείνης, καὶ γράμμασιν ἐκεῖνον ὁπλίζει, ὡς ἂν ἐνταῦθα παραγενόμενος μητροπολίτης ἀποκαταστῇ τῆς Μεγάλης Ῥωσίας....................

.........................................................

.........................................................

.................................... ὁ μέντοι μέγας ῥὴξ τοῦ Μοσχοβίου, κῦρ Δημήτριος, ἄρτι τοῦ πνευματικοῦ πατρὸς αὐτοῦ καὶ ἐπιτρόπου, τοῦ μητροπολίτου κυροῦ Ἀλεξίου, τὸ ζῆν ἐκμετρήσαντος, διὰ τὴν πρὸς ἐκεῖνον αἰδῶ καὶ ὑποταγὴν λείψανον ἔχων ἀπεχθείας πρὸς τὸν κῦρ Κυπριανόν, προσέτι δὲ καὶ ἕρμαιον εὑρὼν τὰ τοῦ χρηματίσαντος πατριάρχου γράμματα, τὸν ἀρχιμανδρίτην ἐκεῖνον Μιχαὴλ πέμπει, χειροτονηθησόμενον μητροπολίτην τῆς Μεγάλης Ῥωσίας, ἀλλὰ κατὰ πόδας αὐτὸν ἡ θεία δίκη μετῆλθεν· οὔπω γὰρ ἐπιβὰς τῆς βασιλίδος τῶν πόλεων, ἀλλ' ἔτι τὴν Προποντίδα πλέων καὶ μέλλων ἐς τὴν αὔριον κατάγεσθαι, τὸν βίον ἀπέλιπεν· οὐδὲ τοῦτο τοὺς μοχθηροὺς ἐκείνους ἐδυσώπησε πρέσβεις, ἀλλ' ὁμονοήσαντες ἐπὶ κακῷ τῆς ἐκκλησίας ἐκείνης καὶ δόλους καὶ συσκευὰς ποιησάμενοι καὶ ψευδῆ συμπλασάμενοι γράμματα καὶ ἱερομόναχόν τινα, Ποιμένα λεγόμενον, καὶ ἑαυτὸν αὐτοὶ προστησάμενοι ποιμένα καὶ ὅρκους καὶ συνωμοσίας πρὸς ἀλλήλους ποιήσαντες, ὥστε μηδένα ἐξ ἐκείνων εἰπεῖν καὶ φανερῶσαι τὸ ἀληθές, τὰ γράμματα καὶ ἑαυτοὺς ἐμφανίζουσι τῷ ἁγιωτάτῳ καὶ ἀοιδίμῳ πατριάρχῃ, κυρῷ Νείλῳ, ἄρτι τότε τοὺς τῆς ἐκκλησίας οἴακας ἐγχειρισθέντι· ὁ δὲ τὸν δόλον καὶ τὰς συσκευὰς ἀγνοήσας καὶ πιστεύσας, ὡς ἀληθέσι τοῖς γράμμασι (ποῦ γὰρ ἂν εἶχεν ὑποπτεῦσαι τοσοῦτον κακὸν ἀγαθή τε καὶ θεία ψυχὴ καὶ πάσης μὲν κακίας ἄγευστος, πάσης δὲ ἀρετῆς ἀνάπλεως;) χειροτονεῖ συνοδικῶς τὸν Ποιμένα μητροπολίτην Ῥωσίας. ταῦτα τῶν ἐκ τῶν γραμμάτων τοῦ χρηματίσαντος πατριάρχου κακῶν ἀρχῶν πρόσφορα τὰ ἀποτελέσματα· ἐκεῖνος γὰρ ὁ τούτων ἁπάντων αἰτιώτατος, οὗ τοῖς γράμμασι καὶ τοῖς διὰ Λατίνων μηνύμασιν ὁπλισθέντες οἱ Ῥῶσοι καὶ τοὺς πρέσβεις ἀπέστειλαν καὶ τὰ ψεύδη συνεπλάσαντο, μὴ ἂν εἴ τι καὶ γένηται, λέγοντες, δέξασθαι τὸν κῦρ Κυπριανόν, ἄνθρωπον

ζητηθέντα παρὰ τοῦ τῶν Λιτβῶν ἄρχοντος, τοῦ πολεμιωτάτου τούτοις τυγχάνοντος. οὔπω πέρας ἡ κατὰ τὸν Ποιμένα πρᾶξις ἐλάμβανε, καὶ τὰ κατ' αὐτὸν ἀνακαλύπτεσθαι ἤρξαντο· τινὲς γὰρ τῶν μετ' αὐτοῦ ἐνταῦθα ἐλθόντων τὸν δόλον φωράσαντες καὶ τὰς σκευὰς, ὧν καὶ αὐτὸς συνεργὸς, μᾶλλον δὲ καὶ αὐτουργὸς ἐγεγόνει, ὡς ὕστερον φανερώτερον ἀνεφάνη, τῷ πατριάρχῃ προσαγγέλλουσι ταῦτα· ὁ δὲ τοὺς πρέσβεις μετακαλεσάμενος καὶ συνοδικῶς παραστήσας ἀφορισμὸν ἐπισείει κατ' αὐτῶν βαρύτατον καὶ φρικώδη, οἱ δὲ τρισάθλιοι ἐκεῖνοι, μήτε τὸν θεὸν φοβηθέντες ἐφ' οἷς ἔπραττον ψεύδεσι, μήτε τὸν ἀφορισμὸν αἰδεσθέντες, καὶ τοὺς (λόγου)ς καὶ τὰ πράγματα ἀληθῆ εἶναι διεβεβαίουν, καὶ τὸν ἀφορισμὸν ἐπὶ τὰς ἑαυτῶν ἐδέχοντο κεφαλάς. τί δὲ ἐπὶ τούτοις; πείθεται μὲν ὁ πατριάρχης τοῖς τῶν πρέσβεων λόγοις, ὅπερ καὶ δίκαιον ἦν, ὡς ἐδόκει, καὶ γράμμασι συνοδικοῖς τὸν Ποιμένα καθοπλίσας εἰς τὴν Ῥωσίαν ἐκπέμπει μετὰ τῶν πρέσβεων· ἐλέγχεται δὲ παραυτίκα τὸ ψεῦδος· ὁ γὰρ μέγας ῥὴξ τοῦ Μοσχοβίου, παρὰ πᾶσαν ἐλπίδα θεασάμενος τοῦτον μητροπολίτην, μᾶλλον δὲ καὶ, πρὶν ἂν ἐπιστῇ, τὰ κατ' αὐτὸν γνωρίσας, μετακαλεῖται μὲν τὸν μητροπολίτην κῦρ Κυπριανὸν, πολλὰ μεταμεληθεὶς καὶ συγγνώμην αἰτήσας ἐφ' οἷς πρότερον εἰς αὐτὸν ἐπλημμέλησεν, ἀπατηθεὶς τοῖς τοῦ χρηματίσαντος πατριάρχου γράμμασιν, ἐξορίζει δὲ τὸν Ποιμένα καὶ φυλακῇ κατακλείει, ὡς παρὰ γνώμην αὐτοῦ γεγονότα μητροπολίτην καὶ τῶν δόλων καὶ τῆς ἀπάτης αἴτιον, τοὺς δὲ συνεργήσαντας πρέσβεις, οὓς μὲν τῶν προσόντων δημεύσει, οὓς δὲ καὶ ἐξορίᾳ, ἐνίους δὲ καὶ φυλακαῖς καὶ πληγαῖς, ἔστι δὲ οὓς καὶ θανάτῳ κάκιστα ποιῶν παραπέμπει. ταῦτα μαθὼν ὁ πατριάρχης καὶ κακὸν ἡγησάμενος, ἄνθρωπον παρὰ τῆς ἐκκλησίας χειροτονηθέντα, ὁποιῳδήποτε τρόπῳ σωματικῷ κινδύνῳ παρὰ τῶν κοσμικῶν ἀρχόντων παραδοθῆναι, γράμματα πρὸς τὸν μέγαν ἐκπέμπει ῥῆγαν, ἀξιῶν, εἰσδεχθῆναι τοῦτον ὡς ἀρχιερέα τοῦ τόπου, καὶ οὕτω πάντοτε πολλῶν μὲν γραμμάτων κατὰ τοῦ κυροῦ Κυπριανοῦ πεμπομένων, πλειόνων δὲ ὑπὲρ τοῦ Ποιμένος, οὗτος νικᾷ, καὶ παραλαμβάνει τὴν ἐκκλησίαν ἐκείνην. οὐ πολὺς παρῆλθε καιρὸς, καὶ καταλαμβάνει τὴν βασιλίδα τῶν πόλεων ὁ Σουσδάλεως ἐπίσκοπος Διονύσιος, πολλὰ καταβοῶν τοῦ Ποιμένος καὶ κακὸν ἡγούμενος τὸ γεγονὸς εἰς αὐτὸν καὶ πρὸς σχίσμα τῆς ἐκκλησίας ἐκείνης καὶ στάσιν καὶ διαίρεσιν καταντᾶν, ἀλλ' οὐχ ὁμόνοιαν, οὐδὲ εἰρήνην,

οὐδὲ ἕνωσιν προξενεῖν, ἅμα καὶ τοῦτο διατεινόμενος, παντελῶς εἶναι ψεῦδος καὶ συκοφαντίαν τὰ ὑπὲρ ἐκείνου γράμματα καὶ τοὺς πρέσβεις, καὶ οὐ δίκαιον εἶναι λέγων, τὸν μετὰ τοσούτων κακῶν χειροτονηθέντα ἀρχιερέα εἶναι, ταῦτα καὶ τὸν πατριάρχην ἐκεῖνον τὸν ἅγιον ἔπεισαν εἰπεῖν πρὸς αὐτὸν, ὡς εἰ μετὰ τοιούτων ψευδῶν καὶ ἀπατηλῶν λόγων ὁ Ποιμὴν ἐχειροτονήθη, δίκαιόν ἐστιν αὐτὸν καθῃρημένον εἶναι. τοῦ λόγου τοίνυν τούτου λαβόμενος ὁ Διονύσιος εἰς τὴν Ῥωσίαν ἀπέρχεται, καὶ λαμβάνει μὲν κατηγορίας ἐγγράφους κατὰ τοῦ Ποιμένος παρά τε τοῦ μεγάλου ῥηγὸς, κυροῦ Δημητρίου, καὶ τῶν ἄλλων ῥηγῶν, φέρων δὲ ταύτας ἐγχειρίζει τῷ πατριάρχῃ, φέρει δὲ μεθ' ἑαυτοῦ καὶ ἱερομόναχον Θεόδωρον τὸν ἀρχιμανδρίτην, ὡς ἂν, τοῦ Ποιμένος καθαιρεθέντος, αὐτὸς τὴν τῆς Μεγάλης Ῥωσίας ἀρχὴν ἀναδέξηται. καὶ ἦν ταῦτα μέχρι λόγων μόνων καὶ προσχήματος τῷ Διονυσίῳ λεγόμενα, αὐτὸς δὲ κεκρυμμένως ἕτερα ποιῶν καὶ ἀπατηλοῖς λόγοις ἅπαντας δελεάσας μεθ' ὑποκρίσεως ἐν πλάσματι τοῦ τὴν ἐκκλησίαν τῆς Ῥωσίας διορθῶσαι νοσοῦσαν καὶ κινδυνεύουσαν ὅλην τὴν ἀρχὴν αὐτὸς ὑπούλως ὑποδύεται, ἄλλα μὲν εἰς τὸ φανερὸν γράμματα λαβὼν ἐντεῦθεν πολὺ τὸ δολερὸν ἔχοντα, ὧν αὐτὸς ἦν αὐτουργὸς, ἄλλα δὲ μελετῶν καὶ συσκευάζων καὶ διατιθεὶς, ὡς οὐκ ὤφελεν· τέως ἐπεὶ κατὰ τοῦ Ποιμένος ἐλαλήθησαν αἱ τοσαῦται κατηγορίαι, δίκαιον ἐκρίθη συνοδικῶς, ἐπιψηφισαμένου καὶ τοῦ πατριάρχου, εὐδοκήσαντος εἰς τοῦτο καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ἐπέμφθησαν ἐκ τῶν ἀρχιερέων δύο καὶ εἷς τῶν ἐκκλησιαστικῶν ἀρχόντων μετὰ καὶ βασιλικοῦ ἄρχοντος, ὡς ἂν ἐξετάσωσι τὰ κατὰ τοῦ Ποιμένος, καὶ εἴπερ εὑρεθεῖεν ἀληθῆ τὰ κατ' αὐτοῦ λεγόμενα, ὡς μετὰ ἀπάτης καὶ λόγων ψευδῶν καὶ πλασμάτων ἐχειροτονήθη, καθῃρημένον εἶναι καὶ ἄδειαν ἔχειν αὐτοὺς ἐκβαλεῖν αὐτὸν τῆς ἐκκλησίας καὶ τὸν Διονύσιον ἐγκαθιδρῦσαι ταύτῃ· ταῦτα οὐ μικρῶς τοὺς Ῥώσους ἐτάραξεν, ἀλλὰ πάντας κατὰ τῆς καθολικῆς ἐκκλησίας ἐξέμηνεν, ὡς καὶ ὕβρεις πολλὰς καθ' ἡμῶν πάντων ἐκχέειν καὶ μώμους καὶ κατηγορίας καὶ γογγυσμοὺς προσεπιφέρειν, ὧν αὐτοὶ πάντων ἦσαν ἄξιοι οἱ τὰ ψεύδη συμπλάττοντες καὶ τὰς συσκευὰς ἐργαζόμενοι καὶ ῥᾳδιουργίαις χαίροντες καὶ τὰ μυρία δεινὰ κατεργαζόμενοι δι' ὧν ἀπέστελλον πρέσβεων, αὐτὰ ταῦτα καθ' ἡμῶν ἀντιστρόφως προφέροντες, οὐδὲν γὰρ τῶν γεγονότων κακῶν παρ' ἄλλου τὴν ἀρχὴν ἔσχεν, εἰ μὴ

παρὰ τῶν ἐκ τῆς Ῥωσίας ἐρχομένων πρέσβεων, αὐτοὶ καὶ γὰρ ἀπ' ἀλλήλων σχιζόμενοι καὶ εἰς δύο μέρη, πολλάκις δὲ καὶ τρία μεριζόμενοι καὶ γράμματα ἐναντιώτατα κατὰ τὸν αὐτὸν καιρὸν προκομίζοντες καὶ ἀλλήλων κατηγοροῦντες καὶ κατ' ἀλλήλων χωροῦντες, αὐτοὶ καὶ τὰ σχίσματα καὶ τὰς διχοστασίας ἐποίουν, τῆς ἐκκλησίας ἀγνοούσης, πότερον ἄρα μέρος μετὰ τῆς ἀληθείας ἵσταται, ἀνθ' ὧν τοίνυν ἐγκαλύπτεσθαι ἔδει καὶ σιωπᾶν, οἱ δὲ καὶ κατὰ τῆς ἐκκλησίας τὰς ὕβρεις ἐκίνησαν. μετὰ τῶν ἄλλων ὧν ἐποίουν κακῶν, ἓν καὶ τοῦτο, μᾶλλον δὲ καὶ πρῶτον καὶ μέγιστον, τὴν εἰς αὐτὸν τὸν θεὸν διὰ τῆς ἐκκλησίας ὕβριν καὶ περιφρόνησιν. οἱ μὲν οὖν πεμφθέντες ἐντεῦθεν ἀπελθόντες ἐκεῖ καὶ τὰ περὶ τοῦ Ποιμένος ἐξετάσαντες καὶ πάντα εὑρόντες ἀληθῆ, τῆς ἐκκλησίας τοῦτον ἐξέβαλον· φθάνει δὲ τὸν βίον ἀπολιπὼν καὶ ὁ Διονύσιος. ὁ μέντοι Ποιμὴν τῆς ἐκκλησίας ἐκβληθεὶς ἐκείνης, ὡς ἡ ἐντεῦθεν ἀπόφασις συνοδικῶς γενομένη παρὰ τοῦ πατριάρχου, φυγὰς ἐκεῖθεν γενόμενος καὶ ἀμείψας τὸ σχῆμα καὶ κοσμικὰ ἐνδύματα περιβαλὼν ἑαυτὸν καὶ τόπους ἐκ τόπων ἀμείβων καταλαμβάνει τὴν βασιλίδα τῶν πόλεων, τῆς ἀδικίας καταβοῶν καὶ τὰ μέγιστα διατεινόμενος ἠδικεῖσθαι, εἰ γὰρ ἔδει τοῦτον κρίνεσθαι περὶ τῆς ἱερωσύνης, ἐνταῦθα συνοδικῶς ἔλεγε δεῖν αὐτὸν μετάκλητον γεγονότα κρίνεσθαι. ἔδοξε τοίνυν δίκαια λέγειν, καὶ ἐπεὶ μήπω παρεγένοντο οἱ ἡμέτεροι πρέσβεις, ὥστε μαθεῖν τὸν πατριάρχην συνοδικῶς, ὅσαπερ εὗρον ἀπὸ ἐξετάσεως κατ' αὐτοῦ, καὶ τὸν τόπον εἶχε τῶν ἀρχιερέων καὶ τὴν τιμὴν καὶ τὴν ἐνέργειαν τῆς ἀρχιερωσύνης. ὀλίγου δὲ καιροῦ παραδραμόντος ἔρχονται μὲν οἱ πρέσβεις ἐκεῖθεν οἱ τὰ κατ' αὐτοῦ ἐξετάσαντες, σὺν αὐτοῖς δὲ καὶ ὁ κῦρ Κυπριανὸς ὁ μητροπολίτης, γράψαντος αὐτῷ τοῦ πατριάρχου ἐλθεῖν, καὶ καιροῦ πάλιν ἱκανοῦ παρελθόντος, ἕως ἂν οὗτος διὰ δουλείας βασιλικὰς εἰς τὰ ἐκεῖσε μέρη παραγενόμενος αὖθις ἐπιστρέψῃ, ἔρχεται καὶ αὖθις ἐκ τῆς Μεγάλης Ῥωσίας ὁ Θεόδωρος, γράμματα μεστὰ πολλῶν κατηγορημάτων φέρων κατὰ τοῦ Ποιμένος, ἀπό τε τοῦ μεγάλου ῥηγὸς ἀποσταλεὶς ἐπὶ τούτῳ καὶ διὰ στόματος ἔχειν πολλὰ λέγων κατ' αὐτοῦ, καὶ κατηγόρου πρόσωπον αὐτὸς ὑποδὺς ὁ Θεόδωρος μάρτυρας ἀξιοπίστους ἔχειν, ἃ ἐπεφέρετο γράμματα καὶ τοὺς ἐπὶ τούτῳ παραγενομένους ἐντεῦθεν, ἐκεῖ καὶ τὴν ὑπόθεσιν ἐξετάσαντας· ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, τῆς κατ' αὐτὸν κρίσεως ἔτι περιαργούσης διά τινα καιρικὰ συμβάντα, ἕως

ἂν προτροπῇ πατριαρχικῇ περισυναχθῇ σύνοδος κανονική, ὁ Ποιμὴν ἅμα καὶ ὁ Θεόδωρος, ἀλλήλοις ὁμονοήσαντες καὶ συνωμοσίας καὶ ὅρκους μετ' ἀλλήλων ποιησάμενοι καί τινας συμβιβάσεις καὶ κοινωνίας οὐκ εὐπρεπεῖς, φυγάδες ἐντεῦθεν γενόμενοι πρὸς τὴν Ἀνατολὴν κεκρυμμένως ἐξώρμησαν· ταῦτα μαθὼν ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ καὶ ὁ πατριάρχης ἐκεῖνος ὁ ἅγιος, πᾶσαν καὶ παντοίαν ἐπιμέλειαν ἐποιήσαντο, ὥστε τούτους εὑρεῖν καὶ ἀνακαλέσασθαι καὶ πεῖσαι πάλιν ἐπαναστρέψαι· καὶ ὁ μὲν ἀνθρώπους ἀπέστειλεν ἀγαγεῖν αὐτούς, ὁ δὲ ἀφορισμὸν μετὰ γραμμάτων, ἀργίαν καὶ καθαίρεσιν ἀπειλούντων, εἰ μὴ ὑποστρέφουσιν. οἱ δὲ οὐδόλως ἠθέλησαν. καὶ πάλιν παρὰ μὲν τοῦ πατριάρχου γράμματα πέμπονται τοῖς προτέροις ὅμοια, παρὰ δὲ τοῦ βασιλέως τοῦ ἁγίου ἄρχοντες, ἐπιφερόμενοι καὶ τὰ ἱερὰ αὐτοῦ ἐγκόλπια, δι' ὧν αὐτοῖς πᾶσαν ἐποίουν ἀσφάλειαν, ἀποσείσασθαι πάντα φόβον καὶ ἄνευ δειλίας ἐνταῦθα ἐλθεῖν. καὶ οὐδ' οὕτως ἐβουλήθησαν. εἶτα καὶ συνοδικὸς ἀφορισμὸς καὶ ἀπειλὴ πρὸς αὐτοὺς καθαιρέσεως παντελοῦς ἀποστέλλονται, καὶ οὐδὲ οὕτως ἐλθεῖν ἠθέλησαν, ἀλλὰ τοῖς Τούρκοις προσδραμόντες καὶ δύναμιν ἐκεῖθεν λαβόντες καὶ πολλὰς ὕβρεις ἐκχέαντες κατὰ τῆς βασιλείας ἅμα καὶ τῆς ἐκκλησίας, περιφρονήσαντες καὶ ὡς οὐδὲν λογισάμενοι καὶ τὰς θείας διατάξεις καὶ τὰς βασιλικὰς καὶ τὰς πατριαρχικὰς καὶ συνοδικάς, τοῦ προκειμένου εἴχοντο σκοποῦ, καὶ τὴν πρὸς τὴν Ῥωσίαν φέρουσαν ἔτρεχον πάσῃ σπουδῇ, ὁ ἕτερος τὴν τοῦ ἑτέρου καταδίκην κατασκευάζοντες· ὁ γὰρ Θεόδωρος, ἀρχιεπισκοπῆς ἑαυτῷ περιθεὶς ὄνομα, εἴτε καὶ ἀληθῶς ὑπὸ τοῦ Ποιμένος χειροτονηθείς, ἅμα τῷ κατηγορουμένῳ περιεπάτει· καὶ οἱ πρὶν ἐναντιώτατοι τοσαύτην φιλίαν ἐκτήσαντο, ὡς μηδαμῶς ἀπ' ἀλλήλων χωρίζεσθαι. διὰ ταῦτα πάντα καὶ συνοδικῶς παρὰ τοῦ πατριάρχου καθαιρέσει δικαίᾳ καθυπεβλήθησαν, οὐδὲ γὰρ ἐνταῦθα, καθώς ἴσως ἐροῦσί τινες, ἀπόντες κατεδικάσθησαν, ὅπερ οἱ θεῖοι κανόνες ἀπαγορεύουσιν· ὁ γὰρ Ποιμὴν καὶ παρῆν, καὶ κατηγορεῖτο, καὶ τὸν κατήγορον ἐγίνωσκε, καὶ τελευταῖον φιλιωθεὶς μετ' αὐτοῦ φυγὰς ᾤχετο, ὅπερ καὶ μᾶλλον αὐτὸν κατεδίκασε τῷ κατηγόρῳ φιλιωθέντα· εἰ μὲν γὰρ ψευδῶς κατηγόρει, αὐτόθεν ἦν ὁ Θεόδωρος καταδεδικασμένος καὶ ἀκοινώνητος, ὁ δὲ τῷ ἀκοινωνήτῳ συγκοινωνῶν καὶ αὐτὸς καθῃρημένος καὶ ἀκοινώνητος· εἰ δὲ ἀληθῆ τὰ κατηγορούμενα ἦσαν, ὁ μὲν Ποιμὴν αὐτόθεν καθῃρημένος, ὁ δὲ Θεόδωρος

καὶ αὐτὸς καθῃρημένος, ὁμοίως συγκοινωνῶν τῷ ἀκοινωνήτῳ· ἑκάτερος γὰρ τὴν ἑκατέρου συνίστησι καταδίκην δι' ἑαυτοῦ, καίτοιγε εἴ τις ἀκριβῶς σκοπήσει, καὶ λίαν κανονικῶς ἡ τούτων προέβη καθαίρεσις· τριῶν γὰρ μηνομάτων εἰς αὐτοὺς γενομένων, ὡς ἂν ὑποστρέψωσιν ἀπὸ τῆς ἀνατολῆς ἐνταῦθα, οὐδαμῶς τοῦτο ποιῆσαι ἠθέλησαν, καὶ ταῦτα μετὰ ἀφορισμῶν μηνυθέντες, διὸ καὶ δικαίως ἡ σύνοδος τὴν κατ' αὐτῶν καταδίκην ἐξήνεγκεν, ἅπαν τὸ δόξαν αὐτῇ κανονικῶς ποιήσασα. τούτων οὕτω παρηκολουθηκότων καὶ τοσαύτης ταραχῆς καὶ συγχύσεως καὶ τοσούτων σχισμάτων καὶ διαιρέσεων καὶ πολέμων τῇ τῆς Ῥωσίας ἐκκλησίᾳ ἐπιφυέντων, ἔδει πάντως ποτὲ καὶ τὸ κακὸν στῆναι καὶ εἰς γαλήνην τὰ τῆς ζάλης μετατεθῆναι καὶ εἰρήνην καταπεμφθῆναι καὶ ὁμόνοιαν τῷ χριστιανικῷ ἐκείνῳ πληρώματι καὶ μὴ παντάπασιν ἀπαγορεῦσαι πρὸς τοσαύτην φορὰν δεινῶν κατ' ἐκείνων ἀλλεπαλλήλως ἐγειρομένην. τοῦτο δὲ πῶς ἂν ἄλλως ἐγίνετο, εἰ μὴ κατὰ τὴν προτέραν τάξιν καὶ τὴν κατάστασιν καὶ τὴν ἐξ ἀρχῆς καλῶς νομοθετηθεῖσαν συνήθειαν, ὥστε καὶ αὖθις ἕνα μητροπολίτην πάσης Ῥωσίας ἀποκαταστῆναι; ὅπερ δὴ καλῶς ποιοῦν καὶ συνέδραμε τῇ τοῦ θεοῦ βοηθείᾳ· ἡ γὰρ μετριότης ἡμῶν, ἄρτι τὴν τῆς οἰκουμενικῆς ἐκκλησίας προστασίαν κρίμασιν οἷς οἶδε θεὸς πιστευθεῖσα, οὐδὲ πρότερον ἀπείρως ἔχουσα τῶν τοιούτων πραγμάτων, ἀλλὰ καὶ πολλὰ τὴν ἐκκλησίαν ἐκείνην ἐλεοῦσα κακῶς διακειμένην καὶ πάσχουσαν ὑπὸ τῶν οἰκείων, πρὸ τῶν ἄλλων τοῦτο περισπουδαστότατον ἔργον ποιεῖται καὶ οἷον ἀπαρχὴν καὶ εὐχαριστίαν πρὸς τὸν θεὸν ὑπὲρ ὧν ἡμῖν ἐδωρήσατο, τὸ διορθῶσαι τὴν τῆς Ῥωσίας ἐκκλησίαν καὶ τὰ προγεγονότα σκάνδαλα καὶ τὰ σχίσματα διαλῦσαι καὶ εἰρήνην τῷ ἔθνει παντὶ βραβεῦσαι καὶ τοὺς προστριβέντας ἀδίκως τῇ καθ' ἡμᾶς μεγάλῃ τοῦ Χριστοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ μώμους καὶ γογγυσμοὺς καὶ τὰς ὕβρεις δικαίως ἀπαλεῖψαι καὶ χάριτι θεοῦ τὴν ἐκκλησίαν καθαρὰν ἀποδεῖξαι, ἐπειδὴ καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὁ τῆς ἐκκλησίας προαγωνιστὴς καὶ προστάτης καὶ τῶν δικαίων αὐτῆς ἐκδικητὴς καὶ δεφένστωρ, ὑπὲρ τοῦ τὴν ἐκκλησίαν τῆς Ῥωσίας διορθωθῆναι καὶ τὴν ἀρχαίαν τάξιν καὶ κατάστασιν αὐτοῖς συντηρηθῆναι καὶ διαλυθῆναι τὰ μεταξὺ συμβάντα σκάνδαλα πᾶσαν σπουδὴν εἰσήνεγκεν, ἀξίως ἑαυτοῦ καὶ τῆς μεγάλης αὐτοῦ γνώσεως καὶ τῆς βασιλικῆς σοφίας διαπραξάμενος καὶ λόγοις καὶ πράγμασι

καὶ παντὶ τῷ δυνατῷ τρόπῳ φροντίζων ὑπὲρ τοῦ ἔθνους ἐκείνου καὶ δεύτερα πάντα τὰ ἑαυτοῦ θέμενος, μόνον ἵνα τὰ κατὰ τὴν ἐκκλησίαν ἐκείνην καλῶς οἰκονομηθῇ. κοινολογισαμένη τοίνυν τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Οὐγγροβλαχίας, τῷ Νικαίας, τῷ Μονεμβασίας, τῷ Ἀτταλείας, τῷ Ἁδριανουπόλεως, τῷ Σερρῶν, τῷ Σηλοβρίας, τῷ Γοτθίας, τοῦ Σουγδαίας, τῷ Βάρνης καὶ τῷ Δέρκω, διέγνω καὶ ἀπεφήνατο, στέργεσθαι κατὰ πάντα τὴν προγεγονυῖαν καθαίρεσιν κατὰ τοῦ Ποιμένος συνοδικῶς παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, κανονικῶς καὶ δικαίως προβᾶσαν, οὔτε γὰρ ἐκεῖνος, εἰρηνικὸς εἰς τὴν ἰδίαν ἐκκλησίαν εὑρισκόμενος, κατηγορημάτων κατ' αὐτοῦ κινηθέντων ἀπὼν καθῃρέθη, ἀλλὰ τὰ ἴδια ἐγκλήματα βουλόμενος ἀπονίψασθαι πρὸς τὴν σύνοδον παρεγένετο, εἶτα τὸν κατήγορον ἐλθόντα ἰδὼν αὐτῷ προσκολληθεὶς καὶ τὴν κρίσιν καὶ τὴν σύνοδον καὶ τὴν ἀπόφασιν διέφυγεν, οὔτε καὶ οὕτω προβάντος τοῦ πράγματος ἡ σύνοδος τὴν διάγνωσιν τῶν κανόνων παρέδραμε, ἀλλὰ τρὶς αὐτῷ μηνύσασα παραγενέσθαι, οὕτω κατὰ τοὺς κανόνας τὴν κατ' αὐτοῦ ἐξήνεγκεν ἀπόφασιν, ὅθεν καὶ αὐτὸς μὲν ἔσται καθῃρημένος τέλεον καὶ ἀποκεκομμένος τοῦ τῶν ἀρχιερέων χοροῦ, προκαθαιρεθεὶς καὶ παρὰ τοῦ χειροτονήσαντος αὐτὸν πατριάρχου, ὃς καὶ μάλιστα ὑπὲρ αὐτοῦ ἐσπούδαζε καὶ ὅπως ἀσάλευτος διαμένῃ, οὐδενὸς ἠμέλησε τῶν εἰς τιμὴν ἐκείνῳ φερόντων, οὐκ ἂν δὲ τοῦτο ἐποίει, μὴ πληροφορηθείς, αὐτὸν ἄξιον εἶναι καθαιρέσεως, ὡς καὶ τὰ πράγματα μαρτυρεῖ· τοῦ γοῦν Ποιμένος προκαθαιρεθέντος ἤδη καὶ νῦν στερχθείσης τῆς αὐτοῦ καθαιρέσεως συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος, καὶ μηδὲ χώραν ἀπολογίας ἔχοντος, ἐπειδὴ προαπεδείχθη, δίκαιον εἶναι, καὶ αὖθις εἰς τὸ ἑξῆς ἕνα μητροπολίτην πάσης Ῥωσίας εὑρίσκεσθαι· καὶ τοῦτο ἀποδέχεται μὲν πρὸ τῶν ἄλλων ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὁ τοῦ δικαίου καὶ τοῦ συμφέροντος κηδεμὼν καὶ προστάτης, ἔνι δὲ καὶ δόξα πάσης τῆς ἐκκλησίας ὁμολογουμένη καὶ πάντων ὁμοῦ τῶν χριστιανῶν. ἔφθασε δὲ ὁ ἱερώτατος μητροπολίτης κῦρ Κυπριανὸς ἔχων μὲν τὸ μέρος, εἰς ὅπερ ἀρτίως εὑρίσκεται, ἔχων δὲ καὶ τὴν πρᾶξιν τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Φιλοθέου, ὡς ἂν μετὰ θάνατον τοῦ κυροῦ Ἀλεξίου μόνος αὐτὸς ὑπάρχῃ πάσης Ῥωσίας

μητροπολίτης, στέργοντες καὶ ἡμεῖς ἅπαντες ὁμοθυμαδὸν τὴν εἰρημένην πρᾶξιν καὶ ὡς ἐξ ἄλλης ἀρχῆς αὐτὸν ἀποκαθιστῶντες, ὅσα μὲν προεγένοντο, σκάνδαλα λέγω καὶ ταραχὰς καὶ στάσεις καὶ φιλονεικίας καὶ τὰ ἀπὸ τούτων ἀναφυέντα δεινά, διαλύομεν, καὶ ὡς μηδὲ τὴν ἀρχὴν γεγονότα δεχόμεθα, τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἐκεῖνα κρίνοντες καὶ τῶν πρώτων ἀφορμῶν, ἃς ἀνωτέρω εἰρήκαμεν, μήτε δὲ τὸν κῦρ Φιλόθεον, μήτε τὸν κῦρ Νεῖλον, τοὺς μακαρίως βιώσαντας καὶ πρὸς κύριον μακαριωτέρως ἀπελθόντας, τοῖς τοιούτοις σχίσμασι κοινωνῆσαι λέγομεν ἐθελοντάς, ἀλλ' ἀνευθύνους εἶναι καὶ ἀθῴους τῶν κατ' αὐτῶν προστριβέντων παρά τινων ἐγκλημάτων καὶ μέμψεων, ἀποκαθιστῶμεν δὲ ἤδη διὰ τῆς παρούσης συνοδικῆς πράξεως μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας καὶ εἶναι καὶ ὀνομάζεσθαι τὸν κῦρ Κυπριανὸν, ὃς καὶ μέχρι τέλους τῆς αὐτοῦ ζωῆς ἔσται διακατέχων αὐτὴν καὶ πᾶσαν τὴν ἐνορίαν αὐτῆς καὶ χειροτονῶν ἐπισκόπους ἐν ταῖς ὑποκειμέναις ἀρχῆθεν ἐπισκοπαῖς τῇ κατ' αὐτὸν ἐκκλησίᾳ καὶ πρεσβυτέρους καὶ διακόνους, ὑποδιακόνους τε καὶ ἀναγνώστας καὶ τὰς λοιπὰς ποιῶν ἱερατικὰς ὑπηρεσίας, ὅσα καὶ γνήσιος ἀρχιερεὺς πάσης Ῥωσίας καὶ ὢν καὶ ὀνομαζόμενος, καὶ οἱ μετ' αὐτὸν πάντες μητροπολῖται Ῥωσίας οὕτως ἔσονται, μετὰ τὸν τοῦ ἑνὸς θάνατον ἕτερος πάλιν εἰς ἐκεῖνον διαδεχόμενος, καὶ τοῦτο τηρηθήσεται ἀκατάλυτον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα, ὡς βεβαιωθὲν καὶ σεπτῷ χρυσοβούλλῳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, μηδέποτε καταλυθησομένης τῆς παρούσης πράξεως καὶ ἀποκαταστάσεως, μήτε παρ' ἡμῶν, μήτε παρὰ τῶν ὕστερον, ἐπειδὴ πράγμασιν αὐτοῖς ἐβεβαιώθημεν, ὅσον μὲν κακὸν ἡ διαίρεσις καὶ τὸ τὴν ἐκκλησίαν ἐκείνην εἰς πολλὰ μερισθῆναι, ὅσον δὲ ἀγαθὸν τὸ ἕνα μητροπολίτην εἶναι μόνον ἐν ὅλῃ τῇ ἐπαρχίᾳ ταύτῃ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Κυέβου καὶ πάσης Ῥωσίας καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Κυπριανῷ, καὶ τῇ τῆς Ῥωσίας ἐκκλησίᾳ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἐπὶ τῷ προσεῖναι αὐτῇ εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν κατὰ μῆνα φευρουάριον τῆς ἐνισταμένης δωδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἐνενηκοστοῦ ἑβδόμου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Εἶχε καὶ ἑτέρας ὑπογραφὰς τῶν ἱερωτάτων ἀρχιερέων ταύτας·

† Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Ἰωσήφ †. † Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας Μακάριος †. † Ὁ ταπεινὸς μητροπολίτης Οὐγγροβλαχίας Ἄνθιμος †. † Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας Ἰωσήφ †. † Ὁ ταπεινὸς μητροπολίτης Πέργης καὶ Ἀτταλείας Ἀθανάσιος †. † Ὁ Ἀδριανουπόλεως Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Σμύρνης Διονύσιος †. † Ὁ ταπεινὸς μητροπολίτης Μιτυλήνης Ἱερεμίας †. † Ὁ Σερρῶν Ματθαῖος χρεωστικῶς ὑπὲρ τῆς πράξεως ταύτης πολλὰ καὶ εἰπὼν καὶ πράξας γνώμῃ καὶ χειρὶ ὑπέγραφα †. † Ὁ ταπεινὸς μητροπολίτης Βάρνης Γαβριὴλ †. † Ὁ ταπεινὸς μητροπολίτης Σηλυβρίας Θεόφιλος †. † Ὁ ταπεινὸς μητροπολίτης Γοτθίας Ἀντώνιος †. † Ὁ ταπεινὸς μητροπολίτης Σουγδαίας καὶ Φούλλων Θεόκτιστος †. † Ὁ ταπεινὸς μητροπολίτης Δέρκω Ἰωσήφ †. † Ὁ ὑποψήφιος Σωζοπόλεως Ἰωσήφ †. † Ὁ ταπεινὸς μητροπολίτης Δράμας Ἰωάσαφ †.

## CCCCV. 6897 (1389) februario. ind. XII.

*Synodus concedit metropolitae Hadrianupoleos a Turcis occupatae, ut sedem habeat Agathopoli.*

† Συνοδικὴ πρᾶξις τοῦ Ἀδριανουπόλεως περὶ τῆς Ἀγαθοπόλεως †.

† Ὁ ἱερώτατος μητροπολίτης Ἀδριανουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θρᾴκης, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς

ἡμῶν μετριότητος καὶ συλλειτουργὸς συνεδριάζων τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, τοιάνδε τὴν ἀναφορὰν ἐποιήσατο, εἰπών, ὡς ἡ κατ' αὐτὸν ἁγιωτάτη μητρόπολις πρότερον μὲν ἐν τῇ τῶν Ῥωμαίων ἀρχῇ πολλοῖς ἐκόμα καὶ μεγάλοις τοῖς ἀγαθοῖς, καὶ τοσοῦτον εὐδαιμονίας αὐτῇ περιῆν, ὡς καὶ πολλοῖς ἐπαρκεῖν δύνασθαι πενομένοις καὶ τὰ πρὸς χρείαν ἀφθόνως αὐτοῖς δύνασθαι χορηγεῖν, ὡς δέ, συγχωρήσει θεοῦ, τῶν Τούρκων γέγονε καὶ ἡ πόλις αὕτη παρανάλωμα, ὡς καὶ πᾶσα πόλις ἡμετέρα καὶ χώρα καὶ οἱ ἐνοικοῦντες αὐτῇ πάντες αἰχμάλωτοι γεγόνασιν, ὀλίγων ὕστερον ἐπιστραφέντων χριστιανῶν καὶ κατοικησάντων ἐν αὐτῇ, καὶ ἡ μὲν μητρόπολις καὶ πάντες οἱ περιφανεῖς ναοὶ παρὰ τῶν ἐθνῶν ἐκρατήθησαν, κτήματα δὲ πάντα καὶ πράγματα καὶ αἱ ἐτήσιοι πρόσοδοι οὐδὲ εἰ ἦσαν πότε γινώσκονται, καὶ οὐδὲ κελλία ὅλως περιελείφθησαν εἰς καταμονὴν τοῦ μητροπολίτου καὶ ἀνάπαυσιν, νῦν τῆς ὑπ' αὐτὸν ἁγιωτάτης ἐπισκοπῆς Ἀγαθοπόλεως τοῦ οἰκείου στερηθείσης ποιμένος ἐζήτησε συνοδικῶς, ὥστε κατέχειν αὐτὸν εἰς ἰδίαν ἀνάπαυσιν τὴν εἰρημένην ἐπισκοπὴν Ἀγαθοπόλεως ὑπὸ Ῥωμαίους τελοῦσαν καὶ θαλάσσῃ πλησιάζουσαν, κἀντεῦθεν ἀνάπαυσιν οὐκ ὀλίγην παρεχομένην τοῖς ἐνοικοῦσιν. ἡ γοῦν μετριότης ἡμῶν, συνδιασκεψαμένη συνοδικῶς τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Θεσσαλονίκης, τῷ Ἡρακλείας, τῷ Νικομηδείας, τῷ Οὐγγροβλαχίας, τῷ Νικαίας, τῷ Μονεμβασίας, τῷ Ἀτταλείας, τῷ Σμύρνης, τῷ Μιτυλήνης, τῷ Σερρῶν, τῷ Ῥωσίας, τῷ Βάρνης, τῷ Σηλοβρίας, τῷ Γοτθίας, τῷ Σουγδαίας, τῷ Μηδείας καὶ τῷ Δέρκω, διέγνω καὶ ἀπεφήνατο, δικαίαν εἶναι καὶ εὔλογον τὴν τοῦ ἱερωτάτου μητροπολίτου Ἀδριανουπόλεως δέησιν, καὶ ἐπειδὴ καὶ πρὸ χρόνων ἐπὶ τοῦ χρηματίσαντος πατριάρχου, κυροῦ Μακαρίου, ἀπελύθη γραφὴ συνοδικὴ πρὸς τὸν ἐπίσκοπον ἐκεῖνον Ἀγαθοπόλεως μετὰ ἀφορισμοῦ διαλαμβάνουσα, μηδέποτε ζητῆσαι ἐκεῖνον ποιῆσαι τὴν ἐπισκοπὴν μητρόπολιν, ἀλλὰ διαμένειν καὶ αὖθις ἐπισκοπήν, ὡς ἂν μετὰ τὸν αὐτοῦ θάνατον ἔχῃ αὐτὴν ὁ μητροπολίτης εἰς ἰδίαν ἀνάπαυσιν, τοῦτο καὶ ἡμεῖς κρίνοντες δίκαιον καὶ συμφέρον, ἐν ἁγίῳ παρακελευόμεθα πνεύματι, διαμένειν μὲν αὖθις τὴν Ἀγαθόπολιν ἐπισκοπὴν ὡς καὶ πρότερον, μὴ χειροτονηθῆναι δὲ ἐπίσκοπον ἐν αὐτῇ, ἀλλὰ κατέχεσθαι παρὰ τοῦ μητροπολίτου καὶ ἰδίαν καταμονὴν αὐτοῦ καὶ ἀνάπαυσιν εἶναι, ἕως ἂν ἡ Ἀδριανούπολις παρὰ τῶν Τούρκων κατέχηται. ὀφείλει τοίνυν ὁ

ἱερώτατος μητροπολίτης Ἀδριανουπόλεως κατέχειν τὴν εἰρημένην ἐπισκοπὴν Ἀδριανουπόλεως, τὴν Ἀγαθόπολιν, καὶ ἱερουργεῖν ἐν αὐτῇ καὶ χειροτονεῖν ἀναγνώστας, ὑποδιακόνους, διακόνους καὶ πρεσβυτέρους καὶ τὰ λοιπὰ ἀρχιερατικὰ δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ οἱ μετ' αὐτὸν μητροπολῖται Ἀδριανουπόλεως οὕτως ἔσονται ταύτην κατέχοντες, ἕως ἄν, ὡς εἴρηται, ὑπὸ τὴν τῶν Ῥωμαίων ἀρχὴν καὶ αὖθις ἡ Ἀδριανούπολις ἀποκατασταθῇ, τότε γὰρ ἄνευ λόγου καὶ ἐπίσκοπος ἐν αὐτῇ χειροτονηθήσεται κατὰ τὴν ἀρχαίαν τάξιν καὶ συνήθειαν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀδριανουπόλεως, ὑπερτίμῳ καὶ ἐξάρχῳ Αἱμιμόντου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα φεβρουάριον τῆς ἐνισταμένης ιβ' ἰνδικτιῶνος τοῦ ϛωϞζ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Εἶχε καὶ ὄπισθεν ὑπογραφὰς τῶν ἐντὸς καταγεγραμμένων ἱερωτάτων μητροπολιτῶν †.

## CCCCVI. 6879 (1389) aprili. ind. XII.

*Synodus consentiente imperatore tollit privilegia, quae ecclesia Chalcedonis habebat in urbe Constantinopoli.*

† Περὶ τῆς ἐκκλησίας Χαλκηδόνος καὶ τῶν δικαίων αὐτῆς †.

† Ὁ πάντα κατ' ἀρχὰς οὐσιώσας ἀρρήτῳ λόγῳ καὶ συστησάμενος δημιουργὸς τῶν ὅλων θεὸς τάς τε νοητὰς τῶν ἀγγέλων τάξεις καὶ τὴν τῶν ἐπιγείων φύσιν τε καὶ στοιχείωσιν, ὅρους καὶ βάθρα ὥσπερ τι χαράκωμα ἀσφαλὲς ἐπήξατο, καὶ οὐδέν τι τούτων κατέλιπεν ἀτάκτως περιάγεσθαι, ὅποι τὴν ὁρμὴν καὶ φυσικὴν κίνησιν ἔχει, ὥστε προχωρεῖν ἔξω που τῶν δεόντων καὶ τῇ ἀτάκτῳ καὶ ἀσχέτῳ τούτων ῥοπῇ εἰς ἀκοσμίαν καὶ σύγχυσιν τὸ μέγα περιπίπτειν τοῦτο δημιούργημα· καὶ οἱ τῆς εὐσεβείας δὲ κήρυκες καὶ διδάσκαλοι τῇ τῶν οὐρανίων δυνάμεων καταστάσει ὡς εἰκόνι καὶ τύπῳ χρησάμενοι τὴν τῇ

τοῦ Χριστοῦ ἐκκλησίᾳ προσήκουσαν σεμνὴν κατάστασιν ὅροις κατησφαλίσαντο καὶ ἐκράτυναν, καὶ μηδένα κατεπεμβαίνειν εἰς ἀλλοτρίαν ἐκκλησίαν ἐθέσπισαν, μηδὲ πλείους ἑνὸς ἐν μιᾷ πόλει διδασκάλους εὑρίσκεσθαι, τὰς ἀναφυομένας ἐκ τούτου συγχύσεις, ὡς οἶμαι, κωλύοντες, δι' ἃς καὶ ἡ τοῦ Χριστοῦ πολλάκις ἀδοξεῖ ἐκκλησία, καὶ μῶμον ταύτῃ οἱ ἔξωθεν ἐπιτρίβουσιν. ἕως μὲν οὖν τὰ τῶν πατέρων οὐχ ὑπερβῆναί τινες ὅρια θεμιτὸν ἔκρινον, οὐδέν τι τῶν ἀτόπων ἐπηκολούθησεν· ἀφ' οὗ δὲ τοῦτο συμβέβηκε, πολλή τις ἐπῆλθε τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ χλεύη καὶ σύγχυσις, ὁποῖόν τι γενέσθαι συμβέβηκε καὶ εἰς τήνδε τὴν πασῶν τῶν ἐκκλησιῶν μητέρα· τοῦ γὰρ μητροπολίτου Χαλκηδόνος καὶ ἐνταῦθα κλῆρον πορισαμένου, ἐκκλησίαν τε καὶ ἕτερά τινα προνόμια, πολὺ τὸ ἄτοπον γέγονε, ὅπερ καὶ ὁ πρὸ ἡμῶν ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης, κῦρ Φιλόθεος, ἀνακόψαι βουλόμενος καὶ τὴν ἐκ τούτου ἀναφθεῖσαν ἀταξίαν καὶ σύγχυσιν ἀποσβέσαι θελήσας, συνοδικῶς ἀπεφήνατο καὶ ἐθέσπισε, μηδέποτε γενέσθαι Χαλκηδόνος μητροπολίτην, καὶ ἦν μέχρι τοῦ νῦν συντηρούμενον διὰ τὰς ὑφορωμένας συγχύσεις· ἀρτίως δὲ διά τινα χρείαν εὔλογον νομισθὲν τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ τὸ γενέσθαι μητροπολίτην γνήσιον Χαλκηδόνος, δίχα τῶν προνομίων ὧν ἐκτήσατο πρότερον, οὐκ εἰς ὠφέλειάν τινα, ἀλλὰ μᾶλλον εἰς ταραχήν τε καὶ σύγχυσιν, διενοήθημεν δίκαιον εἶναι, γνώριμα ποιῆσαι τὰ περὶ τούτου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι. καὶ ἀπελθόντες οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοί, ὅ τε Σερρῶν δηλονότι καὶ ὁ Ῥωσίας, πρὸς δὲ καὶ ὁ τιμιώτατος μέγας χαρτοφύλαξ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, διάκονος κῦρ Ἰωάννης ὁ Ὀλόβωλος, ἀνήνεγκαν τῷ ἁγίῳ μου αὐτοκράτορι περὶ τούτου, εὑρεθέντος ἐκεῖ καὶ τοῦ ἱερωτάτου μητροπολίτου Ἡρακλείας καὶ προέδρου τῶν ὑπερτίμων, ἅπερ κατὰ μέρος ἀκούσασα ἡ γαληνότης αὐτοῦ, ἥτις πρὸς τὰ καλὰ πολλὴν ποιεῖται τὴν πρόνοιαν, καὶ τὴν τῶν ἱερῶν κανόνων σύστασιν καὶ βεβαίωσιν διὰ σπουδῆς τίθεται, ὡς ἐκδικητὴς καὶ δεφένστωρ τούτων καὶ τῆς εἰρήνης καὶ εὐταξίας παροχεὺς καὶ διδάσκαλος, διέκρινε καὶ ὥρισε καὶ ἐθέσπισε, μηδέποτε σχεῖν τὸν Χαλκηδόνος τι τῶν ὧν εἴληφε παρὰ τῆς βασιλείας προνομίων, τοῦ τότε καιροῦ τοῦτο σχεδιάσαντος, μήτε ἐκκλησίαν ἔχειν αὐτὸν ἐνταῦθα καὶ κλῆρον καὶ

ἕτερά τινα, δι' ἃ καὶ ἡ ταραχὴ καὶ σύγχυσις ἐπεγείρεται, ἀλλὰ εὑρίσκεσθαι καὶ αὐτὸν ἐνταῦθα ὡς ἕνα τῶν λοιπῶν ἀρχιερέων καὶ διάγειν, ὡς καὶ αὐτοὶ ἐνταῦθα διάγουσιν· τῆς γοῦν τοιαύτης διαγνώσεως τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος θεοφιλῶς διορισαμένου, ἡ μετριότης ἡμῶν σὺν τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Θεσσαλονίκης, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Οὐγγροβλαχίας, τοῦ Ἀτταλείας, τοῦ Σμύρνης, τοῦ Μονεμβασίας, τοῦ Σερρῶν, τοῦ Ῥωσίας, τοῦ Βάρνης, τοῦ Γοτθίας, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως, τοῦ Μηδείας, τοῦ Δράμας καὶ τοῦ Δέρκω, τὸ παρὸν ἀπολύει συνοδικὸν ψήφισμά τε καὶ θέσπισμα, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι, μηδέποτε ἐκχωρηθῆναι τῷ ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος διαπράττεσθαί τι τῶν προνομίων ὧν ἡ κατ' αὐτὸν ἐκκλησία πρότερον ἐπορίσατο, καὶ συγχύσεις καὶ ταραχὰς τῷ πατριαρχικῷ ἐπεδείξατο θρόνῳ, ἀλλ' εἶναι καὶ εὑρίσκεσθαι καὶ τοῦτον ἐν τῇ θεομεγαλόντῳ Κωνσταντινουπόλει, καθὼς καὶ οἱ ἕτεροι πάντες τῶν ἀρχιερέων, ὅτε διὰ χρείαν τινὰ ἐνταῦθα παραγένωνται, ὡς ἂν καὶ εἰρήνη βαθεῖα τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ἐπανθῇ, καὶ ἡ τῶν ἱερῶν κανόνων συντηρῆται ἀκρίβεια. τούτου γὰρ χάριν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος, καὶ κατεστρώθη ἐν τῷδε τῷ ἱερῷ κώδικι δι' ἀσφάλειαν κατὰ μῆνα ἀπρίλλιον τῆς ιβ' ἰνδ. τοῦ ,ϛωϟζ' ἔτους †.

## CCCCVII. (6897—1389) aprili. ind. XII.

*Promissio Gregorii hieromonachi, nominati exarchi patriarchae in Occidente.*

† Ἐπειδὴ ὡδηγήθη ἐκ θεοῦ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ δέδωκέ μοι πάντα τὰ περὶ τὴν Δύσιν πατριαρχικὰ δίκαια, καὶ κατέστησέ με ἔξαρχον ὥστε διενεργεῖν τὰ ἀνήκοντα τῷ πατριαρχικῷ θρόνῳ προνόμια πάντα καλῶς καὶ νομίμως, ἤδη ὑπόσχομαι καὶ αὐτός, πολιτεύεσθαι καὶ πράττειν πάντα κατὰ τὴν τῶν ἱερῶν κανόνων ἀκρίβειαν εἰς δόξαν θεοῦ καὶ τοῦ παναγιωτάτου μου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ στέλλειν καὶ ἅπαν τὸ εἰσόδημα εἰς τὴν μεγάλην ἐκκλησίαν· εἰ δ' οὐ ποιήσω, καθὼς ὑπόσχομαι, ἵνα εὐθύνωμαι προσηκόντως. τούτου γὰρ χάριν ἐγένετο

καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα ἀπρίλλιον τῆς δωδεκάτης ἰνδικτιῶνος, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν †.

† Γρηγόριος ἱερομόναχος στέργων ὑπέγραψα †.

## CCCCVIII. (6897—1389) maio. ind. XII.

*Promissiones hieromonachi Danielis et presbyteri Georgii.*

I. † Ἐγὼ Δανιὴλ ἱερομόναχος ὑπόσχομαι ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐπειδὴ ἐσυνεπαθήθην εἰς τὴν ἱερωσύνην μου, ἀπὸ τοῦ νῦν τάττω καὶ ὁμολογῶ, ὅτι οὐ μὴ ἐργάσομαι ἔξω τοῦ κελλίου μου ἢ βουτζία ἢ ὅλως τὴν τέχνην αὐτὴν, ἀλλ' οὐδὲ πωλήσω ποτὲ εἰς φόρον βιβλία, εὑρίσκωμαι δὲ εἰς τὴν ὑποταγὴν τοῦ πνευματικοῦ· εἰ δέ ποτε ἀθετῆσαι τολμήσω τὴν παροῦσάν μου ὑπόσχεσιν, ἵνα εὐθύνωμαι κανονικῶς εἰς τὴν ἱερωσύνην μου ἄνευ τινὸς συμπαθείας, καὶ καθαιρῶμαι τελέως. τούτου χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις ἔγγραφος μηνὶ μαΐῳ ἰνδ. ιβ' †.

† Δανιὴλ ἱερομόναχος στέργων ὑπέγραψα †.

---

II. † Ἐπεὶ καὶ πρὸ τοῦ τελεσθῆναι τὸν καιρὸν τῆς ἀργίας μου, οἴκτῳ καὶ συμπαθείᾳ κινηθεὶς ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, διὰ τὴν πολλὴν τῶν πανιερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἀξίωσιν συνεχώρησέ μοι καὶ εὐεργέτησέ με, ἀνεμποδίστως ἱερατεύειν εἰς τὸ ἑξῆς, ἤδη καὶ αὐτὸς τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ, δι' ἧς καὶ λέγω, ὡς ἐάν ποτε εὑρεθῶ ὀχλήσεις ποιῶν, ὥσπερ κατηγορήθην καὶ πρότερον, ἢ μεθύων, ἢ καὶ ἐν καπηλίοις εἰσάγεσθαι, ἢ καὶ οὐ πρὸς ἀποδοχὴν τοῦ θεοῦ καὶ τιμὴν τοῦ ἱερατικοῦ τάγματος διάγων, ἵνα καθαιρῶμαι ἀσυμπαθῶς. καὶ ἐκπίπτω τοῦ ἱερατικοῦ καταλόγου. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν κατὰ μῆνα μάιον τῆς ιβ' ἰνδ. †.

† Γεώργιος ἱερεὺς στέργων ὑπέγραψα †.

## CCCCIX. 6897 (1389) iulio. ind. XII.

*Synodus statuit, ne episcopo Methones sollicitudinem afferat metropolita Antiquarum Patrarum.*

† Συνοδικὴ διάγνωσις ὑπὲρ ἀνενοχλησίας τοῦ ἐπισκόπου Μεθώνης †.

† Ὁ θεοφιλέστατος ἐπίσκοπος Μεθώνης, κῦρ Νίφων ὁ Μανδυλᾶς, εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν περὶ αὐτὴν θείαν καὶ ἱερὰν σύνοδον ἀναδραμών, ἀνήνεγκε περιπαθῶς τὰ περὶ ἑαυτοῦ, ὅσα τε παρὰ τοῦ πρὶν μητροπολίτου αὐτοῦ τοῦ Παλαιῶν Πατρῶν, τοῦ κυροῦ Ἰγνατίου ἐκείνου, ὑπέστη δεινά, καθαίρεσιν ἐπαγαγόντος αὐτῷ λίαν ἀδικῶς καὶ παρὰ τοὺς ἱεροὺς κανόνας, εἶτα ἀθῳωθεὶς ἐξ ἐρεύνης καὶ ἐξετάσεως ἀκριβοῦς τῶν ἱερωτάτων μητροπολιτῶν, τοῦ τε νῦν Νικαίας, Βάρνης ὄντος τῷ τότε, καὶ τοῦ Κυζίκου ἐκείνου, Ἰωαννίκου ὄντος τότε κἀκείνου, ἐξ ἀποστολῆς συνοδικῆς, τὸν ὑψηλὸν οἰκουμενικὸν πατριαρχικὸν θρόνον τοῦ ἀοιδίμου κυροῦ Φιλοθέου κοσμοῦντος, καὶ ὅσα νῦν ὑφίσταται δεινὰ παρὰ τοῦ νῦν μητροπολίτου αὐτοῦ τοῦ Παλαιῶν Πατρῶν, κυροῦ Μαξίμου· οὗτος γὰρ εὑρὼν αὐτὸν ἐν τῇ ἐπισκοπῇ αὐτοῦ ἐνεργοῦντα τὰ τῆς ἐκκλησίας ὡς ἀρχιερέα αὐτῆς, οὐκ εἴασεν οὐδέποτε εἰρηνεύειν, ἀλλὰ ποτὲ μὲν τὰ πρῶτα ἐκεῖνα ἐγκλήματα, ἅπερ ἠργήσαν ὡς ψευδῆ καὶ διαβολὴ προφανὴς κατ' αὐτοῦ ἀπὸ τῆς ῥηθείσης τῶν ἀρχιερέων ἐξετάσεως, εἰς μέσον προφέρων καὶ ὑποθείς, ποτὲ δὲ ἄλλα προβαλλόμενος καὶ πλάττων, εἴτε ἀφ' ἑαυτοῦ ταῦτα ποιῶν, εἴτε καὶ ἀφ' ἑτέρων παρακινούμενος, ποτὲ μὲν ἀργεῖ τῆς ἀρχιερωσύνης, ἀνεξετάστως οὕτως, ὡς ἂν αὐτῷ δόξῃ, καὶ ὅταν ἐθέλῃ, ποτὲ δὲ καὶ ἀφορίζει παρρησίᾳ καὶ δημοσίᾳ καὶ μάλιστα ἐν ἡμέραις ἁγίαις καὶ ἑορταῖς, καὶ ὡς πάσχων οὕτω διὰ πάσης σχεδὸν τῆς ἰδίας ζωῆς (χρόνον γὰρ ἔχει πεντεκαιδέκατον ἤδη καθ' ἡμέραν τοιαῦτα πάσχων δεινὰ) διόρθωσιν ἐζήτησε τὴν προσήκουσαν· τούτων τοιγαροῦν οὕτως ἀνενεχθέντων παρ' αὐτοῦ, ἡ μετριότης ἡμῶν, συνδιασκεψαμένη τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Οὐγγροβλαχίας, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Μονεμβασίας, τῷ Ἀμασείας, τῷ ἑτέρῳ Οὐγγροβλαχίας Ἀθανασίῳ, τῷ Ἀδριανουπόλεως, τῷ Σμύρνης, τῷ Σερρῶν, τῷ Ῥωσίας, τῷ Βάρνης, τῷ Σωζοπόλεως, τῷ Γάννου, τῷ Δράμας καὶ

τῷ Μηδείας, ἐπειδήπερ οἱ πλείους τῶν δηλωθέντων τούτων ἀρχιερέων τὰ κατὰ τὸν ἐπίσκοπον οἴδασιν, ὅπως συνέβησαν τὴν ἀρχὴν καὶ τοὺς πολλοὺς αὐτοῦ πειρασμούς, καὶ μάλιστα ὁ ἱερώτατος μητροπολίτης Νικαίας, ὡς ἀπελθὼν εἰς τὰ μέρη ἐκεῖνα καὶ πάντοθεν εὑρὼν αὐτὸν ἀδικούμενον, δι' ἐπήρειαν δὲ καὶ μόνον πάσχοντα, ἄδικον ἡγησάμεθα λίαν καὶ ἀτοπώτατον, οἷάπερ δοῦλον τὸν ἐπίσκοπον οὕτω καὶ ὑποχείριον ἢ αἰχμάλωτον καθέλκεσθαι μάτην παρὰ τῶν ἰδίων μητροπολιτῶν, μηδὲν πλέον ὀφείλοντα τούτοις κατὰ τοὺς θείους εἰπεῖν καὶ ἱεροὺς κανόνας καὶ νόμους ἢ τὸ μνημονεύειν αὐτοῦ καὶ ὑπακούειν τούτῳ καὶ ὑποκεῖσθαι ὡς αὐτοῦ κεφαλῇ καὶ πρώτῳ κατὰ τὸν λόγον, ὃν δῆτα καὶ πατριάρχαις οἱ τῆς ἐπαρχίας αὐτοῦ μητροπολῖται ὀφείλουσι, χωρὶς γὰρ τούτων οὐδένα λόγον ὁ μητροπολίτης ἔχει μετὰ τοῦ ἐπισκόπου ἢ ἀφορίζειν ἢ ἀργεῖν ἢ φόρους ἀπαιτεῖν τοὺς τυχόντας, κἂν ὁ μὲν τῶν πενήτων καὶ ἐνδεῶν, ὁ ἐπίσκοπος δὲ τῶν εὐπόρων τε καὶ πλουσίων· ἔνθεν τοι καὶ διαγινώσκομεν ἐν ἁγίῳ πνεύματι, εὑρίσκεσθαι τὸν θεοφιλέστατον ἐπίσκοπον Μεθώνης, κὺρ Νίφωνα, ἀνενόχλητον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀπὸ τοῦ ἰδίου μητροπολίτου καὶ ἀνεπηρέαστον, ὥστε διενεργεῖν τὴν ἀρχιερατικὴν ὑπηρεσίαν αὐτοῦ ἀνεμποδίστως πάνυ καὶ ἀταράχως καὶ μηδεμίαν ἄδειαν ἔχειν ποτὲ τὸν Παλαιῶν Πατρῶν, κἂν ὅσα ἂν ἀκούσῃ κατὰ τοῦ ἐπισκόπου ἐγκλήματα, καθαιρεῖν αὐτὸν ἢ ἀφορίζειν ἢ ἀργεῖν ἢ ἐκβάλλειν ὅλως τῆς ἐκκλησίας· εἰ δὲ τοῦτο ποιήσει, κἂν ὅσα ἂν ἐκεῖ γράφῃ, εἴτε ἀργίαν, εἴτε ἀφορισμὸν ἢ ὀργὴν ἢ πρὸς τόνδε τὸν ἐπίσκοπον ἢ πρὸς τοὺς ἱερεῖς τῆς Μεθώνης καὶ τὸν λαόν, εὑρίσκεσθαι ἀργὰ καὶ ἄκυρα καὶ ἀβέβαια, ἀλλὰ δέχεσθαι μὲν τὸν Παλαιῶν Πατρῶν πάντα τὸν ἐγκαλοῦντα καὶ κατηγοροῦντα τοῦ ἐπισκόπου, ὡς οἱ ἱεροὶ κανόνες περὶ τῶν τοιούτων κατηγόρων διακελεύονται, κἂν ἱερεὺς ὁ κατήγορος ᾖ, κἂν λαϊκός, εἶτα παραπέμπειν ταῦτα ἐγγράφως εἰς τὴν καθ' ἡμᾶς θείαν καὶ ἱερὰν σύνοδον, ὡς ἂν αὕτη ταῦτα δεχομένη διακρίνῃ τὸ δόξαν εἰς ταῦτα δίκαιον, ἤγουν, ἢ καὶ ἀμφοτέρους τούτους ἐνταῦθα μετακαλῆται, ἢ ὡς ἂν τότε διακρίνῃ, οὐ μὴν δὲ τὸν Παλαιῶν Πατρῶν ἔχειν ἄδειαν πρὸ τοῦ ἐλθεῖν ἐνταῦθα ἢ αὐτὸν ἢ τὰς κατὰ τοῦ ἐπισκόπου κατηγορίας καθέλκειν τὸν ἐπίσκοπον εἰς ἡμᾶς παραγίνεσθαι· παρ' ἡμῶν γὰρ καὶ μόνων ὁ ἐπίσκοπος, ὅταν κατ' αὐτοῦ τοιαῦτα ἐμπέσωσι, προσκληθήσεται, ὅταν ἡμεῖς διακρίνωμεν, ὃ δὴ καὶ νῦν γενέ-

σθαι διέγνωμεν, τὸν μὲν ἐπίσκοπον ἐγκρατῆ τῆς ἐκκλησίας αὐτοῦ εἶναι καὶ τὴν ἀρχιερωσύνην ἔχειν αὐτοῦ, τὸν δὲ Παλαιῶν Πατρῶν, εἴπερ ἔχει τινὰς κατηγορίας κανονικὰς κατ' αὐτοῦ, ἐνταῦθα παραγίνεσθαι καὶ δηλοῦν, καὶ γίνηται, ὅσον εἴρηται, ἔχειν γε μὴν τὸν ἐπίσκοπον ἀνάγκην, μνημονεύειν τοῦ μητροπολίτου αὐτοῦ καὶ αὐτῷ ὑποκεῖσθαι κατὰ τὸν λόγον, ὃν εἴπομεν, κατέχειν δὲ τὴν ἐκκλησίαν αὐτοῦ πᾶσαν καὶ τὴν ἐνορίαν αὐτῆς, ἣν ἔσχεν ἄνωθεν καὶ ἐξ ἀρχῆς, καὶ λαμβάνειν καὶ ἀποφέρεσθαι τὰ ἐκκλησιαστικὰ πάντα δίκαια αὐτοῦ καὶ τὰ τῆς ἐκκλησίας αὐτοῦ εἰσοδήματα, ὁθενδήποτε ἂν ἔχῃ ταῦτα ἡ ἐκκλησία, ἀνενοχλήτως καὶ ἀδιασείστως, μηδενὸς τῶν ἁπάντων ἔχοντος ἄδειαν ἢ τοῦ Παλαιῶν Πατρῶν, μέρος ταύτης ἀποτεμεῖν καὶ λαβεῖν ἢ προσόδους ἀπαιτεῖν ἀπ' αὐτοῦ τοῦ ἐπισκόπου ἤ τινος ἄλλου τῶν ἁπάντων· μὴ μέταιρε γάρ, φασίν, ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου, καὶ ὅτι ἐπιτίμια ἐτέθησαν καὶ ἀφορισμοὶ κατὰ τῶν παρασαλεῦσαι ταῦτα καὶ μεταστῆσαι ἐπιχειρησάντων, ἅπερ καὶ ἡμεῖς ἀνάγκην ἔχομεν στέργειν καὶ διεκδικεῖν διὰ βίου παντός, ἕως ἂν πνοὴ ἐν στήθεσι μένῃ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Μεθώνης, κυρῷ Νίφωνι τῷ Μανδολᾷ, καὶ ἡ παροῦσα αὐτῆς δὴ τῆς ἡμῶν μετριότητος συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν κατὰ μῆνα ἰούλιον τῆς ιβ' ἰνδ. τοῦ ,ϛωϞζ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Εἶχε καὶ ὑπογραφὰς τῶν ἐντὸς καταγεγραμμένων ἱερωτάτων μητροπολιτῶν †.

## CCCCX. (6897—1389) iulio. ind. XII.

*Archiepiscopo Susdaleae traduntur duo castella.*

† Ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος Σουσδάλεως, κῦρ Διονύσιος ἐκεῖνος, ἀνέφερεν ἐπὶ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, περὶ τῶν δύο κάστρων, τοῦ τε Νοβογραδίου καὶ τοῦ Γοροδετζίου, ὅτι εἰσὶ ταῦτα ἐνορία τῆς ἐκκλησίας αὐτοῦ, καὶ ὅτι ὑπὸ τὸν αὐτὸν ῥῆγα τῆς Σουσδάλεως τελοῦσι, καὶ πλησίον τῆς ἐκκλησίας αὐτοῦ εἰσι, καὶ ὅτι ἐνοχλοῦσιν αὐτῷ οἱ κατὰ καιροὺς μητροπολῖται τῆς

Ῥωσίας, ἐζήτησε γράμμα ἐπὶ τούτοις παρὰ τοῦ πατριάρχου, καὶ ἔλαβε τοῦτο κατὰ τὴν ἀναφορὰν αὐτοῦ καὶ νῦν χειροτονηθεὶς Σουσδάλεως καὶ ὁ κῦρ Εὐφρόσυνος, ἐνεφάνισε τὰ δικαιώματα ταῦτα, καὶ ἔλαβε καὶ αὐτὸς σιγίλλιον ἐπὶ τούτοις, ἐν ᾧ καὶ γράφεται ἀρχιεπίσκοπος Σουσδάλεως, Νοβογραδίου καὶ Γοροδετζίου, καὶ διὰ τοῦτο ἐσημειώθη ἐνταῦθα μηνὶ ἰουλίῳ ἰνδ. ιβ' †.

## CCCCXI. (6897—1389) iulio. ind. XII.

*Sacerdos Manuel excommunicatur.*

† Ἡ καθαίρεσις τοῦ ἀπὸ τῶν Σαυρῶν παπᾶ Μανουὴλ †.

† Μηνὶ ἰουλίῳ ἰνδ. ιβ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Νικαίας, τοῦ Ἀμασείας, τοῦ Σμύρνης, τοῦ Ἀδριανουπόλεως, τοῦ Σερρῶν, τοῦ Βάρνης καὶ τοῦ Μηδείας, ἔτι καὶ παρακαθημένων τιμιωτάτων ἐξωκατακήλων καὶ παρισταμένων θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, ἤγαγον εἰς τὸ μέσον τὸν ἀπὸ τῆς χώρας τῶν Σαυρῶν παπᾶν Μανουήλ, καὶ ἀπήλεγξαν αὐτόν, ὅπως ἐλθὼν ἀπ' ἐκεῖσε ἐνταῦθα καὶ παραγενόμενος νύκτα εἰς τὸ οἴκημα Ῥαοὺλ τοῦ λεγομένου Συρβάου συνέζευξε διὰ τελείας ἱερολογίας τῇ θυγατρὶ αὐτοῦ τὸν Ῥαοὺλ, ἐξάδελφον ὄντα αὐτῆς καὶ πέμπτου βαθμοῦ τυγχάνοντα, ὅπερ οὐδέποτε ἐτολμήθη γενέσθαι, καθὼς καὶ ἐνταῦθα ὁ τιμιώτατος μέγας χαρτοφύλαξ ἐκώλυε τοῦτο, καὶ οὐδεὶς τῶν ἐν τῇ πόλει οἰκούντων ἱερέων ἐτόλμησε τοῦτο ποιῆσαι. τοίνυν καὶ φανεροῦ τούτου ὄντος, ὡς μηδὲ ἀντιλέγειν τοῦ παπᾶ Μανουὴλ ἔχοντος, ἀλλὰ καὶ ὁμολογήσαντος τὴν πτῶσιν αὐτοῦ, ἀπεφήνατο ἡ θεία καὶ ἱερὰ σύνοδος τῶν ἱερωτάτων ἀρχιερέων παντελῆ καθαίρεσιν κατ' αὐτοῦ, ἣν καὶ στέρξας ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, διέκρινε καὶ ὥρισε, κατὰ τὴν τῶν ἱερῶν κανόνων διαταγήν, μηδόλως εὑρεῖν αὐτὸν ὑπηρεσίαν τινὰ τῆς ἱερωσύνης αὐτοῦ. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα ἡ αὐτοῦ καθαίρεσις †.

## CCCCXII. (6897—1389) iulio. ind. XII.

*Episcopo Methones conceditur, ut consacret clericos ecclesiae Cretensis.*

† Προτροπὴ δοθεῖσα τῷ ἐπισκόπῳ Μεθώνης †.

† Θεοφιλέστατε ἐπίσκοπε Μεθώνης· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ θεοφιλείᾳ σου· ἡ μετριότης ἡμῶν ἐκχωρεῖ καὶ ἄδειαν δίδωσι τῇ θεοφιλείᾳ σου, ὡς ἂν χειροτονῇς πάντας τοὺς ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως Κρήτης εἰς ἀναγνώστας, ὑποδιακόνους, διακόνους καὶ πρεσβυτέρους, δεχόμενος γοῦν πρότερον τὰς μαρτυρίας αὐτῶν κατὰ τὴν κανονικὴν ἀκρίβειάν τε καὶ παρατήρησιν, οὓς ἂν εὕροις ἀξίους καὶ μεμαρτυρημένους ἐγγράφως παρὰ πνευματικοῦ καὶ ἱερέων· χειροτόνει αὐτούς, ὡς παραδηλοῦμεν τῇ θεοφιλείᾳ σου, κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν, μηδενὸς ἀρχιερέως ἄλλου ἢ τῶν ἐγγὸς τῆς Κρήτης ἢ τῶν μακρὰν ὀφείλοντος χειροτονίαν ποιήσειν εἴς τινα τῶν ἐκ ταύτης προσελθόντα αὐτῷ, σοὶ γὰρ μόνῳ τὰς χειροτονίας αὐτῶν ἡ μετριότης ἡμῶν παραδίδωσι, καὶ ἐάν τις ἕτερος χειροτονήσῃ ἐκ τῶν τῆς Κρήτης, ὡς λέγομεν, ὡς παρὰ τοὺς ἱεροὺς κανόνας ποιήσας εὐθυνθήσεται κανονικῶς παρὰ τῆς ἡμῶν μετριότητος καὶ τῆς θείας συνόδου. τούτου γὰρ χάριν ἀπολέλυται τῇ θεοφιλείᾳ σου καὶ τὸ παρὸν προτρεπτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. ιβ' †.

## CCCCXIII. (6897—1389) augusto. ind. XII.

*De electione episcopi Leucadis.*

† Ὁ θεοφιλέστατος ἐπίσκοπος Μεθώνης ἀνέφερε περὶ τῆς ἀρχιεπισκοπῆς Λευκάδος, ἵνα ἴδῃ τὴν ἐκεῖ ἄρχουσαν τοῦ τόπου Φράγγαν τὴν δουκαίσαν, κυρίαν Λευκάδος, Ἰθάκης, Ζακύνθου καὶ Κεφαληνίας, καὶ καταστήσῃ, ἵνα γράψῃ εἰς τὸν πανογιώτατον ἡμῶν δεσπότην, ἢ γράφῃ αὐτός, καὶ ζητήσωσιν ἀρχιεπίσκοπον, τότε γοῦν ἵνα γένηται καὶ γραφὴ εἰς τὸν Κορίνθου περὶ τῆς Κεφαληνίας καὶ τῆς Ζακύνθου, ἐπειδὴ ἐνορία ἐστὶν αὐτοῦ, καὶ διὰ τὴν μάχην τὴν ἐν τῷ τόπῳ οὐδέποτε ἀπῆλθεν ἐκεῖ, οὐδέ ἐστιν δυνατὸν ἀπελθεῖν ποτέ, καὶ

ἀπολέσῃ αὐτά, καὶ βλέπῃ ὁ γενησόμενος ἴσως Λευκάδος ἀρχιεπίσκοπος. καὶ διὰ δήλωσιν ἐσημειώθη μηνὶ αὐγούστῳ κα' ἰνδ. ιβ' †.

CCCCXIV. (6897—1389) augusto. ind. XII.

*Monachi monasterii Caracallae promittunt, se restituturos esse agrum monasterio Batopedii.*

† Ἡμεῖς οἱ ἀπὸ τῆς σεβασμίας μονῆς τοῦ Καράκαλα, ὅ τε ἱερομόναχος Θεοδόσιος καὶ ὁ μοναχὸς Κασιανός, ὑποσχόμεθα εἰς τὸν πανναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἵνα οὕτως ὡς ἀπέλθομεν εἰς τὸ μοναστήριον ἡμῶν, ἀπολύσωμεν καὶ τὸ χωράφιον πρὸς τοὺς Βατοπεδινούς, ὅσον ζητοῦσι, περὶ οὗ ἔχομεν καὶ τὴν διένεξιν, καὶ τὰς ἐπικαρπίας, ὅσας ἐλάβομεν ἀπ' αὐτοῦ, ἐφ' ὅσοις ἄρα χρόνοις κατείχομεν αὐτό, ἐπειδὴ καὶ οὕτως εὕρομεν συμπάθειαν καὶ συγχώρησιν τοῦ ἀφορισμοῦ ἐπὶ τοιαύταις ὑποσχέσεσι. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα ἡμῶν ὑπόσχεσις ἐγεγόνει κατὰ μῆνα αὔγουστον τῆς ιβ' ἰνδ. †.

† Θεοδόσιος ἱερομόναχος †. † Κασιανὸς μοναχός †.

CCCCXV. (6898—1389) septembri-novembri. ind. XIII.

*Annotationes synodi.*

I. † Μηνὶ σεπτεβρίῳ ἰνδ. ιγ' ἐδόθη τῷ σακελλίῳ τῆς ἁγιωτάτης μητροπόλεως Αἴνου τὰ τῆς Αἴνου δίκαια τὰ ἐκκλησιαστικά, καὶ εἰς δήλωσιν ἐσημειώθη ἐνταῦθα †.

II. † Μηνὶ νοεμβρίῳ τῆς αὐτῆς ἰνδικτιῶνος ἐδόθησαν ἐξαρχικῶς τοῖς ἐν τῇ σεβασμίᾳ μονῇ τοῦ Χελανταρίου τὰ ἐν τοῖς μετοχίοις αὐτῶν, ἔνθα ἂν ὦσι, πατριαρχικὰ δίκαια, ἤγουν τῷ ἡγουμένῳ τῷ ἐν τῷ μοναστηρίῳ, καὶ δι' ἀσφάλειαν ἐσημειώθη †.

CCCCXVI. (6898—1390) maio. ind. XIII.

*Promissiones trium sacerdotum.*

I. † Ἐπεὶ κατηγορήθημεν ἀπιστίας ἔγκλημα κατὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τῆς πατρίδος ἡμῶν, εἶτα

οὐκ ἀπεδείχθη τοῦτο ἐπὶ τῆς ἱερᾶς καὶ θείας συνόδου, καὶ ἐτύχομεν συμπαθείας παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἤδη καὶ ἡμεῖς ὑποσχόμεθα εἶναι πιστοὶ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τῆς πατρίδος ἡμῶν καὶ μὴ ἐπιχειρῆσαί ποτε κατὰ τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ ἔργοις ἢ καὶ λόγοις δημοεγερτικοῖς, ἀλλὰ καὶ παρά τινων ἐὰν ἀκούσωμεν λόγους κατὰ τοῦ βασιλέως, ὀφείλομεν ἀναγγεῖλαι τούτους τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ· εἰ δ' οὐ ποιήσωμεν, καθὼς ὑποσχόμεθα, ἵνα εὐθυνώμεθα εἰς τὴν ἱερωσύνην ἡμῶν καὶ εἰς τοὺς ἡμετέρους βίους. Ἰδίᾳ δὲ ἐγὼ πρεσβύτερος ὁ Σγουρόπουλος ὑπόσχομαι ἀπέχειν ἀπό τε καπηλίων καὶ μέθης καὶ ἑτέρων ἀκαταστασιῶν· εἰ δ' οὖν, ἵνα καθαιροῦμαι, καθὼς διαγορεύουσιν οἱ ἱεροὶ κανόνες. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα ἡμῶν ὑπόσχεσις κατὰ μῆνα μάιον τῆς ιγ' ἰνδ. †.

† Ὁ εὐτελὴς ἱερεὺς Ἀνδρέας ὁ Ῥαδαρίτης †.
† Ὁ εὐτελὴς ἱερεὺς Μιχαὴλ ὁ Σγουρόπουλος †.

---

II. † Ἐγὼ ἱερεὺς Μιχαὴλ ὁ Φαρίτης λέγω διὰ τῆς παρούσης ὑποσχέσεώς μου καὶ ὑπόσχομαι εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ὅτι ἐπειδὴ εὑρέθην ἐν καπηλείῳ καὶ μεθύων, ἐπεσχέθην δὲ τῆς ἱερωσύνης, καὶ παρεκάλεσα, καὶ ἔτυχον συμπαθείας, ἀπὸ τοῦ νῦν ἐὰν εὑρεθῶ παρ' ὅλην μου τὴν ζωὴν ἐν καπηλείῳ διὰ ἡντιναοῦν αἰτίαν, εἰ μήπου πρωΐ, ἵνα ποιήσω ἁγιασμόν, ὅπερ ἐστὶν ἅπαξ τὸν χρόνον, ἵνα ἀσυμπαθῶς ἐκπίπτω τοῦ ἰδίου τῆς ἱερωσύνης μου βαθμοῦ. τούτου γὰρ χάριν καὶ τὸ παρόν μου γράμμα ἐγένετο εἰς ἀσφάλειαν κατὰ μῆνα μάιον τῆς ιγ' ἰνδ. †.

† Ὁ εὐτελὴς ἱερεὺς Μιχαὴλ ὁ Φαρίτης τὰ ἄνωθεν γεγραμμένα βεβαιῶν ὑπέγραψα †.

X.

† Μηνὶ Ἰουλίῳ, τριακοστῇ, ἡμέρᾳ σαββάτῳ, ἰνδ. ιγ' ἐπανῆλθεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Μακάριος, καὶ ἤρξαντο καταστρώννυσθαι ἐνταῦθα αἱ συνοδικαὶ πράξεις καὶ τὰ ἐκκλησιαστικὰ ἔγγραφα σημειώματα †.

CCCCXVII. 6898 (1390) augusto. ind. XIII.

*Synodus decernit, patriarcham Macarium falso accusatum fuisse, et eo revocato amovet Antonium.*

† Ἀθῴωσις ὑπὲρ τοῦ πατριάρχου †.
Ῥήτορος τοῦ Βαλσαμών.

† Ἀρετῆς καὶ κακίας τὸ διάφορον ὅσον καὶ ἄλλα μὲν τοῖς ἐρευνῶσι γνωρίσματα, οὐχ ἥκιστα δὲ καὶ ἡ τοῦ κρείττονος παρὰ τοῦ χείρονος μὴ χρόνιος τυραννίς, οὔτε γὰρ τὸ πῦρ ἀνάσχοιτ' ἂν τὴν πρὸς τὰ κάτω φορὰν, κἂν πρὸς τοῦτο βιάζηται, οὐδὲ τὴν ἐναντίαν τὸ ὕδωρ, εἰ μὴ σήραγγάς τινας μετὰ πνεύματος ὑποτρέχοι, ἀναφυσώμενον κάτωθεν, οὐδ' ὁ τῆς ἀληθείας λόγος ἐς ἀεὶ τῷ πλάσματι παρασύρεσθαι, τοὐναντίον δὲ μᾶλλον ὑπ' αὐτῆς οἶδεν ἐκεῖνο διαφθείρεσθαί τε καὶ ἀνακόπτεσθαι· οὕτω γὰρ ἂν ὅ τ' ἐκείνης σώζοιτο λόγος, ὕπαρξις γὰρ, ὅ τε τοῦ ψεύδους ὀφθείη τρόπος, ἀσύστατον γάρ· εἰ δὲ καὶ τῶν ἐξ ἀδικίας οὐκ ἀσφαλὲς οὐδ' ἀκίνητον ἕκαστον, ἐν δὲ τῶν αὐτῆς καὶ τὸ διασύρεσθαι τὰ καλὰ, οὐκ αἴδιον ἄρα, οὐθ' ἡ παρρησία τοῦ ψεύδους, οὐθ' ἡ τοῦ δικαίου καὶ τῆς ἀληθείας κατάδυσις. φθάνει τοίνυν καὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Μακάριος, πρό τινων ἤδη χρόνων τὴν τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας προστασίαν νεύμασι θειοτέροις ἀνῃρημένος καὶ τὴν ἱερὰν ταύτην ὁλκάδα καλῶς ἐπὶ δυσὶν ἔτεσι κυβερνῶν ὡσπερεὶ πηδαλίοις τῷ ἑαυτοῦ τρόπῳ καὶ λόγῳ, ἀνέγκλητος ἦν ἑκάστῳ τῶν ἐν αὐτῇ λίαν καὶ ἀνεπίληπτος, ἐπεὶ δὲ τὰ τῆς βασιλείας, ὡς τῷ κρείττονι δόξαν, μετακεκύβευται καὶ ἀφῃρέθη μὲν τὰ σκῆπτρα καὶ τὴν ἀρχὴν ὁ ἐν βασιλεῦσιν ἀοίδιμος κῦρ Ἀνδρόνικος, ἀνῄρηται δὲ ταῦτα καὶ αὖθις πατὴρ ὁ ἐκείνου καὶ βασιλεὺς, καὶ ὁ πατριάρχης

ἐν ζάλῃ καὶ σφοδρῷ ῥοθίῳ καὶ ζέοντι· εὐθὺς γὰρ τοῦ θρόνου καὶ τῆς ἀρχῆς ἐξωστράκισται, ἐπεὶ μὴ τούτῳ κατὰ σκοπὸν τῆς τῶν ἱερῶν τελετῶν μνήμης ἀπῶσαι τὸν βασιλέα, ἐκστῆναι δὲ μᾶλλον δι' ἐκεῖνον καὶ τῆς ἀρχῆς καὶ τῶν θρόνων ἢ εἶξαι πρὸς τοῦτο καὶ τῆς πατριαρχικῆς ἐντεῦθεν ἰσχύος καὶ τῆς τιμῆς ἀπολαύειν· ἄλλη τις οὖν Ἰλιὰς ἐγκλημάτων ἐκ τούτου τῷ πατριάρχῃ καὶ λίβελλος ἐφ' ἑκάστῳ καὶ ξολισμὸς παντί, δρυὸς κατὰ τὴν παροιμίαν πεσούσης· ἐπίφθονον γὰρ χρῆμα τὸ τῆς ἀρχῆς, καὶ πολλοὺς τῷ ἄρχοντι πολλαχόθεν ἐπεγείρει τοὺς κατηγόρους τοῦ τῆς τύχης αὐτῷ πνεύματος ἀντιπνεύσαντος καὶ τοῦ τῆς εὐδαιμονίας κύματος ἀντικρούσαντος, καὶ ὁ τῶν ἐγκλημάτων οἱονεὶ κολοφών, αἵρεσίς τις ἀήθης καὶ ἀγεννής, ἀνοίᾳ μᾶλλλον ἢ κακίᾳ πλασθεῖσα, δόξαν δὲ μὴ σιωπῇ τὰ κατ' αὐτὴν παραδοῦναι, οὐ γὰρ ἂν ἄλλως τὰ κατὰ γνώμην εἶχε τέλος τοῖς φθονεροῖς, τὰ δὲ τὸν πατριάρχην πάντως ἀποστῆναι τοῦ θρόνου τῆς βασιλικῆς οἷα γνώμης καὶ τῆς εὐσεβείας ἀντίπαλον γραφαὶ πρὸς τοὺς πέριξ τῆς πόλεως ἐπισκόπους τὴν πατριαρχικὴν αἵρεσιν προσημαίνουσαι. ᾧδε τοίνυν ἀφιγμένοις ἐκείνοις, δὶς ὀκτὼ τὸν ἀριθμὸν οὖσι καὶ τοῖς τῆς ἐκκλησίας λογάσιν ἐν αὐτῷ δὴ τῷ τοῦ θεοῦ λόγου Σοφίας συνεδριασθεῖσι νεῴ, πολλοῦ πλήθους παρισταμένου, ἐρήμην ἐδόκει καταδικασθῆναι τὸν πατριάρχην, εἰ μὴ καὶ αὐτὸς ἀπολογησόμενος ἀπαντήσειεν, ἐπεὶ δὲ καὶ μηνυθέντα τοῦτον οὐκ εἶχε τὸ δικαστήριον, οὐ τῷ δεδιέναι τὴν ψῆφον, οὐδὲ τῷ ἑαυτὸν ὑπόδικον συνιέναι, ἀλλά γε τῷ μὴ τὰ τῆς πατριαρχικῆς περιωπῆς σύμβολα καὶ τὸν τόπον αἰτοῦντα ἀπολαβεῖν, ὡς ἔθος καὶ τῶν ἀπολογουμένων ἑκάστῳ, μὴ λαβεῖν δέ, οὐ τῷ μὴ δικαίως αἰτεῖν· τί γὰρ ἂν ἄλλο πάθοι μετὰ τὴν δίκην, τῇ βασιλικῇ δὲ μᾶλλον χειρί τε καὶ ψήφῳ; κῶδιξ ἐντεῦθεν τῷ πατριάρχῃ τῆς καθαιρέσεως τῶν αὐτοῦ ὀφθέντων καὶ μαρτύρων καὶ κατηγόρων, τὸν δὲ τὴν ἀρχιερατικὴν ἅπασαν ἀφῃρημένον στολήν, μέχρι γὰρ καὶ αὐτοῦ τῶν ἐπὶ τοῦ στήθους συμβόλων ὁ ζῆλος τοῖς δικασταῖς, δημεύσεις τε ὑποδέχονται καὶ χρόνιαι φυλακαί, ᾧ μία μόνη σωτηρίας καταφυγή, τὸ μήτε δικαίως ὑφίστασθαι ταῦτα καὶ τῆς ἀδικίας λύσιν εἶναι ὀψέ ποτε, ὃ δὴ καὶ συνέδραμε· μάρτυς γὰρ ἱκανὸς τῆς περὶ τὸν πατριάρχην διαβολῆς ἡ τῶν προσόντων αὐτῷ δεινῶν ἐκ τῆς προνοίας ἀπαλλαγή· ἄρτι γὰρ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως συνάρσει θεοῦ πρὸς ἡμᾶς ἀνατείλαντος καὶ τὴν τῆς βασιλείας ἀρχὴν

κραταιῶς ἀνασωσαμένου καὶ πάντας ἡμᾶς ταῖς τῆς φιλανθρωπίας ἀκτῖσι καθαρῶς περιλάμψαντος καὶ ὁ χειμὼν εἰς ἔαρ τῷ πατριάρχῃ καὶ ἡ μακρὰ τούτῳ τρικυμία γαλήνη καὶ ὁ τῶν ἐγκλημάτων οἱονεὶ τῆς Πηνελόπης ἱστὸς ὡς ἀράχνιον ἀποδέδεικται, ὃ κἂν ἄλλοις ἕρμαιον ἦν πρός τε τῶν ἐγκαλουμένων διαστροφὴν καὶ τῶν ζητουμένων διαρπαγὴν, τῷ δέ γε πατριάρχῃ καὶ λίαν χαλεπὸν καὶ ἀπᾷδον, νομίσαντι γὰρ, ὡς τὸ μὲν ἀκρίτως οὕτως ἐπιβῆναι τῶν θρόνων, τάχ' ἄν τις εἴποι τοῦ αὐτοῦ καιροῦ εἶναι, οὗπερ καὶ τὰ ἐγκλήματα, τὸ δὲ μετὰ βασάνου καὶ ψήφου πάντων ἐπελέγχειν τοὺς λόγους, ὃ καὶ πάλαι πρὸς ἀπολογίαν ἦν αὐτῷ καλουμένῳ πρὸς δίκην, τὸ δὲ τὰ τῆς καθέδρας δήπου καὶ τῆς ἀρχῆς σύμβολα τοῦτο καὶ αὖθις ἐπῄει ζητεῖν καὶ οὕτω πρὸς κρίσιν τῶν ἐγκαλουμένων χωρεῖν· ταῦτα τοίνυν τοῦ κρατοῦντος τῷ πατριάρχῃ καλῶς καὶ δικαίως αἰτοῦντι χαρισαμένου, ταὐτὸν δ' εἰπεῖν ἀποδόντος, ὥσπερ εἰ ἐκεῖνος ἦν ὁ ταῦτα τοῦτον ἐξ ἀρχῆς ἀποδύσας, ἐπειδήπερ ἀδιάφορον τῆς σκηπτουχίας τὸ κράτος ἀμφοτέροις, τῶν πατριαρχικῶν ἐπιβὰς θρόνων, τῇ ὑστεραίᾳ, συνεδριαζόντων μὲν ἡμῶν τῶν ἐνδημούντων τῇ βασιλίδι ταύτῃ τῶν πόλεων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Σερρῶν, τοῦ Χερσῶνος, τοῦ Μηδείας, τοῦ Δράμας, τοῦ Χαμᾶ καὶ τοῦ Πενταπόλεως, παρακαθημένων δὲ τῶν τῆς ἐκκλησίας λογάδων καὶ παρισταμένων θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων· ἐγὼ μὲν, ἔφη, πρὸς ἡμᾶς ἀπιδὼν, αἱροῦμαι μᾶλλον μετὰ τῆς ἐνταῦθα δόξης ἀπαλλαγῆναι καὶ τῶν ἀποκειμένων τοῖς ὑπευθύνοις ἀνιαρῶν ἢ ταύτῃ συνεπισπάσασθαι καὶ τὴν ἀπὸ τοῦ κρείττονος καταδίκην· τοιγαροῦν εἴ τις μοι τῶν ἐγκαλουμένων ἤδη κατήγορος, ἐπεὶ οὐχ ἧττόν μοι χαριεῖται λέγων ἢ σιωπῶν, εἰς μέσον ἀφικέσθω, δεικνύτω καὶ χάριν οἴσω τούτῳ τῆς ἀληθείας, καὶ τοῦ θρόνου σὺν ἡδονῇ καὶ τῆς ἀρχῆς ἀποστήσομαι. ἐπεὶ δὲ οὐδεὶς ἐπὶ τοῖς εἰρημένοις ἀνέστη, καὶ ταῦτα πολλῶν παρόντων τῶν τότε κατειπόντων τοῦ πατριάρχου, ὧν τινες καὶ ἀρὰς ὡμολόγουν δέξασθαι μᾶλλον παρὰ τῶν τότε τῆς συνόδου κρατούντων, εἰ μὴ τοῦ πατριάρχου κατείποιεν, ὁ πατριάρχης οὑτωσὶ εἴρηκεν αὖθις· οἷς μὲν οὐδεὶς τῶν ἐγκαλουμένων μοι κατήγορος ἤδη, τὸ νικᾶν ἐμοὶ μᾶλλον ἤπερ τὸ ἡττᾶσθαι περίεστι, καὶ περαιτέρω λέγειν οὐκ ἀναγκάζομαι, ὡς δὲ καὶ τῶν πρώτων πάντων ἐκείνων μάθητε τὸ φαῦλον καὶ ἀγεννὲς, καὶ τάδε λέγειν προῄρημαι

τοῖς ἐγκληματικοῖς δικαστηρίοις κατηγόρους εἶναι προσήκει καὶ πιστοὺς εἰς κατηγορίαν καὶ ἐγγράψαντας, εἴγε κριθεῖεν ἄξιοι, εἶτα τοὺς μάρτυρας, καὶ τούτους νομίμους, οὐ βίᾳ καθελκομένους, ἀλλὰ γνώμῃ τῆς ἀληθείας ἕνεκεν ὡρμημένους, τῶν δὲ τότε ἕκαστος οὔτε κατήγορος οὔτε μάρτυς, βίᾳ γὰρ ἕκαστος τούτων, ὡς ἀκούετε, συνωθεῖτο, ἀβίαστος δὲ ἑκάτερος τούτων ὀφείλει τοῦ ἀληθεύειν ἕνεκα δήπου, ὅπου γε καὶ βίας ἀπούσης ὡς τὰ πολλὰ φιλεῖ τὴν ἀλήθειαν κλέπτεσθαι. ταῦτα τοίνυν οὕτω τοῦ πατριάρχου διεξιόντος, ἡμεῖς τούτων ἁπάντων ἀκροασάμενοι καὶ βασάνοις τοὺς λόγους ἐκδεδωκότες, οὐ κατὰ τοὺς ἱεροὺς κανόνας ἡμῶν, ὡς καὶ αὐτὸς προὔτεινε, τὴν κατ' αὐτοῦ περὶ πάντα ψῆφον προβᾶσαν εὕρομεν, αὐτὸς καὶ γὰρ τῆς δίκης ἀπῆν, ὅ τε τῆς ἀπολογίας αὐτῷ τόπος οὐ δέδοται, οὐθ' ὁ τῶν κατηγόρων καὶ τῶν μαρτύρων ἀριθμὸς κατὰ νόμους, ἐγγραφὴ δὲ τοῖς κατηγόροις, ὡς εἴωθεν, οὐδαμοῦ, ἀβίαστος δὲ οὐδέτερος τούτων, ἀλλά γε πάντες πρὸς τὸν καιρὸν οἴδασιν ἀφορᾶν, ὃ δὴ καὶ μόνον ἀρκοῦν διασεῖσαι τὴν ψῆφον ἐκείνην· οἷς γὰρ οὐχ ὁ τρόπος ἡμῶν εἰς κατηγορίαν ἢ ἔπαινον αἴτιον, τύχη δὲ μᾶλλον ἢ ἀτυχία, τούτων οὐδέτερον ἀσφαλές, ὡς οὐκ ἐξ ἀληθείας ὄν, τοῦ δὲ καιροῦ μάλιστα καὶ τῆς τῶν πραγμάτων μεταβολῆς, ὡς καὶ νῦν δέδεικται, φροῦδα γὰρ πάντα ἐκεῖνα, ὡς ἀναπόδεικτα καὶ ἀσύστατα, οὐ τοῦ καιροῦ νῦν ἤδη καλοῦντος, τῇ τῶν πραγμάτων ἀντιστροφῇ, τῆς ἀληθείας δὲ μᾶλλον καὶ τοῦ ὀρθοῦ· ὅ τε γὰρ πατριάρχης κρίσει μᾶλλον, οὐ χειρὶ τοὺς θρόνους ἐζήτει, ὅ τε θειότατος βασιλεὺς πρός γε τούτοις καὶ ὃν ἐπὶ τῶν θρόνων εὗρε καὶ τῆς ἀρχῆς, ἔστεργε ἄχρι τοῦ νῦν, καλῶς ποιῶν καὶ λίαν ἐπαινετῶς, ὅθεν καὶ τὴν ἐξενεχθεῖσαν κατὰ τοῦ πατριάρχου ψῆφον καὶ τὴν καθαίρεσιν οὐκ ἀργὴν μόνον καὶ ἄκυρον εἶναι ἀπεφηνάμεθα, ἀλλὰ καὶ πυρὶ παρεπέμψαμεν ὡς πυρὸς καὶ καπνοῦ ἀξίαν, καὶ ἀνέγκλητον αὐτὸν ἔχοντες εἰς πάντα τὰ κατ' αὐτοῦ κινηθέντα καὶ ἀνεπίληπτον, στέργομεν αὐτὸν καὶ ὡς κανονικὸν ἡμῶν πατριάρχην, καθὼς αὐτὸν ἡ τοῦ ζωοποιοῦ καὶ ἁγίου πνεύματος χάρις εἰς τοῦτο ψηφισαμένη πάλαι πᾶσιν ἐγνώρισεν. ἐπεὶ δὲ καὶ κατὰ τῆς εὐσεβείας αὐτοῦ τοῖς κατηγόροις ἐρρέθη, ὥσπερ οὐκ ἀρκούντων σφίσι τῶν ἄλλων πρὸς ὅπερ ἦν ὁ σκοπός, ἃ πατριάρχης οὐ μόνον οὐδὲν τοιοῦτον ἐξείργασται, ὡς δεῖξαι τοῦτο εἶχεν οὐδείς, ἀλλὰ καὶ αὐτὸς ἀναστὰς τοῦ θρόνου περὶ τούτου ἐξησφαλίσατο, ἀραῖς τε τῶν ἱερῶν

πατέρων ὑπέθηκεν ἑαυτὸν, εἰ ὅλως ποτὲ τοιαύτη τούτῳ δόξα διενενόητο, καὶ πάντα τὸν οὕτω φρονοῦντα τῷ ἀναθέματι καθυπέβαλε, καὶ ὀρθόδοξον κἀντεῦθεν ἑαυτὸν τῇ ἐκκλησίᾳ Χριστοῦ καὶ ἡμῖν παραδέδωκεν, ἐφ' οἷς ἄρα καὶ ἡμεῖς τὸ καταλελυμένον ἔχειν ἐκεῖνο καὶ ἀργὸν καὶ ἄκυρον διακρίνομεν, οὐχ ὅτι μόνον οὐδεὶς τῶν ἁπάντων εὑρέθη τοῦτο κατηγορήσων νῦν ἢ παραστήσων, ἀλλ' ὅτι καὶ οὕτως ὡς ἐρρέθη ἐξησφαλίσατο, καὶ ὁμολογίαν ἡμῖν ἔδωκεν, μήτε τοιοῦτόν τι φρονῆσαι, μήτε εἰπεῖν, ὅπου γε καὶ τὴν τοῦ Χριστοῦ ἐκκλησίαν ἐκ πολλῶν ὁρῶμεν τὸν ἔν τινι κακοδοξίᾳ περιπεσόντα, εἶτα ἐπιστραφέντα, κἀκείνην μὲν διαρρήξαντα, τὸ δέ γε τῆς εὐσεβείας ἐπιλεξάμενον αὖθις προσδέχεσθαί τε καὶ τῆς πρώτης κοινωνίας ἐκείνης καὶ τάξεως ἀξιοῦν. περὶ δέ γε τοῦ πατριαρχεύσαντος κυροῦ Ἀντωνίου, ἐπεὶ καὶ τὸ κατ' αὐτὸν ἅπαν ψήφῳ καὶ διαγνώμῃ συνοδικῇ γέγονε, καὶ νῦν οὐκ ἔστιν οὐδὲν τῶν ἁπάντων εἰς κατηγορίαν αὐτοῦ καὶ τῆς ἱερωσύνης ἐπίσχεσιν, δίκαιον ἡμῖν διεκρίθη καὶ περὶ τούτου, τὴν μὲν ἔχειν μεθ' ἑαυτοῦ τὴν ἱερωσύνην, ἀργὸν δὲ αὐτὸν παντάπασιν εἶναι τῆς πατριαρχικῆς ἀρχῆς καὶ τοῦ θρόνου, ἕως ἂν εἰς ζῶντας τελεῖ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Μακάριος· τοιγάρτοι καὶ ὁ παρὼν αὐτοῦ τῆς ἀθφώσεως ἡμῖν κατεστρώθη τόμος καὶ ἀναρρήσεως· οὕτω γὰρ ἂν οὐ μόνον ἐν παρρησίᾳ εἴη τὸ δίκαιον, ὅ τε καλῶς καὶ θεαρέστως βιοὺς ἐφ' ᾗπερ προσήκει τάξει καὶ σχήματι, τῆς τ' ἀρετῆς καὶ κακίας τὸ διάφορον ὅσον ὀφθείη, καθὼς ἐν προοιμίοις ἐρρέθη, ἀλλὰ καὶ ἄλλως οὐκ ἂν εἴη, τοὺς μὲν τῶν ἐγκλημάτων δημιουργοὺς τῆς κακίας ἑαυτῶν ἀποστῆναι, ἡμᾶς δὲ ὧν αἱ ψῆφοι καὶ θρόνοι πρὸς τῷ γε τὰ δίκαια καὶ προσήκοντα πρᾶξαι καὶ θεοῦ τυχεῖν ἵλεω, ὃς δὴ καὶ ταῖς ἡμετέραις ἐνσημανθεὶς οἰκειοχείροις ὑπογραφαῖς τῇ ἐκκλησίᾳ Χριστοῦ πάσῃ καλῶς καὶ νομίμως καὶ κανονικῶς παραδέδοται κατὰ μῆνα αὔγουστον τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἐννενηκοστοῦ ὀγδόου ἔτους †.

† Εἶχε καὶ οἰκειοχείρους ὑπογραφὰς τῶν ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων ταύτας·

† Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας Ἰωσήφ †. † Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης καὶ

ὑπέρτιμος Μακάριος Νικομηδείας †. † Ὁ ταπεινὸς μητροπολίτης Νικαίας Ἀλέξιος †. † Ὁ ταπεινὸς μητροπολίτης Χαλκηδόνος Γαβριὴλ †. † Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας Ἰωσὴφ †. † Ὁ Σερρῶν Ματθαῖος † Ὁ μητροπολίτης Χερσῶνος Θαδδαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Μηδείας Ματθαῖος †. † Ὁ ταπεινὸς μητροπολίτης Δράμας Ἰωάσαφ †. † Ὁ ταπεινὸς μητροπολίτης Χαμᾶ Γρηγόριος †. † Ὁ ταπεινὸς μητροπολίτης Πενταπόλεως καὶ ὑπέρτιμος Ναθαναὴλ †.

## CCCCXVIII. (6898—1390) 31. augusti. ind. XIII.

*Synodus confirmat decisionem, statuentem, ecclesiam Sanctae Euphemiae non esse metropolitae Chalcedonis.*

† Μηνὶ αὐγούστῳ, λα', ἡμέρᾳ δ', ἰνδ. ιγ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Χαλκηδόνος, τοῦ Μονεμβασίας, τοῦ Σερρῶν, τοῦ Χερσῶνος, τοῦ Μηδείας καὶ τοῦ Δράμας, ὄντων διὰ γνώμης καὶ τοῦ Ἡρακλείας πρὸς τὸν πατριάρχην, τοῦ δὲ Νικαίας πρὸς πᾶσαν τὴν σύνοδον, ἐλαλήθη εἰς τὸ μέσον ἡ περὶ τοῦ Χαλκηδόνος ὑπόθεσις καὶ ὅπως ζητεῖ κατέχειν καὶ ἐφορεύειν τὸν πάνσεπτον καὶ θεῖον ναὸν τῆς ἁγίας ἐνδόξου μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας, ἀνεγνώσθη δὲ συνοδικῶς εἰς ἐπήκοον πάντων ἡ γεγονυῖα συνοδικὴ πρᾶξις, ἥτις ἐγένετο μετὰ πολλῆς σκέψεως καὶ μελέτης παρὰ τῶν τότε ἐνδημούντων τῇ θεομεγαλύντῳ Κωνσταντινουπόλει ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ὄντων τὸν ἀριθμὸν δεκαεπτὰ ἐπὶ τῷ χειροτονηθῆναι μητροπολίτην Χαλκηδόνος, ἔδοξε δὲ ἡ τοιαύτη πρᾶξις προβῆναι καλῶς καὶ νομίμως καὶ κατὰ τὴν τῶν θείων καὶ ἱερῶν κανόνων ἀκρίβειαν, διὸ καὶ ἀπεφήναντο οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι κοινῇ γνώμῃ καὶ ψήφῳ, μηδόλως ἔχειν ποτὲ ἄδειαν τὸν ἱερώτατον μητροπολίτην Χαλκηδόνος, ἀντιποιεῖσθαι τῆς τοῦ ναοῦ ἐφορείας ἢ ἑτέρου τινὸς ἀφ' ὧν ἀπαιτεῖ, ἀλλὰ κατὰ τὴν δηλωθεῖσαν συνοδικὴν διάγνωσιν εἶναι καὶ αὐτὸν ἐνταῦθα ὡς καὶ οἱ λοι-

ποὶ πάντες ἀρχιερεῖς, ὁ δὲ εἰρημένος θεῖος ναὸς καὶ τὰ αὐτῷ διαφέροντα κτήματα δεσπόζεται παρὰ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, τοῦ γνησίου αὐτοῦ ἐπισκόπου, καθὼς ἀνεφάνη τοῦτο καὶ ἀπὸ ἐγγράφου ἱστορίας καὶ παραδόσεως. καὶ εἰς δήλωσιν καὶ ἀσφάλειαν κατεστρώθη ἐνταῦθα ἡ συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῶν δηλωθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων †.

## CCCCXIX. 6898 (1390) augusto. ind. XIII.

*Synodus metropolitae Chersonis restituit ecclesias et regiones ecclesiae eius olim ereptas per actiones synodales.*

† Πρᾶξις τοῦ Χερσῶνος †.

† Ἦν μὲν ἄρα προσῆκον ὁμοῦ καὶ δίκαιον τὸ τὰ καλῶς ἀπ' ἀρχῆς νομοθετηθέντα τε καὶ πραχθέντα τὸ κῦρος ἔχειν ἀεὶ καὶ βέβαιον καὶ μὴ μετακινεῖσθαι παρὰ τῶν ὕστερον, μηδὲ δικαίου προφάσει δῆθεν ἀνατρέπειν πράξεις συνοδικὰς καὶ πατριαρχικὰ καταλύειν σιγιλλιώδη γράμματα, οὕτω γὰρ ἂν πάντως καὶ τὰ παρ' ἐκείνων ὕστερον πραττόμενα ἀμετακίνητα διέμενε τῆς τῶν πραγμάτων ἀπαιτούσης ἀκολουθίας· ἐπεὶ δὲ συμβαίνει πολλάκις τῇ τοῦ καιροῦ καὶ τῶν πραγμάτων μεταβολῇ καί τινας τῶν συνοδικῶν συμμεταβάλλεσθαι πράξεων, ἀεὶ τοῦ καταδικαζομένου μέρους τὸν παρὰ τῆς ἐκκλησίας ἔλεον ἐπισπομένου πρὸς ἑαυτὸ τῇ νομιζομένῃ τῶν λόγων πιθανότητι καὶ τῷ δοκοῦντι δικαίῳ, οὐ χρὴ θαυμάζειν, εἰ τοῦ καιροῦ διορθωθέντος καὶ εἰς ὃ ἦσαν πρότερον τῶν πραγμάτων ἐλθόντων τὴν προτέραν εὗρον κατάστασιν, καὶ αὖθις τὰ καλῶς τὴν ἀρχὴν γεγονότα καὶ τὴν προσήκουσαν ἔλαβον διόρθωσιν, προτιμηθέντος τοῦ φύσει καὶ κατ' ἀλήθειαν δικαίου τοῦ δοκοῦντος μόνον δικαίου. φθάνει τοιγαροῦν πρὸ χρόνων ὁ ἱερώτατος μητροπολίτης Χερσῶνος, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα καὶ διηγησάμενος περιπαθῶς τὴν τῆς ἐκκλησίας αὐτοῦ στενοχωρίαν καὶ ἔνδειαν, καὶ ὅπως ὁ μὲν μητροπολίτης Γοτθίας τὴν χώραν τὴν λεγομένην Κινσάνους ἔλαβε μετὰ καὶ τῶν ἑτέρων χωρῶν τῶν ὑποκειμένων αὐτῇ ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν Χερσῶνος τελοῦσαν μητρόπολιν, ὁ δὲ Σουγδαίας τὴν Ἔλισσον καὶ τὰ περὶ αὐτὴν χωρία, ὅτι καὶ διεκρίθη παρὰ τῆς ἡμῶν μετριότητος διὰ συνοδικῆς πράξεως, ἐπειδὴ καὶ

παρά τινων ἐμαρτυρεῖτο ἀρχιερέων, τοῦ Χερσῶνος ἀπ' ἀρχῆς εἶναι ταῦτα, ἀφαιρεθῆναι μὲν ἀπ' αὐτῶν ταῦτα, προστεθῆναι δὲ τῇ μητροπόλει Χερσῶνος, ἵνα μὴ ἐκεῖναι μὲν τῷ πλήθει τῶν τε ἰδίων χωρῶν καὶ κτημάτων καὶ δὴ καὶ τῶν ἀλλοτρίων καὶ τῶν ἐτησίων προσόδων καταβαρύνωνται, αὕτη δὲ καὶ τῶν ἀναγκαιοτάτων ἀπορεῖ, στερηθεῖσα καὶ τῶν ἰδίων, ἥτις δηλαδὴ πρᾶξις εὖ καὶ ὡς ἔδει προχωρήσασα καὶ σεπτῷ προστάγματι ἐπεκυρώθη τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως, τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος· τῶν πραγμάτων δὲ μεταπεσόντων καὶ τῶν εἰρημένων μητροπολιτῶν, τοῦ Σουγδαίας καὶ τοῦ Γοτθίας, ἐνταῦθα ἐλθόντων καὶ τὰς εἰρημένας χώρας ἀνακαλουμένων καὶ ἡ πρᾶξις ἀνετράπη ἐκείνη, πρότερον μὲν ἐξ ἡμισείας, ὕστερον δὲ καὶ καθόλου, ἀρτίως δὲ τῆς ἡμῶν μετριότητος, βοηθείᾳ θεοῦ, τὸν οἰκεῖον ἀπολαβούσης θρόνον, λύσαντος τὴν ἀδικίαν τῶν τοσούτων χρόνων, ὡς καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος εὗρεν ἐξετάσασα, καὶ ὁ ἱερώτατος μητροπολίτης Χερσῶνος ἐνταῦθα εὑρεθείς, ἀπογυμνωθείς, ὡς εἴρηται, τῶν οἰκείων καὶ μὴ δυνάμενος εὑρίσκεσθαι ἐκεῖ καὶ πορισάμενος σεπτὸν πρόσταγμα τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐπικυροῦν καὶ ἐπισφραγίζον τὴν εἰρημένην πρᾶξιν, ἀνατρέχει καὶ αὖθις εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς μετὰ καὶ μηνυμάτων βασιλικῶν καὶ τοῦ εἰρημένου σεπτοῦ προστάγματος, διοριζομένου στέργεσθαι κατὰ πάντα τὴν προγεγονυῖαν τῷ Χερσῶνος πρᾶξιν, οὐ μὴν ἀλλὰ καὶ κληρικοί τινες τῶν τῆς χώρας Κινσάνους ἱερωμένοι, παραστάντες τῇ συνόδῳ καὶ ἀναφορὰν δεδωκότες ἔγγραφον ἀπὸ πάσης τῆς χώρας αὐτῶν μετὰ δακρύων ἱκέτευον, μὴ παριδεῖν τὴν αὐτῶν δέησιν, μηδένα γὰρ ἄλλον ἐπίστασθαί ποτε γνήσιον αὐτῶν ἀρχιερέα, εἰ μὴ τὸν Χερσῶνος, ᾧ ἐξ ἀρχῆς ὑπέκειντο πάντοτε. ἀναγνωσθέντος τοίνυν συνοδικῶς τοῦ σεπτοῦ προστάγματος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ ἔτι τῆς συνοδικῆς πράξεως καὶ τῆς τῶν Κινσανιτῶν ἀναφορᾶς, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Νικαίας, τῷ Χαλκηδόνος, τῷ Μονεμβασίας, τῷ Σερρῶν, τῷ Μηδείας καὶ τῷ Δράμας, διέγνω καὶ ἀπεφήνατο, στέργεσθαι κατὰ πάντα τὴν προγεγονυῖαν τῷ ἱερωτάτῳ μητροπολίτῃ Χερσῶνος συνοδικὴν πρᾶξιν παρὰ τῆς ἡμῶν μετριότητος, καλῶς καὶ δικαίως προβᾶσαν, καὶ μετὰ τοῦ

προσήκοντος λόγου, ὅτιπερ ἐξ ἀρχῆς εὕρομεν καὶ πρότερον καὶ νῦν ὑποκείμενα ταῦτα τῇ τῆς Χερσῶνος ἐκκλησίᾳ ἐκ πολλῶν τῶν ἐνταῦθα τοῦτο μαρτυρησάντων, καὶ κατέχειν τὸν ἱερώτατον μητροπολίτην Χερσῶνος καὶ ἔτι πάντα τὸν τὴν ἐκκλησίαν ταύτην μετ' αὐτὸν διαδεξόμενον τὴν δηλωθεῖσαν χώραν Κινσάνους καὶ πάσας τὰς περὶ αὐτὴν τοῦ αἰγιαλοῦ χώρας, τὴν Φούναν, τὴν Ἀλανίαν, τὴν Ἀλούσταν, τὴν Λαμπαδοπαρθενίταν καὶ τὴν Συκίταν μετὰ καὶ τοῦ Χρίχαρι, ἃς οἱ πρὸ ἡμῶν πατριάρχαι τῆς ἐκκλησίας Χερσῶνος ἀποσπάσαντες ταῖς ἐκκλησίαις ταύταις, τῇ τῆς Γοτθίας καὶ τῇ τῆς Σουγδαίας, προσέθηκαν, καὶ κατέχειν αὐτάς, καθὼς κατεῖχον καὶ οἱ πρὸ αὐτοῦ ἀρχιερεῖς Χερσῶνος, ὅ τε κύρις Κύριλλος, ὁ κύρις Ἰγνάτιος καὶ ὁ κύρις Βασίλειος, ὃς καὶ ἐκκλησίας ἀνήγειρε καὶ κελλία ἐν τῷ συνόρῳ τοῦ Σουγδαίας, ἐπὶ τῇ ἰδίᾳ δὲ ἐνορίᾳ τῆς ἐκκλησίας, δηλονότι Χερσῶνος, ὡς δὲ κατέχει τὴν Ἔλισσον καὶ τὰ περὶ αὐτὴν χωρία, καθὼς ἐμπεριείληπται κατὰ μέρος τῇ προτέρᾳ συνοδικῇ πράξει τῆς ἡμῶν μετριότητος, καὶ πάντα τὰ ἀρχιερατικὰ ποιεῖν ἀκωλύτως ἐν αὐταῖς, ὅσα καὶ γνήσιος ἀρχιερεύς, τῶν ὑπ' αὐτὰς πάντων καὶ ἱερωμένων καὶ ἀρχόντων καὶ τῶν λοιπῶν ὀφειλόντων στέργειν καὶ τιμᾶν αὐτὸν ὡς ἴδιον ἀρχιερέα καὶ μνημονεύειν αὐτοῦ καὶ πάντα τὰ ἀρχιερατικὰ ζητεῖν ἀπ' αὐτοῦ καὶ μόνου, ἄλλου τῶν πλησιοχώρων ἀρχιερέων, τοῦ τε Σουγδαίας καὶ τοῦ Γοτθίας, μηδεμίαν ἔχοντος ἐν αὐταῖς ταῖς χώραις ἐξουσίαν καὶ ἀρχήν, μηδὲ ὀφείλοντος ἀπαιτεῖν ἐξ αὐτῶν τὸ τυχόν, προβαλλομένου τὰς προγεγονυίας δῆθεν εἰς αὐτοὺς πράξεις παρὰ πάντα δίκαιον λόγον, εἴτε διὰ ἀηδίαν τὴν πρὸς ἡμᾶς, εἴτε διὰ φιλίαν τὴν πρὸς ἐκείνους, εἴτε δὴ καὶ ἐκ πλάσματός τινος καὶ ψεύδους συστάσας, δι' ἃ καὶ τὸ ἀργὸν ἔλαβον ἤδη παρ' ἡμῶν καὶ καταλελυμένον, ὥσπερ ἂν εἰ μηδὲ ἐγένοντο. τούτου γὰρ χάριν ἀπολέλυται τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Χερσῶνος καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα αὐτῆς συνοδικὴ πρᾶξις κατὰ μῆνα αὔγουστον τῆς τρισκαιδεκάτης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ ἐννενηκοστοῦ ὀγδόου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Μακάριος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCCXX. (6899—1391) februario-aprili. ind. XIV.

*Promissiones trium sacerdotum.*

I. † Ἡμεῖς, ὅ τε ὀρφανοτρόφος, ἱερεὺς Γεώργιος ὁ Κάλλιστος καὶ ὁ Ἰωάννης ἱερεὺς, ὑποσχόμεθα ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐπειδὴ ὡδηγήθη ἐκ θεοῦ καὶ ἐσυνεπάθησεν ἡμᾶς εἰς ὅπερ ἐπταίσαμεν, ἤδη λέγομεν, ὡς ἀπὸ τοῦ νῦν ἵνα ὑπάρχωμεν εὐπειθεῖς, καὶ ἐκπληροῦμεν πᾶν, εἴ τι παρακελεύεται πρὸς ἡμᾶς, καὶ μηδέποτε τολμῆσαι ἢ τοῖς ἐξάρχοις ἢ τῷ θείῳ αὐτοῦ ὁρισμῷ ἀντειπεῖν, ἀλλὰ μνημονεύειν καὶ εὔχεσθαι τοῖς ἁγίοις καὶ θειοτάτοις βασιλεῦσιν ἡμῶν, καθὼς ἡ μεγάλη ἐκκλησία ποιεῖ· εἰ δέ ποτε συμβῇ ἢ τῷ παναγιωτάτῳ δεσπότῃ ἡμῶν, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἢ ἀντειπεῖν, ἢ ὅλως τοῖς προτέροις πάλιν ἐπιχειρήσομεν πρᾶξαι, ἵνα καθαιρεθῶμεν, ἐπειδὴ νῦν πταίσαντες ὡδηγήθη ἐκ θεοῦ καὶ ἐσυνεπάθησεν ἡμᾶς μηνὶ ἀπριλλίῳ ἰνδ. ιδ' †.

† Ὁ τέλις οἱερεὺς Γεώργιος ὁ Κάλητος †.

† Ὁ εὐτελοὶς ἱέρευς Ἰωάννης Σιγηρός †.

---

II. † Ἐπεὶ παρεκάλεσα τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, τοῦ προβιβάσαι με ἀπὸ διακόνου εἰς πρεσβύτερον, καὶ ἤδη ὥρισε τοῦτο, ἤδη καὶ αὐτὸς τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν πρὸς τὴν μεγάλην ἁγιωσύνην αὐτοῦ, δι' ἧς καὶ λέγω, ὅτι ἀπὸ τῆς σήμερον, ἐὰν τολμήσω πρᾶξαί τι φαῦλον καὶ ἀπρεπὲς, ἢ ἐὰν σεβῶ εἰς καπηλεῖον, ἢ ἐὰν καταμιτώσω τινὰ, ἢ ἐὰν ὑβρίσω τινὰ, ἢ ὅλως ἐὰν πολιτεύωμαι κακῶς, ἢ ἐὰν εὐλογήσω ποτέ τινα χωρὶς βούλλης, ἵνα χωρὶς τινος λόγου εὐθύνωμαι εἰς τὴν ἱερωσύνην μου, καὶ ὑπὸ παντελεῖ καθαιρέσει καθυποβάλλομαι. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις μηνὶ φευρουαρίῳ ἰνδ. ιδ' †.

† Γεώργιος διάκονος ὁ Φραγγώπουλος τὰ ἀνοθὲν.......

## CCCCXXI. (6899—1391) iunio. ind. XIV.

*Monachus Theophylactus donat bona, quae possidet Sozopoli, monasterio patriarchali Sancti Cerici.*

† Ἐγὼ ὁ μοναχὸς Θεοφύλακτος, ἐλθὼν εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν καὶ εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἀφιέρωσα πάντα ὅσα ἐκτησάμην κτήματα ἐν τῇ θεοσώστῳ πόλει Σωζοπόλει εἰς τὸ πατριαρχικὸν μονύδριον τὸ τιμώμενον εἰς ὄνομα τοῦ ἁγίου Κηρίκου, εἰσὶ δὲ τὰ ἡμέτερα κτήματα ταῦτα· ἀμπέλιον νεόφυτον εἰς τὴν Σταβαρωτήν, μουζουρίων ἕξ, καὶ ἕτερον εἰς τὸ γηράμπελον τοῦ μοναστηρίου πλησίον, μουζουρίων τριῶν, καὶ πᾶν κινητόν, ὅπερ ἂν εὑρεθείη μοι ἐν τῷ καιρῷ τῆς τελευτῆς μου, καὶ τὸ σανδάλιόν μου μετὰ τῶν δικτύων ὧν ἔχω. ὀφείλω γοῦν στέργειν τοῦτο καὶ μὴ ποιῆσαί ποτε ἑτέραν διαθήκην· ἐὰν γάρ ποτε βουληθῶ τοῦτο, ἵνα ἀκυροῦται πᾶν, ὅπερ ποιήσω μεταγενέστερον. τούτου γὰρ χάριν ἐσημειώθη καὶ ἐν τῷ παρόντι κώδικι ἡ ἡμετέρα ἀφιέρωσις κ α τ ὰ μ ῆ ν α ἰ ο ύ ν ι ο ν τ ῆ ς τ ε σ σ α ρ α σ κ α ι δ ε κ ά τ η ς ἰ ν δ. †.

## CCCCXXII. Sine anno.

*Metropolitae Mesembriae confertur administratio monasteriorum patriarchalium in eius ecclesia.*

† Ἔ ν τ α λ μ α δ ο θ ὲ ν τ ῷ Μ ε σ η μ β ρ ί α ς, ὥ σ τ ε κ α τ έ χ ε ι ν ἐ ξ α ρ χ ι κ ῶ ς τ ὰ ἐ ν τ ῇ Μ ε σ η μ β ρ ί ᾳ π α τ ρ ι α ρ χ ι κ ὰ μ ο ν α σ τ ή ρ ι α †.

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν αὐτῆς ἀπολύουσα γράμμα ἀνατίθησι τῷ ἱερωτάτῳ μητροπολίτῃ Μεσημβρίας καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, τὴν οἰκονομίαν καὶ διοίκησιν τῆς ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ τῇ Μεσημβρίᾳ πατριαρχικῶν μοναστηρίων, ὃς δὴ ὀφείλει ἀπὸ τοῦ νῦν ἐπιλαβέσθαι αὐτῶν καὶ κατέχειν ἐξαρχικῶς ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ καὶ φροντίζειν τῆς αὐτῶν συστάσεως καὶ βελτιώσεως καὶ αὐξήσεως, μὴ μόνον ἐν τοῖς ψυχικοῖς, ἀλλὰ καὶ ἐν τοῖς σωματικοῖς, καὶ ἔχειν ἄδειαν καὶ ἐξουσίαν τὸν μὲν μὴ καλῶς πολιτευόμενον καὶ ἀξίως τοῦ τε μοναχικοῦ σχήματος καὶ τῆς τοῦ μοναστηρίου ὠφελείας, κἂν ἡγού-

μενος ἢ κἂν ἄλλος τις, ἐξωθεῖν τῆς ἀρχῆς καὶ τοῦ μοναστηρίου, εἴγε καὶ τοῦτο διακριθείη παρ' αὐτοῦ εἰς διόρθωσιν αὐτοῦ, τὸν δὲ εἰς βοήθειαν συντελέσοντα καὶ προκοπὴν τῶν ἐν αὐτοῖς ψυχῶν εἰσάγειν καὶ προβιβάζειν καὶ τὸ ἀνεμπόδιστον ἔχειν ἐκ πάντων, ἔτι γε ἔχειν ἄδειαν ἀναγνώστας σφραγίζειν, ἱερουργεῖν ἐν αὐτοῖς, ὑποδιακόνους καὶ διακόνους καὶ πρεσβυτέρους ἐν αὐτοῖς χειροτονεῖν, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, εἴ που δεήσει, ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ καὶ πάντα πράττειν τὰ τῆς ἡμῶν μετριότητος δίκαια, ὡς ἡμέτερος ἔξαρχος καὶ πρόσωπον φέρων τῆς ἡμῶν μετριότητος ἐν αὐτοῖς, δίχα μόνης τῆς τῶν ἱερῶν συνθρόνων ἐγκαθιδρύσεως, ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐτοῖς ἱερομονάχων καὶ μοναχῶν καλῶν ποιμαινομένων παρ' αὐτοῦ συνεργίᾳ θεοῦ καὶ ὁδηγουμένων πρὸς σωτηρίαν ὑποτάσσεσθαι αὐτῷ καὶ στοργὴν ἀποδιδόναι τὴν πρέπουσαν καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ λεγόμενα καὶ πραττόμενα ἐπὶ συστάσει καὶ ὠφελείᾳ αὐτῶν, ἵνα καὶ ἡ μετριότης ἡμῶν ἀκούσασα τοῦ μὲν τὸ διδασκαλικὸν ἐπιμελὲς πρὸς τὴν τούτων προκοπὴν καὶ βελτίωσιν, τῶν δὲ τὸ εὐπειθὲς καὶ ὑπήκοον, συνεργῇ καὶ ἀμφοτέροις τούτοις καὶ βοηθῇ κατὰ τὸ δυνατὸν εἰς πᾶν, ὅπερ ἂν ὑπὲρ ἑαυτῶν ἀναφέρωσι καὶ ζητήσωσιν ἐπιφερομένου ἐπὶ πᾶσι τούτοις τοῦ μνημοσύνου τῆς ἡμῶν μετριότητος κατὰ τὴν ἀρχαίαν τῆς ἐκκλησίας συνήθειαν καὶ ἀποδιδομένου κατ' ἔτος εἰς τὴν μεγάλην ἐκκλησίαν καὶ τοῦ συνήθους κανονικοῦ τούτου . . . . . . . . . .

**Reliqua abscissa.**

## CCCCXXIII. (6899—1391) iunio. ind. XIV.

*Promissiones duorum clericorum.*

I. † Ἐγὼ πρεσβύτερος Μιχαὴλ Δοὺξ ὁ Χοῦμνος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, δι' ἧς καὶ ὑπόσχομαι καὶ λέγω, ὡς ἐπεὶ τῇ τῶν πολλῶν ἀξιώσει συνεπάθησέ μοι καὶ εὐεργέτησέ μοι ἱερουργεῖν, ἤδη καὶ αὐτὸς διαβεβαιοῦμαι καὶ λέγω, ὡς ἐάν ποτε εὑρεθῶ ποιῆσαι ὄχλησίν τινα μετά τινος, καὶ ποιήσω πάλιν ἀναισχυντίαν πρὸς αὐτόν, ἵνα πανθάνω τιμωρίαν, καὶ εἰμὶ ἀργὸς πάσης ἱερωσύνης χρόνον ἕνα· εἰ δὲ συμβῇ τι πρόσκομμα μεταξὺ ἐμοῦ καὶ ἑτέρου τινός, ὀφείλω ἀνατρέχειν εἰς τὸν παναγιώτατόν μου δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ ἀναγγέλλειν τὰ περὶ τούτου καὶ ζητεῖν τὴν ἐκδίκησιν

παρ᾿ αὐτοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα μου ὑπόσχεσις κατὰ μῆνα ἰούνιον τῆς ιδ′ ἰνδ. †.

† Πρεσβύτερος Μιχαὴλ ὁ Χούμνος †.

---

II. † Εγὼ ὁ μοναχὸς Μηνᾶς, ἐπεὶ εὗρον συμπάθειαν παρα τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, εἰς ἅπερ ἔπταισα, ὑπόσχομαι, ἐὰν εὑρεθῶ παρ᾿ ὅλην μου τὴν ζωὴν, ἵνα εἰσέλθω εἰς τὴν σεβασμίαν μονὴν τῶν ἁγίων ᾿Αναργύρων ἢ φανερῶς ἢ κεκρυμμένως, ἵνα ἐξορίζωμαι ἀπὸ τῆς πόλεως ἀνιλεῶς, καὶ ὑπάρχῃ καὶ ὁ βίος μου, εἴ τι ἔχω, εἰς τὴν ἐξουσίαν κατὰ τὸ θέλημα τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, ἵνα ποιῇ, εἴ τι ἔχει θέλημα, εἰς αὐτόν. μηνὶ ἰουνίῳ κα′ ἰνδ. ιδ′ †.

Σίγνον | Μῆνα μοναχοῦ.

## CCCCXXIV. Sine anno.

***Patriarcha Theodoro Panareto, oeconomo ecclesiae Trapezuntis, confert administrationem iurium patriarchalium in eius ecclesia et in aliis ecclesiis Orientis.***

† Ἡ μετριότης ἡμῶν τὸ παρὸν αὐτῆς ἀπολύουσα γράμμα ἀνατίθησι τῷ ἐντιμοτάτῳ μεγάλῳ οἰκονόμῳ τῆς ἁγιωτάτης μητροπόλεως Τραπεζοῦντος τὴν οἰκονομίαν καὶ διοίκησιν τῶν ἐν τῇ Τραπεζοῦντι πατριαρχικῶν πάντων δικαίων, ὡς δὲ καὶ τὴν ἐπικράτειαν καὶ οἰκονομίαν τῶν ἁγιωτάτων ἐκκλησιῶν τῆς Νεοκαισαρείας, τῆς Κολωνίας, τῆς Κελτζηνῆς καὶ τῆς ᾿Αλανίας καὶ ἔτι τῆς ἀρχιεπισκοπῆς Σταυρουπόλεως, ὅθεν καὶ ὀφείλει ἐπιλαβέσθαι αὐτῶν καὶ πάντων τῶν ὁθενδήποτε διαφερόντων αὐτοῖς δικαίων καὶ προνομίων καὶ ἐπιμελεῖσθαι τῆς συστάσεως αὐτῶν καὶ τῆς ἐπὶ τὸ κρεῖττον αὐξήσεως καὶ διδάσκειν τὸν ἐν αὐτοῖς χριστώνυμον τοῦ κυρίου λαὸν, θεοφιλοῦς ἔχεσθαι πολιτείας καὶ διαγωγῆς, ὥστε τοὺς μὲν ἱερωμένους τύπον εἶναι τῷ κοσμικῷ λαῷ καὶ φῶς καὶ ὁδηγὸν πάσης ἀρετῆς, δι᾿ ἧς θεὸς θεραπεύεται, τὸν δὲ λαὸν ὑπείκειν καὶ ὑποτάσσεσθαι τοῖς ἱερεῦσιν, ἔχειν τε ἐπ᾿ ἀδείας, ἐξετάζειν τοὺς πρὸς τὸ τῆς ἱερωσύνης ἀναγομένους ἀξίωμα καὶ, οὓς ἂν εὕροι ἀξίους εἰς τοῦτο, παραπέμπειν αὐτοὺς πρός τινα τῶν πλησίον ἀρχιερέων, ὥστε παρ᾿ αὐτοῦ δέχεσθαι τὰς σφραγῖδας

καὶ τὰς χειροτονίας, κρίνειν τε πάσας τὰς πρὸς αὐτὸν ἐρχομένας ἐκκλησιαστικὰς ἢ καὶ πολιτικὰς ὑποθέσεις ὡς πατριαρχικὸς ἔξαρχος καὶ νομίμως καὶ κανονικῶς τὸ προσῆκον ἀποφαίνεσθαι δίκαιον, ὀφειλόντων καὶ πάντων τῶν ἐν αὐταῖς ταῖς ἐκκλησίαις ἱερωμένων καὶ κληρικῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ στοργὴν καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ λεγόμενα καὶ πραττόμενα τῆς νομίμου καὶ κανονικῆς ἐχόμενα ἀκριβείας καὶ παραδόσεως καὶ ἀποπληροῦν αὐτά, εἰδότων, ὡς ἡ πρὸς αὐτὸν γινομένη στοργὴ καὶ ὑποταγὴ εἰς τὴν ἡμῶν μετριότητα ἀναφέρεται, ἧς αὐτὸς ἔχει τὰ δίκαια καὶ τὴν ἐξουσίαν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἐντιμοτάτῳ μεγάλῳ οἰκονόμῳ τῆς ἁγιωτάτης μητροπόλεως Τραπεζοῦντος καὶ ἐξάρχῳ τῆς ἡμῶν μετριότητος, κυρῷ Θεοδώρῳ τῷ Παναρέτῳ, καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## CCCCXXV. (6899—1391) iulio. ind. XIV.

*Promissio Nicolai Bulgari.*

| Σίγνον | Νικολάου |
|---|---|
| τοῦ | Βούλγαρι. |

† Ἐγὼ Νικόλαος ὁ Βούλγαρις λέγω καὶ ὑπόσχομαι διὰ τοῦ παρόντος μου γράμματος πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ἵνα ἀπὸ τοῦ νῦν διατηρῶ ἐμαυτὸν εἰς τὴν ὀρθόδοξον πίστιν τῶν Χριστιανῶν, καὶ ἀποβάλλομαι καὶ ἀναθεματίζω τὴν ἀσέβειαν τῶν Μουσουλμάνων καὶ πάντα τὰ ἔθιμα αὐτῶν, διαβεβαιοῦμαι δὲ, ἵνα φέρω καὶ τὰ παιδία μου ἐνταῦθα, ὥστε εὑρίσκεσθαι αὐτὰ εἰς τὸν χριστιανισμόν. καὶ πᾶν, ὅπερ ἐποίησα ἀπὸ λύπης, συνεργίᾳ τοῦ πονηροῦ δαίμονος, καὶ ἀπῆλθον εἰς τοὺς Τούρκους, καὶ ἐσεβόμην τὴν ἀσέβειαν αὐτῶν, ἀποβάλλομαι τοῦτο νῦν, θεοῦ χάριτι, καὶ ὑπόσχομαι στέργειν εἰς τὴν ὀρθόδοξον πίστιν τῶν χριστιανῶν. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατὰ μῆνα ἰούλιον τῆς ιδ' ἰνδ. †.

# XI.

*Patriarcha Antonius post reditum.*

## CCCCXXVI. 6899 (1391) augusto. ind. XIV.

*Patriarcha iubet monasterium S. Michaëlis in Marmarosch esse patriarchale.*

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐπεὶ οἱ εὐγενέστατοι αὐτάδελφοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, ὅ τε βοϊβόδας ὁ Μπάλιτζας καὶ ὁ Νδράγος, ἔχουσι μοναστήριον ἀπὸ γονικότητος περὶ τὸν τόπον τοῦ Μαραμόρεσο εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ταξιάρχου τῶν ἄνω δυνάμεων Μιχαὴλ, ὑπὲρ οὗ καὶ παρεκάλεσεν ἐνταῦθα ἐλθὼν τὴν ἡμῶν μετριότητα καὶ ἐπιδημήσας εἰς τὴν βασιλίδα τῶν πόλεων ὁ εὐγενέστατος Νδράγος χάριν προσκυνήσεως τῶν ἐνταῦθα ἁγίων καὶ τυχὼν παρὰ τῆς ἡμῶν μετριότητος ἀγάπης καὶ τιμῆς καὶ φιλίας τῆς προσηκούσης, ὡς εὐγενὴς καὶ μέγας ἄνθρωπος καὶ καλὸς ἄνθρωπος καὶ ὀρθόδοξος, καὶ ἐδεήθη, ὡς ἂν τὸ εἰρημένον μοναστήριον ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀπολαύῃ τῆς πατριαρχικῆς ἐπισκέψεως καὶ δεφενδεύσεως, πατριαρχικὸν καὶ ὂν καὶ ὀνομαζόμενον, ἡ μετριότης ἡμῶν, τὴν αὐτοῦ προσδεξαμένη δέησιν δικαίαν οὖσαν καὶ εὔλογον, ἅμα δὲ καὶ συνήθη τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ καὶ τῷ οἰκουμενικῷ πατριάρχῃ, τὸ μὴ μόνον σταυροπήγια γίνεσθαι πατριαρχικὰ καὶ ναοὺς ἱεροὺς καθιεροῦσθαι ἐπὶ τῷ ὀνόματι τοῦ πατριάρχου, ἀλλὰ καὶ τὰ παρὰ τῶν τοπικῶν ἀρχιερέων καθιερωθέντα ἀπολαύειν τῆς πατριαρχικῆς δεφενδεύσεως καὶ τῆς ἐπισκέψεως καὶ τῆς ἀπὸ τούτου τιμῆς καὶ μεγαλειότητος, τὸ παρὸν ἀπολύει σιγιλλιῶδες γράμμα, δι' οὗ παρακελεύεται, ὡς ἂν ἡ παρὰ τὸν τόπον τοῦ Μαραμόρεσο ἁγία καὶ σεβασμία μονὴ ἡ εἰς ὄνομα τιμωμένη τοῦ τιμίου ταξιάρχου τῶν ἄνω δυνάμεων Μιχαὴλ ἀπολαύῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τῆς πατριαρχικῆς ἐπισκέψεως καὶ δεφενδεύσεως καὶ τῆς ἀπὸ τούτων τιμῆς καὶ τοῦ μεγαλείου, πατριαρχικὴ καὶ οὖσα καὶ ὀνομαζομένη· καθιστᾷ δὲ ἡ μετριότης ἡμῶν καὶ τὸν τιμιώτατον καθηγούμενον τῆς αὐτῆς σεβασμίας μονῆς, ἱερομόναχον Παχώμιον, ἔξαρχον εἰς τὰς ὑποκειμένας τῷ μοναστηρίῳ χώρας, ἤγουν τὸ Σελατζίον, τὸ Ἀρτούντιν, τὸ Ὄγγοτζα,

τὸ Ἰουμπερέκιν, τὸ Τζιτζόβιν, τὸ Παλβανέτζιν καὶ τὴν Πίστραν· ὀφείλει τοίνυν ὁ ῥηθεὶς τιμιώτατος καθηγούμενος καὶ ἔξαρχος τῆς ἡμῶν μετριότητος ἐπιβλέπειν τοὺς εὑρισκομένους ἐν ταῖς εἰρημέναις χώραις ἱερεῖς καὶ τὸν λαὸν καὶ παραινεῖν καὶ διδάσκειν αὐτοὺς τὰ ψυχωφελῆ καὶ σωτήρια, ἀνακρίνειν τε καὶ ἐξετάζειν τὰ παρὰ τῶν ἱερέων γινόμενα ἐκκλησιαστικὰ δίκαια καὶ τὰ δεόμενα διορθώσεως διευθύνειν νομίμως τε καὶ κανονικῶς, ἔχειν τε ἄδειαν τοὺς ἀνεγειρομένους ἐν ταῖς χώραις ταύταις θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ, ὀφείλοντος ἀναφέρεσθαι τοῦ πατριαρχικοῦ μνημοσύνου καὶ τοῦ ὀνόματος κατὰ πάσας τὰς ἱερὰς τελετὰς καὶ ἐν τῇ εἰρημένῃ σεβασμίᾳ μονῇ καὶ ἐν πᾶσι τοῖς μέλλουσι ἀνεγείρεσθαι θείοις καὶ ἱεροῖς ναοῖς. ἔτι τε παρακελεύεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος σιγιλλιώδους γράμματος, ὡς ἐὰν συμβῇ θάνατος τῷ καθηγουμένῳ τούτῳ, ἵνα οἱ ῥηθέντες εὐγενέστατοι αὐτάδελφοι, ὅ τε βοϊβόδας ὁ Μπάλιτζας καὶ ὁ Νδράγος, ἔχωσιν ἄδειαν, μετὰ καὶ τῆς βουλῆς τῶν τοῦ μοναστηρίου μοναχῶν ἐκλέγεσθαι ἕτερον ἡγούμενον καὶ καθιστᾶν εἰς τὸν τόπον αὐτοῦ, καὶ ἵνα ἔχῃ καὶ ἐκεῖνος ἄδειαν καὶ ἐξουσίαν εἰς τὰς εἰρημένας χώρας, ὡς ἔξαρχος ἡμέτερος ἐπιβλέπειν τοὺς ἱερεῖς καὶ καθιεροῦν τοὺς ἀνεγειρομένους πατριαρχικοὺς ἱεροὺς ναοὺς ἐπὶ σταυροπηγίῳ πατριαρχικῷ. τούτου γὰρ χάριν ἀπολέλοται αὐτοῖς καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν κατὰ μῆνα αὔγουστον τῆς ιδ' ἰνδ. τοῦ ,ϛωϟθ' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCCXXVII. (6899—1391) augusto. (ind. XIV).

*Litterae patriarchae spectantes ad ecclesiam Russiae.*

I. † Τῷ αὐτῷ μηνὶ ἐγένετο τιμία πατριαρχικὴ γραφὴ πρὸς τὸν ἱερομόναχον Συμεὼν τὸν ἐν τῇ Μικρᾷ Ῥωσίᾳ, ἵνα μετὰ θάνατον τοῦ Γαλίτζης κατέχῃ αὐτὸς τὴν ἐκκλησίαν, ἕως ἂν ἀναφέρωσι τὰ περὶ τούτου εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ γένηται ἀρχιερεὺς ἐκεῖ· εἰ δὲ προαποθάνοι οὗτος, ἵνα

ἔχωσιν ἄδειαν οἱ ἐκεῖ ἄρχοντες, ὁ βοϊβόδας ὁ Μπάλιτζας καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ Νδράγος, ἐκλέγεσθαι ἕτερον εἰς δικαίῳ τῆς ἐκκλησίας, καὶ κρατῇ καὶ ἐκεῖνος ταύτην, καθὼς ἔμελλε κατέχειν καὶ ὁ ἱερομόναχος Συμεὼν †.

II. † Ἔτι ἀπελύθη τῷ δηλωθέντι ἱερομονάχῳ Συμεὼν συγχωρητικὴ τιμία γραφὴ περὶ τῆς χειροτονίας, ἣν ἐποίησεν εἰς αὐτὸν ὁ Τάγαρις, προβιβάσας αὐτὸν εἰς ἐπίσκοπον, συνεχωρήθη δὲ, ὅτι πάλιν μαθὼν ἐκεῖνον ψεύστην εἶναι καὶ ἀνίερον, ἀφῆκε τὸ γεγονὸς εἰς αὐτὸν παρ' ἐκείνου, καὶ ἀναθέματι παρέδωκεν αὐτόν †.

III. † Ἔτι ἀπελύθη ἑτέρα τιμία πατριαρχικὴ γραφὴ, ἵνα ὁ ἐν τῷ ναῷ τῆς παναγίας πρεσβύτερος ὁ Μπριάνιτζος ὑπάρχῃ πρωτοπαπᾶς, καὶ μετὰ θάνατον αὐτοῦ πᾶς ὁ ψάλλων ἐν τῷ ναῷ ἐκείνῳ ὑπάρχῃ πρωτοπαπᾶς †.

## CCCCXXVIII. (6900—1392) maio. ind. XV.

*Promissio presbyteri Simeonis Bariotae.*

† Ἐγὼ ἱερεὺς Συμεὼν λέγω καὶ ὑπόσχομαι διὰ τῆς παρούσης μου ὑποσχέσεως ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐπειδὴ ὡδηγήθη ἐκ θεοῦ, καὶ εὗρον συμπάθειαν εἰς ἅπερ ἔπταισα, ἤδη ὑπόσχομαι, ἐὰν εὑρεθῶ παρ' ὅλην μου τὴν ζωὴν μεθυσμένος, ἢ ἐὰν ὀχληθῶ μετά τινος, καὶ ὑβρίσω καὶ ἀτιμάσω αὐτὸν, ἢ ἐὰν ἀποδειχθῇ, ὅτι ἐξῆλθεν ἐκ τοῦ στόματός μου λόγος σαπρὸς καὶ ἀπρεπὴς, ἔτι δὲ ἐὰν ὀχληθῶ εἰς τὸ ὀσπήτιόν μου παρὰ τὸ δέον, καὶ τύπτω καὶ ὑβρίζω τὴν γυναῖκά μου, καθὼς οὐ δεῖ, ἵνα λαμβάνω τιμωρίαν, καὶ καταδικάζωμαι εἰς τὴν ἱερωσύνην μου, καθὼς ἔχει θέλημαν ὁ δεσπότης μου ὁ ἅγιος, ὁ οἰκουμενικὸς πατριάρχης. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις μηνὶ μαΐῳ ἰνδ. ιε' †.

† Ὁ ἀπὸ τῶν ἐκκλησιαρχῶν τῆς ἁγιωτάτης μεγάλης τοῦ θεοῦ ἐκκλησίας πρεσβύτερος Συμεὼν ὁ Βαριώτης †.

## CCCCXXIX. (6900—1392) februario. ind. XV.

*Suspensio presbyteri Michaëlis.*

† Μηνὶ φευρουαρίῳ ἰνδ. ιε' ἐγένετο θεῖος ὁρισμὸς τοῦ παναγιωτάτου δεσπότου ἡμῶν, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ ἀπόφασις, εἶναι τὸν παπᾶν Μιχαὴλ τὸν ἀπὸ τῆς Μεθόμνης προτέκδικον, ὃν ἔπεμφαν οἱ ἀπὸ τῆς Πάτμου μοναχοὶ πρὸς τὸ ἐν τῇ Λήμνῳ μετόχιον αὐτῶν, ἀργὸν τῆς ἱερωσύνης παντάπασι διὰ βίου παντὸς διὰ τὰς συκοφαντίας καὶ διαβολὰς αὐτοῦ καὶ τὰ πολλὰ ψεύδη καὶ τὰς μωρίας αὐτοῦ †.

## CCCCXXX. (6900—1392) aprili. ind. XV.

*Professio fidei Hilarii de Auria.*

† Ὁμολογία τοῦ ἀπὸ τῶν Λατίνων ἐλθόντος Ἱλαρίου Ντόρια †.
† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. μηνὶ ἀπριλλίῳ ἰνδ. ιε' †.

*Ego Illarius de Auria confiteor omnia supradicta, et ad maiorem cautelam manu propria scripsi, et ad cautelam signum meum pono.*

† Τοῦτο λέγει ῥωμαϊκῶς· ἐγὼ Ἰλάριο Ντόρια ὁμολογῶ πάντα τὰ ἄνωθεν εἰρημένα, καὶ διὰ πλείονα ἀσφάλειαν τῇ ἰδίᾳ χειρὶ ὑπέγραψα, καὶ ἔτι δι' ἀσφάλειαν τὸ ἐμὸν σημεῖον τίθημι.

## CCCCXXXI. 6900 (1392) maio. ind. XV.

*Sacerdos quidam curator constituitur nepotis sui.*

† Ἐπεὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἰρακλήας, τοῦ Κυζύκου, τοῦ Νικομιδίας, τοῦ Ἀνδριανουπόλεως, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως καὶ τοῦ Μηδίας, ἀπεφήναντο ζητήσεως γενομένης, τὶς δὴ κατέχειν τὰ εὑρεθέντα τῷ ἐγκόνο μου πατρικὰ αὐτοῦ πράγματα, ἵνα κατέχῃ ταῦτα ἡ μήτηρ αὐτοῦ, ἐγὼ ἱερεὺς ὁ δευτερεύων τῶν ἱερέων ὁ πατὴρ αὐτῆς εὑρίσωμε ὡς κουράτωρ καὶ φροντιστής, καὶ ἐπιμελοῦμαι διηνεκῶς, ὅπως ἵστανται ἀκολόβοτα καὶ ἀμίωτα, ἕως ἂν εἰς ἄνδραν ἔλθει τὸ παιδίον, καὶ ἔχει παρ' ἐμοῦ πᾶσαν ἐπιμέλειαν διὰ τροφῆς καὶ ἐνδυμενίας. ἀπῃτήθην δὲ ἐπὶ τούτοις ἐγγράφος ταῦτα ποιῆσαι ἐν τῷ παρόντι ἱερὸ κώδικι, ἤδη ποιῶ τοῦτο, καὶ πρῶτον μὲν λέγω καὶ ὁμολογῶ, ὅτι παρέλαβον πράματα

τοῦ ἐγκόνου μου διά τε ὑπερπύρων καὶ ὕλης διατετιμημένης κινητῆς ποσότητα ὑπερπύρων χιλίων ........... διὰ τιμὴ ... τὰ οἰκήματα αὐτοῦ καὶ τὸ ἀμπέλιον, ἃ δὴ πάντα γράφωνται κατὰ μέρος ἐν τῷ γράμματι τοῦ τιμιωτάτου πρωτεκδίκου καὶ τῶν λοιπῶν ἀρχώντων τῶν τὴν ἐξέτασιν ταύτην πεποιηκότων, καὶ ὑπόσχομε φυλάσσειν αὐτὰ ἀκολόβοτα καὶ ἀμείωτα, τὸ δὲ παιδίον διατρέφειν ἀπὸ τῆς ἰδίας μου περιουσίας εἰς πάντα τὰ ἀναγκαία αὐτοῦ ἀπὸ τῆς παρούσης ἡμέρας, μέχρις ἂν εἰς ἐντελῆ φθάσει τὴν ἡλικίαν· ἔπειτα δὲ ὑποτίθημοι εἰς ἐνέχυρον καὶ τὸν βίον μου πάντα, ἵνα, ἐὰν φθαρεῖ τι ἀπὸ τούτων, ἀναπληρούται ἀπὸ τοῦ βίου μου χωρὶς τινὸς λόγου καὶ προφάσεως. τούτου γὰρ χάριν καὶ ἐγγράφος ταῦτα ἐποιησάμην δι' ἀσφάλειαν μηνὶ μαΐῳ ἰνδ. ιε' τοῦ ,ς ἐννακοσιοστοῦ ἔτους †.

† Ὁ δευτερεύων τῶν ἱερέων καὶ πρωτοπαπᾶς.................

## CCCCXXXII. (6900—1392) iunio. ind. XV.

*Professio fidei Ioannis Spetziaris.*

† Ἐγὼ Ἰωάννης ὁ Σπετζιάρης προσέρχομαι τῇ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ ἐκκλησίᾳ, ἧς προστάτης ὁ ἁγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Ἀντώνιος, καὶ πιστεύω τὸ ἅγιον σύμβολον, ὡς παρέδωκαν οἱ ἅγιοι καὶ θεοφόροι πατέρες, καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ ἀναθεματίζω καὶ ἀποβάλλομαι πάντα τὰ ἔθιμα τῶν Λατίνων καὶ ἣν ἔχουσιν αἵρεσιν, καὶ στέργω καὶ κηρόττω καὶ ὁμολογῶ, ὅσα καὶ ὁ παναγιώτατος πατριάρχης, καὶ ἐλπίζω μετὰ ταύτης μου τῆς ὁμολογίας παραστῆναι τῷ θεῷ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. τούτου γὰρ χάριν καὶ ἐγγράφως τοῦτο ἐποιησάμην, καὶ τὸ ἐμὸν σημεῖον ἐχάραξα ἐνταῦθα διὰ τὸ ἀδιάβλητον μηνὶ ἰουνίῳ ἰνδ. ιε' †.

## CCCCXXXIII. (6900—1392) iunio ind. XV.

*Synodus excommunicat falsarium sacerdotem Andronicum Basilicum.*

† Μηνὶ ἰουνίῳ ἰνδ. ιε', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς, συνεδριαζόντων τῇ μεγίστῃ ἁγιωσύνῃ αὐτοῦ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Ἰκονίου, τοῦ Σουγδαίας και τοῦ Με-

σημβρίας, ἔτι τε παρακαθημένων τιμιωτάτων ἐξωκατακήλων καὶ παρισταμένων θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, ἐνεφανίσθη εἰς τὴν ἱερὰν σύνοδον πρόσταγμα πεπλασμένον ἔχον καὶ τὴν συνήθη ὑπογραφὴν δι' ἐρυθρῶν γραμμάτων γραφὲν παρὰ πρεσβυτέρου Ἀνδρονίκου τοῦ Βασιλικοῦ, ἔμπλεον διαβολῆς καὶ συκοφαντιῶν, οὗτος ὁ πρεσβύτερος τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, παρισταμένου καὶ τοῦδε τοῦ παπᾶ Βασιλικοῦ εἰς τὴν σύνοδον, καὶ ὁμολογοῦντος γραφῆναι τὸ τοιοῦτον πεπλασμένον πρόσταγμα παρ' αὐτοῦ, διὰ τὸ μὴ δύνασθαι ἐκφυγεῖν τὸ τοιοῦτον ἔγκλημα, ὡς ὄντων γνωρίμων τοῖς πᾶσι τῶν γραμμάτων αὐτοῦ. διὰ τοῦτο καὶ κατὰ τοὺς φιλευσεβεῖς νόμους ἐψηφίσατο ἡ ἱερὰ σύνοδος τελείαν καθαίρεσιν κατ' αὐτοῦ, ὅθεν καὶ ἐσημειώθη ἐν τῷ παρόντι κώδικι συνήθως †.

## CCCCXXXIV. 6901 (1392) septembri. ind. I.

*Synodus hieromonachum Ioasaph nominat metropolitam Bidynae.*

† Πρᾶξις τῷ Βιδύνης †.

† Καὶ ἡ ἁγιωτάτη τῆς Βιδύνης μητρόπολις, ὑπὸ τὸν καθ' ἡμᾶς οἰκουμενικὸν θρόνον καὶ τὸν πατριάρχην Κωνσταντινουπόλεως ἀπ' ἀρχῆς τελοῦσα, ἐτύγχανε αὐτῷ ὑποκειμένη καὶ ἐντεῦθεν τὴν χειροτονίαν λαμβάνουσα κατὰ τὰς λοιπὰς μητροπόλεις τὰς ὑποκειμένας αὐτῇ· χρόνος δὲ ἤδη τρέχει πολύς, ἐξ ὅτου καὶ ταύτην ἡ τῶν Βουλγάρων ἐκκλησία, δυναστείᾳ κοσμικῇ χρησαμένη, ἀκανονίστως πάντως καὶ παρανόμως τῆς καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, τῆς μητρὸς τῶν ἐκκλησιῶν, ἀποσπάσασα καὶ ὑφ' ἑαυτὴν ἰδιοποιησαμένη, ὥσπερ καὶ ἄλλας τῶν ἡμετέρων ἐκκλησιῶν, ἀδεῶς καὶ ἐν αὐτῇ τὰς χειροτονίας ἐνήργει, μήτε θείους νόμους δεδιττομένη, μήτε ἀνθρωπίνους αἰδουμένη, δι' ἃ δὴ καὶ τῆς ἡμετέρας κοινωνίας δικαίως ἀπεσχίσθησαν, μὴ καταδεχομένων ἡμῶν συλλειτουργεῖν ἱερεῦσι φανερῶς ἀδικοῦσι καὶ παρανομίαν ἐργαζομένοις· πρὸ ὀλίγων δὲ χρόνων ἐπὶ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, ὁ ὑψηλότατος βασιλεὺς τῶν Βουλγάρων, ἐν ἁγίῳ πνεύματι ποθεινότατος υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης ὁ Στραντζιμηρός, ζῆλον ἀναλαβὼν ἄξιον ἑαυτοῦ καὶ τῆς αὐτοῦ γνώσεώς τε καὶ ἀρετῆς καὶ τὴν τοσούτων χρόνων ἀδικίαν λῦσαι διανοηθείς, εἰς ἔργον συντόμως τὰ βεβουλευμένα φέρει, καὶ πρέσβεις καὶ γράμματα πρὸς τὸν πατριάρχην πέμψας καὶ τὸν τότε ἱερομόναχον

κῦρ Κασιανὸν σὺν αὐτοῖς, αἰτεῖται τοῦτον χειροτονηθῆναι ἀρχιερέα συνοδικῶς τῆς Βιδύνης· ἐντεῦθεν καὶ γὰρ ἔλεγε βούλεσθαι ἔχειν καὶ τὸν ἁγιασμὸν καὶ τὴν χειροτονίαν, ὅπου καὶ πρότερον ὑπέκειτο ἡ τοιαύτη μητρόπολις, καὶ οὐ παρ' ἑτέρας ἐκκλησίας ἁρπακτικῶς ταύτην λαβούσης καὶ νόθοις ὀνόμασι σεμνονομένης. κατὰ γοῦν τὴν αὐτοῦ τοῦ βασιλέως ζήτησιν, δικαίαν οὖσαν καὶ εὔλογον, χειροτονεῖται ψήφῳ συνοδικῇ μητροπολίτης Βιδύνης ὁ κῦρ Κασιανός, καὶ καιρὸν μέν τινα διεβίβασε ποιμαίνων τὴν ἐκκλησίαν ἐκείνην, φθόνῳ δὲ τοῦ πονηροῦ δαίμονος ἐγκλήματι φθόνου περιπεσὼν καὶ φωραθεὶς καὶ κινδυνεύειν μέλλων περὶ τὴν ἰδίαν ζωήν, τῆς ἐκκλησίας ἐξελθών, γνώμῃ καὶ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, καθ' ἑαυτὸν ἰδίαζε, τὴν οἰκείαν ἀσφάλειαν περιποιούμενος, ὃ καὶ πρὸς τὸν ἀοίδιμον ἐκεῖνον πατριάρχην ἔγραψεν ὕστερον, καὶ τὸ πταῖσμα ὡμολόγει καὶ αὐτός· τοῦ δὲ καιροῦ τριβομένου, ἐπεὶ τὸν βασιλέα θεραπεύοντες καὶ ὁ πατριάρχης, κῦρ Νεῖλος, καὶ ἡ μετριότης ἡμῶν, μετ' ἐκεῖνον ἐπὶ τὸν πατριαρχικὸν ἀνελθοῦσα θρόνον, δέον ἐκρίναμεν, μὴ δίχα τῆς ἐκείνου διαγνώμης ἕτερον ἀρχιερέα χειροτονῆσαι, καὶ πολλάκις ἐπέμφθησαν αὐτῷ γράμματα δηλοποιοῦντα περὶ τούτου, ὡς ἂν ἢ πέμψῃ τινὰ τῶν καλῶν ἀνθρώπων, καὶ χειροτονηθῇ παρ' ἡμῶν, ἢ εἴπερ οὐκ ἔχει, γράφῃ πρὸς ἡμᾶς, καὶ ἐκλεξώμεθα τὸν ἁρμόδιον, καὶ χειροτονήσωμεν. μόλις κατὰ τὸν πέρυσι καιρὸν ἔπεμψε τὸν τιμιώτατον ἐν ἱερομονάχοις, κῦρ Ἰωάσαφ, μετὰ πρέσβεων καὶ γραμμάτων, ἵνα χειροτονηθῇ μητροπολίτης Βιδύνης, καὶ τότε μὲν οὐκ ἔδοξε καλὸν τῇ ἡμῶν μετριότητι δι' αἰτίας τινὰς εὐλόγους καὶ ἀναγκαίας τοῦτο γενέσθαι, διὸ οὐδὲ εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον ἐκοινολογήσατο περὶ τούτου, ἀλλὰ τὸν καιρὸν παρακρουομένη καὶ εἰς τὸ ἑξῆς τὴν χειροτονίαν ταμιευομένη, οὕτως αὐτὸν μετὰ χρηστῶν τῶν ἐλπίδων ἀπέπεμψεν ἐπὶ τῷ συντόμως ἐπαναστρέψαι· ὀλίγος παρῆλθε καιρός, καὶ ὁ κῦρ Κασιανὸς ἐκεῖθεν ἀποδράς, πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον παραγίνεται, ἀδικεῖσθαι βοῶν καὶ μάτην ἐξωθεῖσθαι τῆς ἐκκλησίας αὐτοῦ, μηδὲ γὰρ μετὰ γνώμης αὐτοῦ τὸν μοναχὸν ἐκεῖνον ἀποθανεῖν. προτραπεὶς δὲ παρ' ἡμῶν τὴν ὑπόθεσιν διηγήσασθαι, ὅσον ἀπὸ μόνης τῆς διηγήσεως καὶ δίχα κατηγόρων καὶ μαρτύρων ἑαυτὸν κατεδίκασεν· ἔλεγε γάρ, ὅτι κακῶς ὕβρισεν εἰς αὐτὸν ἐκεῖνος, διὸ καὶ τοῦ κελλίου αὐτοῦ καὶ τῆς πόλεως ἐκείνης ἐξωρίσθη· ὡς δὲ ἤκουσεν, ὅτι πάλιν ἦλθεν εἰς ἑαυτόν, ἐκεῖ-

νον μετεκαλέσατο, καὶ ἠρώτησεν αὐτόν, διὰ τί τοῦτον ἀδίκως ὑβρίζει, πολλὰ ἀγαθὰ εἰς αὐτὸν ἐνδειξάμενον, ὁ δὲ πάλιν ἀναισχύντως ὕβριζε. θυμωθεὶς τοίνυν αὐτὸς καὶ τὴν ὀργὴν ὑπερζέσας, ἀναστὰς ἀπὸ τῆς καθέδρας καὶ τοῦ πώγωνος ἐκεῖνον δραξάμενος οἰκείαις χερσὶ τῇ γῇ προσέρριψε, καὶ τοῖς παρεστῶσιν αὐτοῦ ὑπηρέταις καὶ δημίοις εἶπεν· ἐπάρετε αὐτόν. οἱ δὲ λαβόντες αὐτόν, σύροντες καὶ παίοντες καὶ τὴν κεφαλὴν αὐτοῦ ταῖς βαθμίσι τῆς κλίμακος καὶ τῇ γῇ προσκρούοντες οὐκ ἀφῆκαν, ἕως αὐτὸν ἐθανάτωσαν, αὐτοῦ τοῦτο μὴ βουλομένου. καὶ ἀπὸ μόνων τοίνυν τῶν αὐτοῦ λόγων καταδεδικασμένος ἦν. ἐπεὶ δὲ οὐκ ἦν πλήρης ὁ κανονικὸς τῶν ἀρχιερέων ἀριθμός, καὶ διὰ τοῦτο ἡ ἀπόφασις παρετείνετο, ἰδών, ὡς οὐκ εἰς καλὸν αὐτῷ ἀποβήσεται τὸ πρᾶγμα, φυγὰς ᾤχετο, μηδὲ ὅπου ὑπάγει γνώριμόν τινι καταστήσας. ἀρτίως δὲ ὁ τιμιώτατος ἱερομόναχος, κῦρ Ἰωάσαφ, καὶ αὖθις ἐπανελθὼν μετὰ πρεσβείας ἰσχυροτέρας γράμματα ἔφερε τοῦ ὑψηλοτάτου βασιλέως τῶν Βουλγάρων, μετὰ πολλῆς ἱκεσίας ἀξιοῦντα χειροτονηθῆναι αὐτὸν μητροπολίτην Βιδύνης καὶ μὴ οὕτως ἀποπεμφθῆναι καὶ αὖθις κενόν, ὡς τὸ πρότερον. τῆς γοῦν ὑποθέσεως συνοδικῶς ἐξεταζομένης καὶ βασάνου πολλῆς γινομένης καὶ λόγων πολλῶν λαλουμένων, τινὲς μὲν τῶν ἀρχιερέων ἀντέλεγον, μὴ δεῖν πρὸ τῆς ἐκείνου τελείας ἀποφάσεως ἕτερον χειροτονηθῆναι, κατὰ τὸν κανόνα τὸν λέγοντα· „μηδεὶς ἐπίσκοπος ἐν ἐκκλησίᾳ γινέσθω, ἧς προεστὼς ἔτι ζῇ, καὶ τῆς ἰδίας ἀπολαύει τιμῆς· δεῖ γὰρ τὴν αἰτίαν τοῦ μέλλοντος τῆς ἐκκλησίας ἐκβάλλεσθαι κανονικῶς πρότερον ἐξετάζεσθαι καὶ οὕτως ἕτερον χειροτονεῖσθαι·“ ἀλλ' οὐκ ἔχει χώραν ἐπὶ τῆς παρούσης ὑποθέσεως ὁ εἰρημένος κανών, οὐδὲ γὰρ πανταχοῦ τὰ πράγματά εἰσιν ὅμοια. ὁ μὲν γὰρ κανὼν λέγει, μὴ γίνεσθαι ἕτερον ἐπίσκοπον ἐν ἐκκλησίᾳ, ἧς ὁ προεστὼς τῆς ἰδίας ἀπολαύει τιμῆς· ὁ δὲ Κασιανὸς τῆς τιμῆς οὐκ ἀπολαύει χρόνων ἤδη συχνῶν, καὶ τὸ μέγιστον, ὅτι καὶ εἰς τὴν ἱερὰν σύνοδον ἐλθὼν οὐδὲ μιᾶς ἀπήλαυσεν ἀρχιερατικῆς τιμῆς, οὔτε συνελειτούργησεν ἡμῖν, οὔτε τῶν συνοδικῶν συνάξεων κοινωνὸς ἐγεγόνει, οὔτε κἂν τῆς αὐτῆς τοῖς ἄλλοις μετέσχε καθέδρας ἐπὶ τοῦ θρόνου τῶν ἀρχιερέων, οὐδὲ πρόκειται νῦν ἡμῖν πρότερον τὰ κατ' ἐκεῖνον ἐξετάσαι, πάλαι γὰρ προεξητάσθησαν καὶ παρόντος ἐκείνου, καὶ οὐδὲν ἕτερον λείπεται ἢ ἀπόφασιν ἐξενεχθῆναι, ἀλλ' ἀπὸ τῆς ὁμολογίας ἐκείνου καταδίκη κατ' ἐκείνου ἐξενεχθήσεται. ἐπεὶ τοίνυν ἡ τῆς Βι-

δύνης ἐκκλησία ἕκτον ἤδη χρόνον ἔχει στερουμένη μητροπολίτου καὶ τῆς ἐντεῦθεν ὠφελείας καὶ τοῦ ἁγιασμοῦ, καὶ ἔνι ἀναγκαῖον καὶ ἀπαραίτητον, χειροτονηθῆναι ἐν αὐτῇ ἀρχιερέα, διέκρινεν ἡ μετριότης ἡμῶν γνώμῃ τῶν ἱερωτάτων ἀρχιερέων, τοῦ Ἀδριανουπόλεως, τοῦ Ἰκονίου, τοῦ Χερσῶνος καὶ τοῦ Σωζοπόλεως καὶ ἔτι τοῦ Σουγδαίας, γενέσθαι τοῦτον νῦν κατὰ πᾶσαν ἀνάγκην· συγκαταβάσει δὲ χρώμενοι λέγομεν, ἠνεωγμένην εἶναι καὶ ἐπὶ τῷ κορῷ Κασιανῷ τὴν τοῦ συνοδικοῦ δικαστηρίου θύραν καί, ὅταν ἔλθῃ καὶ ζητήσῃ, γενέσθαι καὶ ἐπ' αὐτῷ τὴν κανονικὴν ἀπόφασιν. ψήφῳ γοῦν συνοδικῇ τῶν εἰρημένων ἀρχιερέων καὶ ὑπερτίμων ἐχειροτονήθη παρὰ τῆς ἡμῶν μετριότητος γνήσιος μητροπολίτης Βιδύνης ὁ πολλάκις ῥηθεὶς ἱερομόναχος, κῦρ Ἰωάσαφ, ἄνθρωπος ἐκ νεότητος ἀφιερωθεὶς τῷ θεῷ καὶ γένος καὶ πλοῦτον καὶ περιφάνειαν βίου καὶ δόξαν καὶ κοσμικὰς ἀρχὰς παραιτησάμενος ὑπὲρ τῆς σωτηρίας αὐτοῦ κἀντεῦθεν τοσοῦτον ἀγαπηθεὶς οὐ παρὰ τοῦ βασιλέως μόνον, ἀλλὰ καὶ παρὰ πάσης τῆς πόλεως ἐκείνης, ὡς μετὰ πολλῶν ἐπαίνων καὶ θερμῆς ἱκεσίας εἰς προστασίαν ζητηθῆναι παρὰ παντὸς τοῦ λαοῦ. ὀφείλει τοίνυν ὁ εἰρημένος ἱερώτατος μητροπολίτης Βιδύνης καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Ἰωάσαφ, ἐπιλαβέσθαι τῆς κατ' αὐτὸν ἐκκλησίας ταύτης καὶ πάσης τῆς ἐνορίας αὐτῆς καὶ πάντων τῶν προσόντων αὐτῇ κτημάτων τε καὶ πραγμάτων καὶ λοιπῶν δικαίων καὶ προνομίων, ἔχων ἄδειαν ἱερουργεῖν ἀπροκριματίστως ἐν αὐτῇ, ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους καὶ διακόνους προβιβάζειν καὶ πρεσβυτέρους χειροτονεῖν, θείους καὶ ἱεροὺς ναοὺς καθιεροῦν, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν καὶ τἄλλα πάντα ποιεῖν, ὅσα καὶ γνήσιος μητροπολίτης Βιδύνης καὶ ὢν καὶ ὀνομαζόμενος. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν κατὰ μῆνα σεπτέβριον τῆς ἐνισταμένης α' ἰνδ'. τοῦ ἔτους ,ς ἐνναχοσιοστοῦ πρώτου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCCXXXV. 6901 (1393) martio. ind. I.

*Dorotheus, Athenarum metropolita, a Latinis ex ecclesia sua pulsus et accusatus, a synodo absolvitur.*

† Πρᾶξις συνοδικὴ ὑπὲρ τοῦ Ἀθηνῶν †.

† Φθάνει πρό τινων ἤδη χρόνων ἐπὶ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, χειροτονηθεὶς ψήφῳ συνοδικῇ καὶ θείᾳ χάριτι ὁ νῦν ἱερώτατος μητροπολίτης Ἀθηνῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλάδος καὶ πρόεδρος Θηβῶν καὶ Νέων Πατρῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, ἀπὸ Θεσσαλονίκης ἐνταῦθα ἐπιδημήσας καὶ πρότερον πεῖραν δοὺς ἱκανὴν τῆς αὐτοῦ ἀρετῆς καὶ συνέσεως καὶ προστασίαν δεξάμενος καὶ δύο καὶ τριῶν μεγάλων σεβασμίων μονῶν καὶ ἐν πάσαις δοκιμασθεὶς καὶ ἱκανὸς ἀναφανεὶς προστάτης οὐ ψυχῶν μόνον, ὑπὲρ ὧν ἡ πᾶσα σπουδὴ τῷ ἀληθινῷ προστάτῃ, ἀλλὰ καὶ τῶν πραγμάτων, ἐπειδὴ καὶ ἡ περὶ αὐτὰ τριβὴ καὶ ἀκριβὴς πεῖρα καὶ τὸ καλῶς αὐτὰ καὶ δεόντως οἰκονομεῖν οὐκ ὀλίγα τούτῳ συμβάλλεται πρὸς ἀρετὴν, ὡς ἴσασιν ἀκριβῶς οἱ τούτων πεπειραμένοι, κἀντεῦθεν ἄξιος ἀναδειχθεὶς καὶ μείζονος προστασίας καὶ τῆς προεδρίας ταύτης, ὃς τὴν κληρωθεῖσαν αὐτῷ ποίμνην δεξάμενος καὶ ἀπελθὼν ἐκεῖ οὐ κατῄσχυνεν οὔτε τὴν ἑαυτοῦ ἀξίαν καὶ τὸ τῆς προεδρίας μέγεθος, οὔτε τὰς τῶν χειροτονησάντων αὐτὸν ἐλπίδας, ἀλλ', εἴ τι δεῖ καὶ παράδοξον εἰπεῖν περὶ αὐτοῦ, καὶ πάντα ταῦτα ὑπερηκόντισε, δρόμον ἀποστολικὸν ἀναλαβὼν, ὡς ἐκείνων καὶ μαθητὴς καὶ διάδοχος καὶ μιμητὴς γεγονὼς κατὰ δύναμιν, τῇ ἐνούσῃ γὰρ αὐτῷ ἀρετῇ καὶ εὐλαβείᾳ καὶ γνώσει παντοδαπεῖ καὶ μεγίσταις οἰκονομίαις χρησάμενος ἐδυνήθη καὶ τῆς τῶν Ἀθηνῶν πόλεως ἐπιλαβέσθαι καὶ ἐντὸς αὐτῆς εἰσελθεῖν καὶ κατοικῆσαι, πρᾶγμα πρὶν γενέσθαι μὴ πιστευόμενον· πάλαι ποτὲ γὰρ ὑπὸ τῶν Λατίνων ἁλούσης τῆς πόλεως ἐκείνης ἐξ ἀμνημονεύτων τῶν χρόνων οὐδεὶς τῶν χειροτονουμένων ἐντεῦθεν ἀρχιερέων καὶ πεμπομένων ἐκεῖ τῇ τυραννίδι καὶ δυναστείᾳ τῶν ἀρχόντων ἐκείνων ἐτόλμησεν εἰσελθεῖν, καὶ ἦσαν μὲν οἱ ἐκεῖ χριστιανοὶ τὴν ὀρθοδοξίαν φυλάττοντες καὶ τὰ ἀρχαῖα δόγματα τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἀκέραια διασώζοντες, ἀνεπίσκοποι δὲ ὅμως καὶ διδασκαλίας ἀρχιερατικῆς ἄγευστοι καὶ, ὡς ἔτυχεν, ἕκαστος καθ' ἑαυτὸν οἰκονομούμενος καὶ

κλέπτων τὴν ἑαυτοῦ πίστιν καὶ σωτηρίαν. ὁ δὲ νῦν ἱερώτατος μητροπολίτης Ἀθηνῶν πολλὴν εἰσενεγκάμενος τὴν σπουδὴν καὶ μεγίστῃ χρησάμενος οἰκονομίᾳ καὶ εἰσελθὼν εἰς τὴν πόλιν καὶ τὴν ἰδίαν μητρόπολιν παραλαβών, οὕτω τὰ καθ' ἑαυτὸν διέθηκε καὶ οὕτω κατέστησε τὴν ἐκκλησίαν αὐτοῦ, καὶ οὕτως αὐτὴν ἐρρύθμισε καὶ ἐπαίδευσε καὶ λόγοις καὶ πράγμασι καὶ διδασκαλίαις καὶ τῇ τοῦ βήματος εὐταξίᾳ καὶ τῇ πολιτικῇ καταστάσει καὶ εὐνομίᾳ, ὡς δοκεῖν εἰς τὸ ἀρχαῖον ἀποκαταστῆναι σχῆμα καὶ τὴν προτέραν εὐδαιμονίαν καὶ εὐκληρίαν, πρὶν ἁλωθῆναι χειρὶ βαρβαρικῇ. καὶ ἦν ἐπὶ καιρὸν ταῦτα διαπραττόμενος καὶ ἐκκλησίαν συστησάμενος θεοῦ βοηθείᾳ καὶ τοῖς ἰδίοις πόνοις τὴν μὴ οὖσαν πρότερον, ἀποστολικόν, ὡς εἴρηται, δρόμον ἀναλαβών· ἀλλὰ ταῦτα τὸν φθόνον οὐκ ἦν ἐνεγκεῖν, ἀλλὰ παρὰ τῶν τὴν ἀρχὴν ἐχόντων τῆς πόλεως ἐκείνης φθονηθεὶς καὶ κινδυνεύων ἤδη περὶ τὴν ἰδίαν ζωήν, ὡς τὸν δόλον ἔγνω καὶ τὴν βουλήν, φυγῇ τὴν σωτηρίαν ἐπραγματεύσατο, καὶ τόπους ἐκ τόπων ἀμείβων οὐδ' οὕτως ἐπελάθετο τῶν οἰκείων ἔργων, ἀλλὰ πρὸς μὲν τοὺς οἰκείους παραινετικοὺς ἐποιεῖτο λόγους, διδάσκων δι' ἐπιστολῶν ἐμμένειν τοῖς παρ' αὐτοῦ τυπωθεῖσι καὶ οἷς παρὼν εἰσηγεῖτο, πρὸς δὲ τοὺς ἄρχοντας εἰρηνικὰς σπονδὰς ἀπαιτῶν καὶ ἀνεύθυνον ἑαυτὸν διὰ πάντων δεικνὺς ὧν αὐτοῦ κατηγόρουν· οὕτω τῶν πραγμάτων ὄντων καὶ πάσης μηχανῆς κατ' αὐτοῦ κινουμένης, ὥστε θανατωθῆναι, ἐπείπερ οἱ ταῦτα πράττοντες κενὰ πάντα ἑώρων, αὐτοῦ τῇ ἐνούσῃ αὐτῷ συνέσει καὶ πείρᾳ πάντα προγινώσκοντος καί, ὡς ἐχρῆν, φυλαττομένου, ἀπορήσαντες ἐκ πάντων μετὰ συκοφαντίας γράμματα συμπλασάμενοι καὶ λοιδορίαις καὶ διαβολαῖς αὐτοῦ κατηγορήσαντες, πρὸς τὴν ἡμῶν μετριότητα πέμπουσι καὶ τὴν περὶ αὐτὴν ἱερὰν καὶ μεγάλην σύνοδον, ἐγκαλοῦντες αὐτῷ, ὅτι δῆθεν εἰς τοὺς Τούρκους ἀπῆλθε, καὶ δύναμιν ἔλαβεν ἐκεῖθεν κατὰ τῶν Χριστιανῶν, ἵνα μόνον ἐπιλάβηται τῆς ἐκκλησίας αὐτοῦ, καὶ τοὺς γενομένους φόνους, ὡς ἔλεγον, ἢ καὶ γενησομένους αὐτῷ ἐπέγραφον, καὶ ὅτι τὰ τῆς ἐκκλησίας ἐκείνης ἱερὰ κειμήλια συνεφώνησε δοῦναι τοῖς Τούρκοις, ἵνα μόνον ἐπιτύχῃ τοῦ ζητουμένου. ταῦτα τοίνυν οὕτω συσκευάσαντες οὐκ ἠρκέσθησαν μέχρι τούτου, οὐδὲ ἀνέμενον τὴν παρ' ἡμῶν ψῆφον καὶ ἀπόφασιν, ἀλλ' ἵνα αὐτοὶ ἑαυτοὺς ἀπροσδέκτους καταστήσωσιν εἰς κατηγορίαν, καὶ τὴν ἀπόφασιν κατ' αὐτοῦ ἐξήνεγκαν, ἀνίερον ἀποκαλοῦντες καὶ ἀσεβῆ καὶ

ἄθεον καὶ δεύτερον Ἰουλιανὸν καὶ τὸν ποτὲ Ἀθηνῶν λέγοντες, καὶ τοσοῦτον ἐθάρρουν τῇ ἀποφάσει ταύτῃ καὶ ταῖς κατηγορίαις, ὅτι καὶ ὀνομαστὶ χειροτονηθῆναι ἑτέρους ἀρχιερεῖς ἐζήτουν, τὸν μὲν εἰς τὴν τῶν Ἀθηνῶν ἐκκλησίαν, τὸν δὲ εἰς τὴν τῶν Θηβῶν, ἣν ἐπιδόσεως λόγῳ παρέλαβεν ἀπὸ τῆς μεγάλης ἐκκλησίας μετὰ τῶν Νέων Πατρῶν, ὅτε ἐχειροτονήθη. καὶ οὐδὲ τοῖς προτέροις γράμμασιν ἠρκέσθησαν, ἀλλὰ μετ' ἐκεῖνα καὶ δεύτερα ἔπεμψαν, καὶ μετ' αὐτὰ πάλιν τρίτα καὶ αὖθις ἕτερα, καὶ τῶν ἐρχομένων ἐκεῖθεν οὐδεὶς ἦν, ὃς οὐ τοιαῦτα ἐπεφέρετο γράμματα. ἀναγκασθεῖσα τοίνυν ἡ μετριότης ἡμῶν καὶ συνδιασκεψαμένη συνοδικῶς ἔγραψε πρὸς τὸν μητροπολίτην, ἐνταῦθα παραγενέσθαι, οὐχ ὥστε λόγον δοῦναι περὶ τῶν κατ' αὐτοῦ λαλουμένων, οὔτε γὰρ κατηγόρους εἶχεν ἀξιολόγους καὶ οὓς οἱ θεῖοι κανόνες διορίζονται, οὔτε μάρτυρας, ἀλλ' ἵνα διδαχθῇ παρ' ἡμῶν, μὴ ζητεῖν ὅλως τὴν παρὰ τῶν Τούρκων βοήθειαν, ἕως μὲν γὰρ τοῦ παρόντος καιροῦ οὐκ ἐγένετο παρ' αὐτοῦ τί τοιοῦτον, οἱ δὲ κατ' αὐτοῦ λέγοντες καὶ παρ' ἑτέρων ἐὰν ἐπιχειρηθῇ τοῦτο, εἰς αὐτὸν τὴν αἰτίαν ἀναθήσουσι, καὶ πρόφασιν κατηγορίας εὑρήσουσι κατ' αὐτοῦ, ὅπερ ἵνα μὴ γένηται, δέον ἔκρινεν ἡ μετριότης ἡμῶν, ἐνταῦθα τοῦτον ἐλθεῖν καὶ διδαχθῆναι τὸ συνοῖσον αὐτῷ καὶ φυλάσσεσθαι παρὰ τῶν βουλομένων κατ' αὐτοῦ κεωρεῖν, ὅθεν καὶ τὰ ἡμέτερα δεξάμενος γράμματα, μηδὲν μελλήσας, ἀλλὰ καταφρονήσας πάντων τῶν κατ' αὐτοῦ μελετωμένων κινδύνων διά τε γῆς καὶ θαλάττης, καίτοιγε πάντων ἐστερημένος τῶν πρὸς χρείαν ἐπιτηδείων καὶ ὧν δέονται πάντες οἱ μακρὰς ἀποδημίας ποιούμενοι, ὅμως μὴ ἔχων, ὅ τι καὶ δράσειε διὰ τὴν ὀφειλομένην ὑποταγήν, πρὸς τὴν ἡμῶν μετριότητα ἐνταῦθα παραγίνεται, καὶ τυγχάνει μὲν τῆς παρ' αὐτῆς ἀναδοχῆς καὶ εὐμενείας καὶ τῆς ἀδελφικῆς διαθέσεως, καὶ εὐλογίας ἀξιοῦται· συγκροτηθείσης δὲ καὶ τῆς ἱερᾶς συνόδου τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Ἰκονίου, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως, τοῦ Μαυροβλαχίας καὶ τοῦ Μηδείας διὰ γνώμης πρὸς τὸν Κυζίκου, προκαθημένης τῆς ἡμῶν μετριότητος, διεγνώσθη καὶ ἀπεφάνθη συνοδικῶς, ἀθῷον εἶναι καὶ ἀνεύθυνον τὸν ἱερώτατον μητροπολίτην Ἀθηνῶν τῶν κατ' αὐτοῦ λαληθέντων μώμων καὶ μέμψεων καὶ τῶν κατηγοριῶν, κατὰ τὸν ἕκτον ἱερὸν κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου, διοριζόμενον, μὴ προσδέχε-

σθαι εἰς κατηγορίαν ἐπισκόπων αἱρετικοὺς ἢ σχισματικοὺς καὶ ἀκοινωνήτους· εἰ γὰρ καὶ αὐτὸς ἄνωθεν ἀρξάμενος ἐγγράφως τὰ κατ' αὐτὸν διηγήσατο, καὶ ἀθῷον ἀπέδειξεν ἑαυτὸν τῶν κατ' αὐτοῦ λαλουμένων, τὰ πᾶσι δῆλα καὶ γνώριμα εἰπών, καὶ ἅπερ οὐκ ἔστιν οὐδένα ἀρνήσασθαι, ἀλλ' ἡ μετριότης ἡμῶν καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ μεγάλη σύνοδος, πάντα ταῦτα δεύτερα θέμενοι, τὸ τῶν κανόνων μόνον ἰσχυρὸν προβαλλόμεθα, οἷς ἐρείδεται πᾶσα ἐκκλησιαστικὴ διακόσμησις, καὶ ὧν ἄνευ χριστιανῶν ἐκκλησίαν συστῆναι ἀδύνατον· εἰ γὰρ καὶ ὅλως ἔδει κρίνεσθαι τὸν Ἀθηνῶν καὶ ἀπολογεῖσθαι περὶ ὧν ἐγκαλεῖται, ἔδει κατέχειν τὴν ἐκκλησίαν αὐτοῦ καὶ τὸν οἰκεῖον θρόνον καὶ τὴν τιμὴν καὶ οὕτω καθήμενον ἀνενόχλητον καὶ τὸ οἰκεῖον ἔργον πράττοντα. εἴ τις αὐτῷ ἐγκαλεῖν ἐβούλετο τῶν μὴ κωλυομένων παρὰ τῶν θείων κανόνων, ἔμελλε κρίνεσθαι κανονικῶς καὶ ἀπολογεῖσθαι· νῦν δὲ καὶ τῆς ἐκκλησίας ἐξόριστος ὢν καὶ τὸν θρόνον ἀπολέσας καὶ παρὰ τῶν διωκόντων αὐτὸν κατηγορούμενος καὶ τῶν ζητούντων αὐτὸν φονεῦσαι, καὶ ταῦτα κωλυομένων παρὰ τῶν ἱερῶν κανόνων, ποῦ δίκαιον κρίνεσθαι, πῶς δὲ κατηγόρους προσδέξεταί τις τοὺς πρὸ τῆς κρίσεως ἀποφαινομένους κατ' αὐτοῦ τὰ δεινότατα καὶ ἀνίερον ἀποκαλοῦντας καὶ ἄθεον καὶ ὅσα ἀνωτέρω εἴρηται; διὰ ταῦτα πάντα ἀθῷον ἔχομεν αὐτὸν καὶ ἀνεύθυνον καὶ ἀδελφὸν ἡμέτερον καὶ συλλειτουργὸν καὶ ἀρχιερέα τοῦ θεοῦ ἄμεμπτον, καὶ προσεπιστηρίζομεν αὐτῷ τὴν ἀρχιερωσύνην, ἣν ἡ τοῦ θείου πνεύματος χάρις αὐτῷ ἐνεχείρισε, καὶ λέγομεν καὶ ἀποφαινόμεθα, μητροπολίτην Ἀθηνῶν αὐτὸν εἶναι καὶ κατέχειν τὴν ἐκκλησίαν αὐτοῦ πᾶσαν μετὰ τῆς ἐνορίας αὐτῆς καὶ τὰς δοθείσας αὐτῷ κατ' ἐπίδοσιν ἐκκλησίας, τήν τε τῶν Θηβῶν καὶ τῶν Νέων Πατρῶν, κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῷ πατριαρχικῶν σιγιλλίων γραμμάτων, ἔτι γε μὴν καὶ τῆς ἡμῶν μετριότητος, καὶ ἄδειαν ἔχειν διενεργεῖν ἐν αὐταῖς πάντα τὰ ἀρχιερατικὰ ἀκωλύτως παντάπασι καὶ ἀνεμποδίστως. ταῦτα γὰρ ἅπαντα τὰ προγεγονότα αὐτῷ δικαιώματα στέργει καὶ βεβαιοῖ καὶ ἐπικυροῖ συνοδικῶς ἡ μετριότης ἡμῶν διὰ τῆς παρούσης συνοδικῆς πράξεως, ὥστε τὸ ἀρραγὲς ἔχειν καὶ ἀκατάλυτον ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ, ὅθεν ὀφείλουσι πάντες οἱ ἐν ταῖς εἰρημέναις ἐκκλησίαις ὄντες καὶ ἐν πάσαις ταῖς ἐνορίαις αὐτῶν κληρικοί, ἱερωμένοι, μονάζοντες, ἄρχοντες καὶ πᾶς ὁ τοῦ χορίου λαὸς ὁ χριστώνυμος τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τι-

μὴν καὶ αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν καὶ αὐτῷ μόνῳ ὑποτάσσεσθαι κατὰ πάντα, ὅσα μέλλει λέγειν πρὸς αὐτούς, ἀφορῶντα πρὸς ψυχικὴν αὐτῶν λυσιτέλειαν, καὶ παρ' αὐτοῦ μόνου λαμβάνειν τὴν εὐλογίαν καὶ τὴν χειροτονίαν καὶ τὸν ἁγιασμόν, ἄλλον δέ τινα μὴ προσδέχεσθαι παρὰ γνώμην αὐτοῦ, ὅστις ἂν εἴη· εἰ γάρ τις τολμήσειεν ὅλως ἢ παρ' ἄλλου ἐπισκόπου χειροτονίαν δέξασθαι ἢ εὐλογίαν τινὰ καὶ ἁγιασμὸν ἢ ὅλως δέξασθαι ἕτερον ἀρχιερέα εἰς ταῦτα πάντα ἢ εἰς ναοῦ καθιέρωσιν ἢ διόρθωσιν ψυχικὴν ἢ τὴν τυχοῦσαν πνευματικὴν ὑπηρεσίαν, εἰ μὲν κληρικὸς εἴη, ἐκπεσεῖται συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος τοῦ οἰκείου βαθμοῦ, εἰ δὲ λαϊκός, ἀφορισμῷ ἀλύτῳ καὶ φρικώδει ὑποπεσεῖται. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἀθηνῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Ἑλλάδος καὶ προέδρῳ Θηβῶν καὶ Νέων Πατρῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Δωροθέῳ, καὶ τὸ παρὸν ἀθφωτικὸν γράμμα μετὰ γνώμης τῆς περὶ αὐτὴν ἱερᾶς καὶ θείας μεγάλης συνόδου ἐπὶ τῷ προσεῖναι αὐτῷ δι' ἀσφάλειαν κατὰ μῆνα μάρτιον τῆς ἐνισταμένης πρώτης ἰνδ. τοῦ ἑξακισχιλιοστοῦ ἐνναχοσιοστοῦ πρώτου ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρός· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Εἶχε καὶ ὄπισθεν ὑπογραφὰς τοιαύτας·

† Ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας, Μάρων †.

† Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Ματθαῖος †.

† Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας καὶ καθολικὸς κριτὴς τῶν Ῥωμαίων Μακάριος †.

† Ὁ ταπεινὸς μητροπολίτης Νικαίας Ἀλέξιος †.

† Ὁ ταπεινὸς μητροπολίτης Ἰκονίου Θεοδόσιος †.

† Ὁ μητροπολίτης Σουγδαίας καὶ Φούλλων Θεόκτιστος †.

† Ὁ ταπεινὸς μητροπολίτης Σωζοπόλεως Ἰωσὴφ †.

† Ὁ ταπεινὸς μητροπολίτης Μαυροβλαχίας Ἱερεμίας †.

## CCCCXXXVI. (6901—1393) iunio. ind. I.

*Hieromonachi Iacobus et Constantius accusant Niphonem Mandylam, episcopum Methones.*

† Ἡμεῖς οἱ ἀπὸ τῆς Μεθώνης ἱερομόναχοι καὶ πνευματικοί, ὅ τε Ἰάκωβος καὶ ὁ Κωνστάντιος, θείῳ ζήλῳ κινηθέντες ἀνεδράμομεν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ τὴν θείαν καὶ ἱερὰν καὶ μεγάλην σύνοδον, καὶ ἐκινήσαμεν, ἅπερ οἴδαμεν ἀκριβῶς κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μεθώνης, κυροῦ Νίφωνος, ἐγκλήματα, ἅπερ εἰσὶ ταῦτα· πρῶτον, ὅτι εἶπεν, ὡς ἐξωδίασεν εἰς τὴν μεγάλην ἐκκλησίαν φλωρία ὀκτακόσια, ἵνα ἀποσπάσῃ τὴν ἐκκλησίαν του ἀπὸ τῆς προστασίας τοῦ μητροπολίτου Παλαιῶν Πατρῶν· εἶτα, ὅτι ἐχειροτόνησε τὸν Ὀρδοβιλᾶν ἱερέα, δίγαμον ὄντα· ἕτερον, τὸν τοῦ Πέτρου μαθητὴν τοῦ Καππαδόκη, ὃν μοιχεύσαντα, πορνεύσαντα καὶ κλέψαντα ἐποίησε καὶ αὐτὸν ἱερέα· τέταρτον, τὸ τὸν παπᾶν Μωσῆ, ὃν ἀνάξιον ὄντα ἱέρωσε· καὶ πέμπτον, τὸ τοῦ παπᾶ Μονοφθάλμου, ὃν ἱέρωσεν ἀναξίως, ποιήσαντα παιδίον μετὰ τῆς Γαϊδουροῦς. καὶ ὑποσχόμεθα παραστήσειν αὐτὰ ἐν τῇ Μεθώνῃ καὶ ταῖς πλησίον χώραις ἐνώπιον τῶν ἱερωτάτων ἀρχιερέων διὰ ἀξιολόγων μαρτύρων· εἰ δ' οὐ δυνηθῶμεν συστῆσαι αὐτά, ἵνα κατὰ τοὺς ἱεροὺς κανόνας καθαιρώμεθα ἡμεῖς ἀσυμπαθῶς. τούτου γὰρ χάριν ἐνεγραφάμεθα ἐν τῷ ἱερῷ κώδικι, καὶ ὑπεγράψαμεν οἰκειοχείρως δι' ἀσφάλειαν μηνὶ ἰουνίῳ ἰνδ. α' †.

† Ἰάκωβος ἱερωμονάχος καὶ πνευματικῶς στέργον ὑπεγράφα †.

† Κωνστάντιος ἱερωμόναχος στέργων ὑπέγραφα †.

CCCCXXXVII. (6901—1393) iulio. ind. I.

*Condemnatio iconomachi cuiusdam.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ καὶ βασιλεῖ, κῦρ Μανουὴλ ὁ Συναδηνός, ἀνέφερεν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ὅπως προσήγγειλεν ὁ Σοφιανὸς ὁ Πρινέας εἰς αὐτὸν καταλλάκτην τὸν σύγκελλον, ὅτι ἐπάνω τῆς προβολῆς αὐτοῦ ἀναισχυντήσας ὥσπερ τις ἀσεβὴς καὶ εἰκονομάχος καταλύει ἐγκόλπιον μετὰ τοῦ Φραγκοπούλου, καὶ ἀπελθὼν εὗρον αὐτὸν τοῦτο ποιοῦντα, καὶ αὐτὸς μὲν ἐποίησεν εἰς αὐτόν, ὅσον ἠδύνατο κατὰ τὴν κοσμικὴν ἐξουσίαν, ζητεῖ δὲ παιδευθῆναι καὶ παρὰ τῆς ἐκκλησίας. ὃν καὶ ἀποστείλας ὁ παναγιώτατος ἡμῶν δεσπότης ἀφώρισε, καὶ πᾶσαν ἐκκλησίαν καὶ πάντα ἁγιασμὸν ἀπέκλεισε, καὶ ἤργησεν εἰς αὐτόν. εἶτα τιμωρηθεὶς μεθ' ἡμέρας πολλὰς ἐλθὼν καὶ ζητήσας συγχώρησιν συνεχωρήθη μέν, πλὴν ἔδωκεν ὑπόσχεσιν εἰς ὑπέρπυρα διακόσια, ὅτι ἐὰν εὑρεθῇ ποτε ἢ ἀπὸ κλέπτου ἢ ἀπὸ ἄλλου τινός, ὅτι ἢ κατέλυσεν ἁγίαν εἰκόνα, ἢ ἐδέξατο ἀσήμιον ἅγιον, ὅτι ἀποδιδῷ τὰ διακόσια ταῦτα ὑπέρπυρα ἀνιλεῶς εἰς τὴν μεγάλην ἐκκλησίαν, καὶ ἐξορίζεται καὶ ἀπὸ τῆς πρώτης καὶ δευτέρας. καὶ διὰ τοῦτο ἐσημειώθη μηνὶ ἰουλίῳ ἰνδ. α' †.

CCCCXXXVIII. (6901—1393) iulio. ind. I.

*Archiepiscopus Bethlehem, in Russiam, profecturus, in hac ecclesia iura episcopalia exerceat.*

† Προτροπὴ τῷ ἱερωτάτῳ ἀρχιεπισκόπῳ Βηθλεέμ †.

† Ἐπεὶ ὁ ἱερώτατος ἀρχιεπίσκοπος Βηθλεέμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἀπέρχεται εἰς τὴν Ῥωσίαν διά τινας ἐκκλησιαστικὰς δουλείας, ἐκχωρεῖ καὶ ἄδειαν δίδωσιν ἡ μετριότης ἡμῶν, ὡς ἂν ἱερουργῇ ἀκωλύτως εἰς ἐκκλησίαν ἡμετέραν χηρεύουσαν τοῦ ἰδίου ποιμένος, καὶ χειροτονίαν ποιήσῃ ἀκωλύτως, ἐὰν γένηται χρεία, εἰς τὸν εὑρεθέντα καὶ μαρτυρηθέντα ἄξιον εἰς τὸν τῆς ἱερωσύνης βαθμόν, καὶ καθιέρωσιν ποιήσει ναοῦ, εἰ δεήσειεν, ὁμοίως ἱερουργήσει καὶ εἰς ἄλλας ἐκκλησίας τὰς ἐχούσας ἀρχιερεῖς ἢ μετ' αὐτῶν ἢ καὶ μόνος μετὰ προτροπῆς αὐτῶν, εἴτε δι' ἁγιασμὸν ἑαυτοῦ, εἴτε καὶ διὰ χρείαν ἐκκλησιαστικὴν κατὰ

τὴν ἄνωθεν ἐπικρατήσασαν εἰς ταῦτα ἐκκλησιαστικὴν συνήθειάν τε καὶ τάξιν, καὶ οὐδὲν εὕρῃ παρά τινος τὸν τυχόντα εἰς τοῦτο ἐμποδισμόν. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν προτρεπτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. α' †.

## CCCCXXXIX. (6901—1393) ind. I.

*Promissio sacerdotis Ioannis Sebasti.*

† Ἐγὼ πρεσβύτερος Ἰωάννης ὁ Σεβαστὸς ὑπόσχομαι ἐν τῷ παρόντι ἱερῷ κώδικι ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἵνα διαβιβάσω εἰς τὴν ἐκκλησίαν, ἣν ἀρτίως ψάλλω, τὸν τρέχοντα καιρὸν ἕως τοῦ ἐπερχομένου ἡμῖν σὺν θεῷ πάσχα τῆς β' ἰνδ., καὶ τότε, ἵνα ἀπέρχωμαι εἰς μοναστήριον ἢ εἰς τὴν πατρίδα μου· εἰ δ' οὐ ποιήσω, καθὼς ὑπόσχομαι, ἵνα εἰμὶ ἀργὸς πάσης ἱερωσύνης. τούτου γὰρ χάριν καὶ τὸ παρὸν ὑπεγράφη παρ' ἐμοῦ δι' ἀσφάλειαν †.

† Ὁ εὐτελὴς ἱερεὺς Ἰωάννης ὁ Σεβαστὸς στέργων ὑπέγραφα †.

## CCCCXL. (6902—1393) septembri. ind. II.

*Synodus excommunicat sacerdotem Ioannem Adeniatam coniurationis accusatum.*

† Ὁ παπᾶς Ἰωάννης ὁ Ἀδηνιάτης ὁ καὶ διδάσκαλος τοῦ εὐαγγελίου χρηματίσας, καταλιπὼν τὴν πολιτείαν αὐτοῦ καὶ τὴν τάξιν καὶ ἀνταρσίας καὶ συσκευάς τινας μεθ' ἑτέρων ἀτασθάλων καὶ παρανόμων ἀνδρῶν μελετῶν καὶ ἐργασίας ἐργαζόμενος κατὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ σπουδάζων διαφθαρῆναι τὴν βασιλίδα ταύτην τῶν πόλεων, τέλος ἀποτυχὼν τοῦ σκοποῦ, ἐπεὶ εἶδε τοὺς αὐτοῦ συνεργοὺς καὶ συμβούλους κρατηθέντας καὶ ἐξεταζομένους καὶ φοβηθεὶς τὴν φανέρωσιν ὧν αὐτὸς ἔπραττεν, εἰς μὲν τὸ πατριαρχεῖον καλούμενος εἰς τὸν μέγαν τοῦτον καὶ θεῖον ναὸν ἐλθεῖν οὐδόλως ἠθέλησεν, εἰς δὲ τὸν Γαλατᾶν ἀπιὼν ᾤχετο, μήτινος ὄντος τοῦ τοῦτον διώκοντος, διαμηνυθεὶς δὲ καὶ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ παρ' ἑτέρων εὐσεβῶν καὶ φιλοθέων ἀνδρῶν συμβουλὴν δεξάμενος, ἐλθεῖν εἰς τὴν Κων-

σταντινούπολιν καὶ μετὰ τῆς προσηκούσης ἱκετηρίας τὴν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως εὐμένειαν καὶ συμπάθειαν ζητῆσαι καὶ εὑρεῖν, οὐδόλως τοῦτο ποιῆσαι ἠθέλησεν, ἀλλὰ τρέφων ἐν ἑαυτῷ φροντίδας ματαίας καὶ παρ᾽ αὐτῶν ὡς ἄφρων τρεφόμενος καὶ τρίτον ἤδη χρόνον εἰς τὸν Γαλατᾶν διάγων, οὐκ ἐπαύσατο τὰ πρότερον ἐργαζόμενος καὶ ὕβρεις ἀλλοκότους κατὰ τῆς ἐκκλησίας ἐκχέων καὶ κατὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν, πατριάρχην, ἐσαεὶ διασύρων, ὅθεν καὶ ἀναγκασθέντες πρὸς ταῦτα οἱ παρ᾽ ἐκείνου ἀδίκως διασυρόμενοι καὶ ὑβριζόμενοι τὰ περὶ τούτου τῇ ἱερᾷ καὶ θείᾳ συνόδῳ ἀνήνεγκαν, καὶ ἀντικριθῆναι αὐτῷ ἐζητήσαντο· ἀλλὰ καὶ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, ἀγανακτήσας πρὸς τὴν αὐτοῦ ἀφροσύνην καὶ τὰ παραληρήματα, τῇ ἱερᾷ συνόδῳ διεμηνύσατο, μὴ ἀνεκδίκητον περιορᾶν τὸ κακὸν τῶν εἰς τοὺς ἱεροὺς καὶ θείους κανόνας ἀπαυθαδιαζομένων. δίκαιον γοῦν καὶ καλὸν τοῦτο τῇ ἱερᾷ δόξαν συνόδῳ, ὥστε διαμηνυθῆναι αὐτῷ καὶ εἰς τὸ ἱερὸν ἀπαντῆσαι δικαστήριον καὶ ἀντικριθῆναι τοῖς αὐτῷ ἐγκλητεύσασι, τὸ μήνυμα πρὸς αὐτὸν ἀπελθεῖν συνοδικῶς διετάξαντο. καὶ πρῶτον μὲν οἱ θειότατοι ἀρχιερεῖς, ἐκλεξάμενοι τοὺς ἐντιμοτάτους ἐκκλησιαστικοὺς ἄρχοντας, τόν τε μέγαν πρωτοπαπᾶν καὶ τὸν ἐπὶ τῆς ἱερᾶς καταστάσεως, πρὸς τὸν εἰρημένον παπᾶν Ἰωάννην λόγους παραινετικοὺς καὶ πολλῆς ἀναμέστους διδασκαλίας διεμηνύσαντο, καὶ εἰς τὴν ἱερὰν ἀπαντῆσαι διεκελεύοντο σύνοδον καὶ τα αὐτοῦ ἐγκλήματα ἀποδύσασθαι καὶ συγγνώμην ἐκ τούτου τυχεῖν. ὁ δὲ τοὺς τοιούτους λόγους ὁσίους ἀκούσας οὐ συνῆκεν, ἀσύνετος ὤν, ἀλλὰ θρασυστομήσας καὶ μὴ καταλιπὼν, ἅπερ καὶ πρότερον ἔλεγε, τὴν κρίσιν σὺν ἀπειλαῖς ἀπεκρούσατο· ἦν μὲν οὖν προσῆκον κατ᾽ ἐκείνου ἐξενεχθῆναι ἀπόφασιν. ἐπεὶ δὲ ἡ ἱερὰ καὶ μεγάλη σύνοδος κατὰ τὸν μέγαν ἐν θεολογίᾳ συναθροισθεῖσα Γρηγόριον ἐζήτει διορθῶσαι καὶ μὴ χλευάσαι καὶ διασῦραι τὸ πάθος καὶ τὴν ἐκείνου ἄνοιαν, πάλιν τὸν αὐτὸν μέγαν πρωτοπαπᾶν καὶ τὸν ἄρχοντα τοῦ εὐαγγελίου πρὸς ἐκεῖνον ἔπεμψαν, πολλαῖς νουθεσίαις ἐκεῖνον καὶ παραινέσεσι προσκαλουμένη καὶ τὴν ἐκείνου διόρθωσιν ζητοῦσα καὶ θέλουσα, ὃς δὲ ὡς ἀσπὶς πρὸς ἐπᾴσματα βύσας τὰ ὦτα, οὐδὲν ὑγιὲς ἀπεκρίνατο. ἐκ τρίτου τοίνυν σὺν τῷ αὐτῷ μεγάλῳ πρωτοπαπᾷ καὶ τοῖς δυσὶ θεοφιλεστάτοις ἄρχουσι πρὸς

ἐκεῖνον ἡ ἱερὰ παραγενέσθαι διέκρινε σύνοδος καὶ σὺν τῇ τῶν ἱερῶν ὑπομνήσει κανόνων εἰς τὴν σύνοδον αὐτὸν προσκαλέσασθαι· ὁ δὲ καὶ τούτους λόγοις ἀκαίροις κορέσας, μηδαμῶς εἰς τὴν σύνοδον ἀπαντῆσαι διετείνετο, προβαλλόμενος εἰς ἰδίαν βοήθειαν, ὡς συγκλητικός ἐστιν, καὶ οὐκ ἔχουσιν ἄδειαν αὐτὸν κρίνειν τοιοῦτον ὄντα, μεγαλαυχῶν ἐφ' ὃν ἐπὶ κεφαλῆς ἐφόρει σταυρόν. τούτων πάντων οὕτω παρηκολουθηκότων ἡ ἱερὰ καὶ μεγάλη σύνοδος τοὺς θείους κανόνας εἰς ἐπήκοον ὑπαναγνωσθῆναι διεκελεύσατο, καὶ ἐπεὶ πολλοῖς τῶν κανόνων ἐνέχεται, καὶ μάλιστα, ὅτι δὶς καὶ τρὶς μηνυθεὶς εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον ἀπαντῆσαι οὐκ ἐδέξατο, ἔδοξε τῇ ἱερᾷ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων αὐτῷ τοῦ τε Κυζίκου, τοῦ Μονεμβασίας, τοῦ Χερσῶνος, τοῦ Ζηκχίας, τοῦ Μαυροβλαχίας, καὶ ἀπεφάνθη παρ' αὐτῆς κατὰ τὴν τοῦ ὑπαναγνωσθέντος θείου κανόνος διαγόρευσιν, καθῃρημένον καθάπαξ εἶναι τὸν προειρημένον παπᾶν Ἰωάννην τὸν Ἀδηνιάτην καὶ γεγυμνωμένον καὶ ἀποκομμένον παντὸς τοῦ ἱερατικοῦ καταλόγου καὶ οὕπερ ἐκτήσατο βαθμοῦ. τούτου γὰρ χάριν ἐσημειώθη καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις ἐν τῷ παρόντι ἱερῷ κώδικι κατὰ μῆνα σεπτέβριον τῆς δευτέρας ἰνδ. †.

## CCCCXLI. (6902—1393) septembri. ind. II.

*Synodus iubet accusationes institutas in Niphonem, episcopum Methones, examinari a metropolitis Peloponnesi.*

† Οἱ ἀπὸ τῆς Μεθώνης ἱερομόναχοι καὶ πνευματικοί, ὅ τε Ἰάκωβος καὶ ὁ Κωνστάντιος, εἰς τὴν βασιλίδα τῶν πόλεων παραγενόμενοι καὶ ἀναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα καὶ παραστάντες αὐτῇ συνοδικῶς, λιβέλλους κατηγορίας ἐνεχείρησαν κατὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Μεθώνης, τοῦ Μανδυλᾶ, ἐν οἷς ἐνεγέγραπτο τοιάδε τινὰ ἐγκλήματα κατ' αὐτοῦ· πρῶτον μέν, ὅτι βοᾷ διαρρήδην ὁ ἐπίσκοπος, ὅτι ὀκτακόσια φλωρία ἐξωδίασεν εἰς τὴν μεγάλην ἐκκλησίαν, ἵνα ἀποσπάσῃ ἑαυτὸν καὶ τὴν κατ' αὐτὸν ἐκκλησίαν ἀπὸ τῆς προστασίας τοῦ ἱερωτάτου μητροπολίτου Παλαιῶν Πατρῶν· δεύτερον, ὅτι τὸν Ὀρδοβηλᾶν δίγαμον ὄντα ἐχειροτόνησεν ἱερέα· τρίτον, ὅτι τὸν τοῦ Πέτρου μαθητὴν τοῦ Καππαδόκη, πορνείαις ἑαλωκότα καὶ μοιχείαις καὶ κλο-

παῖς, ἐχειροτόνησεν ἱερέα· τέταρτον, Μωσῆν τινα λεγόμενον, ἀνάξιον ὄντα τῆς ἱερωσύνης, καὶ αὐτὸν ἐχειροτόνησεν· πέμπτον, Μονόφθαλμόν τινα, πορνεύοντα μετὰ τῆς Γαΐδαροῦς καὶ παῖδα μετ' αὐτῆς γεννήσαντα, ἀναξίως καὶ αὐτὸν ἐχειροτόνησε. τούτους τοὺς λιβέλλους ἀναγνωσθέντας ἐπὶ τῆς ἡμῶν μετριότητος συνοδικῶς, ἕτοιμοι εἶναι διεβεβαίουν ἀληθῆ παραστῆσαι καὶ ἀποδεῖξαι καὶ συστῆσαι ταῦτα πάντα διὰ μαρτύρων, γενομένης τῆς ἐξετάσεως ἐκεῖ τοπικῶς, ἐπειδὴ οὐ δύνανται τοὺς μάρτυρας ἐνταῦθα παραγαγεῖν. ἡ γοῦν μετριότης ἡμῶν πολλὰ συνοδικῶς αὐτοῖς παραινέσασα, λῦσαι τὴν πρὸς τὸν ἐπίσκοπον μικροψυχίαν, εἴ τι σκανδάλου αἴτιον μέσον αὐτῶν συνέβη, καὶ μὴ ἀποτόμως ἐκείνου κατηγορεῖν, οὐχ εὗρε τούτους καταπεισθεῖς, οὔτε γὰρ φιλονεικίαν ἔλεγον τινὰ προβῆναι μεταξὺ αὐτῶν καὶ ἐκείνου, οὔτε δι' ἀπέχθειαν κατηγοροῦσιν αὐτοῦ, ἀλλ' οὐδὲ ἀργοὶ τῆς ἱερωσύνης παρ' αὐτοῦ τυγχάνοντες εἰς τὰς ἐκείνου κατηγορίας ἐχώρησαν, πρὶν ἂν τὰ οἰκεῖα ἀποδόσωνται ἐγκλήματα, μένουσι γὰρ ἱερεῖς μέχρι τοῦ νῦν ἀκατηγόρητοι, ζήλῳ δὲ θείῳ μόνῳ κινηθῆναι ἔλεγον, ἐπειδὴ βλέπουσι τὴν ἐκκλησίαν ὑβριζομένην καὶ τοὺς ἱεροὺς κανόνας παρ' ἐκείνου καταπατουμένους. ὡς οὖν δὶς καὶ τρὶς τῇ συνόδῳ παραστάντες ἀπεδιώχθησαν, οἱ δὲ καὶ αὖθις τὰ αὐτὰ ἔλεγον, τέλος ἀπῃτήθησαν, εἴπερ ἐνίστανται καὶ ἰσχυροποιοῦνται τὰς κατηγορίας συστῆσαι, ἐγγράφασθαι κατὰ τὴν διαγόρευσιν τῶν ἱερῶν κανόνων, γενέσθαι κατ' αὐτῶν τὴν ταυτοπάθειαν, ἐὰν οὐ δυνηθῶσιν ἀποδεῖξαι τὰ κατηγορούμενα ἀληθῆ· οἱ δὲ καὶ τοῦτο μετὰ πολλῆς προθυμίας ἐποίησαν, καὶ δεδώκασιν ἐγγραφὴν ἐν τοῖς ἱεροῖς κώδιξι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας. ἔδει μὲν οὖν κατὰ τὴν διαγόρευσιν τῶν θείων κανόνων ἐπὶ τοῦ μητροπολίτου αὐτοῦ τοῦ Παλαιῶν Πατρῶν κριθῆναι τὸν ἐπίσκοπον ἀπ' ἀρχῆς, νομίζοντα δὲ ἀδικεῖσθαι, εἰς τὴν μεγάλην σύνοδον ἀναδραμεῖν· ἐπεὶ δὲ πρὸ καιροῦ μεταξὺ αὐτῶν ἀπέχθειά τις προέβη, καὶ οὐδὲ ὁ τῶν ἐπισκόπων ἀριθμὸς ἐκεῖ σώζεται, ἡ μετριότης ἡμῶν, συνδιασκεψαμένη τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Νικαίας, τοῦ Μονεμβασίας, τοῦ Ἰκονίου, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως καὶ τοῦ Μηδείας, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν συναχθῶσιν ἐκεῖ τοπικῶς οἱ ὄντες ἐν τῇ Πελοποννήσῳ ἱερώτατοι μητροπολῖται, ὁ Μονεμβασίας, ὁ Παλαιῶν Πατρῶν καὶ

ὁ Λακεδαιμονίας μετὰ τῶν ἐπισκόπων αὐτῶν, καὶ ποιήσωσι τὴν ἐξέτασιν τῶν λαλουμένων κατὰ τοῦ ἐπισκόπου Μεθώνης τοῦ Μανδυλᾶ, ὡς ἐφορῶντος ἄνωθεν τοῦ θεοῦ, καὶ προσκαλέσονται τοὺς εἰρημένους ἱερομονάχους τοὺς κατηγόρους, τόν τε Ἰάκωβον καὶ τὸν Κωνστάντιον, ὡς ἂν παραγάγωσι μάρτυρας ἐπὶ συστάσει τῶν κεφαλαίων τούτων, ὀφείλουσι δὲ οἱ μάρτυρες ἐφ' ἑκάστῳ τῶν κεφαλαίων ἄνδρες εἶναι τρεῖς τὸ ἔλαττον, ἀξιόπιστοι, μήτε φίλοι τῶν κατηγόρων, μήτε τοῦ ἐπισκόπου ἐχθροί, καλοὶ ἄνθρωποι καὶ ἀκατηγόρητοι, οἵους οἱ κανόνες καὶ οἱ νόμοι τοὺς μάρτυρας εἶναι διαγορεύουσι, καὶ ταῦτα ἐπὶ τῶν ἐγκληματικῶν· εἰ μέντοι γε δυνηθείη ὁ ἐπίσκοπος ἀποδεῖξαι τοὺς μάρτυρας ἢ ἐχθροὺς αὐτοῦ ἢ πρὸς μαρτυρίαν ἀδέκτους, τούτους εὐθὺς ἀποδοκιμάζεσθαι. πᾶν οὖν, ὅπερ ἂν εὕρωσιν οὗτοι ἀπὸ τῆς ἐξετάσεως, ὀφείλουσι γράψαι κατὰ μέρος καὶ ὑπογράψαι καὶ τὸ στέργειν ἔχειν καὶ βέβαιον καὶ παρὰ πάσης τῆς μεγάλης συνόδου καὶ πεμφθῆναι ἐνταῦθα, ὡς ἂν ἐντεῦθεν γένηται ἡ ἀπόφασις παρὰ τῆς ἡμῶν μετριότητος συνοδικῶς· ἂν μέντοι γε οὐ δυνηθῶσιν οἱ κατήγοροι συστῆσαι τὰς κατηγορίας, αὐτίκα κελεύομεν καθῃρημένους αὐτοὺς εἶναι καὶ ἔξω τοῦ καταλόγου τοῦ ἱερατικοῦ, κατά τε τὴν τῶν ἱερῶν κανόνων διαταγὴν καὶ κατὰ τὴν αὐτῶν ἐγγραφήν. τούτου γὰρ χάριν ἀπολέλυται συνοδικῶς καὶ ἡ παροῦσα παρασημείωσις δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρός· μηνὶ σεπτεβρίῳ ἰνδ. β' †.

## CCCCXLII. (6902—1393) octobri. ind. II.

*Patriarcha Constantino Rhamatae veniam dat tertium matrimonium contrahendi.*

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. β' Κωνσταντῖνος ὁ Ῥαματᾶς, ἐλθὼν εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, ἐζήτησεν ἐλθεῖν εἰς τρίτον γάμον, καὶ διεκρίθη παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, διὰ τὸ νέον αὐτὸν εἶναι, πλὴν ἵνα ποιήσῃ καὶ προμήθειαν εἰς τὸ ἕτερον αὐτοῦ παιδίον· ἔταξε γοῦν, ἵνα ἔχῃ εἰς προμήθειαν τῆς παιδὸς αὐτοῦ τὸ ἀμπέλιον τὸ περὶ τὸν Ἀστραβίκιν, οἰκήματα δύο καὶ ἐργαστήριον ἤτοι μαγαζίον καὶ χρυσάφιν ἑξάγια δέκα. διὰ τοῦτο καὶ ἐσημειώθη ἐνταῦθα †.

## CCCCXLIII. (6902—1394) martio. ind. II.

*Patriarchae epistolae datae ad metropolitam Prusae.*

I. † Μηνὶ μαρτίῳ ἰνδ. β' ἀπελύθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Προύσης τιμία πατριαρχικὴ γραφὴ περὶ τῆς ὑποθέσεως ἧς ἔχει ὁ Μιχνοτὰς μετὰ τῶν παίδων τῶν ὀρφανῶν, ὡς ἂν λάβῃ καὶ παρὰ τῶν δύο μερῶν ἅπερ εἰς ταύτην τὴν ὑπόθεσιν ἔχουσι δικαιώματα, καὶ ἀργήσας αὐτὰ κρίνῃ ἐξ ἄλλης ἀρχῆς τὴν ὑπόθεσιν. καὶ εἰς ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

II. † Τῇ αὐτῇ ἡμέρᾳ ἀπελύθη τῷ αὐτῷ τιμία πατριαρχικὴ γραφή, παρακελευομένη αὐτῷ, ὡς ἀπέλθῃ εἰς τὸ Κοτιάϊον, καὶ λάβῃ εἴ τι ἂν εὕροι ἐκεῖ τοῦ ἀποθανόντος μητροπολίτου, καὶ πέμψῃ πρὸς τὴν μεγάλην ἐκκλησίαν. καὶ εἰς ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

## CCCCXLIV. Sine anno.

*Patriarcha confirmat excommunicationem episcopi et populi Novogradii, a metropolita Kioviae pronunciatam.*

† Θεοφιλέστατε ἐπίσκοπε τοῦ Μεγάλου Νογρατίου, σύ τε, εὐγενέστατε προκαθήμενε, χιλίαρχε καὶ οἱ λοιποὶ ἄρχοντες καὶ πάντες οἱ χριστιανοί, οἵ τε καθηγούμενοι, οἱ μοναχοὶ καὶ ὁ λοιπὸς λαὸς ὁ χριστώνυμος. ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος, κῦρ Δημήτριος ὁ Ἀθηναῖος, ἦλθεν ἐνταῦθα πρὸ καιροῦ τινος ἀποκρισιάριος ἀπὸ τοῦ ἱερωτάτου μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, κῦρ Κυπριανοῦ, καὶ ἀπὸ τοῦ υἱοῦ μου, τοῦ εὐγενεστάτου ῥηγὸς πάσης Ῥωσίας, κῦρ Βασιλείου, καὶ εἶπεν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ μεγάλην σύνοδον καὶ εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, ὅσα συνέβησαν μέσον τοῦ μητροπολίτου καὶ ὑμῶν, καὶ ὅπως ὠμόσατε ἐγγράφως, μὴ κρίνεσθαι εἰς τὸν μητροπολίτην, δι' ἃ καὶ ἀναγκασθεὶς ἀφώρισεν ὑμᾶς, ἀκολουθήσας τοῖς θείοις καὶ ἱεροῖς κανόσιν· ἡμεῖς δὲ ἀκούσαντες αὐτὰ καὶ σκεψάμενοι, εἰς πόσον κακὸν ἐνεπέσετε, ἐγράψαμεν γράμματα νουθετικὰ καὶ παραινετικὰ καὶ ὅσα οἱ θεῖοι καὶ ἱεροὶ κανόνες ὁρίζουσιν εἰς

διόρθωσιν ὑμῶν, καὶ ᾠκονομήσαμεν καὶ ἀποκρισιαρίους, ἵνα ἔλθωσι πρὸς ὑμᾶς, καὶ δείξωσιν αὐτά, καὶ εἴπωσι καὶ ἀπὸ στόματος, πῶς πρέπει ἵνα εἰρηνεύσητε μετὰ τοῦ μητροπολίτου· εἶτα ἐὰν ἔχητέ τι λέγειν, πέμψητε εἰς ἡμᾶς, ἐπειδὴ οὐδὲν ἦτον ἐδῶ κἂν εἷς ἀπὸ τοῦ μέρους σας. νῦν δὲ πρὸ τοῦ ἐξελθεῖν αὐτούς, ἦλθεν ἐνταῦθα ἀποκρισιάριος παρ' ὑμῶν ὁ Κύριλλος καὶ ἄλλοι μετ' αὐτοῦ ἄνθρωποι, καὶ ἔφερον γράμματα ὑμῶν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ εἰς τὸν βασιλέα τὸν ἅγιον, καὶ ἰδόντες αὐτὰ καὶ ἀναγνώσαντες συνοδικῶς, οὐδὲν ἄλλο εὕρομεν, εἰ μὴ ὃ ἠκούσαμεν ἀπὸ τοῦ κυροῦ Δημητρίου, ἐποιήσαμεν δὲ σύνοδον περὶ τούτου καὶ μίαν καὶ δὶς καὶ τρίς, καὶ ἦσαν ἀρχιερεῖς ὁ Κυζίκου, ὁ Νικομηδείας, ὁ Σουγδαίας, ὁ Χερσῶνος, ὁ Ζηκχίας, ὁ Μαυροβλαχίας, ὁ Μηδείας, ὁ Δέρκω καὶ ὁ ἀρχιεπίσκοπος Βηθλεέμ, ἐπὶ πάσῃ δὲ συνόδῳ ἦν καὶ ὁ Κύριλλος μετὰ τῶν λοιπῶν ἀνθρώπων αὐτοῦ, καὶ πάλιν ἐξετάσαντες τὸν Κύριλλον, εἴ τι ἔχει πλέον εἰπεῖν, οὐδὲν ἄλλο εὕρομεν αὐτὸν λέγοντα, εἰ μὴ ὅτι οὐδὲν θέλομεν ἵνα κρινώμεθα εἰς τὸν μητροπολίτην, ἀμὴ ὅταν μηνύσῃ τὸν ἐπίσκοπόν μας, νὰ ὑπάγῃ, καὶ ὅταν ἔλθῃ ὁ μητροπολίτης εἰς τὸ Μέγα Νουγράτιον, νὰ κρίνῃ ἕνα μῆνα, καὶ ὅταν ἐγκαλέσῃ κἂν εἷς, νὰ πέμπῃ ἄνθρωπόν του ὁ μητροπολίτης, νὰ τὸν κρίνῃ· καὶ ὅτι οὕτως τὸν ὅρκον ἡμῶν δυνάμεθα καταλῦσαι, ἐὰν μᾶς συγχωρήσητε, ἵνα ἔχωμεν ταῦτα· ζητοῦμεν δὲ καὶ εὐλογίαν ἀπὸ σοῦ, τοῦ πατριάρχου, καὶ τῶν ἀρχιερέων, καὶ ὅτι ἐὰν οὐδέν μας εὐλογήσητε, θέλομεν γενέσθαι λατῖνοι. ταῦτα εἶπον καὶ ἐζήτησαν, ἔξω τῶν ἱερῶν κανόνων, ἄδειαν γὰρ ἔχει πᾶς ἄνθρωπος ἀδικούμενος ἵνα ἀναδράμῃ εἰς τὸν μητροπολίτην αὐτοῦ, καὶ αὐτὸς νὰ τὸν ἀναδέξηται καὶ νὰ τὸν κρίνῃ· εἰ γὰρ οὐδὲν ἀκούσῃ ὁ μητροπολίτης τὸν πτωχόν, τὸν πάσχοντα καὶ ἀδικούμενον, τὸν ἀδύνατον, τὴν χήραν, τὸν καλόγηρων, τὸν ἱερέα, ἐὰν πάσχωσι παρὰ τῶν δυνατῶν καὶ δυναστεύωνται, τίς ἄλλος νὰ τὸν ἀκούσῃ; ἀπομένει νὰ τρώγωσιν οἱ δυνατοὶ τοὺς ἀδυνάτους καὶ οἱ πλούσιοι τοὺς πτωχούς, ἐὰν οὐδὲν ἔχωσι μεγαλώτερον ἐπάνω αὐτῶν. ἐπεὶ δὲ καὶ τὸν λόγον τοῦτον ἠκούσαμεν, ὅτι θέλομεν γενέσθαι λατῖνοι, ἔτι πλέον ἔδοξεν ἡμῖν λυπηρόν, ἐπειδὴ τοῦτό ἐστιν ἀπώλεια παντελὴς τῆς ψυχῆς σας· ποῦ γὰρ ὁ λόγος οὗτος πρέπει εἰς χριστιανούς, ὅτι ὅταν ἁμαρτάνωσι καὶ διδάσκωνται εἰς μετάνοιαν καὶ διόρθωσιν, ἵνα εἴπωσιν ἐξελθεῖν

ἀπὸ τῆς πίστεως αὐτῶν; καὶ ἐὰν τὸ προσέξετε, τοῦτο μᾶλλόν ἐστι φανερὸν ἀπώλειαν φέρον ταῖς ὑμετέραις ψυχαῖς. ὅμως ἡμεῖς οὐδὲ διὰ τὸν λόγον αὐτὸν, ὃν εἴπε(τε), θέλομεν παραιτήσεσθαι τὸ δίκαιον τοῦ θεοῦ καὶ τὴν τάξιν τῆς ἐκκλησίας, χρεωστοῦμεν γὰρ ἵνα εἴπωμεν, ὅσα οἱ ἱεροὶ κανόνες καὶ τὸ δίκαιον τοῦ θεοῦ ἀπαιτοῦσιν εἰς ὠφέλειαν τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν, καὶ διδάξωμεν αὐτοὺς, καθὼς αὐτὸς ὁ Χριστὸς καὶ θεὸς ἡμῶν ὥρισε· „καὶ ὁ ἀκούσας ἡμῶν ἀκούει τοῦ Χριστοῦ, ὁ δὲ μὴ ἀκούων, ἀλλὰ ἀθετῶν ἡμᾶς, τὸν Χριστὸν ἀθετεῖ, καὶ εὑρήσει παρὰ τοῦ Χριστοῦ τὴν καταδίκην ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὥσπερ εὑρήσει τὴν βασιλείαν αὐτοῦ, ἐὰν ἀκούῃ ἡμῶν.“ ταῦτα γοῦν πάλιν καὶ πολλάκις καὶ ἡμεῖς καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ πρὸς τὸν Κύριλλον ἀπὸ στόματος εἴπομεν, καὶ πρὸς ἡμᾶς καὶ πρότερον ἐγράψαμεν, καὶ νῦν γράφομεν, καὶ ἀπ' αὐτῶν γὰρ τῶν γραμμάτων σας καὶ ἀπὸ τῶν ἀνθρώπων σας εὕρομεν, ὅτι ὁ μητροπολίτης δικαίως καὶ κανονικῶς ἀφώρισεν ὑμᾶς εἰς ἐκδίκησιν τῶν θείων καὶ ἱερῶν κανόνων. γινώσκετε γοῦν, ὅτι ἀφωρισμένοι ἐστὲ καὶ ἀνεολόγητοι κανονικῶς καὶ δικαίως, ἕως ἂν μετανοήσητε καὶ ποιήσητε μετάνοιαν εἰς αὐτὸν, καὶ καταλύσητε τὸν ὅρκον σας, καὶ παραδῶτε αὐτῷ πᾶν δίκαιον αὐτοῦ, ὅπερ ἔχει εἰς ὑμᾶς κατὰ τὴν ἀρχαίαν συνήθειαν, καὶ ἐὰν ποιήσητε οὕτως, θέλετε τυχεῖν συγχωρήσεως καὶ εὐλογίας παρ' αὐτοῦ καὶ ὁ λαὸς ὅλος καὶ οἱ ἱερεῖς, καθὼς ἂν αὐτὸς διακρίνῃ, ἐὰν γὰρ ὁ ἐπίσκοπος καὶ οἱ ἱερεῖς, μεθὸ ἀφώρισεν αὐτοὺς, ἐτόλμησαν ἱερατικοῦ τινος ἅψασθαι, εἰς τὴν ἐξουσίαν καὶ τὴν διάκρισιν τοῦ μητροπολίτου ἐστί. καὶ ὅταν σας ἐλεήσῃ ὁ θεὸς, καὶ λάβητε τὴν εὐλογίαν τοῦ μητροπολίτου, θέλει γράφειν αὐτὸς καὶ πρὸς ἐμὲ, καὶ θέλομέν σας συγχωρήσειν καὶ εὐλογήσειν καὶ ἡμεῖς, καὶ μηδὲν δόξῃ εἰς ὑμᾶς λυπηρὸν, πῶς νῦν οὐδέν σας ἐδεξάμεθα, οὐδὲ ἐπληρώσαμεν τὴν παράκλησίν σας, ἀλλὰ μᾶλλον καὶ ἡμεῖς γράφομεν, ἐπιστηρίζοντες τὸ βάρος καὶ τὸν ἀφορισμὸν τοῦ μητροπολίτου, χρεωστοῦμεν γὰρ, ὡς ἰατροὶ ψυχικοὶ, ἵνα καὶ ὅσα στύφουσι καὶ δάκνουσιν ὑμᾶς, εἰπεῖν εἰς ὑγείαν ψυχικὴν ὑμῶν· εἰ δὲ εἴπωμεν ὅσα εὐφραίνουσι μόνον, θέλομέν σας πέμψειν εἰς τὴν κόλασιν, καὶ οὐδὲ ἡμεῖς ἀπὸ τότε θέλομεν ἦστεν διδάσκαλοι τῆς ἐκκλησίας τοῦ Χριστοῦ, γινώσκομεν γὰρ ἀκριβῶς, ὅτι ὁ μητροπολίτης σας δικαίως σας ἐπαίδευσε, καὶ ἐξουσίαν ἔχει πᾶσαν εἰς ὑμᾶς καὶ εἰς ὅλον τὸ ἔθνος αὐτὸ καὶ τὸν

λαὸν τῆς Ῥωσίας, ὡς ἀπὸ θεοῦ καταστὰς πατὴρ εἰς τοῦτον καὶ τὰ δίκαια ἔχων τοῦ θεοῦ, ἵνα ὅσα δήσῃ, ὦσι δεδεμένα, καὶ ὅσα λύσῃ, ὑπάρχωσι λελυμένα. διὰ τοῦτο σπουδάσατε καὶ ἀγωνίσασθε ἵνα ποιήσητε, καθὼς ὁρίζει ἡ ἐκκλησία τοῦ Χριστοῦ, ἡ ἐξουσίαν ἔχουσα εἰς πᾶσαν τὴν οἰκουμένην, ἐπειδὴ καὶ ἤκουσα, ὅτι ὁ υἱός μου, ὁ εὐγενέστατος μέγας ῥὴξ πάσης Ῥωσίας, ἔχων δουλείας καὶ ὑποθέσεις μεθ' ὑμῶν, φοσσάτα κινεῖ καὶ αἵματα χέονται μέσον ὑμῶν καὶ διὰ τὴν ἀνυποταξίαν ὑμῶν καὶ τὸν ὅρκον, ὃν ἐποίησατε, καὶ οὐδὲν καταλύετε αὐτὸν ὡς παράνομον, οὐδὲ ὁ μητροπολίτης δύναται ἵνα εἰσέλθῃ καὶ εἰρηνεύσῃ ὑμᾶς μετ' αὐτοῦ. ποιήσατε γοῦν τὴν διόρθωσιν μετὰ πολλῆς τῆς ἐπιμελείας, ὡς ἂν ἔλθωσι τὰ παρόντα γράμματα καὶ οἱ ἀποκρισιάριοι ἡμῶν· ἄλλο γὰρ παρὰ τοῦτο οὐδὲν ἔνι δυνατὸν ἵνα ἀκούσητε ἀφ' ἡμῶν †.

## CCCCXLV. (6902—1393) octobri. ind. II.

*Patriarcha praecipit metropolitae Kioviae, ut episcopum Lutzici excommunicatum habeat, aliumque in eius locum consecret.*

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη τῇ σῇ ἱερότητι. ὁ ἐπίσκοπος Λουτζικοῦ ἦλθεν ἐνταῦθα, ἔφερε δὲ καὶ γράμματα ἀπὸ τοῦ κράλη, ζητοῦντα τοῦτον μητροπολίτην Γαλίτζης. συνόδου γοῦν συναθροισθείσης ἀνεγνώσθησαν τὰ γράμματα, ὅσα ἔπεμψεν ἡ σὴ ἱερότης πρὸ τοῦ ἐλθεῖν αὐτὸν ἐνταῦθα, καὶ ἐφάνη καλὸν ὕστερον, ἐπειδὴ καὶ ὁ ἐπίσκοπος Βολοδιμοίρου ἔρχεται, ἵνα καρτερήσῃ ἐνταῦθα καὶ οὗτος, καὶ γένηται κρίσις μέσον αὐτῶν, καὶ εὑρεθῇ τὸ δίκαιον ἑκατέρου τούτων· ὁ δὲ ἔφυγε, καὶ εὑρὼν καράβιον ἕτοιμον εἰσῆλθε, καὶ καιροῦ μὴ ὄντος καὶ ἀνέμου εἰς πλεῦσιν, ἐκαρτέρησεν ἐν τῷ Φάρῳ, καὶ μηνυθεὶς πολλάκις καὶ μετὰ ἀφορισμοῦ ἐξελθεῖν καὶ ἐλθεῖν εἰς ἡμᾶς, οὐκ ἠθέλησεν, ἀλλὰ μᾶλλον προῃρέθη ἀφωρισμένος ἀπελθεῖν· διὰ τοῦτο γράφομεν τῇ σῇ ἱερότητι περὶ αὐτοῦ, ἵνα γινώσκῃς τὰ γεγονότα, καὶ ἔχῃς καὶ σὺ τοῦτον ὡς καὶ ἡμεῖς, καὶ γράφῃς τοῦτο καὶ πρὸς τὸν εὐγενέστατον κράλην, καὶ οὐδὲν δέξηται τοῦτον, ὡς ἂν γένηται αὐτόθι παρ' αὐτοῦ ἡ κρίσις αὐτοῦ καὶ ἡ καθαίρεσις, ἐλθόντα γὰρ αὐτὸν αὐτόθι κάλεσον εἰς τὴν κρίσιν, καὶ κάθηρον καὶ διὰ τὰ πρῶτα ἐκεῖνα,

εἴπερ ἔχεις ἀληθῆ, καὶ μάλιστα διὰ τὰ δεύτερα ταῦτα, ὅτι ἐπεπήδησεν ἑτέρᾳ ἐκκλησίᾳ, τῇ μητροπόλει λέγω Γαλίτζης· οὐ μόνον γὰρ κατεῖχεν αὐτὴν χρόνον δεύτερον ἤδη, ἀλλὰ καὶ μηνυόμενος ἐλθεῖν ἐνταῦθα καὶ ἐξελθεῖν ἀπὸ τοῦ καραβίου, εἶπεν, ὅτι „ἐμοὶ ἔδωκεν ὁ κράλης τὴν Γάλιτζαν, ὅς ἐστιν αὐθέντης τοῦ τόπου καὶ ἄρχων, καὶ ἔλειπέ μοι εὐλογία καὶ παρὰ τοῦ πατριάρχου, καὶ ἐλθὼν ἔλαβον αὐτήν, καὶ πλείονος οὐκ ἔστι μοι χρεία· τί πάλιν θέλω εἰς τὴν σύνοδον; ἀπέρχομαι εἰς τὴν Γάλιτζαν εἰς τὴν ἐκκλησίαν μου", εὐλογίαν καλῶν καὶ προτροπὴν καὶ μετάθεσιν, ἣν πρῶτον ἐλθὼν ἁπλῶς ὡς χριστιανὸς ἔκοψεν ἔμπροσθέν μου καὶ ἔλαβε, καθὼς καὶ οἱ ἀκολουθοῦντες αὐτῷ ὑποχείριοι αὐτοῦ ηὐλογήθησαν. εἴ τι γοῦν λέγει παρὰ τοῦτο, ψεῦδός ἐστιν, ἄλλον γὰρ λόγον τινὰ ἢ γράμμα τὸ τυχὸν παρ' ἡμῶν οὐκ ἔλαβε. ταῦτα γοῦν οὕτως ἔχοντα ἡ σὴ ἱερότης μαθοῦσα πέμψον γράμματα καὶ εἰς τὸν κράλην, καθὼς καὶ ἡμεῖς γράφομεν εἰς αὐτόν, ἵνα διώξῃ τοῦτον καὶ ἀπὸ τῆς ἐπισκοπῆς, καὶ πέμψῃ εἰς τὴν σὴν ἱερότητα, καὶ αὐτὸν μὲν καθήρῃς, χειροτονήσῃς δὲ ἕτερον εἰς τὴν ἐπισκοπὴν Λουτζικοῦ, κανονικῶς αὐτοῦ ἐκβληθέντος. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

## CCCCXLVI. (6902—1393) septembri. ind. II.

***Patriarcha monet episcopum, clerum et populum Novogradii, ut se subiiciant metropolitae Kioviae.***

† Θεοφιλέστατε ἐπίσκοπε τοῦ Μεγάλου Νοβογραδίου, σύ τε εὐγενέστατε προκαθήμενε, χιλίαρχε καὶ πάντες οἱ ἄρχοντες, ἱερωμένοι, μονάζοντες καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ κυρίου λαός· ἡ μετριότης (ἡμῶν) καὶ ἡ περὶ αὐτὴν θεία καὶ ἱερὰ σύνοδος, προνοουμένη κατὰ τὸ χρέος αὐτῆς τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν, οὐ παύεται γράφειν καὶ διδάσκειν ὅσα πρὸς εἰρήνην καὶ σωτηρίαν αὐτῶν. διὰ τοῦτο μετὰ τὸ πολλὴν εἰσενεγκεῖν σπουδὴν καὶ ἐπιμέλειαν, ὥστε τὸ τῆς Ῥωσίας πολυάνθρωπον ἔθνος εἰρηνεῦσαι καὶ τὴν ἁγιωτάτην ταύτης μητρόπολιν στηρίξαι καὶ βεβαιῶσαι καὶ διορθῶσαι καὶ τῶν πολλῶν καὶ μεγάλων σκανδάλων τῶν προβάντων, φθόνῳ τοῦ πονηροῦ, διακαθᾶραι ταύτην καὶ εἰρηνεῦσαι, ὄντος ἔτι ἐνταῦθα μεθ' ἡμῶν καὶ τοῦ ἱερω-

τάτου μητροπολίτου Κοέβου καὶ πάσης Ῥωσίας, ὑπερτίμου, ἀγαπητοῦ ἐν ἁγίῳ πνεύματι ἀδελφοῦ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοῦ, καὶ τῇ ἱερᾷ συνόδῳ συνεδριάζοντος, ἐπεὶ ἀνηνέχθη καὶ περὶ τῶν προβάντων ὅρκων μέσον ὑμῶν, ὥστε μὴ κρίνεσθαι ὑπὸ τὸν μητροπολίτην Ῥωσίας, διὸ ἐσκανδαλίσθητε εἰς τὸν καιρὸν τῆς ἐπισκοπῆς τοῦ Ποιμένος ἐκείνου, ὡς ὑμεῖς λέγετε, οὐκ ὀλίγα συνεχέθημεν καὶ ἐλυπήθημεν, εἰδότες τὸν ψυχικὸν κίνδυνον, εἰς ὃν ἐνεπέσετε, καὶ ἐδυσχεράναμεν πρὸς τὰς τοῦ πονηροῦ δαίμονος μεθοδίας, καὶ ἐθαυμάσαμεν, πῶς μήπω καθαρῶς ἀπαλλαγέντας τῶν προτέρων πειρασμῶν ἐνέβαλεν ὑμᾶς πάλιν ἑτέροις πειρασμοῖς· διὰ τοῦτο καὶ γράμματα ἔπεμψα πρὸς ὑμᾶς, τόν τε ψυχικὸν κίνδυνον, εἰς ὃν διὰ τοῦ ὅρκου ἐνεπέσετε, δεικνύων ὑμῖν καὶ παραινῶν καὶ διδάσκων, ὡς πατὴρ καὶ δεσπότης πνευματικὸς παρὰ θεοῦ καταστὰς τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν, μὴ ἀφυλάκτως οὕτω καὶ προπετῶς ἑαυτοὺς ἐπιρρίπτειν ταῖς τοιαύταις πάγαις τοῦ δαίμονος, τοῦ ἐξ ἀρχῆς βασκαίνοντος τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ γὰρ μικρὸν, οὐδὲ τὸ τυχὸν ἦν τὸ ἁμάρτημα ὑμῶν, ἀλλ' εἴπερ οὕτως ἐποιήσατε, ὡς ἠκούσαμεν, οὐδὲν ἄλλο ὠμόσατε ἢ τὸ καταλύειν τοὺς ἱεροὺς καὶ θείους κανόνας, τὸ γὰρ μὴ κρίνεσθαι ὑπὸ τοῦ μητροπολίτου, μηδὲ τὴν ὑποταγὴν ἀπονέμειν αὐτῷ κατὰ τὴν ἀρχαίαν συνήθειαν, μηδὲ ὑπὸ τὸν πρῶτον ὑμῶν ἀρχιερέα τετάχθαι καὶ πνευματικὴν παρ' αὐτοῦ ἀνάκρισιν ἐπιδέχεσθαι, τοῦτό ἐστιν, ὅπερ ὠμόσατε, καὶ οὐκ ἄλλο τι· ὅτι δὲ, ὡς ἔμαθον, καὶ τὴν ἡμετέραν γραφὴν, ἣν ὑμῖν ἔπεμψα εἰς παραίνεσιν καὶ διδασκαλίαν ὑμῶν, οὐκ ἐδέξασθε, οὐδὲ ἐβελτιώθητε, ἀναγνῶντες αὐτὴν, οὐδὲ εἰς μετάνοιαν ἤλθετε, οὐδὲ ψυχικὴν πρόνοιαν ἐποιήσατε, ἀλλὰ καὶ ταύτην ἀπερρίψατε, ὥσπερ τι περιττὸν καὶ ἀνωφελὲς, τί ἂν εἴποιμεν περὶ τούτου; ἐγὼ ἀπορῶ, πόθεν κινηθέντες ἐτολμήσατε κατὰ τῆς ἡμετέρας γραφῆς, ὃ οὐδεὶς τῶν χριστιανῶν ἐτόλμησε πώποτε, τὸ γὰρ ἡμέτερον γράμμα ἐκεῖνο εὐαγγελίου τόπον εἶχεν εἰς ὑμᾶς, τὰ ῥήματα τοῦ Χριστοῦ φέρον καὶ διδάσκον τὴν σωτηρίαν ὑμῶν, καὶ εἴ τις ἐτόλμησε κατ' αὐτοῦ, εἰς τὸν Χριστὸν ἥμαρτεν· αὐτὸς γὰρ εἶπεν ἐν τοῖς ἁγίοις εὐαγγελίοις πρὸς τοὺς αὐτοῦ μαθητὰς καὶ ἀποστόλους καὶ τοὺς ἀπ' ἐκείνων διδασκάλους τῶν χριστιανῶν· „ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ.“ ὅπερ ἰδὼν καὶ ὁ γνήσιος μητροπολίτης ὑμῶν καὶ τὸ σκληρὸν ὑμῶν καὶ ἀπειθὲς καὶ ἀδιόρθωτον, ὡς οὔτε ταῖς αὐ-

τοῦ παραινέσεσιν ἐπείσθητε, ἵνα καταλύσητε τὸν παράνομον ὅρκον ἐκεῖνον, ἀλλὰ καὶ τὴν ἡμετέραν γραφὴν κατεφρονήσατε, ἐξήνεγκε καθ' ὑμῶν ἀφορισμὸν εἰς ἐκδίκησιν τῶν θείων καὶ ἱερῶν κανόνων, οὐδὲ γὰρ ἄλλο τι εἶχε ποιήσειν ἢ τοῦτο. ὑμεῖς δὲ καὶ μετὰ τοῦτο καὶ τὸν μητροπολίτην ἀθετεῖτε, καὶ τὸν ἀφορισμὸν κατεδέξασθε, τοὺς ἱεροὺς καὶ θείους κανόνας εἰς οὐδὲν λογισάμενοι, οὓς ἐπὶ συστάσει τῶν χριστιανῶν οἱ ἅγιοι καὶ θεοφόροι πατέρες ἐξέθηκαν, ἐμπνευσθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος, τοῦ γὰρ τριακοστοῦ πρώτου κανόνος τῶν ἁγίων ἀποστόλων κατὰ ῥῆμα διεξιόντος· „εἴ τις πρεσβύτερος καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου χωρὶς συναγάγῃ καὶ θυσιαστήριον ἕτερον πήξῃ, μηδὲν κατεγνωκὼς τοῦ ἰδίου ἐπισκόπου ἐν εὐσεβείᾳ, καθαιρείσθω ὡς φίλαρχος, τύραννος γάρ ἐστιν· ὡσαύτως καὶ οἱ λοιποὶ κληρικοί, ὅσοι ἂν αὐτῷ προσθῶνται, οἱ δὲ λαϊκοὶ ἀφοριζέσθωσαν.“ σὺ ὁ ἐπίσκοπος ἡνώθης τοῖς λαϊκοῖς, καὶ συνήχθης μετ' αὐτῶν, καὶ πρῶτον μὲν ἔστερξας τὸν παράνομον ὅρκον, μηδεμίαν κἂν σωματικὴν ὠφέλειαν προξενοῦντα, ἀλλ' ἐπὶ καταλύσει τῶν θείων καὶ ἱερῶν κανόνων, τῶν οὕτω παρακελευομένων· „δι' οὐδεμίαν αἰτίαν ἀποσχίζεσθαι μήτε ἐπίσκοπον, μήτε λαϊκοὺς ἢ κληρικοὺς τοῦ ἰδίου μητροπολίτου, εἰ μὴ ὁ μητροπολίτης φανερῶς αἵρεσιν κατὰ τῆς εὐσεβείας κηρύττει καὶ δόγματα ἀλλότρια τῆς τοῦ Χριστοῦ ἐκκλησίας.“ ποία γὰρ ὠφέλεια προσεγένετο ὑμῖν ἀπὸ τοῦ ἐκβληθῆναι ἀπὸ τοῦ μητροπολίτου καὶ τῆς ὑποταγῆς καὶ τῆς ἀνακρίσεως αὐτοῦ; πάντως οὐδεμία, εἰ μὴ μόνον ἀπείθεια καὶ ἀνυποταξία καὶ ἀπώλεια ψυχική. εἶτα ἀφορισθέντες ἵνα καταλύσητε τὸν ὅρκον, ὑμεῖς μᾶλλον, ἵνα τάχα μὴ ἐπιορκήσητε, ἀμετανόητοι ἐμείνατε, ὅπερ ἐστὶν ἄτοπον καὶ κακόν, κάλλιον γὰρ ἦν καταλῦσαι τὸν ὅρκον τὸν κακόν, ὃν ἐποιήσατε, ἵνα ἀπέχητε ἀπὸ τοῦ μητροπολίτου, καὶ φονεύητε τοὺς ἀφ' ὑμῶν εἰς ἐκεῖνον ἀπερχομένους καὶ τοὺς ἀπ' ἐκείνου πρὸς ὑμᾶς, ἢ στέρξαι, ἐπεὶ καὶ ὁ Ἡρώδης κάλλιον ἦν ἵνα καταλύσῃ τοὺς ὅρκους αὐτοῦ ἢ ἵνα φονεύσῃ τὸν τίμιον Πρόδρομον, περὶ οὗ καὶ οἱ τῆς ἐκκλησίας ἱεροὶ ὑμνῳδοὶ λέγουσιν, ὅτι κρεῖττον ἦν ψευσάμενον τὸν Ἡρώδην ζωῆς ἐπιτυχεῖν καὶ μὴ ἀληθεύσαντα τὴν κάραν τοῦ Προδρόμου ἀποτεμεῖν· πάλιν δὲ τὸ χεῖρον καὶ ἀτοπώτερον, ὅτι ὑπὸ τὸν ἀφορισμὸν ὄντες οἱ ἱερεῖς βαπτίζετε, ἱερουργεῖτε, θυσιαστήρια πήγνυτε, συνάξεις καὶ ἑορτὰς καὶ πανηγύρεις ἐπιτελεῖτε, ἃ δὴ πάντα παρὰ τοὺς ἱεροὺς καὶ θείους κανόνας εἰσί, λέ-

γουσι γὰρ οἱ ἀποστολικοὶ κανόνες ἐν τῷ λβ' κανόνι· „εἴ τις πρεσβύτερος ἢ διάκονος ὑπὸ ἐπισκόπου γένηται ἐν ἀφορισμῷ, τοῦτον μὴ ἐξεῖναι παρ' ἑτέρου δεχθῆναι, ἀλλ' ἢ παρὰ τοῦ ἀφορίσαντος αὐτόν, εἰ μή τι ἂν κατὰ συγκυρίαν τελευτήσει ὁ ἀφορίσας αὐτὸν ἐπίσκοπος·" σὺ δὲ ὁ ἐπίσκοπος, ὡς ἔμαθον, καταφρονήσας μετὰ τοιούτου λαοῦ ἀδιορθώτου, πάντα δῆθεν πράττετε τὰ ἱερατικά, καὶ παρὰ κανόνας μεταχειρίζεσθε τὰ ἅγια, ἐκκοπέντες καὶ ἀπορραγέντες τοῦ πρώτου καὶ τῆς κεφαλῆς καὶ νεκροὶ ἐντεῦθεν γενόμενοι, οὐδὲ γὰρ δύναται σῶμα ζῆν ἄνευ κεφαλῆς. καὶ ἵνα μάθητε, εἰς οἷον κακὸν ἐνεπέσετε, ἐὰν οὐδὲν ποιήσητε, ὅσα ὑμῖν παραινοῦμεν, ἀκούσατε τοῦ ἀποστολικοῦ τριακοστοῦ τετάρτου κανόνος· „τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης," ἀλλὰ καὶ ὁ τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς συνόδου πέμπτος κανὼν τάδε φησίν, ἀναιρῶν τὰ σχίσματα καὶ τὰς παρασυναγωγάς, ἅς τινες τῶν ἐπισκόπων καταφρονοῦντες τίθενται· „εἴ τις πρεσβύτερος ἢ διάκονος, καταφρονήσας τοῦ ἰδίου ἐπισκόπου, ἀφώρισεν ἑαυτὸν τῆς ἐκκλησίας, καὶ ἰδίᾳ συνήγαγε καὶ θυσιαστήριον ἔπηξε, καὶ τοῦ ἐπισκόπου προσκαλεσαμένου ἀπειθοίη, καὶ μὴ βούλοιτο αὐτῷ πείθεσθαι μηδὲ ὑπακούειν, καὶ πρῶτον καὶ δεύτερον καλοῦντι, τοῦτον καθαιρεῖσθαι παντελῶς καὶ μηκέτι θεραπείας τυγχάνειν, μηδὲ δύνασθαι λαμβάνειν τὴν ἑαυτοῦ τιμήν· εἰ δὲ παραμένει θορυβῶν καὶ ἀναστατῶν τὴν ἐκκλησίαν διὰ τῆς ἔξωθεν ἐξουσίας, ὡς στασιώδη αὐτὸν ἀποστρέφεσθαι." τὰ αὐτὰ δὲ τούτῳ καὶ ὁ ἕκτος φησὶ κανὼν τῆς αὐτῆς· „εἴ τις ὑπὸ τοῦ ἰδίου ἐπισκόπου ἀκοινώνητος γέγονε, μὴ πρότερον αὐτὸν παρ' ἑτέρου δεχθῆναι, εἰ μὴ ὑπ' αὐτοῦ παραδεχθείη τοῦ ἰδίου ἐπισκόπου· ὁ αὐτὸς δὲ ὅρος καὶ ἐπὶ λαϊκῶν καὶ κληρικῶν καὶ πάντων τῶν ἐν τῷ κλήρῳ καταλεγομένων κρατείτω." ὅτι δὲ πᾶσαν ἀπονέμειν χρὴ τιμὴν πάντας τοὺς ἐπισκόπους τῆς ἐπαρχίας τῷ ἰδίῳ μητροπολίτῃ, ὡς τὴν φροντίδα ἀναδεδεγμένον πάσης τῆς διοικήσεως, ἀκούσατε τοῦ θ' κανόνος τῆς αὐτῆς· „τοὺς καθ' ἑκάστην ἐπαρχίαν ἐπισκόπους εἰδέναι χρή, τὸν ἐν τῇ μητροπόλει προεστῶτα ἐπίσκοπον τὴν φροντίδα ἀναδέχεσθαι πάσης τῆς ἐπαρχίας διὰ τὸ ἐν τῇ μητροπόλει πανταχόθεν συντρέχειν πάντας τοὺς τὰ πράγματα ἔχοντας, ὅθεν ἔδοξε καὶ τῇ τιμῇ προηγεῖσθαι αὐτόν, μηδὲν δὲ πράττειν περιττὸν τοὺς λοιποὺς ἐπισκόπους ἄνευ αὐτοῦ, κατὰ τὸν

ἀρχαῖον κρατήσαντα ἐκ τῶν πατέρων ἡμῶν κανόνα, ἦ ταῦτα μόνα, ὅσα τῇ ἑκάστου ἐπιβάλλει παροικίᾳ καὶ ταῖς ὑπ᾽ αὐτὴν χώραις, περαιτέρω δὲ μηδὲν πράττειν ἐπιχειρεῖν δίχα τοῦ τῆς μητροπόλεως ἐπισκόπου." ἀλλὰ καὶ ὁ τῆς ἐν Καρθαγένῃ δέκατος κανών· „οὐκ ἐκεῖνο δεῖ, φησί, παρεᾶσαι, ἵνα ἐάν τις τυχὸν ἀπὸ τοῦ ἰδίου ἐπισκόπου καταγνωσθεὶς φυσιότητί τινι καὶ ὑπερηφανίᾳ ἐπαρθεὶς ἡγήσεται ὀφείλειν κεχωρισμένως ἅγια τῷ θεῷ προσφέρειν ἢ ἄλλο ἀνορθοῦν θυσιαστήριον, κατὰ τῆς ἐκκλησιαστικῆς πίστεως καὶ καταστάσεως, ὁ τοιοῦτος ἀτιμώρητος μὴ ἐξέλθῃ". καὶ πάλιν· „ἐάν τις ἐπίσκοπος κατὰ τοῦ ἰδίου ἐπισκόπου φυσιωθεὶς σχίσμα ποιήσῃ, ἀνάθεμα ἔστω." ταῦτα μὲν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες διαγορεύουσι, τὴν τάξιν διδάξαντες καὶ τὴν ὑποταγήν, ἥτις συνέχει καὶ τὰ οὐράνια καὶ τὰ ἐπίγεια· ὑμεῖς δὲ χριστιανοὶ ὄντες καὶ τούτοις ὀφείλοντες ὑποτάσσεσθαι, κατεφρονήσατε τοῦ ἰδίου μητροπολίτου πρῶτον, εἶτα καὶ τῆς ἡμῶν μετριότητος, καὶ τί λέγω, ἐμοῦ καὶ τοῦ μητροπολίτου, τοὺς ἱεροὺς τούτους κανόνας εἰς οὐδὲν ἐλογίσασθε, καὶ τὴν ἐκκλησιαστικὴν κατάστασιν ἠθετήσατε καὶ ἀνετρέψατε ἀπὸ τοῦ μὴ θελῆσαι τὸν ὅρκον καταλῦσαι, ὃν ἐπὶ κακῷ τῆς ὑμῶν σωτηρίας συνεστήσασθε. πάντοτε μὲν γὰρ ὁ ὅρκος κακὸν καὶ ὀλέθριον, καὶ οὐδ᾽ ἄν τι γένοιτο κέρδος οὐδενὶ τῶν ἀνθρώπων ἀπὸ τοῦ ὅρκου, καταλύοντος τὸν νόμον τοῦ Χριστοῦ, μὴ ὀμόσαι ὅλως νομοθετοῦντος, διὸ καὶ οἱ ἀληθεῖς καὶ ὀρθοὶ τῶν χριστιανῶν τὸν ὅρκον ἐκφεύγουσιν, ὡς φεύγει τις ἀπὸ ὄφεως· ἐνταῦθα δὲ ὁ ὅρκος οὗτος καὶ χεῖρον πάντων καὶ ἀτοπώτερον καὶ μηδὲν ἀγαθὸν ἔχον μεθ᾽ ἑαυτοῦ, μᾶλλον δὲ πάσης κακίας ὑπερβολήν. ἀλλ᾽ ἕως πότε ταῦτα; τῶν δαιμόνων μόνον τὸ ἀδιόρθωτον καὶ ἀμετανόητον, τῶν ἀνθρώπων δὲ τῶν νοῦν ἐχόντων καὶ λογισμῷ φερομένων ἡ μετάνοια καὶ ἡ τῶν ἐπταισμένων διόρθωσις καὶ τὸ μετὰ τὸ πεσεῖν ἀναστῆναι καὶ μετὰ τὸ πλανηθῆναι ἐπὶ τὴν ἀπλανῆ καὶ ὀρθὴν πορευθῆναι ὁδόν. διορθώσασθε γοῦν καὶ ὑμεῖς ἑαυτούς, καὶ ἰδόντες, εἰς οἷον κακὸν ἐνεπέσετε, ὑποτάγητε τῷ μητροπολίτῃ ὑμῶν, μετανοήσατε ἐφ᾽ οἷς ἠδικήσατε*), καταλύσατε τὸν ὅρκον ἐκεῖνον, ἐγὼ γὰρ λέγω τοῦτο, ὁ πατὴρ καὶ πατριάρχης ὑμῶν, ὁμονοήσατε εἰς τὸ ἀγαθόν, εἰς τὴν ταπείνωσιν, εἰς τὴν ἀγάπην, εἰς τὴν ὑποταγὴν τῆς ἐκκλησίας καὶ τοῦ

---

*) Suprascriptum: ἐπλημμελήσατε.

μητροπολίτου ὑμῶν, συγχώρησιν ζητήσατε ὧν ἐπταίσατε, ἀπόδοτε τῇ ἐκκλησίᾳ θεοῦ τὴν ὀφειλομένην ὑποταγήν, καὶ ἐπειδὴ οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν τοῦ θεοῦ, ἐὰν μόνον ὁμολογήσητε, ὅτι ἐπταίσατε, καὶ ζητήσητε συγχώρησιν καὶ συμπάθειαν παρὰ τοῦ μητροπολίτου ὑμῶν, καὶ ὁ θεὸς ὁ διὰ τῶν ἀποστόλων νομοθετῶν, πείθεσθαι τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκειν ὡς ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν καὶ λόγον ἀποδώσουσιν ἐν ἡμέρᾳ κρίσεως, εὖ οἶδ' ὅτι συγχωρήσει ὑμῖν εἰς ὅσα ἐπταίσατε· ἂν γὰρ μὴ τοῦτο γένηται παρ' ὑμῶν μετὰ συντριβῆς καρδίας καὶ ταπεινώσεως, ἀλλὰ διαμείνητε μέχρι τέλους ἐπὶ τῆς προτέρας ἀπειθείας τε καὶ σκληρότητος, οὐδεὶς ἡμῶν λύσει τὸν καθ' ὑμῶν ἐκφωνηθέντα ἀφορισμόν, καὶ ἐὰν ὑπολαμβάνητε, ὅτι ἐκκλησίαν ἔχετε ἢ ἐπίσκοπον, ἢ ἁγιάζεσθε ἢ κοινωνεῖτε ἢ ἱερατικόν τι τελεῖται ἐν ὑμῖν, τοῦ ἀφορισμοῦ μὴ συγχωρηθέντος, πλανᾶσθε, ἔξω γάρ ἐστε παντὸς ἁγιασμοῦ, ὅπερ ἵνα μὴ ἐπιπλέον κρατῇ, ὑποβολῇ τοῦ πονηροῦ δαίμονος, καὶ τοσοῦτος λαὸς ἐκπέσῃ τῆς δόξης τοῦ Χριστοῦ καὶ τῆς βασιλείας τῶν οὐρανῶν, ἀνανήψατε, καὶ συντόμως τὴν διόρθωσιν ἐπιζητήσατε, καταλλάγητε καὶ εἰρηνεύσατε· διὰ τοῦτο γὰρ καὶ κοινῶς βουλευσάμενοι μετὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοὺς παρόντας ἀποκρισιαρίους εἰς ὑμᾶς ἐπέμψαμεν, τόν τε ἱερώτατον ἀρχιεπίσκοπον Βηθλεέμ, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κῦρ Μιχαήλ, καὶ τὸν οἰκεῖον τῷ ἁγίῳ μου βασιλεῖ, ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξιον τὸν Ἀαρών, ἀνθρώπους φρονίμους καὶ φίλους τῆς ἀληθείας, ἵνα ἔλθωσι καὶ ἴδωσιν ὑμᾶς, καὶ δείξωσι καὶ ἀπὸ στόματος τὴν ἐντολὴν τοῦ θεοῦ, καὶ προσκαλέσωνται ὑμᾶς εἰς κοινωνίαν μεθ' ἡμῶν, καὶ εἰρηνεύσωσι καὶ καταλλάξωσι μετὰ τοῦ μητροπολίτου. ἀπὸ τοῦ νῦν γάρ, ἐὰν μὴ ἀκούσητε, οὐδένα λόγον ὀφείλομεν τῷ θεῷ, ὃ γὰρ ἔδει ποιῆσαι ἡμᾶς, καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς ἤδη μετὰ σπουδῆς καὶ προθυμίας ἐποιήσαμεν, οὐκ ἀπὸ τοῦ στόματος ἡμῶν μόνον εἰπόντες, ἀλλὰ καὶ τοὺς κανόνας τῶν ἁγίων πατέρων εἰς ὑπόμνησιν ὑμῖν καὶ διδασκαλίαν ἐκθέντες πλατύτερον· ὑμέτερον δ' ἂν εἴη, τὴν ὠφέλειαν ἑλέσθαι τῶν ὑμετέρων ψυχῶν καὶ τὴν εἰρήνην ζητῆσαι καὶ τὸν ἁγιασμόν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον. καὶ τούτου γινομένου, εἴπερ ἔχετέ ποτε καί τινα λόγον προξενοῦντα ὑμῖν σκάνδαλον, οὐκ ὀφείλετε, τῇ ἰδίᾳ γνώμῃ ἀκολουθοῦντες, τὸ δόξαν ὑμῖν πράττειν

ἀπερισκέπτως, οὐδὲ γὰρ φρονίμων τοῦτο ἀνθρώπων καὶ τῶν τῆς ἐκκλησίας Χριστοῦ, ἀλλὰ ἀνατρέχειν εἰς ἡμᾶς καὶ εὑρίσκειν τὴν τοῦ ζητουμένου λύσιν τε καὶ διόρθωσιν· „ἐρώτησον γάρ, φησί, τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, καὶ τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι", ἐγὼ γάρ εἰμι ὁ καθολικὸς τῆς οἰκουμένης κριτής, καὶ πᾶς ὁ ἀδικούμενος χριστιανὸς εἰς ἐμὲ ἀνατρέχει, καὶ λαμβάνει τὴν διόρθωσιν· εἴ τι γοῦν καὶ ὑμεῖς παρὰ τοῦ Ποιμένος ἠδικεῖσθε, εἰς ἡμᾶς ἔπρεπεν ἀναδραμεῖν, καὶ εἰς πᾶν πρᾶγμα, δι' ὃ ἐσκανδαλίσθητε, ἐμέλλομεν ἡμεῖς ποιήσειν τὴν διόρθωσιν, καὶ νῦν δὲ ἐπὶ ταύτης τῆς ὑποθέσεως εἴπερ τι χρῄζετε παρ' ἡμῶν εἰς οἰκείαν βοήθειαν, οὐκ ἀποκλείομεν ὑμῖν τὸ ἐλθεῖν πρὸς ἡμᾶς, ἀλλὰ μετὰ τὸ εἰρηνεῦσαι καὶ καταλλαγῆναι καὶ ἀποδοῦναι τῷ μητροπολίτῃ τὴν ἰδίαν τιμὴν καὶ ὑποταγήν, ἧς παρ' ὑμῶν στερεῖται, εἴπερ ἔχετέ τι, διὸ ἐσκανδαλίσθητε, εἴπατε ἐλθόντες πρὸς ἡμᾶς, καὶ εὑρήσετε τὴν προσήκουσαν διόρθωσιν καὶ θεραπείαν, ἐὰν μόνον, ὃ μέλλετε ζητήσειν, ὑπάρχῃ δίκαιον καὶ κανονικόν· εἰ γάρ ἐστιν ἄδικον, ὃ μέλλετε ζητεῖν, καὶ καινοτομία τις, ἔξω τῶν ἱερῶν κανόνων, εἰς κενὸν μέλλει εἶναι ἡ στράτα ὑμῶν καὶ ὁ κίνδυνος καὶ ἡ ἔξοδος, ἡμεῖς γὰρ οὔτε διὰ δῶρα, οὔτε δι' ἀξίωσιν ἢ φιλίαν μέλλομεν ἄδικόν τι ποιήσειν ἐπί, βλάβῃ καὶ καταλύσει τῶν δικαίων, ἀλλ' ἐκεῖνο θέλομεν ποιήσειν ὃ καὶ εἰς τὴν ψυχήν σας ἀφορᾷ δίκαιον καὶ ὠφέλιμον καὶ εἰς τὴν ἡμετέραν τιμήν· ὅτε γοῦν θελήσετε ἐλθεῖν διὰ ζητήματα δίκαια, ἃ οὐδὲν εὑρίσκετε αὐτοῦ, οὐδὲ ὁ μητροπολίτης θέλει ἐμποδίσειν ὑμᾶς, ἄνθρωπος γὰρ ὢν καλὸς καὶ φρόνιμος καὶ εἰδὼς κανόνας καὶ νόμους ἐκκλησιαστικούς, ὅτι ὁ βουλόμενος ἄδειαν ἔχει ἀνατρέχειν εἰς ἡμᾶς καὶ ζητεῖν, εἴ τι ἀδικεῖται, μέλλει καὶ ἀποδέξασθαι τοῦτο· γινώσκει γάρ, ὅτι καλὸν θέλει γενέσθαι ἀφ' ἡμῶν καὶ δίκαιον. ποιήσατε γοῦν μετὰ πάσης σπουδῆς, καθὼς ὑμῖν παρακελευόμεθα, ὅσα γὰρ ὁ μητροπολίτης ἐννόμως καὶ κανονικῶς εὐλογήσει ἢ ἀφορίσει, τὸ στέργον ἔχουσι καὶ παρ' ἡμῶν, καὶ ἐὰν μετανοήσητε, καὶ συγχωρήσῃ ὑμῖν, ἔχομεν καὶ ἡμεῖς ὑμᾶς συγκεχωρημένους καὶ εὐλογημένους, καὶ εὐξόμεθα ὑπὲρ ὑμῶν τῷ θεῷ, ἵνα καὶ παρ' αὐτοῦ συμπαθείας τύχητε †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ μηνὶ σεπτεβρίῳ. ἰνδ. β' †.

## CCCCXLVII. Sine anno.

*Adhortatio patriarchae ad Basilium, regem Moscovii.*

† Εὐγενέστατε μέγα ῥὴξ Μοσχοβίου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Βασίλειε· χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς καὶ σώματος, εὐχὴν καὶ εὐλογίαν καὶ ἄλλο εἴ τι ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται τῇ εὐγενείᾳ σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. οἶδεν ἡ εὐγένειά σου, πόση σύγχυσις ἐγένετο καὶ ταραχὴ πρὸ χρόνων ὀλίγων εἰς τὴν ἐκκλησίαν τῆς Ῥωσίας, δι' ἃ καὶ ὑμεῖς ἐλυπεῖσθε, καὶ ἡμεῖς λίαν ἔχομεν τὸ πρᾶγμα βαρύ. ἀφ' οὗ δὲ κρίμασιν οἷς οἶδε θεὸς ἀνῆλθεν ἡ μετριότης ἡμῶν εἰς τὸν ὑψηλὸν πατριαρχικὸν θρόνον, πολλὴν σπουδὴν ἐσπουδάσαμεν καὶ μέγαν ἀγῶνα ἠγωνισάμεθα, ὥστε εἰρηνεῦσαι τὴν ἐκκλησίαν ταύτην καὶ ἀποκαταστῆσαι αὐτὴν ὡς τὸ πρότερον, ὃ καὶ ἐγένετο, τοῦ θεοῦ συνεργοῦντος, τοῦ εἰρηνοποιοῦντος τὰ σύμπαντα, καὶ ἀποκατέστη καὶ αὖθις ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, ὁ κῦρ Κυπριανὸς, εἷς μητροπολίτης εἰς πᾶσαν τὴν Ῥωσίαν κατὰ τὴν ἀρχαίαν συνήθειαν, καὶ μετὰ θάνατον αὐτοῦ πάλιν ὁμοίως εἷς. ἀρτίως δὲ ὁ ἀποσταλεὶς παρ' ὑμῶν ἀποκρισιάριος τοῦ μητροπολίτου καὶ τῆς εὐγενείας σου, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Δημήτριος ὁ Ἀθηναῖος, ἀνέφερε καὶ εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ βασιλέα καὶ εἰς τὴν ἡμῶν μετριότητα τὰ σχίσματα καὶ τὴν γενομένην ἀποστασίαν ἐν τῷ Μεγάλῳ Νοβογραδίῳ, καὶ ἐλυπήθημεν ὑπερβαλλόντως, ὅτι ὅτε εἰρήνευσεν ἡ αὐτόθι τοῦ Χριστοῦ ἐκκλησία, καὶ ἀπηλάθησαν αἱ τοσαῦται συγχύσεις καὶ ταραχαὶ, χάριτι Χριστοῦ τοῦ τὰ διεστῶτα συνάψαντος καὶ λύσαντος τὸ τῆς ἔχθρας μεσότειχον καὶ εἰρηνοποιήσαντος διὰ τοῦ σταυροῦ τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, πάλιν ἐξήγειρεν ὁ διάβολος τὰ σχίσματα ταῦτα πρὸς ἀπώλειαν τῶν χριστιανῶν ἐκείνων· καὶ οὐδὲν θαυμαστὸν, ἔθος γὰρ ἀεὶ τῷ φιλοταράχῳ καὶ φιλοπολέμῳ δαίμονι τοιαῦτα κατὰ τῶν χριστιανῶν ἐνεργεῖν, φύσις γὰρ ὢν πονηρὰ καὶ μισάνθρωπος οὐ δύναται βλέπειν τοὺς χριστιανοὺς εἰρηνεύοντας, διὸ καὶ πᾶσαν κινεῖ μηχανὴν κατ' αὐτῶν, ἀλλὰ καὶ νῦν συντόμως ἡττηθήσεται καὶ καταισχυνθήσεται, τῇ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ

Χριστοῦ δυνάμει, τοῦ φήσαντος, ἰσχυροτέραν ἔσεσθαι τὴν ἐκκλησίαν καὶ αὐτῶν τῶν τοῦ Ἅιδου πυλῶν. ἡ γὰρ μετριότης ἡμῶν, βουλευσαμένη μετὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ τῆς ἐκκλησίας προαγωνιστοῦ καὶ προμάχου, πρὸς διόρθωσιν πάλιν τῆς ἐκκλησίας ταύτης ἔγραφεν, ὅπερ μέλλει ἰδεῖν ἡ εὐγένειά σου, ἐπειδὴ γὰρ υἱόν σε ἔχει γνήσιον ἡ μετριότης ἡμῶν καὶ φίλον, καὶ ἀποδέχεται τὸ συμφέρον τῆς ψυχῆς σου καὶ τῆς τιμῆς σου καὶ τῆς ἀρχῆς σου, ὅσα ζητεῖ παρ' ἡμῶν ἡ εὐγένειά σου εὔλογα καὶ δίκαια καὶ κανονικά, ἀνάγκην ἔχομεν ποιεῖν αὐτά, καθὼς καὶ ποιοῦμεν, ἐκδικηταὶ γάρ ἐσμεν τῶν θείων νόμων καὶ τῶν κανόνων, καὶ ὀφείλομεν τοῦτο εἰς πάντας χριστιανούς, πολλῷ μᾶλλον εἰς μεγάλους ἀνθρώπους καὶ ἄρχοντας ἐθνῶν καὶ τοπάρχας, οἷος ἔνι ἡ εὐγένειά σου, καὶ ταῦτα πάντα, πῶς ἐγένοντο κανονικῶς καὶ νομίμως, μέλλει γνωρίσειν ἡ εὐγένειά σου ἀφ' ὧν ἐγράψαμεν γραμμάτων· ἐπεὶ δὲ καθολικός εἰμι διδάσκαλος πάντων τῶν χριστιανῶν, ἀνάγκην ἔχω, ἐὰν ἀκούω τίποτε γινόμενον παρὰ τῆς εὐγενείας σου, ὅπερ σε βλάπτει ψυχικῶς, ἵνα σοι γράφω τοῦτο ὡς πατήρ σου καὶ διδάσκαλος μετὰ νουθεσίας καὶ παραινέσεως, ἵνα διορθώσῃς αὐτό· καὶ ἔχεις καὶ σὺ ἀνάγκην ὡς χριστιανὸς καὶ υἱὸς τῆς ἐκκλησίας, ἵνα ποιήσῃς διόρθωσιν· διὰ τί γὰρ περιφρονεῖς ἐμέ, τὸν πατριάρχην, καὶ οὐδὲν ἀποδίδως τὴν τιμήν, ἣν ἐδίδουν οἱ πρόγονοί σου, οἱ μεγάλοι ῥῆγες, ἀλλὰ περιφρονεῖς καὶ ἐμὲ καὶ τοὺς ἀνθρώπους, οὓς πέμπω αὐτόθι, καὶ οὐδὲν ἔχουσι τιμὴν καὶ τὸν τόπον, ὃν εἶχον πάντοτε οἱ τοῦ πατριάρχου ἄνθρωποι; οὐ γινώσκεις, ὅτι ὁ πατριάρχης τὸν τόπον ἔχει τοῦ Χριστοῦ, καὶ ἐπ' αὐτοῦ κάθηται τοῦ θρόνου τοῦ δεσποτικοῦ; οὐδὲν περιφρονεῖς ἄνθρωπον, ἀλλὰ αὐτὸν τὸν Χριστόν, ὅτι καὶ ὁ τιμῶν τὸν πατριάρχην, αὐτὸν τιμᾷ τὸν Χριστόν· οὐ γὰρ διότι διὰ τὰς κοινὰς ἁμαρτίας ἀπωλέσαμεν τοὺς τόπους καὶ τὰς χώρας ἡμῶν, ἤδη καὶ παρὰ τῶν χριστιανῶν ὀφείλομεν περιφρονεῖσθαι, εἰ γὰρ καὶ εἰς τὴν κοσμικὴν ἀρχὴν περιφρονούμεθα, ἀλλ' ὁ χριστιανισμὸς κηρύττεται πανταχοῦ, καὶ τὴν τιμὴν τὴν αὐτὴν ἔχομεν, ἣν εἶχον οἱ ἀπόστολοι καὶ οἱ ἐκείνων διάδοχοι, οὐδὲ γὰρ ἐκεῖνοι δόξας ἀνθρωπίνας καὶ κοσμικὰς ἀρχὰς εἶχον, μᾶλλον μὲν οὖν ἐδιώκοντο καὶ ὑβρίζοντο παρὰ τῶν ἀσεβῶν, καὶ καθ' ἡμέραν ἀπέθνησκον, ἀλλὰ τὸ μεγαλεῖον αὐτῶν καὶ τὸ κράτος, ὅπερ εἶχον εἰς τοὺς χριστιανούς, πάσης ἦν ἐπέκεινα τιμῆς. διὰ τοῦτο, υἱέ μου, γράφω

καὶ παραινῶ καὶ συμβουλεύω τῇ εὐγενείᾳ σου, ἵνα ὡς αὐτὸν τὸν Χριστόν, οὕτως τιμᾷς τὸν πατριάρχην καὶ τοὺς λόγους αὐτοῦ καὶ τὰ γράμματα καὶ τὰ μηνύματα καὶ τοὺς ἀνθρώπους, οὓς πέμπει· τοῦτο γάρ σε ὀφελεῖ καὶ εἰς τὴν ψυχήν σου καὶ εἰς τὴν τιμήν σου καὶ εἰς τὴν ἀρχήν σου· εἰ δὲ περιφρονεῖς καὶ ἀτιμάζεις τὸν θεόν, πρόσεχε, μήποτε αὐτὸς ἐκεῖνος ἐκδικητὴς ἑαυτοῦ γένηται· „φοβερὸν γάρ, φησὶ ἐκπεσεῖν εἰς χεῖρας θεοῦ ζῶντος,“ καὶ πάλιν διὰ τοῦ προφήτου φησίν· „ἴδετε οἱ καταφρονηταί, καὶ θαυμάσατε καὶ ἀφανίσθητε“. ταῦτα ἐγὼ μὲν ὀφείλω παραγγέλλειν καὶ διδάσκειν πρὸς τὴν εὐγένειάν σου, σὺ δὲ χρεωστεῖς ὑπακούειν ὡς τῆς ἐκκλησίας υἱὸς καὶ διορθώσασθαι τὸ πρᾶγμα. ἀλλὰ καὶ περὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ βασιλέως ἀκούω λόγους τινὰς λαλουμένους παρὰ τῆς εὐγενείας σου, καὶ λυποῦμαι, ἐμποδίζεις γάρ, ὡς λέγουσι, τὸν μητροπολίτην ἵνα μνημονεύῃ τοῦ θείου ὀνόματος τοῦ βασιλέως ἐν τοῖς διπτύχοις, πρᾶγμα γενέσθαι ποτὲ ἀδύνατον, καὶ ὅτι λέγεις, ὅτι ἐκκλησίαν ἔχομεν ἡμεῖς, βασιλέα δὲ οὔτε ἔχομεν, οὔτε λογιζόμεθα, καὶ οὐδὲν ἔνι ταῦτα καλά. ὁ βασιλεὺς ὁ ἅγιος πολὺν τόπον ἔχει εἰς τὴν ἐκκλησίαν, οὐδὲ γὰρ ἔνι καθὼς οἱ ἄλλοι ἄρχοντες καὶ αὐθένται τόπων, οὕτω καὶ ὁ βασιλεύς, διότι ἀπ' ἀρχῆς οἱ βασιλεῖς ἐστήριξαν καὶ ἐβεβαίωσαν τὴν εὐσέβειαν εἰς πᾶσαν τὴν οἰκουμένην, καὶ τὰς οἰκουμενικὰς συνόδους οἱ βασιλεῖς συνήγαγον, καὶ τὰ περὶ τῶν ὀρθῶν δογμάτων καὶ τὰ περὶ τῆς πολιτείας τῶν χριστιανῶν, ἃ λέγουσιν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, αὐτοὶ ἐβεβαίωσαν. καὶ ἐνομοθέτησαν στέργεσθαι, καὶ πολλὰ ἠγωνίσαντο κατὰ τῶν αἱρέσεων, καὶ τὰς τῶν ἀρχιερέων πρωτοκαθεδρίας καὶ τὴν τῶν ἐπαρχιῶν αὐτῶν διαίρεσιν καὶ τὸν τῶν ἐνοριῶν μερισμὸν βασιλικαὶ διατάξεις ἐτύπωσαν μετὰ τῶν συνόδων, δι' ἃ καὶ μεγάλην τιμὴν καὶ τόπον ἔχουσιν ἐν τῇ ἐκκλησίᾳ, εἰ γὰρ καί, συγχωρήσει θεοῦ, τὰ ἔθνη περιεκύκλωσαν τὴν ἀρχὴν τοῦ βασιλέως καὶ τὸν τόπον, ἀλλὰ μέχρι τῆς σήμερον τὴν αὐτὴν χειροτονίαν ἔχει ὁ βασιλεὺς παρὰ τῆς ἐκκλησίας καὶ τὴν αὐτὴν τάξιν καὶ τὰς αὐτὰς εὐχάς, καὶ τῷ μεγάλῳ χρίεται μύρῳ καὶ χειροτονεῖται βασιλεὺς καὶ αὐτοκράτωρ τῶν Ῥωμαίων, πάντων δηλαδὴ τῶν χριστιανῶν, καὶ ἐν παντὶ τόπῳ καὶ παρὰ πάντων πατριαρχῶν καὶ μητροπολιτῶν καὶ ἐπισκόπων μνημονεύεται τὸ ὄνομα τοῦ βασιλέως, ἔνθα ὀνομάζονται χριστιανοί, ὅπερ οὐδεὶς τῶν ἄλλων ἀρχόντων ἢ τοπαρχῶν ἔχει ποτέ, καὶ τοσοῦτον ἔχει παρὰ πάντων τὸ κράτος, ὅτι καὶ αὐτοὶ οἱ λατῖνοι, οἱ μηδεμίαν ἔχοντες κοινωνίαν

εἰς τὴν ἡμετέραν ἐκκλησίαν, καὶ αὐτοὶ τὴν αὐτὴν τιμὴν καὶ τὴν αὐτὴν ὑποταγὴν αὐτῷ διδόασιν, ἣν καὶ εἰς τὰς ἀρχαίας ἡμέρας, ὅτε ἦσαν μεθ' ἡμῶν ἡνωμένοι, πολλῷ μᾶλλον οἱ χριστιανοὶ οἱ ὀρθόδοξοι ὀφείλουσιν αὐτῷ ταῦτα. οὐ γὰρ διότι τὰ ἔθνη περιεκύκλωσαν τὸν τόπον τοῦ βασιλέως, δεῖ καὶ τοὺς χριστιανοὺς περιφρονεῖν αὐτόν, ἀλλὰ τοῦτο μᾶλλον αὐτοὺς παιδευέτω καὶ σωφρονεστέρους ποιείτω, ὅτι εἰ ὁ βασιλεὺς ὁ μέγας, ὁ τῆς οἰκουμένης κύριος καὶ ἄρχων, ὁ τοσαύτην περιβεβλημένος δύναμιν, εἰς τοσαύτην στενοχωρίαν κατήντησε, τί ἂν πάθοιεν ἄλλοι τινὲς μερικοὶ τοπάρχαι καὶ ὀλίγων ἄρχοντες, ἐπεὶ ἡ εὐγένειά σου καὶ ὁ αὐτόθι τόπος πάσχει πολλάκις καὶ πολιορκεῖται παρὰ τῶν ἀσεβῶν καὶ αἰχμαλωτίζεται, ἀλλ' οὐκ ἔνι δίκαιον διὰ τοῦτο περιφρονεῖν ἡμᾶς τὴν εὐγένειάν σου, ἀλλὰ καὶ ἡ μετριότης ἡμῶν καὶ ὁ βασιλεὺς ὁ ἅγιος κατὰ τὴν ἀρχαίαν συνήθειάν σοι γράφομεν, καὶ τὴν τιμήν, ἣν εἶχον οἱ πρὸ σοῦ μεγάλοι ῥῆγες, τὴν αὐτήν σοι διδόαμεν καὶ ἐν τοῖς γράμμασι καὶ ἐν τοῖς μηνύμασι καὶ ἐν τοῖς ἀποκρισιαρίοις. οὐδὲν οὖν ἔνι καλόν, υἱέ μου, ἵνα λέγῃς, ὅτι ἐκκλησίαν ἔχομεν, οὐχὶ βασιλέα, οὐκ ἔνι δυνατὸν εἰς τοὺς χριστιανούς, ἐκκλησίαν ἔχειν καὶ βασιλέα οὐκ ἔχειν. ἡ γὰρ βασιλεία καὶ ἡ ἐκκλησία πολλὴν ἕνωσιν καὶ κοινωνίαν ἔχει, καὶ οὐκ ἔνι δυνατόν, ἀπ' ἀλλήλων διαιρεθῆναι. ἐκείνους μόνους τοὺς βασιλεῖς ἀποβάλλονται οἱ χριστιανοί, τοὺς αἱρετικούς, τοὺς λυττήσαντας κατὰ τῆς ἐκκλησίας καὶ παρεισάξαντας διεφθαρμένα δόγματα καὶ ἀλλότρια τῆς τῶν ἀποστόλων καὶ τῶν πατέρων διδασκαλίας· ὁ δὲ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, χάριτι θεοῦ, ἔνι ὀρθοδοξότατος καὶ πιστότατος καὶ πρόμαχος τῆς ἐκκλησίας καὶ δεφένστωρ καὶ ἐκδικητής, καὶ οὐκ ἔνι δυνατόν, ἀρχιερέα εἶναι τὸν μὴ μνημονεύοντα αὐτοῦ· ἄκουσον γὰρ καὶ τοῦ κορυφαίου τῶν ἀποστόλων, Πέτρου, λέγοντος ἐν τῇ πρώτῃ τῶν καθολικῶν ἐπιστολῶν· „τὸν θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε“, οὐκ εἶπε, τοὺς βασιλεῖς, ἵνα μή τις ὑπολάβῃ τοὺς ὀνομαζομένους βασιλεῖς σποράδην εἰς τὰ ἔθνη, ἀλλὰ τὸν βασιλέα, δηλῶν, ὅτι εἷς ἐστιν ὁ καθολικὸς βασιλεύς. καὶ ταῦτα τίνα; ἀσεβῆ τότε ὄντα καὶ διώκτην τῶν χριστιανῶν, ἀλλ' ὡς ἅγιος καὶ ἀπόστολος προορῶν τὸ μέλλον, ὅτι οἱ χριστιανοὶ καὶ βασιλέα μέλλουσιν ἔχειν ἕνα, διδάσκει τιμᾶν τὸν ἀσεβῆ βασιλέα, ἵνα μάθωσιν ἀπὸ τούτου, πῶς δεῖ τιμᾶν τὸν εὐσεβῆ καὶ ὀρθόδοξον, εἰ γὰρ καὶ ἄλλοι τινὲς τῶν χριστιανῶν ὄνομα βασιλέως ἑαυ-

τοῖς ἐπεψήφισαν, ἀλλὰ παρὰ φύσιν εἰσὶν ἐκεῖνα πάντα καὶ παράνομα καὶ τυραννίδι καὶ βίᾳ μᾶλλον γινόμενα· τίνες γὰρ πατέρες ἢ ποῖαι σύνοδοι ἢ τίνες κανόνες περὶ ἐκείνων λέγουσιν; ἀλλὰ περὶ τοῦ φυσικοῦ βασιλέως ἄνω καὶ κάτω βοῶσιν, οὗ καὶ αἱ νομοθεσίαι καὶ αἱ διατάξεις καὶ τὰ προστάγματα στέργονται κατὰ πᾶσαν τὴν οἰκουμένην, οὗ καὶ μόνου μνημονεύουσιν οἱ χριστιανοὶ πανταχοῦ, καὶ οὐκ ἄλλου τινός. γράφω οὖν, υἱέ μου, πρὸς τὴν εὐγένειάν σου, καὶ συμβουλεύω, . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

**Reliqua desunt.**

CCCCXLVIII. (6904—1396) iulio. ind. IV.

*Logizus Ioannes fidem orthodoxam profitetur.*

† Ὁμολογία τοῦ ἀπὸ τῶν λατίνων ἐλθόντος Λογίζου Ἰωάννου †.

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. μηνὶ ἰουλίῳ ἰνδ. δ′ †.

Σίγνον | Ἰωάννου
τοῦ Λογίζου †.

CCCCXLIX. Sine anno.

*Patriarcha docet archiepiscopum Susdaliae, legatos examinaturos esse controversias ortas de Novogradio et Borodetzio.*

† Θεοφιλέστατε ἀρχιεπίσκοπε Σουσδάλεως· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ θεοφιλίᾳ σου· γινώσκεις ἀκριβῶς, πῶς ὁ καλόγηρώς σου, ὁ κῦρ Διονύσιος ἐκεῖνος, ἀνέφερεν εἰς ἡμᾶς περὶ τοῦ Νοβογραδίου καὶ τοῦ Βοροδετζίου, ὅτι τῆς Σουσδάλεώς εἰσιν ἐνορία, καὶ ὑπὸ τὸν ῥῆγα αὐτοῦ τελοῦσι, καὶ πλησίον αὐτοῦ εἰσι, καὶ παρεκάλεσε καὶ ἔλαβε γράμματα ἐπὶ τούτοις παρά τε τῆς βασιλείας καὶ τῆς ἐκκλησίας, ἵνα μὴ ἐνοχλῆται παρὰ τοῦ κατὰ καιροὺς μητροπολίτου Ῥωσίας, ἅπερ καὶ αὐτός, Σουσδάλεως γεγονὼς μετὰ τὸν ἐκείνου θάνατον, ἔδειξας καὶ παρεκάλεσας, καὶ ἔλαβες καὶ αὐτὸς ἕτερα γράμματα εἰς πρόσωπόν σου, ἵνα ἔχῃς ταῦτα, εἴπερ εἰσὶ τῆς ἐκκλησίας Σουσδάλεως ἐνορία, ὡς ἀνεφέρετε. νῦν δὲ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἅμα τῷ εὐγενεστάτῳ καὶ ἐνδοξοτάτῳ μεγάλῳ ῥηγὶ Μοσχοβίου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι

ποθεινοτάτῳ υἱῷ τῆς ἡμῶν μετριότητος, κυρῷ Βασιλείῳ, ἔγραψαν καὶ ἀπέστειλαν μετὰ τοῦ ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κυροῦ Δημητρίου τοῦ Ἀθηναίου, περὶ τῶν κάστρων τούτων, καὶ λέγουσιν, ὅτι οὐκ ἀληθὴς ἦν ἐξ ἀρχῆς ἡ ἀναφορὰ τοῦ καλογήρου σου, ὅτι τῆς Σουσδάλεώς εἰσιν ἐνορία, ἀλλ' ὅτι ταῦτα ἦσαν τῆς μητροπόλεως Ῥωσίας, ἄνωθεν καὶ ἐξ ἀρχῆς παρ' αὐτῆς δεσποζόμενα καὶ ἀρχόμενα, ὁ δὲ καλόγηρώς σου ἐζήτησεν αὐτὰ ἀπὸ τοῦ μητροπολίτου Κυέβου καὶ πάσης Ῥωσίας ἐκείνου, τοῦ κυροῦ Ἀλεξίου, ἵνα ἔχῃ ταῦτα ἐξαρχικῶς, καὶ εἶχε ταῦτα μέχρι καὶ τῆς ζωῆς τοῦ κυροῦ Ἀλεξίου· ἐπεὶ οὖν ἀπέθανε μὲν ὁ κῦρ Ἀλέξιος, ἕτερος δὲ ἤργησε σταθῆναι εἰς τὴν μητρόπολιν Ῥωσίας διὰ τὰς μεταξὺ συγχύσεις, καθὼς γινώσκεις καὶ σύ, κατεῖχεν αὐτὰ τὰ κάστρα ὁ καλόγηρώς σου, καὶ εὑρὼν ἄδειαν ἐνταῦθα, ἐπεὶ οὖν μητροπολίτης οὐκ ἦν Ῥωσίας καθολικός, ἀλλὰ ποτὲ μὲν ἦν εἷς, ποτὲ δὲ ἕτερος, ἀνέφερε καὶ ἔλαβεν αὐτά, εἰπών, ὅτι τῆς ἐκκλησίας αὐτοῦ εἰσιν· ἐπεὶ δὲ νῦν ἀποκατέστησαν τὰ πράγματα εἰς ἕνα μητροπολίτην, καὶ εἰρήνη γέγονεν εἰς τὴν ἐκκλησίαν ταύτην, βοηθείᾳ θεοῦ, ἐζήτησεν καὶ εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ εἰς ἐμέ, λυθῆναι τὴν ἀδικίαν ταύτην καὶ λαβεῖν τὴν μητρόπολιν τὰ ἑαυτῆς κάστρα. βουλευσάμενοι γοῦν κοινῶς μετὰ τοῦ βασιλέως τοῦ ἁγίου, ἐπειδὴ θεοῦ χάριτι τοῦ δικαίου καὶ τῆς ἀληθείας ἐστὶ βασιλεύς, ἀνεθήκαμεν καὶ τὰ περὶ τούτου τοῖς ἐρχομένοις αὐτόθι παρ' ἡμῶν ἀποκρισιαρίοις, τῷ τε ἱερωτάτῳ ἀρχιεπισκόπῳ Βηθλεέμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Μιχαήλ, καὶ τῷ οἰκείῳ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱῷ τῆς ἡμῶν μετριότητος, κυρῷ Ἀλεξίῳ τῷ Ἀαρών, ἵνα ἐξετάσωσι τὸ περὶ τούτου· δεῖξον οὖν αὐτοῖς τὰ γράμματα, ὅσα ἔλαβες καὶ σὺ καὶ ὁ καλόγηρώς σου ἀπό τε τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου αὐτοκράτορος, τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως, καὶ ἀπὸ τῆς ἡμῶν μετριότητος καὶ τοῦ πρὸ ἐμοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, καὶ ἐπειδὴ ὡς τῆς ἐκκλησίας Σουσδάλεως ἐζητήσατε ταῦτα, καθὼς καὶ ἡμεῖς μεμνήμεθα, καὶ ἐν τῷ ἱερῷ κώδικι τῆς μεγάλης ἐκκλησίας τοῦ θεοῦ εὑρίσκομεν, εἰ μὲν ἀποδείξεις εἰς αὐτούς, ὅτι τῆς Σουσδάλεως ἦσαν, ἢ διὰ γραμμάτων ἄλλων παλαιῶν καὶ ἀξιοπίστων ἢ ἀπὸ μαρτυρίας καλῶν ἀνθρώπων καὶ γερόντων καὶ εὐλαβῶν, ἀνεφέρετε ἀληθῶς,

καὶ ὀφείλουσι καὶ τὰ γράμματα ἡμῶν ἔχειν τὸ στέργον καὶ ἀκατάλυτον, ὅσα κατέχεις· εἰ δὲ οὐδὲν ἀποδείξεις τοῦτο, ἀλλὰ μᾶλλον δείξει ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, ὃ λέγει, ἀληθές, ὅτι τῆς μητροπόλεως ἦσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς, ὁ δὲ καλόγηρώς σου πρὸς καιρὸν κατέσχε ταῦτα ὡς ἔξαρχος, τοῦ Ῥωσίας ἐκείνου, κῦρ Ἀλεξίου, ταῦτα πρὸς αὐτὸν δεδωκότος, τὰ μὲν γράμματα, τὴν οἰκείαν ἔχοντα καὶ οὕτω τιμήν, ἔσονται εἰς τὴν πρᾶξιν ταύτην, ὡσὰν εἰ μηδὲ ἐγένοντο τὴν ἀρχήν, ἐπειδὴ ἐκ ψευδοῦς ἀναφορᾶς ἐγένοντο, τὰ δὲ κάστρα λήψεται ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας, οὐδὲ γὰρ θέλομεν ἄδικόν τι γενέσθαι, ἀλλὰ εἰρήνην καὶ ἀλήθειαν καὶ δικαιοσύνην. ἄπελθε γοῦν εἰς τὴν ἐξέτασιν, καὶ δεῖξον, εἴ τι ἔχεις δικαίωμα, καὶ γενήσεται, θεοῦ βοηθείᾳ, ὅσον ἐστὶ δίκαιον. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς θεοφιλίας σου †.

## CCCCL. (6902—1393) 29. octobris. ind. II.

*Institutio data archiepiscopo Bethlehem, Michaëli, et Alexio Aaron, legatis mittendis in Russiam.*

† Ἡ δοθεῖσα ὑποτύπωσις τοῖς ἀπερχομένοις εἰς τὴν Ῥωσίαν ἀποκρισιαρίοις, τῷ ἀρχιεπισκόπῳ Βηθλεὲμ καὶ τῷ Ἀαρὼν †.

† Ἱερώτατε ἀρχιεπίσκοπε Βηθλεέμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ, καὶ σύ, οἰκεῖε τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Ἀλέξιε Ἀαρών· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ. ἐπειδὴ ἐξελέγητε καὶ ἀπεστάλητε εἰς τὴν Ῥωσίαν ἀποκρισιάριοι ἀπό τε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ τῆς ἡμῶν μετριότητος, καὶ γινώσκετε, ὅσα ἀπὸ στόματος πρὸς ὑμᾶς εἴπομεν, ἰδοὺ καὶ ἐγγράφως ταῦτα ὑμῖν παραδίδομεν διὰ πλείονα τὴν ἀσφάλειαν· λέγομεν καὶ παραγγέλλομεν ὑμῖν, ἵνα πρῶτον ἔχητε ἕνωσιν πνευματικὴν καὶ ὁμόνοιαν, καθὼς ὑμᾶς ἡνώσαμεν, καὶ τηρῆτε τὴν εἰρήνην καὶ τὴν ἀγάπην μέσον ὑμῶν, ὡς παρηγγέλθητε πολλάκις ἀφ' ἡμῶν, οὔτε γὰρ σύ, ὁ ἀρχιεπίσκοπος, ὀφείλεις εἰπεῖν ποτε, ὅτι ἐξελέγης παρ' ἐμοῦ, τοῦ πατριάρχου, ἢ ὅτι ἔχεις γράμμα ἴδιον παρ' ἐμοῦ ἢ κἂν λόγον ἁπλῶς, ὃν οὐ γινώσκει καὶ ὁ Ἀαρών, οὔτε σύ, ὁ Ἀαρών, εἰπεῖν, ὅτι παρὰ

τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐξελέγης καὶ ἀπεστάλης, καὶ ἔχεις τινὰ ἴδιον ὁρισμὸν αὐτοῦ, ὃν οὐ γινώσκει καὶ ὁ ἀρχιεπίσκοπος Βηθλεέμ, ἀλλὰ καὶ κοινῶς ὁμοῦ ὑμᾶς ἐξελεξάμεθα, ὅ τε βασιλεὺς ὁ ἅγιος καὶ ἐγώ, καὶ πᾶν εἴ τι εἴχομεν εἰπεῖν καὶ διὰ γραμμάτων καὶ ἀπὸ στόματος, καὶ ἀμφοτέροις ὑμῖν παρεδώκαμεν, καὶ οὐδεὶς ἐξ ὑμῶν ἔχει ἴδιόν τι καὶ κεκρυμμένον, ἀλλὰ πάντα κοινὰ καὶ φανερὰ ὑμῖν ἐγένοντο. ἐπεὶ γοῦν οὕτως ἡνώθητε ἀφ' ἡμῶν, καὶ οὐδεμίαν ἔχετε αἰτίαν σκανδάλου, καὶ ὑμεῖς ὀφείλετε πρὸς ἀλλήλους ἀνενόχλητοι καὶ εἰρηνικοὶ διαμεῖναι, εἰς δόξαν πρῶτον τοῦ θεοῦ καὶ ἡμῶν, τῶν ἐκλεξαμένων ὑμᾶς εἰς ταύτην τὴν ὑπηρεσίαν, καὶ εἰς ὑμετέραν τιμήν. ἔπειτα λέγομεν, ἵνα πάντα τὰ γράμματα ἔχητε ὑμεῖς μεθ' ἑαυτῶν, καὶ ὅταν ἀπέλθητε εἰς τὸ Μοσχόβιον, ὁμοῦ καὶ οἱ δύο παραδιδῶτε καὶ πρὸς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας καὶ πρὸς τὸν υἱόν μου, τὸν εὐγενέστατον μέγαν ῥῆγα πάσης Ῥωσίας τὰ πρὸς αὐτοὺς γράμματα, καὶ ὁμιλεῖτε οἱ δύο αὐτοῖς, ὁσάκις ἂν βλέπητε αὐτούς, ἢ διὰ τὰς δουλείας, δι' ἃς ἀπεστάλητε, ἢ διὰ ὁμιλίαν ἁπλῶς ὡς φίλοι καὶ ἀποκρισιάριοι, ὅταν ὑμεῖς θέλητε, ἢ ὅταν οὗτοι προσκαλέσωνται ὑμᾶς, ἢ οἱ δύο ὁμοῦ, ὁ μητροπολίτης καὶ ὁ μέγας ῥήξ, ἢ ἑκάτερος τούτων ἰδίως, εἷς δὲ ἐξ ὑμῶν νὰ μηδὲν ἴδῃ ἰδίως δι' οὐδεμίαν πρόφασιν ἢ τὸν μέγαν ῥῆγα ἢ τὸν μητροπολίτην. ὀφείλετε δὲ ἀπελθεῖν καὶ εἰς τὸ μέγαν Νοβογράτιον, καὶ συνάξεως γενομένης τοῦ ἐκεῖ ἐπισκόπου καὶ τῶν ἀρχόντων τῶν ἐκεῖ καὶ τοῦ λοιποῦ λαοῦ, δεῖξαι αὐτοῖς πρῶτον ἀπὸ στόματος, πῶς διὰ τὴν ψυχικὴν αὐτῶν ὠφέλειαν ἐπέμψαμεν ὑμᾶς εἰς αὐτοὺς εἰς τοσοῦτον διάστημα τόπου καὶ κίνδυνον, ὅτι λυπούμεθα, ἵνα χαθῇ τοσοῦτον πλῆθος χριστιανῶν ἀπὸ τῆς ἐκκλησίας τοῦ Χριστοῦ διὰ πεῖσμα ἔρημον καὶ κακόν, ἔπειτα δῶτε αὐτοῖς καὶ τὰ πρὸς αὐτοὺς γράμματα, τά τε βασιλικὰ καὶ τὰ συνοδικὰ τῆς ἡμῶν μετριότητος, ὅσα τε ἐγένοντο πρὸ τοῦ ἐλθεῖν τὸν ἀποκρισιάριον αὐτῶν ἐνταῦθα, τὸν Κύρικον, καὶ ὅσα μετὰ τὸ ἐλθεῖν, πρῶτον δὲ δῶτε τὰ πρὸ τοῦ ἐλθεῖν τὸν Κύρικον, εἶτα τὰ δεύτερα, ὅσα ἐγένοντο, ἀφ' οὗ ἦλθεν, ἵνα ἀναγνωσθῶσι παρρησίᾳ, καὶ ἀκούσωσι πᾶς ὁ λαός, καὶ ἐπιστρέψωσιν ἀπὸ τῆς πλάνης αὐτῶν καὶ τῆς κακίας, καὶ λάβωσι τὸν μητροπολίτην αὐτῶν, καὶ ὑποτάσσωνται αὐτῷ κατὰ τὴν ἀρχαίαν συνήθειαν, καὶ δέξησθε καὶ παρ' αὐτῶν γράμματα, κἂν ὅπως ἂν διατεθῶσιν εἰς ἅπερ μέλλετε

αὐτοῖς παραδοῦναι, καθὼς εἴπομεν, ἢ καὶ ἀποκρισιαρίους, ἐὰν θέλωσι πέμψαι, ἢ δι' εὐλογίαν, ἐὰν ἀκούσωσιν ἡμῶν, καὶ δέωνται, ὅσα γράφομεν αὐτοῖς, ἢ δι' ἄλλην τινὰ χρείαν, εἴπερ δὲ ἔχουσι χρυσόβουλλα καὶ γράμματα, ὡς ὁ Κύρικος εἶπεν ἐνταῦθα ἀπὸ στόματος, λάβητε τὰ ἴσα τούτων αὐτολεξεὶ, καὶ φέρητε ἐνταῦθα. ἔτι δὲ ὀφείλετε ἰδεῖν καὶ τὸν Σουσδάλεως ἀρχιεπίσκοπον καὶ δεῖξαι πρὸς αὐτὸν καὶ παραδοῦναι καὶ τὰ ἡμέτερα γράμματα, καὶ ἐπειδὴ ὁ ἱερώτατος μητροπολίτης Κυέβου καὶ πάσης Ῥωσίας λέγει περὶ τῶν δύο κάστρων, τοῦ τε Νοβογραδίου καὶ τοῦ Βοροδετζίου, ὅτι τῆς μητροπόλεως αὐτοῦ ἦσαν ἀπ' ἀρχῆς, ὁ δὲ καλόγηρως αὐτοῦ, ὁ κῦρ Διονύσιος ἐκεῖνος, ὡς ἔξαρχος ἐκράτει αὐτὰ ἀπὸ τοῦ κυροῦ Ἀλεξίου, ὁ δὲ ἀρχιεπίσκοπος ἐκεῖνος καὶ οὗτος ὁ Εὐφρόσυνος εἶπεν ἐνταῦθα τὸ ἐναντίον, ὅτι μᾶλλον τῆς Σουσδάλεώς εἰσι, καὶ ἁρπάζει ταῦτα ὁ Ῥωσίας, καὶ διὰ τοῦτο ἐξ ἀναφορᾶς ἔλαβε καὶ γράμματα παρά τε τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ ἀοιδίμου καὶ μακαρίτου βασιλέως, καὶ ἀπὸ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, καὶ ἀπὸ τῆς ἡμῶν μετριότητος, οὕτω λέγομεν, ἵνα ὑμεῖς ποιήσητε· ζητήσατε τὰ γράμματα τά τε βασιλικὰ καὶ πατριαρχικὰ, παρόντων καὶ τῶν δύο μερῶν, τοῦ τε μητροπολίτου καὶ τοῦ Σουσδάλεως, καὶ εἴπερ ἀναγνόντες αὐτὰ εὕρετε, ὅτι ἐξ ἀναφορᾶς ἐγένοντο, διότι εἶπεν ὁ Σουσδάλεως, ὅτι τῆς ἐκκλησίας αὐτοῦ ἦσάν ποτε, καὶ διενοχλεῖται παρὰ τοῦ Ῥωσίας, ἂς φέρῃ ἢ γράμματα ἢ μάρτυρας, ἢ ἂς ἀποδείξῃ, ὅτι ἀλήθειαν ἀνέφερε, τῶν μαρτύρων δεξαμένων πρότερον βάρος ἀφορισμοῦ ἐγγράφως παρὰ σοῦ, τοῦ Βηθλεὲμ, καὶ εἰ μὲν παραστήσει τοῦτο, ἐχέτω ὁ Σουσδάλεως αὐτά· εἰ δὲ οὐδὲν δυνηθῇ παραστῆσαι αὐτὸ ἀληθὲς (ἐνθυμούμεθα γὰρ καὶ ἡμεῖς, ὅτι ὡς τῆς ἐκκλησίας αὐτοῦ ἐζήτησε ταῦτα, καὶ οὕτως ἔλαβε καὶ τὰ γράμματα, ὅσα ἔχει περὶ τούτων) τὰ μὲν γράμματα λάβετε ἡμεῖς, ἵνα φέρητε ἐνταῦθα, τὰ δὲ ἐκκλησιαστικὰ ἅπαντα δίκαια τῶν κάστρων παράδοτε πρὸς τὸν μητροπολίτην, ἵνα ἔχῃ αὐτὰ ὡς ἐνορίαν αὐτοῦ, καθὼς ἦν τὸ πρότερον. εἰ δὲ οὐκ εἰσὶν ἐξ ἀναφορᾶς τὰ γράμματα, ἀλλ' εὑρήσετε, ὅτι τῆς μητροπόλεώς εἰσι τὰ κάστρα, ἐζήτησε δὲ ταῦτα κατ' εὐεργεσίαν ἀπὸ τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως, καὶ ἀπεσπάσθησαν καὶ προσετέθησαν τῇ ἐκκλησίᾳ Σουσδάλεως, τὰ μὲν γράμματα ἐχέτωσαν τὸ κῦρος καὶ βέβαιον, καὶ ὁ ἀρχιεπίσκοπος ἐχέτω ἐν τοῖς κάστροις

τὰ ἐκκλησιαστικὰ αὐτοῦ δίκαια καὶ τὴν νομήν, ὁ δὲ μητροπολίτης, ἐὰν βούληται, ἂς γράφῃ καὶ ἂς ἀναφέρῃ πρὸς μὲν τὸν βασιλέα τὸν ἅγιον περὶ τοῦ χρυσοβούλλου, περὶ δὲ τοῦ σιγιλλίου πρὸς ἐμέ, καὶ καθὼς ἂν γνωρίσωμεν, πάλιν θέλομεν πράξειν, ὥσπερ καὶ νῦν, πρὸς ἃ ἀνέφερεν, ἐπράξαμεν, ὅσον ἥρμοζε· λάβετε δὲ καὶ τὰ ἴσα τῶν γραμμάτων τούτων αὐτολεξεί, καὶ φέρετε ἐνταῦθα. περὶ δὲ τῆς γραφῆς, ἣν πέμπω ἐγώ, ὁ πατριάρχης, πρὸς τὸν μητροπολίτην περὶ ὧν ὀφείλει εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα διὰ τὰς εὐεργεσίας καὶ τὰς χάριτας, ἃς ἐποίησεν εἰς αὐτόν, ἂς γένηται πᾶσα ἐπιμέλεια καὶ παρ' ὑμῶν, ἵνα πληρώσῃ ὁ μητροπολίτης πρὸς τὸν βασιλέα τὸν ἅγιον, ὅσον χρεωστεῖ πρὸς τὰς εὐεργεσίας, ἃς εὐηργετήθη παρ' αὐτοῦ καὶ πρῶτον καὶ νῦν, ἐπειδὴ ὅσον ἂν ποιήσῃ, τὸν μητροπολίτην αὐτὸν ὠφελεῖ πλέον, καὶ πρέπει, ἵνα σπουδάσῃ εἰς ὅσον γράφομεν αὐτῷ. προσέξετε δέ, ἵνα ποιήσητε πάντα καλῶς, μετὰ συνειδήσεως καὶ φόβου θεοῦ, ἵνα μὴ διά τινα τρόπον τῶν ἁπάντων ἀδικηθῇ ἓν μέρος ἀπὸ πάντων ὧν μέλλετε ἀκούσειν, καὶ εὕρητε καὶ ἀπὸ τοῦ θεοῦ καταδίκην καὶ ἀφ' ἡμῶν βάρος καὶ ὀργήν. ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν. ἀπ ε- λ ό θ η τ ῇ ε ἰ κ ο σ τ ῇ ἐ ν ν ά τ ῃ †.

† Εἶχε διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. β' †.

## CCCCLI. Sine anno.

*Metropolitae Staurupoleos per adiunctionem confertur metropolis Rhodi et Cycladum insularum.*

† Πρᾶξις συνοδικὴ ὑπὲρ τοῦ Σταυρουπόλεως †.

† Φθάνει πρὸ χρόνων ἤδη πολλῶν ὁ ἱερώτατος μητροπολίτης Σταυρουπόλεως, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Καρίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, λαβὼν ἐπιδόσεως λόγῳ παρὰ τοῦ παναγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Φιλοθέου, διὰ γράμματος ἐκείνου μετὰ γνώμης συνοδικῆς γεγονότος τὴν ἁγιωτάτην μητρόπολιν Ῥόδου μετὰ τῶν περὶ αὐτὴν πάντων, ἅτε δὴ τῆς κατ' αὐτὸν ἐκκλησίας, ταῖς συνεχέσι καὶ ἀλλεπαλλήλοις αἰχμαλωσίαις εἰς στενὸν κομιδῆ καταντησάσης καὶ πολλὴν ἐχούσης τὴν ἀπορίαν, καὶ διὰ τὸ μὴ δυνατὸν εἶναι γνήσιον ἐν τῇ Ῥόδῳ χειροτονεῖσθαι μητροπολίτην, ἀλλὰ κατ' ἐπίδοσιν ἄλλοτε πρὸς

ἄλλον ἀρχιερέα δίδοσθαι ταύτην, κἀντεῦθεν οὗτος τότε προεκρίθη τῶν ἄλλων διά τε τὰς εἰρημένας αἰτίας καὶ τὸ πλησίον εἶναι ταύτης καὶ δύνασθαι πνευματικῶς αὐτοὺς ἐπισκέπτεσθαι καὶ συνεχῶς ἐπιβλέπειν καὶ διὰ τὸ πατρίδα τὴν Ῥόδον ἔχειν αὐτὸν καὶ γνώριμον εἶναι τοῖς πᾶσι καὶ πολλοὺς ἔχειν φίλους καὶ συγγενεῖς ἐν αὐτῇ, ἅπερ οὐ μικρὰ συμβάλλονται πρὸς τὸ πείθειν ἀνθρώπους τῷ τοῦ θεοῦ ὑποκεῖσθαι θελήματι, δι' ἅπερ ἅπαντα καὶ τὴν προεδρίαν αὐτῆς ἡ τοῦ θεοῦ ἐκκλησία καλῶς ποιοῦσα ἐνεχείρισε τούτῳ· ἐπεὶ δὲ ὕστερον χειροτονηθεὶς μητροπολίτης Μύρων ὁ κῦρ Ματθαῖος ἐκεῖνος παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κῦρ Νείλου, ἔλαβε παρ' ἐκείνου καὶ τὴν προεδρίαν τῆς Ῥόδου, λυπεῖται μὲν ὁ Σταυρουπόλεως, ὡς εἰκός, μὴ ἔχων δὲ ὅτι καὶ δράσειεν, ἀνατρέχει πρός τε τὸν ἁγιώτατον πατριάρχην ἐκεῖνον καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ τὴν ἰδίαν λύπην μετὰ πολλῆς τῆς περιπαθείας διηγεῖται, καὶ δεῖται μετὰ πολλῶν τῶν δακρύων τὴν δυνατὴν θεραπείαν εὑρεῖν· ἐπικαμφθέντες τοίνυν τῇ δικαίᾳ τούτου δεήσει καὶ ἱκεσίᾳ, ἐπείπερ οὐκ ἦν δυνατὸν, τὸ προσφάτως ἐπὶ τῷ Μύρων γεγονὸς αὐτίκα καταλυθῆναι, τρόπον ἕτερον θεραπεύουσι τοῦτον, καὶ γράμμα συνοδικὸν εὐθέως ἀπολύεται παρὰ τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου, λίαν ἰσχυρὸν καὶ κατησφαλισμένον, ὡς ἄν, εἴπερ ὁ Μύρων πρὸ αὐτοῦ τὸν βίον ἀπολίποι, ἢ μετατεθείη πρὸς ἄλλην ἐκκλησίαν, ἢ ἑκὼν παραιτήσεται τὴν Ῥόδον, ἐπιλάβηται οὗτος δὴ ὁ Σταυρουπόλεως ταύτης, καὶ κατέχῃ, καθὼς καὶ πρότερον, μηδὲ γραμμάτων ἑτέρων δεηθείς· ἐπεὶ δὲ ἀρτίως τοῦ μητροπολίτου Μύρων τὸ χρεὸν λειτουργήσαντος οὐκ ἠρκέσθη τοῖς προτέροις γράμμασιν ὁ Σταυρουπόλεως, ἀλλὰ πλείονος ἕνεκεν ἀσφαλείας ἀναδραμὼν καὶ πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὰς συνοδικὰς ἐμφανίσας πράξεις καὶ τὰ βασιλικὰ προστάγματα, τὰ ἐπ' αὐταῖς προβάντα, ἐδεήθη τυχεῖν ἐπ' αὐτοῖς καὶ γράμματος τῆς ἡμῶν μετριότητος, αὕτη τὴν δέησιν αὐτοῦ δικαίαν κρίνουσα καὶ εὔλογον, συνδιασκεψαμένη τε τῇ περὶ αὐτὴν ὁμηγύρει τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Ἡρακλείας, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μύρων, τοῦ Χερσῶνος, τοῦ Γοτθίας, τοῦ Σουγδαίας, τοῦ Σωζοπόλεως καὶ τοῦ Μηδείας, εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ τῆς ἐκκλησίας προαγωνιστοῦ καὶ προστάτου, πέπραχε καὶ ἀποκατέστησε, στέργεσθαι τὴν προγεγονυῖαν πρᾶξιν συνοδικὴν παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρ-

χου, κῦρ Νείλου, ὥστε κατὰ τὴν αὐτῆς περίληψιν καὶ τοῦ σεπτοῦ προστάγματος τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος κατέχειν τὸν ἱερώτατον μητροπολίτην Σταυρουπόλεως ἐπιδόσεως λόγῳ τὴν ἁγιωτάτην μητρόπολιν Ῥόδου μετὰ πάντων τῶν περὶ αὐτήν, τῆς τε Κῶ καὶ τῶν Κυκλάδων νήσων, ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ ἀνενοχλήτως καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως, μηδεμιᾶς συσκευασθείσης αἰτίας, ὥστε καταλυθῆναι αὐτοῦ ζῶντος τὴν εἰρημένην πρᾶξιν καὶ ἀφαιρεθῆναι τὴν εἰρημένην ἐκκλησίαν ἀπ' αὐτοῦ ἢ καθόλου ἢ ἐν μέρει, ἀλλὰ μενεῖ βεβαία καὶ ἀκατάλυτος ἐν ὅλῃ τῇ ζωῇ αὐτοῦ, κἂν οἱαδήποτε ἐπινοηθῇ αἰτία, εἰ καὶ εὔλογος δοκεῖ. ἔσται τοίνυν ὁ μητροπολίτης Σταυρουπόλεως κατέχων τὴν ἐκκλησίαν τῆς Ῥόδου καὶ πάντα τὰ περὶ αὐτήν, ὀφείλων διενεργεῖν ἀκωλύτως πάντα τὰ ἀρχιερατικὰ καὶ λειτουργεῖν καὶ χειροτονεῖν τοὺς ἀξίους καὶ τὰ ἄλλα ποιεῖν, ὅσα καὶ γνήσιος ἀρχιερεύς, δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ἀπολαύων καὶ τοῦ συνήθους μνημοσύνου, ὡς εἴθισται καὶ νενόμισται, ὀφειλόντων καὶ τῶν εὑρισκομένων ἐν αὐτῇ κληρικῶν, ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀπονέμειν αὐτῷ τιμὴν καὶ αἰδῶ καὶ εὐπείθειαν καὶ ὑποτάσσεσθαι αὐτῷ ἐφ' οἷς ἂν ἔχοι λέγειν πρὸς αὐτούς, ἀφορῶσιν εἰς ψυχικὴν αὐτῶν λυσιτέλειαν. ἡ γὰρ πρὸς αὐτὸν γινομένη τιμὴ καὶ αἰδὼς καὶ ὑποταγὴ πρὸς τὴν ἡμῶν μετριότητα ἀναφέρεται, καὶ δι' αὐτῆς πρὸς τὸν θεὸν διαβαίνει· εἰ δέ τις ἀντιλέγειν αὐτῷ πειραθείη καὶ ἀντιπράττειν καὶ ἐναντιοῦσθαι, εὐθύνην ὑποστήσεται παρὰ τῆς ἡμῶν μετριότητος κανονικῶς τὴν ἀξίαν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ μητροπολίτῃ Σταυρουπόλεως, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Καρίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ τὸ παρὸν εἰς ἀσφάλειαν, μηνὶ . . . . . †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

CCCCLII. (6902—1394) ianuario. ind. II.

*Linardus Ioannes Latinus fidem orthodoxam profitetur.*

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. μηνὶ ἰανουαρίῳ ἰνδ. β' †.

CCCCLIII. (6902—1394) ianuario. ind. II.

*Patriarcha metropolitam Chalcedonis iubet restituere monasterio Acapnii fundum quemdam.*

† Ἱερώτατε μητροπολῖτα Χαλκηδόνος, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. αἱ ἔγγραφοί σου ἀναφοραὶ διεκομίσθησαν τῇ ἡμῶν μετριότητι καὶ ὑπανεγνώσθησαν συνοδικῶς, παρόντων καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, καὶ ἐγνωρίσαμεν, ἅπερ ἔγραφες καὶ ἀνέφερες· λέγεις οὖν καὶ λυπῆσαι, πῶς κοπιᾷς καὶ ἀγωνίζῃ, ἵνα προσάγῃς ἀνθρώπους τῷ θεῷ, καὶ διδάσκῃς αὐτοὺς τὴν κατὰ θεὸν πολιτείαν, εἶτα ἀντὶ τοῦ εὑρίσκειν ἀφ' ἡμῶν ἀναδοχὴν καὶ ἀγάπην καὶ εὐχαριστίαν, εὑρίσκεις λόγους τραχεῖς καὶ σκοπτικοὺς δι' οὐδεμίαν αἰτίαν, εἶτα καὶ κατειρωνεύῃ τῆς ἡμῶν μετριότητος, ὡς μὴ φυλαττούσης τὴν ἑτέραν τῶν ἀκοῶν σοί, τῷ ἑνὶ μέρει· ἡμεῖς οὖν, εἰ καὶ πρότερον εἴχομεν μερικὴν ἀμφιβολίαν περὶ τῆς ὑποθέσεως, νῦν ἐβεβαιώθημεν ἀπὸ τῶν σῶν γραμμάτων, ὅτι οὕτως ἔχει ἡ ὑπόθεσις, ὡς ἀνέφερον οἱ Ἀκαπνιῶται· οὐδὲν οὖν ἐποιήσαμεν ἔξω τοῦ πρέποντος, ὅτι ἠκούσαμεν τὰς μαρτυρίας καλῶν ἀνθρώπων καὶ ἀξιολόγων, καὶ ἐγράψαμεν, ἅπερ ἐγράψαμεν πρὸς τὴν σὴν ἱερότητα, καὶ αὐτὸς γὰρ ὁμολογεῖς, ὅτι τὸ κτῆμα τῶν Ἀκαπνιωτῶν ἔνι· τοῦτο μόνον συνάγεται παρὰ τῶν σῶν γραμμάτων, ὅτι ἐπεὶ οἱ Τοῦρκοι ἀπέσπασαν τοῦτο ἀπὸ τοῦ μοναστηρίου, ἔνι δίκαιον, ὅτι κατέχητε τοῦτο ὑμεῖς, οἱ Νεαμονῖται, καὶ οὐκ οἶδα, πῶς λανθάνει τὴν σὴν ἱερότητα, ἄνθρωπον καλὸν καὶ διδάσκαλον, ὡς λέγεις, τῆς κατὰ θεὸν πολιτείας, ὅτι αὐτὰ ταῦτα ποιεῖτε καὶ ὑμεῖς εἰς τοὺς ἀδελφοὺς τοὺς ὑμετέρους, ἅπερ καὶ οἱ Τοῦρκοι, καὶ τὴν μὲν ὑψηλοτέραν ἀγωγὴν διδάσκεις ὑπὸ σὲ καὶ τῆς μοναχικῆς πολιτείας τὴν ἀκρίβειαν, τῆς δὲ ἀδικίας καὶ ἁρπαγῆς καὶ πλεονεξίας διδάσκεις ἀντέχεσθαι πάσῃ μηχανῇ, ἣν ἀπαιτεῖται πᾶς χριστιανὸς φεύγειν ὡς ἀναξίαν τῆς ἡμετέρας κλήσεως. εἰ δὲ θέλεις καὶ αὐτοῖς

πράγμασι μαθεῖν, πόσον κακὸν ποιεῖτε, ἀνάγνωθι τὸν περὶ πλεονεξίας κανόνα τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ, ὃν ἐξέθετο κατὰ τὸν καιρὸν τῆς τῶν βαρβάρων καταδρομῆς καὶ αἰχμαλωσίας, ἵνα μάθῃς περὶ τῶν λαμβανόντων ἀλλότρια πράγματα, τί λέγει, ὅτι καὶ ἀναθέματι καθυποβάλλει τοὺς τοιούτους. ἡμεῖς οὖν καὶ ἀπὸ τῆς ἀναφορᾶς τῶν Ἀκαπνιωτῶν καὶ ἀπὸ μαρτυρίας ἀξιολόγων καὶ ἀπὸ τοῦ γράμματος τοῦ εὐτυχεστάτου καίσαρος, ὅπερ ἐποίησεν ὑπὲρ αὐτῶν, καὶ τὸ μέγιστον, ἀπὸ τῶν γραμμάτων τῶν σῶν ἀναμφιβόλως βεβαιωθέντες, ὅτι τῆς σεβασμίας μονῆς τοῦ Ἀκαπνίου ἔνι τὸ κτῆμα τοῦτο, λέγομεν καὶ ἀποφαινόμεθα καὶ παρακελευόμεθα συνοδικῶς, ὡς ἂν ἀπολύσητε τὸ κτῆμα, τὴν Βολλάδα, μετὰ πάσης ἣν ἐλάβετε μορτῆς καὶ τῆς νομῆς, ἣν εἶχεν εἰς τὸ ὑμέτερον χωρίον, τὸν Κολλυδρόν, καὶ παραλάβωσι τοῦτο οἱ Ἀκαπνιῶται δίχα λόγου τινὸς καὶ προφάσεως καὶ (τῆς) τυχούσης εὑρεσιλογίας, καὶ εἰ μὲν ποιήσητε κατὰ τὴν ἡμετέραν ἀπόφασιν, πάντα ἔστωσαν τὰ προγεγονότα συγκεχωρημένα καὶ λελυμένα, ὥσπερ ἂν εἰ μηδὲ ἐγένοντο· εἰ δὲ καὶ μετὰ τὴν παροῦσαν συνοδικὴν παρακέλευσιν τῆς ἡμῶν μετριότητος τοῖς αὐτοῖς ἐπιμένετε καὶ ἀδικεῖτε τοὺς ἀδελφούς, ἔχομεν καὶ σὲ καὶ τοὺς ὑπὸ σὲ πάντας, ὡς μὲν χρησαμένους ἐθνικῇ ἐξουσίᾳ καὶ ἀδικοῦντας φανερῶς, ἀφωρισμένους καὶ ἀκοινωνήτους, ὡς δὲ ἀπειθεῖς καὶ ἀνυποτάκτους πρὸς ἐμὲ καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ἀργοὺς τῆς ἱερωσύνης παντάπασιν· εἰ γὰρ κληρικός, τὸν ἴδιον ὁρῶν ἐπίσκοπον φανερῶς ἀδικοῦντα, ἄδειαν ἔχει κατὰ τοὺς ἱεροὺς κανόνας ἀποσχισθῆναι τούτου, πολλῷ μᾶλλον ἡμᾶς πρέπει ποιῆσαι καθ' ὑμῶν, ὅπουγε καὶ οἱ Ἀκαπνιῶται μόνοι ἄδειαν ἔχουσιν ὑμῶν ἀποσχισθῆναι καὶ δίχα τῆς ἐντεῦθεν ἐνδόσεως, οὐδὲν γὰρ ἐνέλιπον ὧν ὁ κύριος διορίζεται, καὶ γὰρ καὶ μόνοι πρὸς μόνους ὑμᾶς περὶ τῆς ὑποθέσεως εἶπον, καὶ οὐχ ἕνα μόνον καὶ δεύτερον παρέλαβον, ἀλλὰ καὶ πολλούς, καὶ τελευταῖον πρὸς τὴν ἐκκλησίαν ἀνέδραμον. εἰ γοῦν καὶ ταύτης νῦν παρακούσετε, ὡς ἐθνικοὺς καὶ τελώνας ἔχουσιν ἄδειαν ἔχειν ὑμᾶς· ἵνα οὖν μὴ ταῦτα γένωνται, ἀνυπερθέτως ἀπόδοτε αὐτοῖς καὶ τὸ κτῆμα καὶ τὴν μορτὴν μετὰ τῶν προνομίων αὐτοῦ πάντων. καὶ ὅπερ ὑμῖν προέγραφα, πάλιν τοῦτο λέγω, μηδὲν ἐπιχειρήσητε διὰ φιλονεικίαν, ἵνα ἀπολέσωσι τὸ κτῆμα αὐτῶν οἱ Ἀκαπνιῶται, ἢ ἔργοις ἢ λόγοις, ἐπεὶ ἐὰν ἀπὸ τῆς ὑμετέρας παρακινήσεως τοῦτο γένηται, ἀφ' ὑμῶν λήψονται ἕτερον κτῆμα ἰσόποσον ἢ τὴν αὐτὴν τιμὴν πολλαπλασίως

πρὸς τῷ καὶ οὕτως εὐθύνεσθαι κανονικῶς. γενέσθω τοίνυν ἀνυπερθέτως, καθὼς παρακελευόμεθα, ἵνα καὶ ἡ χάρις τοῦ θεοῦ ᾖ μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. δευτέρας †.

CCCCLIV. (6902—1394) ianuario. ind. II.

*Patriarcha scribit metropolitae Thessalonices de controversia orta inter metropolitam Chalcedonis et monasterium Acapnii.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ ἱερότης σου περὶ τῆς ὑποθέσεως τῆς μεταξὺ τῶν Ἀκαπνιωτῶν καὶ τῶν Νεαμονιτῶν, πόσα προέβησαν γράμματα ἡμέτερα· ἡ ἱερότης σου γοῦν οὐδόλως ἔγραφας περὶ τῆς ὑποθέσεως, πῶς ἔχει, ὁ δὲ ἱερώτατος μητροπολίτης Χαλκηδόνος ἔγραφε, καὶ ἀνέφερε λεπτομερῶς τὴν ὑπόθεσιν. ἀνεγνώσθησαν γοῦν αἱ ἀναφοραὶ αὐτοῦ παρόντων τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μύρων, τοῦ Κορίνθου, τοῦ Χερσῶνος, τοῦ Σουγδαίας, τοῦ Ζηκχίας, τοῦ Μηδείας καὶ τοῦ Μαυροβλαχίας. γνώμῃ γοῦν πάσης τῆς ἱερᾶς συνόδου ἐγράψαμεν πρὸς τὸν Χαλκηδόνος, καὶ πέμπομεν τὸ γράμμα πρὸς τὴν σὴν ἱερότητα· ἀναγνωσθήτω οὖν ἔμπροσθέν σου, παρόντος αὐτοῦ τε τοῦ Χαλκηδόνος καὶ τῶν Ἀκαπνιωτῶν, καὶ εἰ μὲν πεισθέντες οἱ Νεαμονῖται διορθώσουσι τὴν ὑπόθεσιν, εὖ ἂν ἔχοι· εἰ δὲ μή, ἐχέτω καὶ ἡ ἱερότης σου τούτους ἀργοὺς καὶ ἀκοινωνήτους κατὰ τὴν ἡμετέραν συνοδικὴν ἀπόφασιν. οἱ Ἀκαπνιῶται γράφουσι καὶ ἀναφέρουσι εἰς τὴν ἡμῶν μετριότητα, καὶ εὐχαριστοῦσι τῇ σῇ ἱερότητι, ὅτι βοηθεῖς αὐτοῖς πολλὰ εἰς τὸ δίκαιον αὐτῶν. καλῶς οὖν ποιεῖς καὶ ἀξίως σεαυτοῦ ὑπὲρ τῶν ἀδικουμένων ἀγωνιζόμενος, καὶ εἰς τὸ ἑξῆς δὲ σπούδασον, ὅση δύναμις, ἵνα μὴ λόγοις μόνον καὶ γράμμασιν, ἀλλὰ καὶ αὐτοῖς πράγμασιν εὕρωσι τὸ δίκαιον αὐτῶν. ἠκούσαμεν, ὅτι τὰ γράμματα οὐδὲν ἀντεστράφησαν πρὸς τοὺς Ἀκαπνιώτας, καθὼς ἐγράψαμεν, καὶ τοῦτο μόνον οὐδὲν ἀπεδεξάμεθα· γενέσθω δὲ νῦν, καὶ ἀντιστραφήτωσαν πάντα πρὸς αὐτοὺς πλὴν τοῦ προτέρου γράμματος τοῦ πρὸς τὴν σὴν ἱερότητα, δι' ὅπερ ἐλυπήθης· ἀσυγχώρητον

τὸ ἔχω, ἐὰν οὐδὲν ἀντιστραφῶσιν. ἡ χάρις τοῦ θεοῦ εἴη μετὰ τῆς σῆς ἱερότητος. ἀντιστραφήτω καὶ τὸ παρὸν πρὸς τοὺς Ἀκαπνιώτας δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. β' †.

## CCCCLV. (6902—1394) ianuario. ind. II.

*Promissio Demetrii et Andronici Chatzici.*

† Δημήτριος ὁ Χατζίκης καὶ Ἀνδρόνικος, ὁ υἱὸς αὐτοῦ, ὑποσχόμεθα εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ὅτι ἐὰν εὑρεθῶμέν ποτε κλεπταποδόχοι ἱεροῦ ἀσημίου ἢ τῆς ἁγίας τοῦ θεοῦ Σοφίας ἢ ἄλλης τινὸς σεβασμίας μονῆς ἢ ναοῦ, ἵνα καταδικαζώμεθα ἀποδιδόναι εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν ὑπέρπυρα διακόσια. νῦν μὲν γὰρ ἠλευθερώθημεν τῆς ζημίας καὶ τῆς τιμωρίας, ἐπειδὴ ἀπὸ μόνης τῆς ὁμολογίας Παλατίνου, τοῦ κλέπτου τοῦ καταλύσαντος τὴν σεβασμίαν εἰκόνα τῆς Παναγίας τῆς Θεραπειωτίσσης, οὐδὲν κατεδικάσθημεν· ἐὰν δὲ εἰς τὸ ἑξῆς εἰς ἄλλο τι εὑρεθῶμεν, παραδίδομεν ἑαυτοὺς εἰς ταύτην τὴν καταδίκην, ἣν εἴπομεν, τῶν διακοσίων ὑπερπύρων. καὶ δι' ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα ἡμῶν ὑπόσχεσις ἐγγράφως, καὶ ταῖς ἡμετέραις ἐσημειώθη οἰκειοχείροις ὑπογραφαῖς κατὰ μῆνα ἰαννουάριον τῆς β' ἰνδ. †.

† Διμίτριος ὁ Χατζόκης †. † Ἀνδρόνικος ὁ Χατζήκης †.

## CCCCLVI. Sine anno.

*Patriarcha hieromonacho Athanasio confert administrationem archiepiscopatus Cii.*

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις καὶ πνευματικῷ, κῦρ Ἀθανασίῳ, τὴν οἰκονομίαν καὶ διοίκησιν τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Κίου, ὅστις ὀφείλει ἐπιλαβέσθαι αὐτῆς μετὰ πάντων ὧν ἔχει κτημάτων καὶ τῶν ὁθενδήποτε διαφερόντων αὐτῇ δικαίων καὶ προνομίων καὶ σπουδάζειν καὶ ἐπιμελεῖσθαι ὑπέρ τε τῆς συστάσεως αὐτῶν κ. τ. λ. πρόσεστι τοίνυν αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## CCCCLVII. (6902—1394) martio. ind. II.

*Promissio Ducae Caucadeni.*

† Μηνὶ μαρτίῳ ἰνδ. β', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Κορίνθου καὶ τοῦ Μηδείας, παρέστη Δοῦκας ὁ Καυκαδηνός, ζητῶν συγχώρησιν τοῦ ἐκφωνηθέντος κατ' αὐτοῦ ἀφορισμοῦ, διόπερ ἐπεχείρησε ποιῆσαι συνοικέσιον. ἀπῃτήθη οὖν, ἵνα ἀποστέρξῃ τὸ γεγονὸς καὶ καταλύσῃ, καὶ μὴ ἐάσῃ τοῦτο εἰς πέρας προελθεῖν· ὑπεσχέθη γοῦν οὕτως, εἰπὼν αὐτοῖς ῥήμασιν, ὅτι ἐὰν ποιήσω τὸ τοιοῦτον συνοικέσιον παρὰ γνώμην τῆς ἐκκλησίας τῆς ἡμετέρας, ἵνα ὑπάρχω ἀφωρισμένος. διὰ τοῦτο ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις, καὶ ὑπεγράφη δι' ἀσφάλειαν †.

† Ὁ ταπεινὸς μητροπλίτης Κυζίκου Ματθαῖος †.

† Ὁ ταπεινὸς μητροπολίτης Κορίνθου Θεόγνωστος †.

† Ὁ Μηδείας Ματθαῖος †. † Ὁ μέγας χαρτοφύλαξ †. † Ὁ πρωτέκδικος †. † Ὁ πρωτονοτάριος †. † Ὁ λογοθέτης †. † Ὁ ὑπομνηματογράφος †.

## CCCCLVIII. (6902—1394) maio. ind. II.

*Donatio facta protonotario Christupoleos.*

† Μηνὶ μαΐῳ ἰνδ. β' ἐδόθη πρὸς τὸν πρωτονοτάριον Χριστουπόλεως, τὸν Κυδώνην, εὑρισκόμενον εἰς τὴν Ξάνθιαν, τὸ ἐν αὐτῇ προσκύνημα τοῦ ἁγίου μου μεγαλομάρτυρος Γεωργίου, ὡς ἂν κατέχῃ αὐτὸ μετὰ τοῦ εἰσοδήματος αὐτοῦ χάριν προμηθείας καὶ κυβερνήσεως αὐτοῦ. διὰ τοῦτο ἐσημειώθη καὶ τοῦτο ἐνταῦθα δι' ἀσφάλειαν †.

## CCCCLIX. (6902—1394) martio ind. II.

*Patriarcha permittit metropolitae Myrorum, ut ordinet sacerdotes in metropoli Cretensi.*

† Ἱερώτατε μητροπολῖτα Μύρων, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυκίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἐκχωρεῖ καὶ ἄδειαν δίδωσί σου τῇ ἱερότητι, ὡς ἂν τοὺς ἐρχομένους εἰς σὲ ἀπὸ τῆς ἁγιωτάτης μητροπόλεως Κρήτης καὶ ζητοῦντας εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα ἀναχθῆναι ἀναδέχῃ καὶ δεξάμενος τὰς ὑπὲρ αὐτῶν μαρτυρίας καὶ ἐξετάσας αὐτοὺς ἀκριβῶς χειροτονήσῃς εἰς τὸ τοιοῦτον ἀξίωμα, καὶ τοὺς ἀξίους ἀναχθῆναι πρὸς τὸ τῶν πρεσβυτέρων προβιβάζῃς εἰς τοῦτο, κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν εἰς ταῦτα ἐκκλησιαστικὴν τάξιν τε καὶ συνήθειαν. τούτου γὰρ χάριν ἀπολέλυται τῇ ἱερότητί σου τὸ παρὸν προτρεπτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ κατὰ πάντα εὑρεθὲν ἐξισάζον τῷ πρωτοτύπῳ εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαρτίῳ ἰνδ. β' †.

## CCCCLX. (6902—1394) ianuario. ind. II.

*Patriarcha iubet metropolitam Seleuciae excedere ex ecclesia Attaliae, cum haec sit metropolitae Myrorum.*

† Μητροπολῖτα Σελευκίας Θεόδοτε· σὺ ἦλθες εἰς τὴν ἡμῶν ἱερὰν καὶ μεγάλην σύνοδον, καὶ ἤφερες ἐνταῦθα γράμματα τῶν ἱερέων τῆς Ἀτταλείας καὶ τῶν ἀρχόντων, ὡς ἔλεγες, καὶ παρεκάλεσας δι' αὐτῶν τῶν γραμμάτων, ἵνα σοὶ δῶμεν ἄδειαν καὶ ἐνεργῇς εἰς τὴν Ἀττάλειαν τὰ ἀρχιερατικά, ἔλεγες γὰρ σὺ καὶ τὰ γράμματα, ὅσα ἤφερες ἐνταῦθα, ὅτι ὁ μητροπολίτης Μύρων οὐδόλως ἦλθεν εἰς τὴν Ἀττάλειαν, καὶ λυποῦνται οἱ αὐτόθι χριστιανοί· διὰ ταῦτα καὶ ἠπάτησας ἡμᾶς, καὶ ἔλαβες γράμμα τῆς ἡμῶν μετριότητος σιγιλλιῶδες, ἵνα κατέχῃς τὴν ἐκκλησίαν μου τὴν Ἀττάλειαν· ὡς δὲ ἐγνωρίσαμέν σε ψευδόμενον, ἐζητήσαμεν ἀπὸ σοῦ τὸ γράμμα, ὅπερ σοὶ δεδώκαμεν, καὶ εὐθὺς ἔφυγες καὶ ἦλθες καὶ εὑρίσκεσαι αὐτοῦ. γράφομέν σοι τοίνυν συνοδικῶς, ἵνα καθὼς ἂν ἴδοις τὴν παροῦσαν γραφὴν τῆς ἡμῶν μετριότη-

τος, ἐξέλθῃς ἀπὸ τῆς μητροπόλεως, καὶ ἀποδῷς τῷ ἱερωτάτῳ μητροπολίτῃ Μόρων, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυκίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ καὶ προέδρῳ Ἀτταλείας, τά τε ῥοῦχα καὶ τὸν βίον αὐτοῦ καὶ ἔτι, ἅπερ συνῆξας ἀπὸ τῆς ἐκκλησίας, παρ' ὅσον καιρὸν κατέχεις αὐτήν, καὶ ἄπελθε τῶν αὐτόθι, καὶ πορεύθητι εἰς τὴν ἐκκλησίαν σου· ἐὰν γὰρ οὐ ποιήσῃς, καθὼς σοι γράφομεν καὶ παρακελευόμεθα, ἔχομέν σε ἐν ἁγίῳ πνεύματι ἀφωρισμένον συνοδικῶς, ὅτι ἐπεπήδησας ἀλλοτρίας ἐκκλησίας ὥς τις ἅρπαξ καὶ λύκος μετὰ ἀπάτης. γράφομεν δὲ καὶ (εἰς) τὸν πατριάρχην σου, ἵνα ποιήσῃ εἰς σὲ κανονικὴν καθαίρεσιν. καὶ γίνωσκε τοῦτο, ὡς ἂν φροντίσῃς ὑπὲρ τῆς σαυτοῦ διορθώσεως †.

† Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ κατὰ πάντα εὑρεθὲν ἐξισάζον τῷ πρωτοτύπῳ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰαννουαρίῳ ἰνδ. β' †.

## CCCCLXI. 6902 (1394) februario. ind. II.

*Hieromonacho Theognosto confertur metropolis Corinthi, addita per adiunctionem metropoli Christianupoleos.*

† Πρωτονοταρίου τοῦ Βαλσαμῶν †.

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Τοὺς ἐκ πρώτης τριχός, ὃ δὴ λέγεται, τὴν ἀρετὴν μετιόντας καὶ ταῖς πνευματικαῖς ταύταις τιμαῖς καὶ ἀναβάσεσι στεφανοῦν, προσῆκον ἅμα τε καὶ ὠφέλιμον· εἰ γὰρ κατὰ μίμησιν ἡμεῖς ὡς οἷόν τε θεῷ, τῷ τῆς ἐκκλησίας κράτει καὶ τῇ τιμῇ, κρίμασιν οἷς οἶδε μόνος αὐτός, ὁ δὲ στεφανίτης τούτων μετὰ τὴν ἐνθένδεν ἀπαλλαγὴν δεῖ τινος καὶ παρ' ἡμῶν ἀντιδόσεως τούτους ἐπιτυχεῖν, εἰς δεῖγμά που τῆς ἐκεῖθεν ἀντιμισθίας· εἰ γάρ, ἅπερ οὐκ εἶχον ὅλως ἐν νῷ, μήτε μὴν διὰ ταῦτα τὴν ἀρετὴν ἐφαίνοντο μετιόντες, τούτων εὐμοιρήσειεν ἀφ' ἡμῶν, δῆλον, ὡς καὶ τῶν ποθουμένων οὐχ ἁμαρτήσουσιν, ὑπὲρ ὧν ὁ πᾶς τούτοις δρόμος καὶ ἡ σπουδή, τῷ τοι καὶ συνάρσει τούτους ἐστὶν ἐντεῦθεν καὶ προθυμοτέρους, ὡς εἰπεῖν, ἀναδεῖξαι ταῖς ἐκ τούτων φιλοτιμίαις καὶ πολλοὺς ἄλλους πρὸς τὸν ἴσον ζῆλον διερεθίσαι,

εἴπερ στέφανοι καὶ τιμαὶ προτροπὴ πρὸς ἄσκησιν ἀρετῆς, καίτοι τὰ παρ' ἡμῶν ταῦτα τοῖς ἀληθῶς σκοποῦσιν ἱδρῶτες μᾶλλον καὶ δρόμοι πρὸς ἀρετὴν ἢ μισθὸς καὶ ἀντίδοσις, κἀντεῦθεν τὸ πλέον τῆς σπουδῆς αὐτῶν πρὸς ταύτην καὶ ὁ ἀγών, ἢ ὅτε μόνοι καὶ καθ' ἑαυτοὺς ἔζων, τῷ θεῷ καὶ ἑαυτοῖς συλλαλοῦντες, ὅσῳ γὰρ ἐπὶ λυχνίᾳ τὸ φῶς, τοσούτῳ καθαρεύειν δεῖ τοῦ ἐπιπροσθοῦντος καὶ ἐμποδίζοντος. καὶ ταῦτα νῦν, ἡνίκα μὴ τὰς ἀρχὰς μόνον ἡμῖν καὶ τὰς ἐξουσίας ἡ πάλη καὶ ὁ ἀγών, ἀλλὰ καὶ πρὸς αἷμα καὶ σάρκα, τούτους δὴ τοὺς καθ' ἡμῶν ὡρμημένους καὶ δίκην ἀγρίας συὸς λυμαινομένους τὴν ἐκκλησίαν, ἐπεὶ νῦν, εἴπερ ποτέ, ὡς πρόβατα ἐν μέσῳ λύκων ἡμεῖς, ὅτε καὶ μᾶλλον δεῖ φῶς ἡμᾶς τοῦ κόσμου γενέσθαι καὶ τῷ καθ' ἑαυτοὺς ὑποδείγματι τέκνα φωτὸς ποιῆσαι τοὺς πρὸς ἡμᾶς βλέποντας καὶ μὴ παρασυρῆναι ταῖς ἔξωθεν ταύταις ἐπιφοραῖς, ὃ μεγίστου μὲν δρόμου, μεγίστου δὲ ἀγῶνος τῷ σπουδαστῇ. τοῦτο γὰρ αἱ ἱεραὶ ἡμῖν ψῆφοι καὶ ἡ πολλὴ περὶ αὐτὰς βάσανος, ἥ τε τοῦ παναγίου καὶ ζωοποιοῦ ἐπίκλησις πνεύματος καὶ τὸ μὴ κατὰ πόδας εὐθὺς τὸν προστάτην ταῖς χηρευούσαις τῶν ἐκκλησιῶν ἀποδοῦναι, μόλις δὲ μετὰ πολλὴν βάσανον τὸ τὸν ἄξιον πάντως εὑρεῖν, ὡς μεγάλου ὄντος τοῦ ἀγωνίσματος· ὅσον γὰρ μέγα καὶ ὑπὲρ τοὺς πολλοὺς τὸ λειτούργημα, τοσοῦτον νῦν ἤδη χαλεπώτερον ὀλίγους εὑρεῖν, ὅπερ δὴ κἀνταῦθα συνέβη· τῆς γὰρ ἁγιωτάτης μητροπόλεως Κορίνθου θανάτῳ τὸν οἰκεῖον ἀποβαλούσης ποιμένα πρό τινων ἤδη χρόνων καὶ ἀνάγκης οὔσης νῦν μᾶλλον, εἴπερ ποτέ, προσήκοντος εὐμοιρῆσαι ταύτην ποιμένος τε καὶ διδασκάλου, διὰ τὰς ἔξω ταύτας περιφοράς τε καὶ τρικυμίας (ἐν χειμῶνι γὰρ ὁ κυβερνήτης ἐστὶ μᾶλλον χρήσιμος καὶ τρικυμίᾳ καὶ ζάλῃ, καὶ ἐν ἀρρωστήμασι καὶ νόσοις ὁ ἰατρὸς) ἐργῶδες ἦν μέχρι τοῦ νῦν· ἐπεὶ δὲ νῦν εὗρεν ἡ μετριότης ἡμῶν τὸν πρὶν τιμιώτατον ἐν ἱερομονάχοις κῦρ Θεόγνωστον φρονήσεως καὶ ἀρετῆς μέτοχον, δυνάμενον πολλῷ γε τῷ περιόντι ψυχὰς οἰκειῶσαι θεῷ, εἴτε τῷ καθ' ἑαυτὸν ὑποδείγματι καὶ παιδεύματι, εἴτε τισὶν ἄλλοις, δι' ὧν ψυχὴ πάντως πρὸς τὸ κρεῖττον μεταρρυθμίζεται, καὶ πολλοῖς ἄλλοις κομῶντα τοῖς προτερήμασιν, οἷς ὁ τοῦ θεοῦ χαρακτηρίζεται ἄνθρωπος καὶ ὄντως ἀρχιερεύς, δι' ἃ δὴ καὶ τὰ τοῦ κελλίου μου πάντα διοικεῖν ἐπιστεύθη, μὴ ὅτι τὰ περὶ τὸ σῶμα ταῦτα δήπου καὶ ταπεινά, ἀλλ' ἤδη καὶ τὰ πολλῷ τούτων βελτίω καὶ ὑψηλότερα, τοῦτον, εἰ καὶ πολλαχόθεν ἡμῖν ἀνάγκη

ἔχειν μεθ' ἑαυτῶν ἐν πολλοῖς ἡμῖν τῶν πρακτέων λυσιτελοῦντα, ἀλλ' οὖν διὰ τὴν τῶν πολλῶν ὠφέλειαν (ἡμέτερον γὰρ καὶ τὸ τούτων λυσιτελὲς, πατρικὴν διάθεσιν πρὸς ἅπαντας κεκτημένου) ψήφῳ καὶ δοκιμασίᾳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μύρων, τοῦ Χερσῶνος, τοῦ Σουγδαίας, τοῦ Ζηκχίας, τοῦ Μαυροβλαχίας, τοῦ Μηδείας, ἐπιψηφισαμένης καὶ τῆς ἡμῶν μετριότητος, τῇ ἐπικλήσει τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, γνήσιον μητροπολίτην τῆς ἁγιωτάτης μητροπόλεως Κορίνθου ἐχειροτόνησε, κατὰ τὴν τῆς ἐκκλησίας τάξιν ἱερὰν καὶ παράδοσιν, ὅστις καὶ ὀφείλει ἀπελθὼν ἐκεῖσε ταύτης ἐπιλαβέσθαι τῆς ἐκκλησίας μετὰ πάντων ὧν κέκτηται δικαίων καὶ προνομίων, ὡς γνήσιος μητροπολίτης Κορίνθου καὶ ὢν καὶ ὀνομαζόμενος, λειτουργεῖν τε ἐν αὐτῇ ἀπροκριματίστως καὶ ἀκωλύτως, ἡνίκα βούλεται, καὶ τῷ ἱερῷ συνθρόνῳ ἐγκαθιδρύεσθαι, ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους καὶ διακόνους χειροτονεῖν καὶ τούτους εἰς τὸ τῶν πρεσβυτέρων προβιβάζειν ἀξίωμα, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν, ὀφειλόντων τῶν ἐκεῖσε πάντων κληρικῶν, ἱερομονάχων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν αἰδῶ καὶ ὑποταγὴν καὶ εὐπείθειαν ἀπονέμειν αὐτῷ καὶ δέχεσθαι τὰ παρ' αὐτοῦ ὡς ἀπὸ τοῦ θεοῦ καὶ θεῖα ἐντάλματα καὶ πάσῃ δυνάμει σπεύδειν ταῦτ' ἀποπληροῦν, ἅπερ ἂν αὐτὸς ὡς ποιμὴν καὶ προστάτης καὶ φροντιστὴς φαίνοιτο διδάσκων καὶ παραινῶν, ταῦτα γὰρ ἐρεῖ πάντως καὶ εἰσηγήσεται, ὅσα καὶ ψυχὴν οἶδε κοσμῆσαι καὶ γλῶσσαν χαλινῶσαι καὶ θυμὸν ἡμερῶσαι καὶ ὄψιν σωφρονῆσαι, ἐκ τοῦ καθ' ἑαυτὸν βίου λαμβάνων τὰ ὑποδείγματα, ἑαυτὸν γὰρ εἰς ὑποταγὴν παραδοὺς τελείοις ἀνδράσι τὴν ἀρετὴν καὶ κόσμον πάλαι ἀπορραγεῖσι, τελευταῖον δὲ καὶ τῇ ἡμῶν μετριότητι, παρ' ἧς καὶ πρὸς τὴν πνευματικὴν ταύτην ἀξίαν προήχθη, πολλαχόθεν ὡς οἷόν τε δοκιμασθεὶς καὶ διὰ πάντων ἀναφανεὶς ἄριστος, οἶδε καλῶς καὶ θεοφιλῶς οἷά τις δόκιμος ἰατρὸς, τέχνῃ καὶ πείρᾳ χρώμενος, πρὸς τὰ τραύματα ἕκαστα καὶ τὰς πληγὰς ἐπιθεῖναι καὶ τὰ συνοίσοντα. ταῦτα δὲ πάντα καὶ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει Χριστιανουπόλεως διενεργεῖν τοῦτον ἀκωλύτως διαγινώσκομεν, ἄνευ μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· ἐπειδὴ γὰρ αὕτη ταῖς τοῦ καιροῦ καὶ τῶν πραγμάτων ἀνωμαλίαις εἰς τοῦτο νῦν ἤδη κατήντησε, ὡς μόνην μὴ δύνασθαι γνήσιον ἔχειν

μητροπολίτην καὶ τοῦτον τρέφειν ἀφ' ἑαυτῆς, ἡ πάλαι περιφανὴς καὶ περίβλεπτος, ὁμοῦ μὲν καὶ δι' ἐπίσκεψιν τῶν εὑρισκομένων ἐκεῖσε βραχέων χριστιανῶν ἐκ πολλῶν ἤδη τῶν περιόδων διδασκαλίας στερουμένων πνευματικῆς, ὁμοῦ δὲ καὶ διὰ προμήθειαν καὶ κυβέρνησιν πλείω τοῦ ἱερωτάτου μητροπολίτου Κορίνθου, ἐπειδὴ καὶ ὁ πρὸ αὐτοῦ ἐφαίνετο κατέχων αὐτὴν ἄχρι τῆς αὐτοῦ τελευτῆς, ταύτην ἐπιδόσεως λόγῳ διαγνώμῃ συνοδικῇ παρεδώκαμεν πρὸς αὐτὸν, ἵνα κατέχῃ ταύτην ἐφ' ὅρῳ πάσης τῆς αὐτοῦ ζωῆς, ὡς καὶ ὁ πρὸ αὐτοῦ ἐκεῖνος κῦρ Ἰσίδωρος, καὶ τὰ ἀρχιερατικὰ πάντα τὰ ἐν αὐτῇ διενεργεῖν ἀκωλύτως, ἄνευ μόνης, ὡς εἴρηται, τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως· ὀφείλει οὖν καὶ ταύτην λαβεῖν ἀπὸ τοῦ νῦν ἀκωλύτως μεθ' ὧν ἔχει δικαίων καὶ προνομίων, καὶ χρῆσθαι αὐτῇ ὡς γνησίᾳ καὶ τὰς ἀπ' αὐτῆς λαμβάνειν εἰσόδους καὶ ἀποφέρεσθαι, ἔχων καὶ ἐν αὐτῇ καὶ ἐν πάσῃ τῇ ἐνορίᾳ αὐτῆς τὴν προσήκουσαν ὑποταγὴν καὶ εὐλάβειαν καὶ προσοχὴν, ὡς πνευματικὸς αὐτῶν προστάτης ἐκ θεοῦ καὶ ἡμῶν ἀποκαταστὰς καὶ πατὴρ καὶ διδάσκαλος. τούτου γὰρ χάριν ἀπολέλυται τῷ δηλωθέντι ἱερωτάτῳ μητροπολίτῃ Κορίνθου, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Πελοποννήσου καὶ προέδρῳ πάσης Χριστιανουπόλεως, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Θεογνώστῳ, καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος κατὰ μῆνα φεβρουάριον τῆς β' ἰνδ. τοῦ ,ς ἐννακοσιοστοῦ β' ἔτους †.

† Εἶχε δὲ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCCLXII. (6902—3—1394) maio-novembri. ind. II.

*Annotationes synodicae.*

† Μηνὶ μαΐῳ, ιγ', ἰνδ. β' ἐδόθησαν ἐξαρχικῶς τῷ ἱερωτάτῳ μητροπολίτῃ Φιλαδελφείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Λυδίας, τὰ περὶ τὴν Φιλαδέλφειαν πατριαρχικὰ δίκαια, ἤγουν τὸ Κουλᾶ, ἡ Κόλιδα καὶ τὰ Σύναδα, ὡς πατριαρχικὰ, καὶ οὐχ, ὥσπερ ἐζήτει αὐτὰ πρότερον, ὡς ἀνήκοντα θῆθεν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· ἔταξε δὲ ὑπὲρ

αὐτῶν διδόναι κατ' ἔτος εἰς τὸ πατριαρχικὸν κελλίον ὑπέρπυρα εἴκοσιν. ὅθεν καὶ δι' ἀσφάλειαν ἐσημειώθη τοῦτο ἐνταῦθα †.

† Μηνὶ ἰουλίῳ ἰνδ. β' ἔπεμψεν οὗτος διὰ τοῦ σκευοφύλακος τῆς Προύσης ὑπέρπυρα δέκα καὶ πάλιν δι' αὐτοῦ τῇ ια' τοῦ αὐτοῦ μηνὸς ὑπέρπυρα πέντε, ἃ καὶ παρέδωκε ὁ μέγας σκευοφύλαξ †.

† Μηνὶ νοεμβρίῳ, ιδ', ἐδόθη τῷα ὅτῳ ἐξαρχικῶς καὶ ἡ Σινᾶ, ἐπισκοπὴ οὖσα πρῶτον τῆς Ἱεραπόλεως, κατελείφθησαν δὲ μόνον ὑπὸ τὸν Λαοδικείας αἱ Χῶναι †.

## CCCCLXIII. (6902—1394) maio. ind. II.

*Patriarcha ad metropolitam Monembasiae et ad episcopum Methones scribit de matrimonio Ioannis Cutrulis.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν Μονεμβασίας περὶ τοῦ συνοικεσίου τοῦ Κουτρούλη †.

I. Ἱερώτατε μητροπολῖτα Μηνεμβασίας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Πελοποννήσου, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. πρὸ καιροῦ τινος ἐγράφαμεν πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Μεθώνης, ὡς ἂν ἐμποδίσῃ τὸν καβαλλάριον κῦρ Ἰωάννην τὸν Κουτρούλην λαβεῖν εἰς γυναῖκα καὶ εὐλογηθῆναι, ἣν ἠθέλησε καὶ προῃρέθη λαβεῖν, διότι ἠκούσαμεν, ὅτι ζῇ ὁ ταύτης ἀνήρ, καὶ οὐκ ἐγινώσκομεν ἀκριβῶς, πότερον γνώμῃ τῆς ἐκκλησίας ἀφίσταται ἀπ' αὐτῆς ἢ ἁπλῶς οὕτως, ἀπό τινος συμβάντος ἐξ οἰκείας ὀρέξεώς τε καὶ γνώμης· ἐπεὶ δὲ νῦν ἐπληροφορήθημεν, ὅτι πρὸ χρόνων δεκαεπτὰ ἐχωρίσθη αὕτη τοῦ ἀνδρὸς αὐτῆς παρὰ τοῦ ἐπισκόπου ἐκείνου Μεθώνης, τοῦ Καλογενίτου, καὶ διαζύγιον γράμμα γέγονεν ἐπὶ τούτῳ, καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν διεζευγμένοι ἀπ' ἀλλήλων καὶ κεχωρισμένοι ὑπάρχουσιν, ἔδοξε καὶ τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, ὡς ἂν λάβῃ ταύτην ὁ Κουτρούλης οὗτος εἰς γυναῖκα, καὶ εὐλογηθῇ αὐτῇ, εἰ μόνον οὐκ ἐγίνωσκεν αὐτὴν ὡς γυναῖκα, ὅτε συνῴκει αὕτη τῷ ἀνδρὶ αὐτῆς. γράφομεν οὖν περὶ τούτου τῇ σῇ ἱερότητι, ὡς ἂν ἐξετάσῃς τὸ περὶ τούτου, καὶ εἴπερ εὕρῃς, ὅτι τοῦτο οὐκ ἔστι, βούλεται δὲ τοῦτον εἰς ἄνδρα λαβεῖν καὶ ἡ γυνὴ αὕτη καὶ θέλει τοῦτο καὶ ἀποδέχεται, γενέσθω αὐτῆς καὶ τελεία ἱερολογία γάμου, ἔχομεν γὰρ αὐτοὺς συγκεχωρημένους καὶ εὐλογημένους ἀπὸ θεοῦ. γράφομεν

περὶ τούτου καὶ τῷ θεοφιλοστάτῳ ἐπισκόπῳ Μεθώνης, καὶ ποιήσατε, καθὼς παρακελευόμεθα, εἴπερ οὐκ ἔστι τι τὸ κωλῦον αὐτὸν ἑνωθῆναι πρὸς γάμον. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. β' †.

† Περὶ τοῦ αὐτοῦ εἰς τὸν Μεθώνης †.

II. † Θεοφιλέστατε ἐπίσκοπε Μεθώνης· χάρις εἴη καὶ εἰρήνη παρὰ θεοῦ τῇ θεοφιλίᾳ σου. εἰ καὶ πρότερον ἀπελύθη γράμμα τῆς ἡμῶν μετριότητος διοριζόμενον, ὡς ἂν μένῃ ἀφωρισμένη ἡ συνοικοῦσα γυνὴ Ἰωάννῃ τῷ Κουτρούλῃ, μέχρις ἂν αὐτοῦ ἀποστῇ, καὶ συνοικήσῃ τῷ ἀνδρὶ αὐτῆς, ἀλλ' οὖν οὐκ ἐγινώσκομεν ἀκριβῶς, ὅπως προέβη τὸ κατ' αὐτήν· νῦν δὲ, ἐπεὶ οἴδαμεν καὶ ἐπληροφορήθημεν ἀκριβῶς, ὅτι διεζύγη καὶ ἐχωρίσθη νομίμως ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς παρὰ τοῦ πρὸ σοῦ ἐπισκόπου τοῦ Καλογενήτου, καὶ προέβη καὶ διαζύγιον γράμμα, ὅπερ διεκομίσθη καὶ πρὸς τὴν ἡμῶν μετριότητα, λέγομεν καὶ ἀποφαινόμεθα, ἄδειαν ἔχειν τὴν γυναῖκα πρὸς ἕτερον γάμον χωρῆσαι, πλὴν τοῦ προσώπου ἐκείνου, εἰς ὃ κατηγορήθη παρὰ τοῦ ποτε ἀνδρὸς αὐτῆς. εἴπερ οὖν αἱρεῖται νομίμως συναφθῆναι τῷ Κουτρούλῃ, ἐξέτασον ἀκριβῶς καὶ μετὰ πάσης ἀσφαλείας, καὶ εἴπερ οὐδὲν ἐκατη(γο)ρήθη ποτὲ μετ' αὐτοῦ πρὸ τοῦ διαζυγῆναι τοῦ ἀνδρὸς αὐτῆς, καὶ οὐδὲ παρὰ τῶν κανόνων ἐμποδίζεται πρὸς ἕτερον γάμον χωρῆσαι, ἤγουν εἴπερ μή ἐστι τριγαμία ἀπηγορευμένη δι' ἡλικίαν ἤ τι τῶν τοιούτων, εἴπερ οὐδέν ἐστι τούτων, συγχώρησον προβῆναι τὸν γάμον νομίμως, ὡς τὸ ἀκώλυτον ἔχοντα. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς θεοφιλίας σου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. β' †.

## CCCCLXIV. (6902—1394) maio. ind. II.

*Patriarcha ad metropolitam Methymnae scribit de matrimonio Demetrii Asomatiani.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν Μηθύμνης περὶ τοῦ συνοικεσίου Δημητρίου τοῦ Ἀσωματιανοῦ †.

† Ἱερώτατε μητροπολῖτα Μηθύμνης καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ παρὼν Δημήτριος ὁ Ἀσωματιανός, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην ἀνέφερεν, ὡς συνεβιβάσθη πρό τινος ἤδη καιροῦ λαβεῖν εἰς γυναῖκα ἐπὶ συμφωνίᾳ ἁπλῇ καὶ χωρίς τινος ἐκκλησιαστικοῦ συνήθους δεσμοῦ τὴν θυγατέρα Νικολάου τοῦ Βαμβακᾶ, οὐ προέβη δὲ εἰς τοῦτο οὔτε σταυρικὸς δεσμός, οὔτε δι' ἐγκολπίων, οὔτ' ἄλλο τοιοῦτον οὐδὲν, ἀλλὰ μόνον ψιλή τις συμφωνία καὶ συγκατάθεσις, νῦν δὲ βούλεται καταλῦσαι τὴν τοιαύτην συμφωνίαν αὐτοῦ διὰ τὸ ἀφήλικα εἶναι τὴν παῖδα τοῦ Νικολάου καὶ ἀτελῆ πρὸς ὥραν γάμου, συνοικῆσαι δὲ ἑτέρᾳ νομίμως· ἐζήτησεν οὖν συνοδικὴν διάγνωσιν, εἴπερ ἐστὶν ἀνεύθυνον, τοῦτο διαπραξάμενον εἰς ἱερωσύνην προβῆναι αὐτόν. ἔδοξεν οὖν δίκαιον ἅμα καὶ ἀσφαλὲς τῇ ἡμῶν μετριότητι καὶ τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ, ἵνα ἐξετάσῃ τὰ περὶ τούτου ἀκριβῶς ἡ σὴ ἱερότης, μέχρι πόσου προέβη ἡ συμφωνία αὐτῶν, καὶ εἴτε δεσμὸς ὅλως παρηκολούθησεν, εἴτε καὶ μή, καὶ εἰ ἐγένετο δεσμός, ποῖός τις, καὶ ἁπλῶς, εἴ τι παρηκολούθησεν εἰς τοῦτο, μετ' ἐπιμελείας ἐξετάσας οὕτως ἀναφέρῃς ταῦτα διὰ γραφῆς σου κατὰ λεπτὸν εἰς τὴν ἡμῶν μετριότητα, καὶ οὕτω μέλλεις δέξασθαι συνοδικὴν διάκρισιν καὶ ἀπόφασιν περὶ τούτου. εἴς τε σὴν πλείονα ἀσφάλειαν καὶ τὴν τοῦ παρόντος ἀνθρώπου πληροφορίαν ἀναδεξάμενος ποιήσῃς τὸ πρακτέον. γενέσθω οὖν ἡ περὶ τούτων ἐξέτασις καὶ ἡ πρὸς ἡμᾶς ἀναφορὰ παρὰ τῆς σῆς ἱερότητος μετὰ πάσης ἀκριβείας. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε δὲ καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαΐῳ ἰνδ. β' †.

## CCCCLXV. (6903—1394) septembri. ind. III.

*Patriarcha metropolitae Corinthi confert iura patriarchalia in tota Peloponneso, adiunctis metropoli Corcyrae et episcopatu Leucadis.*

† Μηνὶ σεπτεβρίῳ ἰνδ. γ' παρεδόθησαν πρὸς τὸν ἱερώτατον μητροπολίτην Κορίνθου, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Πελοποννήσου, ἐξαρχικῶς τὰ περὶ τὴν Πελοπόννησον πατριαρχικὰ δίκαια πάντα. ὡσαύτως παρεδόθη αὐτῷ ἐπιδόσεως λόγῳ ἥ τε ἁγιωτάτη μητρόπολις Κερκύρας καὶ ἡ ἁγιωτάτη ἐπισκοπὴ Λευκάδος, πλὴν ἡ Κέρκυρα καὶ ἡ Λευκὰς οὕτως, ὡς ἂν ἀπελθὼν ἐκεῖσε, εἴπερ εὕροι τὸν ἱερώτατον μητροπολίτην Ἰωαννίνων κατέχοντα ταύτας λόγῳ ἐπιδόσεως διὰ τιμίας πατριαρχικῆς γραφῆς, ἐφησυχάσῃ καὶ ἀφήσῃ αὐτὸν ἀνενόχλητον· εἰ δὲ μή, ἐπιλάβηται αὐτῶν κατὰ τὴν περίληψιν καὶ ἰσχὺν τῶν γεγονότων αὐτῷ ἐπὶ τούτων τιμίων καὶ πατριαρχικῶν γραφῶν, γνώμῃ τῶν πανιερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μύρων, τοῦ Χερσῶνος, τοῦ Σουγδαίας, τοῦ Ζηκχίας, τοῦ Μαυροβλαχίας καὶ τοῦ Μηδείας, ἐφ' αἷς τιμίαις γραφαῖς καὶ θεῖον καὶ σεπτὸν ἐπορίσατο πρόσταγμα τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως. ὅθεν καὶ δι' ἀσφάλειαν ἐσημειώθη καὶ ἐνταῦθα †.

## CCCCLXVI. (6903—1394) octobri. ind. III.

*Promissio sacerdotis cuiusdam.*

† Ἐπεὶ διὰ τὴν ψευδῆ φήμην τὴν κατ' ἐμοῦ λαλουμένην ἤργησέν με ὁ δεσπότης μου καὶ ἔξαρχός μου, ὁ τιμιώτατος μέγας σακελλάριος, ἀνέδραμον δὲ εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ ἐδεήθην τυχεῖν συγχωρήσεως, καὶ ὡδηγήθην ἐκ θεοῦ, καὶ συνεχώρησέν μοι, πλὴν μετὰ ὑποσχέσεως, ἤδη τὴν παροῦσαν ποιῶ, δι' ἧς καὶ ὑπόσχομαι, ὅτι ἐὰν εὑρεθῶ ποτε ὁμιλῆσαι μεθ' οὗ κατηγορήθην προσώπου, ἢ εἰς ὁδόν, ἢ αὐτὸς ἀπέλθω εἰς τὸ αὐτῆς ὁσπήτιον ἢ ἐκείνη εἰς τὸ ἐμόν, ἢ δέξωμαί ποτε παρ' ἐκείνης μήνυμα, ἢ ποτὲ κἂν ὁποία ἔνι ἡ δουλεία, ὁμιλήσω αὐτῇ, καὶ εὑρεθῇ τοῦτο μίαν καὶ μόνην φοράν, ἵνα καταδικάζωμαι ἀσυμπαθῶς εἰς τὴν ἱερωσύνην μου, κτίσω δὲ καὶ τὸν τοῖχον, ὃν ἔχομεν μεταξύ,

ὡς μηδεμίαν εἶναί ποτε δίοδον. ὀφείλω δὲ στέργειν τὴν παροῦσάν μου ὑπόσχεσιν, ἐπεὶ ἀσυμπαθῶς μέλλω καθαιρεθῆναι, ὡς ἅπαξ ὑποσχεθείς. τούτου γὰρ χάριν ἐγένετο ἡ παροῦσά μου ὑπόσχεσις, ὑπογραφεῖσα παρ' ἐμοῦ δι' ἀσφάλειαν μηνὶ ὀκτωβρίῳ ἰνδ. γ' †.

## CCCCLXVII. 6902 (1394) 12. iunii. ind. II.

*Imperator Manuel Palaeologus et Patriarcha iubent in actis notari diem, mensem et annum.*

† Μηνὶ ἰουνίῳ, ιβ', ἰνδ. β', ἔτους ͵ς ἐνναχοσιοστοῦ β', συνομιλοῦντος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων, τοῦ Παλαιολόγου κυροῦ Μανουὴλ, μετὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κυροῦ Ἀντωνίου, συμπαρόντων τοῦ τε ἱερωτάτου μητροπολίτου Κυζίκου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἑλλησπόντου, ἀλλὰ δὴ καὶ τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων, ἐτάχθη ἐν ἅπασι τοῖς τε σεπτοῖς βασιλικοῖς προστάγμασι καὶ ταῖς τιμίαις πατριαρχικαῖς ἁπάσαις γραφαῖς καταγράφεσθαι καὶ τὴν τοῦ μηνὸς ἡμέραν, ἀλλὰ δὴ καὶ τὸ ἔτος, καθ' ὃ ἕκαστον σεπτὸν πρόσταγμα ἢ πατριαρχικὴ γραφὴ εἰς τὸ ἑξῆς μέλλει προβαίνειν, διὰ τὸ προκομισθῆναι παρὰ τῶν ἐνασκουμένων τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένῃ τοῦ κυροῦ Νικολάου θεῖά τε καὶ σεπτὰ χρυσόβουλλόν τε καὶ πρόσταγμα κατά τι διαφωνοῦντα, περὶ δὲ τῆς αὐτῆς ἀπολυθέντα ὑποθέσεως, ἅπερ διωρθώσατο μὲν ὁ θεοπρόβλητος καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ καὶ θεόστεπτος βασιλεὺς, δοὺς τῇ παρ' ἑαυτοῦ θείᾳ ψήφῳ τὴν νικῶσαν τῷ τῇ μονῇ πλείονα τὴν βοήθειαν προξενοῦντι σεπτῷ χρυσοβούλλῳ, ὡς φιλάνθρωπος νεύσας νομίμως ἐν ἀμφιβόλοις πρὸς τὸ φιλάνθρωπον, ἐδεῖτο δὲ ὅμως εἶναι κἂν τῷ σεπτῷ προστάγματι καταγεγραμμένον καὶ τὸ ἔτος, οὕτω γὰρ ἂν οὐκέτι προεχώρει ἀμφιβολία, δήλου ὄντος ἐντεῦθεν, ποῖον ἄρα τῶν δύο πρότερον ἦν, καὶ τὸ κῦρος ἔχειν ὀφείλοντος τοῦ δευτέρου. ἐτάχθη τοίνυν ἕνεκεν τούτου κἂν τοῖς σεπτοῖς χρυσοβούλλοις τε καὶ προστάγμασιν ὁμοίως κἂν τοῖς ἐκκλησιαστικοῖς ἅπασι γράμμασι τήν τε τοῦ μηνὸς ἡμέραν καταγράφεσθαι καὶ τὸ ἔτος, καθ' ὃ ἕκαστον τούτων μέλλει προ-

βαίνειν. ὅθεν καὶ διὰ τὴν εἰς τὸ ἑξῆς τούτου ἐπικράτειαν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις †. *)

## CCCCLXVIII. 6902 (1394) iunio. ind. II.

*Synodus in actis annum, mensem et diem notari iubet.*

† Μηνὶ ἰουνίῳ ἰνδ. β', ἔτους ,ς ἐννακοσιοστοῦ β', οἱ ἐνασκούμενοι τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένῃ τοῦ κυροῦ Νικολάου, ἔχοντες διένεξιν μετὰ τοῦ . . . . . . θεῖον καὶ σεπτὸν χρυσόβουλλόν τε καὶ πρόσταγμα ἐνεφάνισαν ἐπὶ τῇ ὑποθέσει αὐτῶν, ἀφ' ὧν τὸ ἓν κατά τι διαφωνοῦν τῷ ἑτέρῳ μᾶλλον ἐβοήθει αὐτοῖς· ἀμφιβολίας οὖν οὔσης ἐν τούτοις, ὁπότερόν ἐστι πρότερον ἀπὸ τοῦ ἔτους (μόνην γὰρ τὴν ἴνδικτον εἶχε τὸ πρόσταγμα, εἰ γὰρ καὶ τὸ ἔτος εἶχεν, ἦν ἂν δῆλον, ὁπότερόν ἐστι πρότερον, κἀντεῦθεν τὴν νικῶσαν εἶχε τὸ ὕστερον, κατὰ τοὺς νόμους) ὁ κράτιστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, κῦρ Μανουὴλ ὁ Παλαιολόγος, τῇ παρ' ἑαυτοῦ θείᾳ ψήφῳ τὴν νικῶσαν τῷ βοηθοῦντι μᾶλλον τῇ μονῇ θείῳ καὶ σεπτῷ χρυσοβούλλῳ ὡς φιλάνθρωπος ἐχαρίσατο. ὅθεν καὶ διὰ τὸ μὴ τοιοῦτόν τι προβῆναι ἐν τοῖς ἑξῆς, συνομιλοῦντος αὐτῷ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κυροῦ Ἀντωνίου, ἐν τῷ θεοφρουρήτῳ αὐτοῦ παλατίῳ κατά τε τὸ αὐτὸν ἔτος καὶ τὴν ἴνδικτον καὶ τὸν μῆνα, συμπαρόντων αὐτοῖς καὶ τῶν πανιερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Κορίνθου, τοῦ Σουγδαίας, τοῦ Ζηκχίας, τοῦ Μηδείας καὶ τοῦ Μαυροβλαχίας, ἀλλὰ δὴ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων, ἐτάχθη ἐν ἅπασι τοῖς τε σεπτοῖς βασιλικοῖς προστάγμασι καὶ ταῖς τιμίαις πατριαρχικαῖς γραφαῖς καταγράφεσθαι τήν τε τοῦ μηνὸς ἡμέραν καὶ τὸ ἔτος, καθ' ὃ ἕκαστον τούτων μέλλει προβαίνειν, οὕτω γὰρ ἂν οὐδεμία προχωρήσει ἀμφιβολία ἐν τούτοις, εἴ ποτε συμβῇ ἐν τῇ αὐτῇ καὶ μιᾷ ὑποθέσει δύο ἐπενεχθῆναι γράμματα, ὡς δήλου ὄντος ἐντεῦθεν, ποῖον τῶν δύο ἐστὶ πρότερον, καὶ τὸ κῦρος ἔχειν ὀφείλοντος τοῦ δευτέρου. ὅθεν καὶ διὰ τὴν εἰς τὸ ἑξῆς ἐπικράτειαν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις γραφεῖσα ἔν τε τῇ βασιλικῇ θέσει καὶ ἐν τῷ ἱερῷ τῆς ἐκκλησίας κώδικι †.

---

*) In codice deletum.

## CCCCLXIX. 6901 (1392) iunio. ind. II.

*De fundis monasterii Pantocratoris in monte Atho.*

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Τὰς τῶν ἀγαθῶν ἀνδρῶν καὶ ἐπ' ἀγαθῷ γινομένας πράξεις ἐπικυροῦν τῶν ἀναγκαιοτάτων ἂν εἴη, οὕτω γὰρ ἂν οὐκ ἀνάγραπτοι μόνον αὗται τοῖς μετὰ ταῦτα γίγνοιντο καὶ μνήμην εἰς ἀεὶ τοῦ καλοῦ φέρουσαι τοῖς ταύτας κατωρθωκόσιν, ἀλλ' ἤδη καὶ πολλοὺς ἄλλους τῶν φιλοθέων ἴδοι τις ἐντεῦθεν πρὸς μίμησιν τούτων καὶ ζῆλον κεκινημένους, ἐξ ὧν πάντως ἐργασία τῶν ἴσων γίνεται· εἰ γοῦν πρὸς πάσας ἁπλῶς τοῦτο λυσιτελές, πολλῷ μᾶλλον, ἐν αἷς δῆμος ὅλος ἀνδρῶν ἐκ βρέφους τῷ θεῷ καθιερωθέντων, ὧν τὸ σπουδαζόμενον βίος ἐπαινετὸς ἐκ πολιτείας μοναχικῆς καὶ ὁδὸς πρὸς ἀρετὴν καὶ ἀγώνισμα· ὧν οὐκ ἔξωθεν δήπου καὶ ἡ νῦν ἡμῖν κατὰ σκοπὸν προκειμένη, ἔχουσα τὴν ἀρχὴν οὑτωσί· τῶν κατὰ τὸ Ἅγιον Ὄρος τὸν Ἄθω ἐνασκουμένων τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπικεκλημένῃ τοῦ Παντοκράτορος δύο τινὲς ἐπιλεγέντες ἱερομόναχοι ἀνέφερον, εἰς τὴν ἡμῶν μετριότητα ἀναδραμόντες ἐνταῦθα, ὡς πρὸ καιροῦ τινος ᾐτήσαντο παρὰ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος θεῖον καὶ σεπτὸν ἐπιχωρηθῆναι χρυσόβουλλον τῇ κατ' αὐτοὺς ἱερᾷ ταύτῃ καὶ σεβασμίᾳ μονῇ ἐπὶ τοῖς προσοῦσιν αὐτῇ κτήμασι καὶ ταῖς ὑποστάσεσιν ἀνθ' ὧν εἶχεν ἐπὶ τούτοις δικαιωμάτων, ἐν οἷς θεῖα καὶ σεπτὰ χρυσόβουλλα ἐπορίσατο τοῦ πατρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ μακαρίτου καὶ ἀοιδίμου, ἐπειδήπερ ταῦτα ἀπώλοντο πρὸ καιροῦ, ἐμπρησμοῦ ἐπισυμβάντος αὐτῇ· καὶ ἐπειδήπερ οὐχ εὗρον τὸν βασιλέα πρὸς ταῦτα καταπειθῆ, ἅτε στάθμη ὄντα τοῦ ὀρθοῦ καὶ τῆς δικαιοσύνης κανόνα, εἰ μὴ τὰ λεγόμενα μαρτυρίαις ἀξιολόγων ἀνδρῶν ἀποδείξειαν, ἀπελθόντες ἔγγραφον ἐπορίσαντο μαρτυρίαν τοῦ τε ὁσιωτάτου Πρώτου τῶν κατὰ τὸ Ἅγιον Ὄρος τὸν Ἄθω ἱερῶν καὶ σεβασμίων μονῶν, ἱερομονάχου κῦρ Ἱερεμίου, τοῦ καθηγουμένου τῆς σεβασμίας καὶ ἱερᾶς Λαύρας, τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Εὐθυμίου, τοῦ καθηγουμένου τῆς σεβασμίας καὶ ἱερᾶς

μονῆς τοῦ Βατοπεδίου, τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Θεοδοσίου, τοῦ ἱερωτάτου μητροπολίτου καὶ καθηγουμένου τῆς τῶν Ἰβήρων μονῆς, κῦρ Μακαρίου, τοῦ καθηγουμένου τῆς τοῦ Χελανταρίου μονῆς, τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Θεοδοσίου, καὶ τοῦ καθηγουμένου τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τοῦ Ἐσφιγμένου, τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Ἀρσενίου· καὶ αὖθις ἐπανελθόντες ἐνεφάνισαν αὐτῷ ταύτην ταῖς οἰκειοχείροις αὐτῶν ὑπογραφαῖς πιστουμένην καὶ τάδε διαλαμβάνουσαν· ὅτι κατέχει ἡ ῥηθεῖσα σεβασμία μονὴ ἐφ' οἷς ἄρα τὴν ἀρχὴν καὶ τὰ σεπτὰ ἐκεῖνα χρυσόβουλλα ἐπορίσατο, χωρίον τὸ λεγόμενον Μαρμάριον ἐν τῷ ποταμῷ τῷ Στρόμονι μετὰ τοῦ πόρου καὶ τῆς ἁλείας καὶ τῶν μυλοτοπίων αὐτοῦ καὶ τοῦ ποταμοῦ, τό τε νησίον ἀρχόμενον ἀπὸ τοῦ Ζαστρίου καὶ καταβαῖνον διὰ τοῦ παλαιοῦ πόρου καὶ διῆκον εἰς τὰς Λιγέας, ἔνθα ὅριά εἰσι παλαιά, εἶτα κλῖνον ἀριστερὰ διαβαίνει πλησίον τοῦ φρέατος τοῦ Δραγότζη, τὰ Χρυσοπολιτικὰ δίκαια ἐῶν δεξιά, καὶ καταντᾷ ἕως τοῦ μεγάλου κρημνοῦ, εἶτα διασχίζον ἀπὸ τοῦ πόρου μέσον τὴν λίμνην ἀνέρχεται ἕως τοῦ συνόρου τοῦ Ὀστροζηνίκου, περιορίζον ἐντὸς τὴν τούμβαν ἐκείνην πᾶσαν ἔρχεται τὴν ὑπόρειαν κατ' ἰσότητα [τοῦ πηγαίου ὕδατος τοῦ οὕτως ἐπιχωρίως λεγομένου Βομπλιτζοῦ, ἐκεῖθεν κατέρχεται πρὸς ῥύακα ξηρόν, εἶτα γαμματίζει πρὸς ἀνίσχοντα ἥλιον, καὶ διέρχεται τὸν ἐκεῖσε ῥύακα, ἀνέρχεται εἰς τὸ δίστρατον, καταβαίνει τὴν ὁδὸν τὴν βασιλικὴν πλησίον τῆς τούμβας, νεῦον ἀριστερὰ τὴν ἑτέραν ὁδόν, κατερχόμενον διὰ τοῦ ἐκεῖσε ἀεννάου ὕδατος, ἐμπεριέχον καὶ τὴν τούμβαν αὐτὴν ἀνέρχεται τὴν ὁδὸν δεξιά, διαβαίνει τὴν Παλιουραίαν, ἀναβαίνει πρὸς τὴν ἐκεῖσε τῶν λίθων σωρείαν διὰ τῆς ὑψηλῆς τούμβας, καταντᾷ εἰς τὴν πηγὴν οὕτω λεγομένην Λιάμβρουκον, ἐκεῖθεν ἀνέρχεται τὴν βασιλικὴν ὁδὸν ἕως τοῦ συνόρου τοῦ Κοσμᾶ, περιορίζον πᾶσαν νομὴν τοῦ χωρίου τῆς Λοκουβικείας, διέρχεται τὴν τοῦ Ἰαννίκα τούμβαν κατὰ τὴν ἐκεῖσε τῶν λίθων σωρείαν, εἶτα κλίνει καὶ διέρχεται διὰ τῶν ἐκεῖσε τουμβῶν, ἐῶν ἀριστερὰ τὰ Χρυσοπολιτικὰ δίκαια· εἰσὶν ἐμπεριειλημμένα καὶ ἕτερα παλαιοχώρια, τὸ Παλαιὸν Πηγάδιον καὶ ἡ Λοκουβικεία μετὰ πάντων τῶν δικαίων καὶ προνομίων αὐτῶν· εἰς τὴν Χρυσόπολιν μονύδριον εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος, οἰκήματα, ἀμπελῶνας καὶ τὸ τζυμιλαρεῖον· κατὰ τὸ Λοκόσχισμα χωρίον ἡ

Βομπλιανὴ μετὰ τῶν δικαίων καὶ προνομίων αὐτοῦ, γῆν ἐμπεριέχον ἀπὸ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου ἕως τοῦ Θερμοποτάμου· ἐν τῇ Χριστουπόλει μονύδριον εἰς ὄνομα τιμώμενον τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένον τῆς Καμμοτζιωτίσσης, οἰκήματα, ἀμπέλια καὶ χωράφια· τὸ παλαιοχώριν, ὃ λέγεται Παπαρνίκαια, μετὰ τῆς περιοχῆς καὶ νομῆς αὐτοῦ καὶ τῆς γῆς ἧς ἐξ ἀρχῆς κατέχει καὶ νέμεται· ἐν τῷ ποταμῷ τῷ Μέστῳ τὸ εἰς τὴν Παπαγιανίαν βιβάριον· τὰ ἀφιερωθέντα ὕστερον παρὰ τοῦ μεγάλου πριμμικηρίου ἐκείνου τῇ εἰρημένῃ μονῇ, ἤγουν τὸν ἐν τῷ λιμένι τῆς νήσου Θάσου πύργον, τὸν ἀνεγερθέντα ἐκ βάθρων ὑπ' ἐκείνου ναὸν, εἰς ὄνομα τιμώμενον τοῦ τιμίου ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, ἕτερον ναὸν παλαιὸν εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου μου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου· γῆν, ὅσην ὁ Μαρμαρολιμὴν περιέχει, ἀμπελῶνας, κήπους καὶ ὑδρομύλωνας· ἑτέραν γῆν ἀπὸ τοῦ Ἑβραιοκάστρου μέχρι καὶ τοῦ Σιδηροκαυσίου, ἀλλὰ δὴ καὶ αὐτὸ τὸ προάστειον ὅλον μέχρι καὶ τῆς ἁγίας Μαρίνης καὶ τοῦ ἀμπελίου τοῦ λεγομένου τοῦ Μπιληλῆ· εἰς τὴν Κακὴν Ῥάχιν μονύδριον εἰς ὄνομα τιμώμενον τῶν ἁγίων καὶ θαυματουργῶν ἰατρῶν Ἀναργύρων μετὰ τῶν ἀμπελίων, τῶν χωραφίων, ἐλαιῶν τε καὶ ἀμυγδαλῶν κατὰ τὴν τοποθεσίαν τὴν λεγομένην τῶν Κελαδηνῶν. ἥτινι δὴ μαρτυρίᾳ ἐγγράφῳ ἀρκεσθέντος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εἰς τέλος ἧκε τὸ παρὰ τῶν μοναχῶν αἰτηθὲν, καὶ θεῖον αὐτοῖς καὶ σεπτὸν ἐχορηγήθη χρυσόβουλλον παρ' αὐτοῦ, δι' οὗ δὴ προστάσσει καὶ διορίζεται, ὡς ἂν κατὰ τὴν ἔγγραφον μαρτυρίαν τῶν δηλωθέντων κατέχῃ καὶ νέμηται ἡ τοιαύτη σεβασμία μονὴ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, ἅτινα καὶ μέχρι τοῦ νῦν κατέχουσα ἦν, ἐφ' οἷς τά τε εἰρημένα δικαιώματα εἶχε, καὶ τὰ σεπτὰ χρυσόβουλλα ἐπορίσατο, οὗ δὴ τὸ ἴσον ἐμφανίσαντες τῇ ἡμῶν μετριότητι, ἐδεήθησαν καὶ παρεκάλεσαν καὶ γράμματος σιγιλλιώδους τυχεῖν παρ' αὐτῆς· ἡ γοῦν μετριότης ἡμῶν συνήθως τὴν τούτων προσδεξαμένη δέησιν, διά τε λυσιτελὲς τῆς κατ' αὐτοὺς ταύτης σεβασμίας μονῆς καὶ τὸν σκοπὸν, δς ἐν προοιμίοις ἐρρέθη, ἐπεὶ καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ πρὸ ἡμῶν τὴν παράκλησιν αὐτῶν προσδεξάμενος, οἷά τις τοῦ καλοῦ καὶ κηδεμὼν καὶ φύλαξ καὶ προμηθεὺς, καὶ μάλιστα, ἐν οἷς ὁ θεὸς τιμᾶται καὶ θεραπεύεται, τὰ κατὰ γνώμην

αὐτοῖς ἔφθη πεπληρωκώς, ὡς ἂν μὴ ταῖς μεταβολαῖς τοῦ καιροῦ τῶν ἑαυτῆς ἡ μονὴ στερηθῇ, μὴ προσόντων αὐτῇ δικαιωμάτων, δηλούντων, τίνα τὰ προσκυρωθέντα ταύτῃ κτήματα, καὶ ὅποι καὶ ὅσα, παρακελεύεται καὶ αὕτη διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος, κατέχειν τὴν δηλωθεῖσαν ταύτην σεβασμίαν μονὴν τὰ δηλωθέντα πάντα αὐτῆς κτήματα καὶ τὰς ὑποστάσεις, τάς τε πρότερον προσκυρωθείσας αὐτῇ παρά τε τοῦ μεγάλου στρατοπεδάρχου ἐκείνου, κῦρ Ἀλεξίου, καὶ ἄλλων τινῶν, ἀλλὰ δὴ καὶ τὰς ὕστερον τὰς παρὰ τοῦ μεγάλου πριμμικηρίου ἐκείνου, μεθ᾽ ὧν ἔχουσι δικαίων καὶ προνομίων, καὶ πάσης ἄλλης νομῆς αὐτῶν καὶ περιοχῆς κυρίως καὶ δεσποτικῶς, ἀναφαιρέτως καὶ ἀναποσπάστως, κατὰ τὴν περίληψιν καὶ ἰσχὺν τῶν παλαιγενῶν δικαιωμάτων ἐκείνων καὶ τῶν ἐπ᾽ αὐτοῖς θείων καὶ σεπτῶν χρυσοβούλλων, διαβᾶσαν ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀδιάσειστόν τε καὶ ἀπαράθραυστον, καὶ ἔτι κατὰ τὴν ἐπιχορηγηθεῖσαν ἀρτίως δύναμιν τοῦ θείου καὶ σεπτοῦ χρυσοβουλλλου τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ παρὰ μηδενὸς τῶν ἁπάντων εὑρήσειν ἐπὶ τῇ κατοχῇ καὶ δεσποτείᾳ αὐτῶν τὴν τυχοῦσαν διενόχλησιν ἢ ἐπήρειαν. ταῦτα μὲν οὖν οὕτω προβάντα τὸ κῦρος ἕξει καὶ βέβαιον, καὶ ἕκαστον τῶν προσόντων τῇ τοιαύτῃ μονῇ ἀδιάπτωτον αὐτῇ καὶ ἀνεφαίρετον διατηρηθήσεται. ἐπεὶ δὲ ὁ μέγας στρατοπεδάρχης ἐκεῖνος καὶ ὁ τούτου αὐτάδελφος, τῇ τοιαύτῃ προσκυροῦντες μονῇ, ὅσαπερ εἴρηται, τύπον ἐξέθεντο καὶ κανόνα τοῖς ἐνασκουμένοις αὐτῇ τοῖς τότε οὖσι καὶ τοῖς μετέπειτα, κοινοβιακῶς ζῆν καὶ τῆς πολιτείας ταύτης ἰξέχεσθαι καὶ τῆς τάξεως ἧς ὁ μέγας ἐν ἱεράρχαις Βασίλειος διωρίσατο τοῖς μοναχικῶς ζῆν ἑλομένοις, τοῦτον τὸν τύπον καὶ τὸν κανόνα διακρατεῖσθαι τῇ τοιαύτῃ σεβασμίᾳ μονῇ παρακελεύεται καὶ ἡ μετριότης ἡμῶν ἐν ἁγίῳ πνεύματι καὶ μηδένα τῶν μοναχῶν ἐπ᾽ ἀδείας ἔχειν ἰδιόκτητόν τι καὶ ἰδιόρρυθμον κτήσασθαι ἐν αὐτῇ, ἀλλὰ πάντα εἶναι κοινὰ τὰ παρ᾽ ἑκάστου διαπραττόμενα, καθὼς ἐστι τρόπος τοῖς μοναχοῖς· εἰ δέ τις τῶν ἐν αὐτῇ ἐκ μικροψυχίας τινὸς ἢ οἱασοῦν αἰτίας ἐθελήσει τῆς συνοδίας ταύτης ἀποσκιρτῆσαι, βαρέως ἔχων δῆθεν πρὸς τὴν τοιαύτην ἐπιταγήν, ἣν οἱ δίκην φωστῆρος διαλάμψαντες ἐπὶ γῆς θεοφόροι πατέρες ἐτυπώσαντο καὶ ἐξέθηκαν, καὶ ἀναζητῆσαι τὸ ἴδιον, ὃ τὴν ἀρχὴν ἢ προσεκύρωσε τῇ μονῇ ἢ κατέχων εἰσῆλθεν εἰς αὐτήν, τοῦτον ἡμεῖς ἐπισκεπτόμενοι ψυχικῶς παραι-

νοῦμεν καὶ εἰσηγούμεθα, τὸν τοιοῦτον ἀπορρῖψαι σκοπὸν καὶ μὴ παράδειγμα τοῖς ἄλλοις γενέσθαι κακόν, ἀλλ' ἐμμένειν τῇ τάξει καὶ τῷ τύπῳ τῷ τῆς μονῆς, μεμνημένον τοῦ ἐναπολειφθέντος ἐκείνου τῆς τιμίας τῶν μαρτύρων τεσσαρκοντάδος ἀσθενείᾳ φύσεως καὶ διὰ τοῦτο τῶν στεφάνων ἐκπεπτωκότος· οὐ μὴν ἀλλὰ καὶ ἀνενοχλήτους καὶ ἀνεπηρεάστους εὑρίσκεσθαι τοὺς ἐνασκουμένους αὐτῇ μοναχοὺς ἀπό τε τοῦ κατὰ καιροὺς εὑρισκουμένου Πρώτου καὶ ἄλλου παντός, ἅτε πατριαρχικῆς οὔσης τῆς κατ' αὐτοὺς ἱερᾶς ταύτης μονῆς, καὶ οὕτω διατελεῖν αὐτοὺς ἐφ' ἅπασι, καθὼς καὶ οἱ λοιποὶ πάντες, ὅσοι ὑπὸ μοναστήρια τυγχάνουσι πατριαρχικά, κατά τε τὸ Ἅγιον Ὄρος τοῦτο καὶ ἐν ταῖς λοιπαῖς ἐπαρχίαις, ὥστε δὴ τὰ ἀφιερωθέντα καὶ προσκυρωθέντα τῇ μονῇ ταύτῃ κτήματα παρά τε τῶν κτητόρων ἐκείνων καὶ ἄλλου παντὸς ἀναπόσπαστα διαμένειν καὶ ἀναφαίρετα ἀπ' αὐτῆς καὶ μηδένα τινὰ τῶν ἁπάντων ἢ τῶν ἐξ αἵματος τῶν κτητόρων ἐκείνων ἢ ἄλλων τῶν ἔξωθεν πλεονέκτιν χεῖρα καὶ ἅρπαγα κινῆσαι κατ' αὐτῶν βουληθῆναι, καὶ βάρος φρικώδους ἀφορισμοῦ ἐκφωνοῦμεν ἐν ἁγίῳ πνεύματι. τούτου γὰρ χάριν ἀπολέλυται τῇ δηλωθείσῃ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπικεκλημένῃ τοῦ Παντοκράτορος καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν, κατὰ μῆνα ἰούνιον τῆς β' ἰνδικτιῶνος τοῦ ͵ς ἐννακοσιοστοῦ α' ἔτους. ἐπεὶ δὲ εὑρίσκεται κατέχουσα ἡ τοιαύτη σεβασμία μονὴ καὶ ἐν τῇ Ἐλευθεροπόλει μονύδριον τοῦ Παντοκράτορος, οἰκήματα, ἀμπέλια, χωράφια καὶ ὑδρομύλωνα, ἅπερ ὡς μαρτυρηθέντα μετὰ τῶν ἄλλων ἦσαν ἐν τῷ σεπτῷ χρυσοβούλλῳ καταγραφόμενα, ἔλαθον δέ, καὶ οὐκ ἐτέθησαν ἐν τῷ παρόντι σιγιλλίῳ ἐν τῷ τόπῳ, ἐν ᾧ καὶ τὰ λοιπὰ καταγράφονται κτήματα, ὀφείλει καὶ ταῦτα τὰ ἐν τῇ Ἐλευθροπόλει κατέχειν ἡ μονὴ κατὰ τὴν ῥηθεῖσαν ταύτην ἰσχὺν καὶ περίληψιν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## CCCCLXX. (6902—1394) 26. iunii. ind. II.

*Georgius Aplemmele constituitur exarchus.*

† Μηνὶ Ἰουνίῳ, κς', ἰνδ. β', ἐδόθη ἐξαρχικῶς πρὸς τὸν ἐντιμότατον χαρτοφύλακα τῆς ἁγιωτάτης ἀρχιεπισκοπῆς Κίου, πρεσβύτερον κῦρ Γεώργιον τὸν Ἀπλημμελέ, ἡ τοιαύτη ἁγιωτάτη ἀρχιεπισκοπὴ μετὰ πάντων ὧν ἔχει δικαίων καὶ προνομίων. διὰ τοῦτο ἐγένετο κἀνταῦθα ἡ παροῦσα παρασημείωσις †.

## CCCCLXXI. 6902 (1394) iulio. ind. II.

*Synodus dirimit controversiam hereditariam.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν ἱερώτατον μητροπολίτην Θεσσαλονίκης ἐξ ἀναφορᾶς Γεωργίου τοῦ Πρίγγιπος †.

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ ἀπὸ τῶν αὐτόθι Γεώργιος ὁ Πρίγγιψ, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, ἀνέφερεν, ὡς ὁ πατὴρ αὐτοῦ Κωνσταντῖνος ἐκεῖνος ὁ τοῦ Πρίγγιπος, ἔτι τῷ βίῳ περιών, ἐπροίκισε τὴν ἑαυτοῦ θυγατέρα δὶς ἤδη καὶ τρὶς πρὸς δεύτερον καὶ τρίτον χωρήσασαν συνοικέσιον, συνεφώνησε δὲ καὶ αὐτῷ ὡς γνησίῳ υἱῷ δοῦναι χάριν προικὸς ἐν τῷ γαμικῷ αὐτοῦ συναλλάγματι ὑπέρπυρα πολιτευόμενα τ' καὶ εἴδη τινά, ἀφ' ὧν ἔλαβε μὲν τὰ εἴδη, τῷ πατρὶ συνοικήσας μετὰ τοὺς γάμους ἐνιαυτὸν ἕνα, μέχρις οὗ καὶ τὸ ζῆν ἐξεμέτρησε· τὰ δέ γε τριακόσια ὑπέρπυρα οὐκ ἔφθασε λαβεῖν δι' εὐ(γνω)μοσύνην τινὰ τὴν πρὸς τὸν πατέρα καὶ διὰ τὸ συνοικεῖν αὐτῷ καὶ ὁρᾶν τὸν ἐνοῦσαν αὐτῷ ἔνδειαν. ἐκείνου τοίνυν ἀδιαθέτως τῷ χρεὼν λειτουργήσαντος καὶ μηδενὸς ἑτέρου περιλειφθέντος εἰς τὴν ἐκείνου περιουσίαν, εἰ μὴ ἀμπελίου τινός, ὅπερ ὑπὸ τῆς μάχης καὶ τῆς τῶν πραγμάτων ἀνωμαλίας ἐφθάρη μὲν καὶ πρὸς ἐρήμωσιν κατήντησε παντελῆ, καλλιεργήθη δὲ μετὰ τὴν εἰρήνην δι' οἰκείων ἐξόδων αὐτοῦ δὴ Γεωργίου τοῦ Πρίγγιπος· τοῦ τοιούτου τοίνυν ἀμπελίου μόνου εὑρισκομένου, ἀρτίως ζητεῖ καὶ ἡ ἀδελφὴ αὐτοῦ ἐκ τούτου τὸ ἀνῆκον αὐτῇ κληρονομικὸν δίκαιον. ἐζήτησεν οὖν περὶ τούτου συνοδικὴν διάκρισιν τῆς ἡμῶν μετριότητος, εἴπερ ἐστὶ

δίκαιον ἱκανωθῆναι πρῶτον ἐκ τοῦ τοιούτου ἀμπελίου τὴν μητέρα αὐτοῦ εἰς τὴν ἑαυτῆς προῖκα, εἶτα λαβεῖν καὶ αὐτὸν τὰς εἰς αὐτὸ δὴ τὸ ἀμπέλιον ἐξόδους αὐτοῦ, ἀλλὰ δὴ καὶ τὰ λόγῳ προικὸς συμφωνηθέντα αὐτῷ τριακόσια ὑπέρπυρα παρὰ τοῦ ἰδίου πατρὸς καὶ τότε λαμβάνειν καὶ τὴν ἀδελφὴν αὐτοῦ· διέγνωμεν τοίνυν πρὸς ταῦτα καὶ ἀπεφηνάμεθα γνώμῃ καὶ τῶν συνεδριαζόντων ἡμῖν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κοζίκου, τοῦ Κορίνθου, τοῦ Ζηκχίας καὶ τοῦ Μηδείας, ὥστε, εἴπερ ἔχει οὕτως, ὡς ἀνέφερεν ὁ ῥηθεὶς Γεώργιος ὁ Πρίγγιψ, λαβεῖν μὲν κατὰ τὸ πρῶτον τὰς ἐξόδους αὐτοῦ τὰς ἐπὶ συστάσει καὶ βελτιώσει τοῦ ἀμπελίου καταβληθείσας παρ' ἑαυτοῦ, εἶτα λαβεῖν τὴν μητέρα αὐτοῦ πᾶσαν τὴν προῖκα αὐτῆς κατὰ τὸ πάντη ἀκέραιον, ὀφείλουσαν συνεισενεγκεῖν, εἴτιπερ ἔχει ἔκ τε τῆς τοῦ ἀνδρὸς οὐσίας καὶ ἀπὸ τῶν προικῴων αὐτῆς πραγμάτων· πρῶτον γὰρ χρέος οὖσα ἡ τῆς μητρὸς προὶξ ὀφείλει καὶ πρώτως ἐκ τῆς τοῦ πατρὸς ἐκβληθῆναι περιουσίας, ἀπὸ δέ γε τοῦ περιλειφθέντος ἢ ἱκανωθῆναι καὶ αὐτὸν δὴ τὸν Πρίγγιπα εἰς τὰ συμφωνηθέντα αὐτῷ παρὰ τοῦ ἰδίου πατρὸς τριακόσια ὑπέρπυρα καὶ οὕτω μερίζειν ἐξ ἴσου μετὰ τῆς ἀδελφῆς αὐτοῦ, εἴπερ τι περιλειφθείη, οὐδὲ γὰρ καταδικάζεται οὗτος, διὰ τὸ μὴ ἀπαιτῆσαι τὸν πατέρα τὰ τριακόσια ὑπέρπυρα, ζημιωθῆναι αὐτά, συνῴκει γὰρ αὐτῷ, καὶ μόνον ἤλπιζεν ἐν κατοχῇ γενέσθαι τῆς περιλειφθείσης αὐτῷ πάσης περιουσίας, καὶ ὅτι εἷς μόνος, ὡς ἀνέφερε, μετὰ τὴν συμφωνίαν ταύτην παρῆλθεν ἐνιαυτός, δι' ὃν οὐδαμῶς ἀποκλείεται μὴ λαβεῖν τὰ συμφωνηθέντα αὐτῷ λόγῳ προικός. ἢ γοῦν οὕτω τὰ περὶ τούτων πραχθήτω, ἢ εἴπερ ἀρέσει τοῦτο καὶ τῇ ἀδελφῇ τοῦ Πρίγγιπος, μετὰ τὸ λαβεῖν τὸν Πρίγγιπα τὰς εἰς σύστασιν τοῦ ἀμπελίου παρ' ἑαυτοῦ καταβληθείσας ἐξόδους, λαβεῖν δὲ καὶ τὴν αὐτῶν μητέρα τὴν προῖκα αὐτῆς πᾶσαν, εἰσενεγκάτωσαν ἕκαστον μέρος τῶν παίδων, εἴτιπερ ἔλαβον λόγῳ προικὸς παρὰ τοῦ πατρός, καὶ σὺν ἐκείνοις οὕτω μεριζέτωσαν ἐξ ἴσου καὶ τὴν ἐν τῷ τοῦ πατρὸς θανάτῳ εὑρεθεῖσαν πᾶσαν περιουσίαν, κατὰ τὴν (τῶν) φιλευσεβῶν νόμων περὶ τούτων διαταγήν. εἴπερ οὖν οὕτως ἔχει καὶ τὸ πρᾶγμα, καθὼς ὁ Πρίγγιψ ἀνέφερε, πραχθήτω πάντως κατὰ τὴν συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν τῆς ἡμῶν μετριότητος· εἰ δέ ἐστιν ἑτέρως, γράψον ἡμῖν, ἵνα μάθωμεν περὶ τούτου. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος. ὀφείλει δὲ λαβεῖν κατὰ τὸ πρῶτον καὶ εἴ τι ἔδωκεν ὁ

Πριγγιφ εἰς χρέος πατρικὸν καὶ εἴ τι ἐξοδίασεν ἀφ' ἑαυτοῦ εἰς μνημόσυνα ὑπὲρ τῆς ψυχῆς ἐκείνου. ἀπελύθη ἐν ἔτει ˏς ἐνναχοσιοστῷ β' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. β' †.

## CCCCLXXII. (6902—1394) augusto. ind. II.

*Patriarcha concedit metropolitae Maurovlachiae, ut iura episcopalia exerceat in Trinovo.*

† Προτροπὴ δοθεῖσα τῷ Μαυροβλαχίας ἀπερχομένῳ εἰς τὸ Τρίναβον †.

† Ἱερώτατε μητροπολῖτα Μαυροβλαχίας καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. ἡ μετριότης ἡμῶν ἐκχωρεῖ καὶ ἄδειαν δίδωσί σου τῇ ἱερότητι, ὡς ἂν ἐπειδὴ ἀπέρχῃ, θεοῦ βοηθείᾳ, εἰς τὴν ἁγιωτάτην ἐκκλησίαν Τρινόβου, ἔχεις ἄδειαν διενεργεῖν ἐκεῖσε πάντα τὰ τῇ ἀρχιερωσύνῃ ἀνήκοντα ἀκωλύτως καὶ ἀνεμποδίστως δίχα μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. ὀφείλεις τοιγαροῦν ἐπιλαβέσθαι τῆς ἁγιωτάτης ταύτης ἐκκλησίας καὶ διδάσκειν τοὺς ἐν αὐτῇ εὑρισκομένους καὶ παραινεῖν αὐτοῖς καὶ εἰσηγεῖσθαι τὰ πρὸς σωτηρίαν αὐτῶν καὶ ὠφέλειαν ψυχικὴν συντείνοντα, ὡς συνοδικῶς ἀποκαταστὰς εἰς τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος. τούτου γὰρ χάριν ἀπολέλυται τῇ ἱερότητί σου καὶ τὸ παρὸν προτρεπτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ αὐγούστῳ ἰνδ. β' †.

## CCCCLXXIII. (6903—1394) octobri. ind. III.

*Hieromonacho Athanasio conferuntur iuria patriarchalia in Monte Sancto et in metropoli Serrarum.*

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. γ' παρεδόθησαν ἐξαρχικῶς τὰ πατριαρχικὰ δίκαια τὰ περὶ τὸ Ἅγιον Ὄρος καὶ τὰ περὶ τὴν τῶν Σερρῶν ἐνορίαν πρὸς τὸν τιμιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικὸν κῦρ Ἀθανάσιον. καὶ παρεσημειώθη ἐνταῦθα †.

## CCCCLXXIV. (6903—1394) novembri. ind. III.

*Promissio Gregorii hieromonachi.*

† Ἐγὼ ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Γρηγόριος τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ, δι' ἧς καὶ λέγω, ὅτι ἂν φανῇ ποτε, ὅτι ἐξῆλθον ἀπὸ τῆς Μονεμβασίας μετά τινος ἐγκλήματος, καὶ ἀρτίως μὲν ὑποκρύπτω αὐτῷ, ἵνα τύχω τοῦ πρεσβυτέρου βαθμοῦ, ὕστερον δὲ φανερωθῇ, ἵνα καθέρωμε. καὶ δι' ἀσφάλειαν ἐγένετο ἡ παροῦσά μου ὑπόσχεσις μηνὶ νοεμβρίῳ ἰνδ. γ' †.

† Γρηγόριος ἱερομόναχος στέργων ὑπέγραφα †.

## CCCCLXXV. (6903—1390) martio. ind. III.

*Decisio de Sinata quodam adultero.*

† Μηνὶ μαρτίῳ ἰνδ. γ' ἐτάχθη ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, προκαθημένου συνοδικῶς, ὅτι ἀπὸ τῆς σήμερον ἐὰν εὑρεθῇ ὁ Σινάτης συμφθειρόμενος πλέον τῇ πόρνῃ, ᾗ συνεφθείρετο, δι' ἣν ἐσκανδαλίζετο καὶ ἡ γυνὴ αὐτοῦ, ἢ ἄλλῃ τινὶ ἑταιρίδι, ἵνα χωρὶς λόγου καταδικάζηται παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καταδίκην, ὅσην ἂν διακρίνοι ἡ μεγάλη ἁγιωσύνη αὐτοῦ. καὶ δι' ἀσφάλειαν παρεσημειώθη ἐν τῷ ἱερῷ κώδικι †.

## CCCCLXXVI. Sine anno.

*Confessio monachi Pauli Tagaris.*

† Ἐξομολόγησις μοναχοῦ Παύλου τοῦ Τάγαρι ἢ ὁμολογία. Τοῦ Περδίκη ὑπομνηματογράφου †.

† Ὁ μοναχὸς Παῦλος ὁ Τάγαρις μετὰ τὴν πολλὴν πλάνην ἐκείνην καὶ τὴν τοῦ πλείστου μέρους τῆς γῆς ἁπάσης μακρὰν περιαγωγὴν καὶ τοὺς ἀμυθήτους ἐκείνους καὶ ψυχοφθόρους πόνους καὶ κόπους, οὓς ἐπὶ κακῷ τῆς ἑαυτοῦ ψυχῆς ὑπέστη διακενῆς, ἐπιδημήσας τῇ βασιλίδι τῶν πόλεων καὶ εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριαρχὴν, ἀναδραμὼν, συνοδικῶς προκαθήμενον, τοιάνδε τινὰ τὴν ἐξομολόγησιν ἐποιήσατο, εἰπών· ὡς ἐμοὶ μὲν ὑπῆρξε γονέων τυχεῖν εὐσεβῶν καὶ περὶ τὴν ἀληθῆ πίστιν πολλὴν εὐλάβειαν κεκτη-

μένων, οὐ μικρὰν δὲ καὶ περὶ τοὺς τρόπους ἐχόντων τὴν ἐπιείκειαν· εὐγενεῖς μὲν γὰρ ἐκ προγόνων ἀληθῶς ἦσαν, ἥκιστα δὲ μόνον καλεῖσθαι τοῦτο ἠνείχοντο, ἀλλὰ καὶ δι' ἔργων οἰκείων ἠξίουν τοιοῦτοι φαίνεσθαι. Ἴσασιν οἱ πλεῖστοι τῶν ἐνόντων πατέρα τὸν ἐμόν, οἱ μὲν ἴσως καὶ ὄψεσιν ἰδόντες, οἱ δὲ καὶ ἀκοῇ παραλαβόντες τὴν ἀνδρίαν ἐκείνου καὶ τὰ κατ' ἐχθρῶν Ῥωμαίοις πολλὰ κατορθώματα, οὐδὲ γὰρ τῶν εὐτελῶν τις ἐτύγχανεν ὤν, οὐδὲ τῶν μὴ πολλὴν παρρησίαν κεκτημένων καὶ διὰ τοῦτο κρύπτεσθαι ἀξιούντων, ἀλλὰ γνωριμώτατος ἁπάντων, μὴ μόνον οἰκέτης, ἀλλὰ καὶ φίλος τῷ βασιλεῖ καὶ δεσπότῃ, ἕως γὰρ εἰπεῖν, ὅτι καὶ τῶν καθ' αἷμα προσηκόντων ἐκείνῳ διὰ τὸ κῦδος καὶ τὴν ἐπιγαμβρίαν ἐγένετο, καὶ πολλῆς ἠξιώθη καὶ διὰ τοῦτο τιμῆς. ἐκ τοιούτου τοίνυν ἀνδρὸς καὶ τοσούτου ὁ ἄθλιος ἐγὼ γεννηθείς, οὔπω πεντεκαιδέκατον γεγονὼς ἔτος, γονεῦσι πεισθείς, νόμῳ γάμου τῶν ἐξ εὐγενῶν τινι γυναικὶ συνηρμόσθην· τοῦ χρόνου δὲ προϊόντος, ἐπεὶ ταύτην οὐ τῷ ἐμῷ συμβαίνουσαν εἶδον σκοπῷ, οὐδ' αἱρουμένην πράττειν, ἅπερ ἤθελον ἐγώ, ἢ μᾶλλον εἰπεῖν, ἔργα γυναικός, οἷσπερ ἀνὴρ τιμᾶται, ἀλλὰ ταῖς ἰδίαις ὀρέξεσι στοιχεῖν θέλουσαν, κωλῦσαι δὲ ταύτην οὐχ οἷός τε ἦν, τοῦτο αὐτὸς εἰδώς, αὐτὴν μὲν εἴασα χαίρειν, εἰς δὲ τὴν Παλαιστίνην πορευθεὶς καὶ τῶν καθ' ἡσυχίαν τῷ Χριστῷ δουλευόντων εὑρών τινα, τούτῳ φέρων ἐκδέδωκα ἐμαυτόν, δουλεύειν αὐτῷ αἱρούμενος καὶ τοῖς παρ' ἐκείνου κελευσθεῖσιν ἀόκνως ὑπηρετεῖσθαι· παρ' ἐκείνου τοιγαροῦν κατὰ μοναχοὺς ἀποκαρεὶς καὶ τὸ ἅγιον ὑποδὺς σχῆμα, ὅπερ ὕστερον ὁ δυστυχὴς περιφρονῆσαι κακῶς ἐβουλευσάμην, καὶ χρόνον ὀλίγον ἐκεῖσε διατρίψας εἰς τὴν Κωνσταντίνου Πόλιν ἔγνων ἐπανελθεῖν, καὶ μοναχὸς ἐνταῦθα συγγενέσι καὶ πολίταις ὀφθεὶς καὶ παρὰ πολλοῖς τούτου χάριν ἔπαινον κομισάμενος, ἐν ἑνὶ τόπῳ τέως καθῆσθαι διενοούμην, ἔχων μὲν ἴσως τηνικαῦτα καὶ προαίρεσιν οὐ πόρρω τοῦ ἀγαθοῦ καὶ τῆς τῶν ἐναρέτων μερίδος βουλόμενος καὶ αὐτὸς εἶναι, ὕστερον δὲ κατὰ μικρὸν μεταβαλὼν καὶ πρὸς ὑπόκρισιν καὶ πανουργίαν τραπεὶς καὶ πρὸς κενὴν καὶ ματαίαν ἐπίδειξιν, δῆλον δὲ τοῦτο γέγονεν ἐκ τῶν ἔπειτά μοι συμβάντων. τέως δ' αἴτιον τῆς δευτέρας ἀποδημίας μοι καθέστηκε τὸ νῦν ῥηθησόμενον· εἰκόνα γάρ τινα θείαν εὑρὼν καὶ θαυματουργὸν αὐτὴν εἶναι τοῖς πᾶσιν ἀνακηρύξας, πόρον τινὰ ζωῆς δι' αὐτῆς συνάγειν διενοήθην· νεωκόρος δὲ αὐτῆς ἀποκαταστὰς καί τινα

τῶν μὴ προσηκόντων πρὸς ἐπίδειξιν ματαίαν ποιούμενος, ὃ τοῖς ἐμοῖς συγγενέσιν ὕβρεις καὶ ἀτιμία τοῦ γένους ἐκρίθη καὶ ὄνειδος, καὶ τὸν μὲν πατριάρχην (Κάλλιστος δὲ ὁ ἁγιώτατος ἦν) οὐκ ἠδυνήθησαν πεῖσαι τὴν εἰκόνα ἀφελεῖν ἀπ' ἐμοῦ, μὴ δίκαιον τοῦτο κρίναντα· ὡς δὲ εἰς τὴν Σερβίαν ἀπεδήμησεν ἐκεῖνος, τὸν ἱερομόναχον ἐκεῖνον Δωρόθεον, δικαίῳ καταλειφθέντα ἐν τῷ πατριαρχείῳ, τηνικαῦτα κατ' ἐμοῦ κινηθῆναι παρεσκεύασαν, καὶ ἀνήκεστά με παθεῖν ἠπείλησεν, εἰ μὴ παρ' ἐκείνῳ ἡ ἡμετέρα εἰκὼν γένηται· ἀφαιρεθεὶς οὖν τὴν εἰκόνα παρ' ἐκείνου εἰς μῆνιν καὶ ὀργὴν ἐκινήθην, καὶ μὴ ἔχων, ὅ τι καὶ δράσαιμι, εἰς Παλαιστίνην αὖθις ἐπιδημεῖν ἔκρινα, καὶ δὴ καταλαβὼν τὰ Ἱεροσόλυμα καὶ τῷ πατριάρχῃ (Λάζαρος οὗτος ἦν) ἐπί τινα συγγεγονὼς χρόνον καὶ ἀγαπηθεὶς παρ' αὐτοῦ ἴσα καὶ παίδων ὁ γνησιώτατος, ἔπειτα καὶ εἰς τὸν τοῦ διακόνου παρ' αὐτοῦ προβιβαζόμενος βαθμόν· ὡς δὲ ἐκεῖνος μὲν εἰς τὴν Κωνσταντινούπολιν ἐπανῆλθε μετὰ τὸν διωγμὸν καὶ τὰς ἀπείρους πληγάς, ἃς παρὰ τῶν ἀθέων ὑπέστη, ὁ δὲ Δαμιανός, ἔχων καὶ τὴν τοῦ Ἀλεξανδρείας ῥοπήν τε καὶ συμμαχίαν, τοῖς Ἱεροσολύμοις ἐπεδήμησε, καὶ πᾶν κακὸν ἐτεχνάζετο κατ' ἐμοῦ, ἵνα με θανατώσας τῆς ἐκκλησίας ἐπικρατὴς γένηται, τὸν φθόνον ἔγωγε καὶ τὸν δόλον τὸν κατ' ἐμοῦ πληροφορηθεὶς καὶ δειλίᾳ συσχεθεὶς εἰς Ἀντιόχειαν ὥρμησα, καὶ τῷ μακαρίτῃ πατριάρχῃ Ἀντιοχείας, κῦρ Μιχαήλ, συγγεγονὼς καὶ φίλος αὐτῷ χρηματίσας παρ' ἐκείνου τὴν τοῦ πρεσβυτέρου δέχομαι χειροτονίαν· ἣν ἂν οὖν μοι μακάριον μέχρι τούτου στῆναι τοῦ σχήματος καὶ μὴ πλείονος ἐφίεσθαι τιμῆς, ἀλλὰ ταύτην φυλάττειν ὁπόση δύναμις; ὃ γὰρ πολλάκις καὶ ἄκων τις καταδεχόμενος παρεσύρη, τίς ἂν γένοιτο ὁ πρὸς τοῦτο τὴν ὁρμὴν ἔχων διὰ παντὸς κτήσασθαι; ἐπεὶ δὲ, ὡς εἴρηται, πρεσβύτερος ἐγενόμην καὶ ἔξαρχος ἀπεκατέστην παρ' αὐτοῦ καὶ δικαίῳ πάντων τῶν τῷ θρόνῳ ἐκείνῳ καὶ τῇ ἐνορίᾳ ἀνηκόντων, εὐθὺς μετὰ τὸ φωμίον εἰσῆλθεν εἰς ἐμὲ ὁ σατανᾶς, καὶ οὐδὲν ἦν ἀθέμιτον καὶ παράνομον, ὃ μὴ ἐκπληροῦν ἠνάγκασεν αἰσχροκερδείας ἕνεκα· κατεπατεῖτο μὲν οὖν παρ' ἐμοῦ ἡ τοῦ οἰκουμενικοῦ πατριάρχου ἐνορία, ἐπίσκοποι τῶν οἰκείων ἐπισκοπῶν ἐξωθοῦντο, μηδὲν ἐργασάμενοι κακόν, καὶ ἀντ' αὐτῶν εἰσήγοντο ἕτεροι ἀνάγωγοι καὶ ἐπίρρυτοι, χρήματα διδόντες καὶ ἀρχιερωσύνην παρὰ πρεσβυτέρου λαμβάνοντες· ἐξέμηνε δέ μου τὴν ψυχὴν καὶ πρὸς τὴν τοιαύτην ἐπιθυμίαν καὶ τὰ μέγιστά μοι πρὸς τὴν

τοιαύτην κακίαν συνήρατο καί τινος τῶν μητροπολιτῶν τελευτήσαντος ἀλλαγή, ἣν ἐκεῖσε εὑρὼν καὶ ἀναξίως περιβαλλόμενος πατριάρχην ἑαυτὸν Ἱεροσολύμων ἀπεκάλουν, καὶ χειροτονίας μητροπολιτῶν καὶ ἐπισκόπων ἀνυποστόλως ἐποίουν, ἱερεὺς δῆθεν ὢν αὐτός. ποῦ τοίνυν παρ' ἐμοὶ ἡ ἐκκλησιαστικὴ ἢ κανονικὴ νομοθεσία ἢ θείων θεσμῶν παρακέλευσις, ἕκαστον μένειν ἐν οἷς ὁρίοις ἐτάχθη διαγορεύουσα; οὔτε ἠκούετο ἐν ἡμῖν, οὔτε ἐπράττετο· οὐδὲ γὰρ ὁ ἄξιος ἐμοὶ καὶ ἁρμόδιος τῶν ἄλλων ἐνομίζετο προτιμότερος, ἀλλ' ὁ πλείω καταβαλλόμενος χρήματα, κἂν ὅσων ἦν πλήρης κακῶν, κἂν ὅσην ἀνομίαν ἐπλούτα, καὶ πρὸς τὸ πρᾶγμα ἀναξιώτατος, οὗτος ἐμοὶ ἱκανώτατος ἁπάντων καὶ ἱερώτατος. εἴ που δέ τις ἐπίσκοπος παρὰ τῶν πατριαρχῶν τινος γεγονώς, τοῦτον ὡς δεξάμενον τὴν χειροτονίαν ἢ τοῦ θρόνου κατεβίβαζον, ὡς ἐκεῖνον δυσχεράναντα τὴν ἐμὴν τυραννίδα, χρήμασιν ἐξωνήσασθαι τὴν ἑαυτοῦ τιμήν, ἢ πρὸς τὸν τοῦ τόπου ἀμηρᾶν διαβάλλων αὐτὸν κακῶς διετίθουν, ὡς ἀναγκασθέντα τὴν οὐσίαν δίχα διελεῖν καὶ τῆς μιᾶς μερίδος ποιῆσαι κύριον. τίς οὖν ἀριθμῆσαι δυνηθείη τὰς τῶν ἱερέων χειροτονίας τὰς παρ' ἐμοῦ γεγονυίας ἀθέσμως καὶ ἀκανονίστως, μόνον ἵν' ἀργύριον προσπορίσωμαι; ὁ γὰρ ἔρως τῶν χρημάτων ὁ κατασχών μου τὴν ψυχὴν καὶ ἡ τοῦ πλούτου ἐπιθυμία πᾶν κακὸν ἐνεργεῖν ἀνέπεισεν· τίς μὲν γὰρ ἐκεῖ κανόνων φυλακὴ καὶ συντήρησις, τίς δὲ βίου ἐξέτασις, ἄξιον εἶναι τὸν χειροτονούμενον κρίνουσα; ἀλλ' ἐκεῖνος ἄξιος ἐνομίζετο ὁ τὸ πλεῖον ἢ δοὺς ἢ δοῦναι ἐπαγγειλάμενος· οὕτω δὲ ἀπλήστως ἔχων εἰς τοῦτο καὶ τὴν οἰκουμένην πᾶσαν διαδραμεῖν θέμενος εἰς νοῦν, ὡς ἄν μοι καὶ πλείω προσγένηται χρήματα, πρὸς τὰ τῶν Περσῶν ὅρια γίνομαι. ἐκεῖθεν τοίνυν ὁρμήσας πρὸς τὴν μεγάλην Ἰβηρίαν ἀπῆλθον, ἐν ᾗ τρεῖς ἄνδρας περὶ βασιλείας εὑρὼν φιλονεικοῦντας, ἑκάστου τὴν ἀρχὴν πρὸς αὐτὸν ἀγαγέσθαι σπουδάζοντος, κριτὴς αὐτὸς αὐτοχειροτόνητος ἐμαυτὸν αὐτοῖς καθίζω, οἵ με καὶ δικαιοσύνης ἀντιποιεῖσθαι νομίσαντες καὶ ἱκανώτατον μόνον τὴν ἔριν αὐτῶν διαλῦσαι, παρεκάλουν δικαίας ἐκφῦναι τὰς περὶ τοῦ προσήκοντος μάλιστα ψήφους· ἐγὼ δὲ καιρὸν χρηματισμοῦ τοῦτον εἶναι κρίνας καὶ πλείονος πρόξενον εὐπορίας, τὸν μὲν ἄξιον καὶ ἱκανὸν ὄντα πρὸς τοιαύτην ἀρχὴν παρεῖδον, ὅλως δὲ τοῦ πλείονά μοι παρασχεῖν ἐπαγγειλαμένου χρήματα γίνομαι, καὶ τοῦτον βασιλέα ποιήσας πλοῦτον οὐκ ὀλίγον ἐκεῖθεν λαβὼν ὑποστρέψαι πά-

λιν ἐκεῖθεν ἐνεθυμήθην, οὐκ ἀγενεῖς τινας, οὐδὲ φαύλους, ὡς ἔγωγε οἶμαι, φέρων ἐν ἐμαυτῷ λογισμούς, τὴν μεγάλην γὰρ πόλιν καταλαβεῖν διενοούμην καὶ μετάνοιαν ἐξαιτήσασθαι παρὰ τῶν τῆς ψυχῆς καλῶς εἰδότων ἐξιᾶσθαι τὰ τραύματα καὶ κενῶσαι τῶν συναχθέντων μοι χρημάτων τὰ μὲν, ὡς δόξει τῷ βασιλεῖ, τοῦ κοινοῦ συμφέροντος ἕνεκα, τὰ δὲ καὶ εἰς τοὺς τῆς πόλεως πένητας· τούτους ἐν τῇ ψυχῇ περιφέροντός μου τοὺς λογισμοὺς πέμπεται πρός με παρὰ πατριάρχου Ἀντιοχείας ὁ τὸν πρῶτον θρόνον ἐπέχων τῶν ὑπ' αὐτὸν μητροπόλεων, ὁ Τύρου φημὶ καὶ Σιδῶνος, προτραπεὶς παρ' αὐτοῦ ἢ κωλῦσαί με, μὴ ταῦτα πράττειν, εἰ δύναιτο, ἢ κἂν ἐπίσκοπόν με Ταυρεζίου χειροτονῆσαι, ὡς ἂν ἴσως γε τυγχάνωσιν εὐλογίας τὰ παρ' ἐμοῦ πραττόμενα· ἐπίσκοπος τοίνυν ἐντεῦθεν Ταυρεζίου, ὡς μὴ ὤφελον, καθίσταμαι παρ' αὐτοῦ, καταλαβεῖν τὰ ἐνταῦθα διανοούμενος· ἀφαμένων δὲ ἡμῶν τῆς ἐνταῦθα φερούσης καὶ γενομένων πρὸς τὰ τῆς Τραπεζοῦντος μέρη, προσελθών μοί τις μοναχὸς γράμματα ἐγχειρίζει τοῦ πατριάρχου, κὺρ Φιλοθέου, καὶ ταῦτ' ἀναγνοὺς, ἐπεὶ εὗρον κατὰ τοῦ μητροπολίτου Τύρου πολλὰ διαγορεύοντα καὶ τοῦ ἀντιχρίστου πρόδρομον τοῦτον ἀποκαλοῦντα, τὸν δέ γε ὀπαδὸν αὐτοῦ τὸν παράνομον Τάγαρην, ἐμὲ δὴ λέγοντα, δεδεμένον ὡς αὐτὸν πέμψειν ἀξιοῦντα τὸν δυνάμενον τοῦτο ποιεῖν. τοῦτο μὲν λυπηθεὶς πρὸς τὸν πατριάρχην, τοῦτο δὲ καὶ φοβηθεὶς τὴν καθ' ἡμῶν ὀργὴν αὐτοῦ, εἰς Ῥώμην ἀποδημῆσαι πρὸς τὸν πάπαν ἀναγκαῖον καὶ λυσιτελοῦν ἡγησάμην, ὡς ἂν παρ' ἐκεῖνον γενόμενος καὶ τῆς παρ' ἐκείνου τιμῆς καὶ εὐλογίας τυχὼν, μηδένα τὸν πρᾶξαι κατ' ἐμοῦ δυνάμενον ἔχω· περαιωθεὶς τοίνυν πρὸς τὴν Ἀτταρίαν καὶ τῷ ἐκεῖσε ἄρχοντι μαργαρίτας ἕνδεκα δῶρον προσαγαγὼν πολυτίμους, οὓς ἐγὼ πολλῶν ὠνησάμην, ὁδηγοὺς καὶ φύλακας καὶ βοηθοὺς ἐζήτησα παρ' αὐτοῦ, ὡς ἂν πρὸς τὰ μέρη τῶν Οὔγγρων διαβῆναι δυνηθῶ ἀσφαλῶς τε καὶ ἀκινδύνως· λαβὼν οὖν οὐκ ὀλίγους, τῆς ἐπὶ Ῥώμης ἡψάμην. γενομένου δὲ πρὸς τὰ τῶν Οὔγγρων μέρη, μετάμελός με εἰσῆλθε τῶν πραττομένων, κίνδυνον γὰρ ἀληθῶς ὄντα ψυχῆς τὸ πρᾶγμα καὶ αὐτὸς οὐκ ἠγνόουν, ὅμως δ' οὐκ ἔχων ὑποστρέφειν ἐκεῖθεν, μέσον τῶν δυσχερῶν καταστὰς, οὐδ' ὅ τι καὶ πράξαιμι, πρὸς μὲν γὰρ τὰ τῶν Ἀτταρίων αὖθις ἀνακάμψαι παντάπασιν ἀπηγόρευσα, τοὺς δυσχερεῖς κινδύνους καὶ θανατηφόρους τῆς ὁδοῦ ἐκείνης, οὓς ὑπέστην, φοβούμενος, τὸ δὲ μὴ τὴν Ῥώμην καταλαβεῖν οὐκ ἀκίνδυνον συνορῶν ἅμα τῷ ἅπαξ πρὸς

τὸν πάπαν ἀπέρχεσθαι πρὸς πάντας ὁμολογήσαντι, ἑκὼν ἄκων τέως τὴν Ῥώμην ἔφθασα, τῷ δὲ πάπᾳ προσελθὼν καὶ ὁμολογίαν αὐτῷ δοὺς καὶ πίστιν τοῖς αὐτοῦ δόγμασιν ἐμμένειν, εὐλογίας τε ἔτυχον παρ' αὐτοῦ καὶ τιμῆς, καὶ Κωνσταντινουπόλεως πατριάρχης κατωνομάσθην, οὐ μὴν ἀλλὰ καὶ δεύτερος πάπας ἐκλήθην· ζητήσας δὲ καὶ τὰ τῷ θρόνῳ Κωνσταντινουπόλεως ἀνήκοντα καὶ πάντα λαβών, σχῆμά τε εὐθὺς ἤμειψα, καὶ ἀντὶ μοναχικῆς στολῆς λαμπρὰς ἐσθῆτας ἠμφιασάμην, λίθοις καὶ μαργάροις κεκοσμημένος, ἀλλὰ καὶ κρέα παντοῖα ἤσθιον ἀδεῶς, καὶ φίλος μὲν Λατίνοις ἐφαινόμην, ἐχθρὸς δὲ τῶν ὀρθῶν δογμάτων καὶ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, πορνείας δὲ (ὁ θεὸς οἶδεν, οὐ ψεύδομαι) καὶ τερατειῶν καὶ μαγγανείων ἢ γοητειῶν ἐραστὴς παρὰ πάντα μου τὸν τῆς ζωῆς χρόνον οὐκ ἐγενόμην, εἰ καί τινες συκοφάνται κατ' ἐμοῦ τοιαῦτα συνέρραψάν τε καὶ διεφήμισαν· εἰ δὲ καὶ τοιοῦτον ἦν, καὶ τοῦτο ἐξωμολογησάμην ἂν μετὰ ἀληθείας, ἐπεὶ οὐδὲ ὡς ἀνθρώποις προσέχω τὸν νοῦν, ἀλλ' ὡς αὐτῷ τῷ Χριστῷ καὶ τοῖς ἀποστόλοις, καὶ οὐδὲ πειράσαι βουλόμενος τὸ πνεῦμα τὸ (ἅγιον μήποτε οὕτω φρενῶν ἐκστάλην) ἀλλὰ τῶν ἐπταισμένων καθαρῶς τὴν συγχώρησιν λαβεῖν, μήπως ὁ θάνατος ἐπελθὼν ὅσον οὔπω (καὶ γὰρ καὶ τὸ γῆρας ἐλαύνει πρὸς τὸ πέρας τῆς ἐνταῦθα ζωῆς) τῷ αἰωνίῳ πυρὶ ἐκείνῳ μετὰ τῶν δαιμόνων βασανίζεσθαι ἀτελεύτητα παραπέμψῃ με. ταῦτα πάντα οὕτως εἰπόντα καὶ πάντων ἀκουόντων ἐξομολογησάμενος ἐν τῷ τέλει τῶν εἰρημένων καὶ τήνδε προσέθετο τὴν ὁμολογίαν· πιστεύω εἰς πατέρα, υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν ἁγίαν τριάδα καὶ ὁμοούσιον καὶ ἀδιαίρετον, πατέρα ἀγέννητον, πνεῦμα ἐκ τοῦ πατρὸς μὲν ἐκπορευόμενον, ἐν υἱῷ δὲ ἀναπαυόμενον καὶ διαδιδόμενον· πρὸς τούτοις πιστεύω καὶ ὁμολογῶ τοῦ σωτῆρος τὴν ἔνσαρκα οἰκονομίαν· προσδοκῶ ἀνάστασιν τῶν νεκρῶν, ἐκδέχομαι κρίσιν, κόλασίν τε καὶ τῶν πεπραγμένων ἀνταπόδοσιν, στέργω τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, καὶ ἀποβάλλομαι, οὓς ἀπεβάλοντο, καὶ ἀναθεματίζω πᾶσαν αἵρεσιν καὶ αὐτὴν τὴν τῶν Λατίνων καινοτομίαν καὶ προσθήκην ἐν τῷ ἱερῷ συμβόλῳ καὶ αἵρεσιν καὶ τὰ τούτων ἔθιμα πάντα· προσέρχομαι δὲ Χριστοῦ χάριτι τῇ καθολικῇ καὶ ἁγίᾳ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ἧς νῦν προστάτης ὁ ἁγιώτατος πατριάρχης, κῦρ Ἀντώνιος, καὶ πιστεύω, ὡς αὐτὸς πιστεύει καὶ ἡ ὑπ' αὐτὸν σύνοδος καὶ ὁ βασιλεὺς ὁ ἅγιος, κῦρ Μανουὴλ ὁ Παλαιολόγος. ὁ γοῦν παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰ-

κουμενικὸς πατριάρχης, ἐκ πρώτης μὲν ἐδέξατο τοῦτον, συναθροισθῆναι δὲ τὴν ἱερὰν σύνοδον τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων παρεκαλέσατο καὶ τὸ δόξαν καλὸν ἐπ' αὐτῷ προβῆναι· συναθροισθείσης οὖν τῆς θείας καὶ ἱερᾶς συνόδου πάλιν μέσον τούτων πάντων στὰς τὰ αὐτὰ τοῖς προτέροις εἴρηκε· πάλιν οὖν ἔδοξε καλὸν τῇ ἱερᾷ συνόδῳ καὶ δευτέραν συναθροισθῆναι σύνοδον καὶ μέσον τοῦτον στάντα καὶ πάντα κατὰ μέρος ἐξομολογησαμένου, τότε παρ' αὐτῶν καὶ τὴν τῶν ἁμαρτημάτων συγχώρησιν λήψεται· παρακλήσεως οὖν πανδήμου τελεσθείσης, πάντων δεηθέντων τοῦ θείου ἄφεσιν τῶν ἡμαρτημένων αὐτοῖς δωρηθῆναι, αὐτὸς καὶ αὖθις μέσον στάς, πάντων ὁρώντων αὐτὸν καὶ ἀκουόντων, τὰ αὐτὰ καὶ πάλιν ἐξεῖπε, καὶ τοῖς πᾶσι δῆλα πεποίηκεν, ὡς καὶ πρότερον. ὁ γοῦν παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, σὺν τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ὥρισε καὶ ἀπεφήνατο . . . . .

Reliqua desunt.

## CCCCLXXVII. Sine anno.

***Patriarchae litterae ad Merxum de eius matrimonio.***

† Περιπόθητε ἐξάδελφε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, εὐγενέστατε, ἐνδοξότατε κῦρ Μῆρξε· χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς καὶ σώματος καὶ ἄλλο πᾶν ἀγαθὸν ὁμοῦ καὶ σωτήριον ἐπεύχεται τῇ εὐγενείᾳ σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ὁ τιμιώτατος ἐν μοναχοῖς, κῦρ Ἀθανάσιος, καταλαβὼν ἐνταῦθα, ἀνέφερεν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν καὶ μεγάλην σύνοδον, ὅσα ἀνέθηκεν αὐτῷ ἡ εὐγένειά σας περὶ τοῦ συνοικεσίου σας· τὸ μὲν οὖν πρᾶγμα βαρὺ ἔδοξεν εἰς ἡμᾶς καὶ ἀσύνηθες, ἐκωλύετο γὰρ διὰ τὴν ἐγγύτητα τῶν βαθμῶν· ἐπεὶ δὲ ἐπληροφόρησεν ἡμᾶς ὁ κῦρ Ἀθανάσιος καὶ ἄλλοι καλοὶ τῶν ἀνθρώπων, ὅτι διὰ τὸν προφανῆ κίνδυνον τὸν ἐρχόμενον εἰς τοὺς αὐτόθι χριστιανοὺς καὶ εἰς τὰς περιλειφθείσας αὐτόθι χώρας ἠναγκάσθητε καὶ ἐβιάσθητε δὲ παρὰ τοῦ μεγάλου ἀμηρᾶ καὶ ἐποιήσατε τοῦτο, ὅπερ καὶ ὁ ἀρχιεπίσκοπος ὑμῶν ὁ Ἀχριδῶν συνεκατέβη καὶ συνεχώρησεν καὶ εὐλόγησεν αὐτόθι, ἡγησάμενος τοῦτο γενέσθαι ἢ ἀφανισθῆναι τοσοῦτον πλῆθος χριστιανῶν καὶ κινδυνεῦσαι, ὅπερ αὐτὸς ἐποίησε διὰ τὰς τοιαύτας ἀπαραιτήτους

ἀνάγκας, ὡς οἶδε καὶ διέκρινεν ἡ γνῶσις αὐτοῦ ἐπὶ κοινῷ συμφέροντι τῶν χριστιανῶν, ἡμεῖς οὔτε ἀνακρίνομεν, οὔτε καταλύομεν, ἓν μόνον λέγομεν, ὅτι, ἐπειδὴ ζητεῖς καὶ ἀφ' ἡμῶν διάκρισιν καὶ εὐχήν, ἵνα σπουδάζῃς ἀεὶ ὑπὲρ τῆς ψυχῆς σου, καὶ παρακαλῇς τὸν θεόν, ἵνα τύχῃς παρ' αὐτοῦ βοηθείας, καὶ προκόψῃς καὶ ἐν τῷ μέλλοντι, καὶ σπουδάζῃς καὶ βλέπῃς συνεχῶς πνευματικοὺς πατέρας, καὶ ποιῆτε ἐλεημοσύνην εἰς πτωχά, καὶ ἐξαγοράζητε αἰχμάλωτα, καὶ ἐλευθερεῖτε αὐτά· οὕτω γὰρ ποιοῦντες μετὰ τῆς παρούσης ὑμῖν αὐθεντείας κληρονομήσητε καὶ τὴν τῶν οὐρανῶν αἰώνιον βασιλείαν. πληροφορήθητε δέ, ὅτι καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ καὶ βασιλεὺς καὶ ἡ κρατίστη καὶ ἁγία μου δέσποινα πολλὰ ἠγωνίσαντο ὑπὲρ τῆς δουλείας σας, καθὼς μέλλετε μαθεῖν ἀκριβῶς παρὰ τοῦ κῦρ Ἀθανασίου, διὰ τοῦτο καὶ ὀφείλετε αὐτοῖς εὐχαριστεῖν. ἡ χάρις τοῦ θεοῦ διατηρήσαι τὴν εὐγένειάν σας ἄνοσον, εὔθυμον, ὑγιᾶ καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος †.

## CCCCLXXVIII. (6903—1394) 8. decembris. ind. III.

*Episcopus Methones accusatus iudices eligere iubetur.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν Μεθώνης †.

I. Θεοφιλέστατε ἐπίσκοπε Μεθώνης· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ θεοφιλίᾳ σου. ἡ ἔγγραφός σου ἀναφορὰ διεκομίσθη τῇ ἡμῶν μετριότητι, καὶ ἐγνωρίσαμεν ἐξ αὐτῆς περὶ ὧν ἔγραφες καὶ ἀνέφερες, μετ' ὀλίγον δὲ ἐδεξάμεθα καὶ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Λακεδαιμονίας, τοῦ Παλαιῶν Πατρῶν καὶ τοῦ Μονεμβασίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, κοινὴν ἔγγραφον ἀναφοράν, δι' ἧς ἀνέφερον, ὅπως τε συνήχθησαν μετὰ τῶν ὑπ' αὐτοὺς ἕκαστος ἐπισκόπων κατὰ τὴν συνοδικὴν παρακέλευσιν καὶ ἀνάθεσιν, καὶ ἐμήνυσάν σοι καὶ μίαν καὶ δύο καὶ τρεῖς, ἵνα ἀπαντήσῃς τοῖς κατηγόροις σου, καὶ ἀπολογήσῃ ἔμπροσθεν αὐτῶν περὶ τῶν λαληθέντων κατὰ σοῦ ἐγκλημάτων, ἵνα ἐξετασθῶσιν ἅπαντα, σοῦ παρόντος, ὑπ' αὐτῶν κατὰ τὴν συνοδικὴν παρακέλευσιν, σὺ δὲ οὐδόλως ἠθέλησας ἀπαντῆσαι καὶ ἀποδύσασθαι τὰ ἐγκλήματα, διὸ καὶ ἀναγκασθέντες ἤργησάν σε πάσης ἀρχιερατικῆς ὑπηρεσίας· τὰ τοιαῦτα οὖν γράμματα τῶν ῥηθέντων ἀρχιερέων, ἀλλὰ δὴ καὶ τὰ σὰ συνοδικῶς ἀνεγνώσθησαν· κοινῇ τοίνυν συνδιασκεψάμε-

νοι τὰ περὶ τούτων, γνώμῃ καὶ τῶν συνεδριαζόντων ἡμῖν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Κοτυαείου, τοῦ Μηδείας καὶ τοῦ Γάννου καὶ διὰ γνώμης τοῦ Νικομηδείας, ἐπεὶ εὕρομεν τὴν παρὰ τῶν ῥηθέντων ἀρχιερέων κατὰ σοῦ ἐκφωνηθεῖσαν ἀργίαν, οὐχ ὡς ἔδει καὶ καθὼς ἀνετέθησαν συνοδικῶς προβᾶσαν, οὐδὲ γὰρ ἐξῆν αὐτοῖς τὸ τυχὸν ἀποφήνασθαι κατὰ σοῦ, ἐξέτασιν γὰρ αὐτοῖς ἐπετράπη τῶν κατὰ σοῦ ἐγκλημάτων μόνον ποιῆσαι, οὐ μὴν τιμωρίαν φευγοδικίας ἢ τὴν τυχοῦσαν ἀπόφασιν ποιήσασθαι περὶ τούτου, ἀλλ' ὅσον ἂν εὕρωσιν, εἴτε ἀπὸ τῆς ἐξετάσεως, εἴτε καὶ ὁτιοῦν ἕτερον, πρὸς τὴν σύνοδον τοῦτο δηλῶσαι δι' ἐγγράφου ἀναφορᾶς αὐτῶν· οἱ δὲ φαίνονται ἀπόφασιν ἀργίας ψηφισάμενοι κατὰ σοῦ· διὰ ταῦτα δὴ πάντα τὸ μὲν γεγονὸς παρ' ἐκείνων ἔχομεν ἀργόν τε καὶ παντελῶς ἀνατετραμμένον, ὡς οὐ κατὰ τὴν συνοδικὴν γεγονὸς παρακέλευσίν τε καὶ ἀνάθεσιν, σὲ δὲ ἐνεργὸν ἔχομεν καὶ λελυμένον τῆς τοιαύτης ἀργίας· ὀφείλεις τοίνυν ἐν τῇ ὑπὸ σὲ ἐκκλησίᾳ πᾶσαν ἀρχιερατικὴν ὑπηρεσίαν ἀκωλύτως ποιεῖν, πλήν, ἐπείπερ κανονικὸν εὑρίσκομεν καὶ ὡρισμένον τοῖς ἐν Καρθαγένῃ πατράσιν, ἵνα ἐάνπερ κατά τινος ὅλως ἐγκλήματα λαληθῶσιν, ἀνάγκην ἔχει αὐτὸς ἐντὸς ἐνιαυτοῦ σπουδάσαι τὰ κατ' αὐτοῦ λαληθέντα ἀποδύσασθαι, εἰ δὲ μή, μένῃ αὐτὸς ἀκοινώνητος· καὶ πάλιν, ἐπεὶ καὶ τοῦτο κανονικόν ἐστι, τὸ τὸν κατηγορούμενον ἄδειαν ἔχειν αἱρεῖσθαι ἐξεταστάς τε καὶ κριτὰς τῶν κατ' αὐτοῦ λαλουμένων, οἵπερ ἂν αὐτῷ δόξουσιν ἀπαθῶς δικάσαι τὰ κατ' αὐτοῦ· διὰ τὸ περιθάλπεσθαι μᾶλλον τὸν ἐναγόμενον ἢ τὸν ἐνάγοντα, ἤδη σοι δέδοται καὶ αὐτῷ συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶν ὀγδόη τοῦ δεκεμβρίου μηνός, ἥ τε τοιαύτη κανονικὴ τοῦ ἐνιαυτοῦ διωρία καὶ ἡ περὶ τοὺς ἐξεταστὰς ἄδειά τε καὶ πρόκρισις, ὡς ἂν ἐντὸς τοῦ δοθέντος σοι ἐνιαυτοῦ, εἰ μὲν σπουδάσεις καὶ ἐκλέξῃ κριτάς τε καὶ ἐξεταστὰς τῶν κατὰ σοῦ λαληθέντων ἢ ἀπὸ τῶν ἐν τῇ Πελοποννήσῳ εὑρισκομένων ἀρχιερέων, ἢ πέμψῃς ἐνταῦθα καὶ ἀναφέρῃς καὶ ζητήσῃς, οὓς ἂν σοι δόξῃ, καὶ ἐξετασθῶσι τὰ κατὰ σοῦ, ἤδη γενήσεται, ὅσον ἂν ἐκ τῆς ἐξετάσεως ἡμῖν δόξῃ συνοδικῶς· εἰ δ' οὐ σπουδάσεις ἐντὸς ἐνιαυτοῦ τοῦτο ποιῆσαι, τότε ἀργός τε καὶ ἀκοινώνητος ἔσῃ, μέχρις ἂν προβῇ τὰ τῆς ἐξετάσεως· ἀλλὰ μὴν οὐδὲ ἐν τῇ Μεθώνῃ μόνον δεῖ σε ἐξετασθῆναι διισχυρίζεσθαι, κανονικὸν γάρ ἐστιν, ἔνθα ἂν μὴ δειλιῶσιν οἱ κατήγο-

ροι καὶ αὐτὸς σύ, ἐκεῖσε προβαίνειν τὰ τῆς ἐξετάσεως. ἐγράφαμεν καὶ τοῖς ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Λακεδαιμονίας καὶ τῷ Μονεμβασίας, ἵνα ἀκριβῶς ἐξετάσωσι περὶ τῶν κατηγόρων, εἴπερ ὑπὸ δεσμὸν καὶ ἀργίαν ἦσαν, ὅτε τοιαῦτα κατηγόρησαν κατὰ σοῦ, εἰ γὰρ εὑρεθῇ τοῦτο, οὐδὲ ἡ κατηγορία αὐτῶν ὅλως εἰσακουσθήσεται, τοῦτο γάρ ἐστι τὸ κανονικόν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς θεοφιλίας σου. ἀπελύθη τῇ ὀγδόῃ †,

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκευρίῳ ἰνδ. γ΄ †.

---

† Πιττάκιον πατριαρχικὸν εἰς τοὺς ἱερωτάτους ἀρχιερεῖς καὶ ὑπερτίμους, τὸν Μονεμβασίας καὶ τὸν Λακεδαιμονίας †.

II. Ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοί, σύ τε Μονεμβασίας καὶ σὺ Λακεδαιμονίας· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ ὑμῶν ἱερότητι. ἀπὸ τῶν ὑμετέρων γραμμάτων ἐγνώρισεν ἡ μετριότης ἡμῶν μετὰ πάσης τῆς ἱερᾶς συνόδου, ὅσον ἐποιήσατε εἰς τὸν ἐπίσκοπον Μεθώνης· οὐκ ἔδοξεν οὖν ἡμῖν τοῦτο καλόν, διὸ καὶ συνεχωρήσαμεν αὐτῷ μετὰ τοῦ προσδιορισμοῦ τοῦ κανόνος, καὶ ἐθήκαμεν τὴν τοιαύτην ἀνάγκην ἐπάνω αὐτοῦ, ἵνα φροντίσῃ αὐτὸς ἐντὸς χρόνου καὶ ἀποδύσηται τὰ ἐγκλήματα αὐτοῦ, εἰ γὰρ οὐ τοῦτο ποιήσει κατὰ τὴν κανονικὴν διαγόρευσιν, ἔκτοτε ὑπάρχει ἀργὸς πάσης ἀρχιερατικῆς ὑπηρεσίας. ἐπεὶ δὲ λαλεῖται παρὰ πολλῶν, ὡς οἱ κατηγορήσαντες αὐτὸν ἱερομόναχοι οὐ διά τινα θεῖον ζῆλον τοῦτο ἐποίησαν, ἀλλὰ δι' ἀπέχθειαν καὶ κακίαν (εἶχε γὰρ αὐτοὺς ὁ Μεθώνης ἀργούς, ὅταν ἦλθον ἐνταῦθα) ἐξετάσατε τοῦτο, καὶ ἐὰν εὕρητε οὕτως, γράψατε ἡμῖν, ἵνα ἀπαλλάξωμεν τὸν ἐπίσκοπον (τοῦ) πειρασμοῦ· εἰ δ' ἴσως εἶχε μὲν αὐτοὺς ἀργούς, ὁπωσδήποτε δὲ συνεχώρησεν αὐτούς, καὶ μετὰ τὴν συγχώρησιν ἦλθον καὶ κατηγόρησαν αὐτοῦ, ἄμεμπτοί εἰσιν εἰς κατηγορίαν. ὅθεν καὶ ἐξετάσατε ἀκριβῶς τἀπερὶ τούτου, καὶ γράψετε εἰς τὴν ἡμῶν μετριότητα λεπτομερῶς, καθὼς ὀφείλετε ποιῆσαι, ὡς μέρος τῆς ἱερᾶς καὶ μεγάλης συνόδου. ἡ τοῦ θεοῦ χάρις εἴη μεθ' ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρός· μηνὶ δεκεβρίῳ ἰνδ. γ' †.

## CCCCLXXIX. (6903—1395) ianuario. ind. III.

*Patriarchae litterae de monasterio S. Cyrici.*

† Μηνὶ ἰανουαρίῳ ἰνδ. γ' τοῦ ἀπὸ τῆς Βερροίας πνευματικοῦ ...... ἀναδραμόντος εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, περὶ τοῦ ἐκεῖσε μονυδρίου τοῦ ἁγίου Κυρίκου καὶ διατεινομένου, πατριαρχικὸν αὐτὸ εἶναι, τιμία πατριαρχικὴ γραφὴ ἀπελύθη πρὸς τὸν τιμιώτατον ἔξαρχον τῶν πατριαρχικῶν δικαίων, κὺρ Ναθαναήλ, ὅπως ἐξετάσας τὸ περὶ τούτου, εἴπερ εὕροι αὐτὸ πατριαρχικόν, ἀποδῷ τοῦτο ὡς πατριαρχικὸς ἔξαρχος πρὸς τὸν πνευματικόν. μετὰ δέ τινας ἡμέρας πρὸ τοῦ ἀποσωθῆναι τὰ γράμματα ἐκεῖσε, ἔγραφεν ἐνταῦθα ὁ ἱερώτατος μητροπολίτης Βερροίας, ὅπως ἢ ἀπὸ τῶν ἐκκλησιαστικῶν τις ἢ ὁ ἱερώτατος μητροπολίτης Θεσσαλονίκης, ἑνωθεὶς μετὰ τοῦ Χαλκηδόνος, ἀπέλθῃ ἐκεῖσε, καὶ ἐξετάσῃ τὸ περὶ τούτου, καὶ στέρξῃ πᾶν τὸ παρ' αὐτῶν εὑρεθέν. οὗτινος δικαίου διακριθέντος συνοδικῶς τίμια πατριαρχικὰ γράμματα ἐκεῖσε ἐπέμφθησαν πρὸς τοὺς δηλωθέντας ἱερωτάτους μητροπολίτας καὶ πρὸς τὸν ῥηθέντα πατριαρχικὸν ἔξαρχον, ὅπως ἅμα οἱ τρεῖς ἐξετάσωσι τοπικῶς τὰ περὶ τούτου, καὶ πᾶν τὸ εὑρεθὲν γράφαντες ὑπογράψωσι καὶ πέμψωσιν ἐνταῦθα, ὡς ἂν συνοδικῶς ἐπενεχθῇ ἡ περὶ τούτου ἀπόφασις. οὗ χάριν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις †.

## CCCCLXXX. (6903—1395) februario. ind. III.

*Metropolitae Aeni per adiunctionem confertur metropolis Philipporum.*

† Μηνὶ φευρουαρίῳ ἰνδ. γ' ἐδόθη τῷ ἱερωτάτῳ μητροπολίτῃ Αἴνου καὶ προέδρῳ Δράμας ἐπιδόσεως λόγῳ ἡ ἐνορία τῶν Φιλίππων πᾶσα διὰ συνοδικῆς διαγνώσεως, ὡς ἂν κατέχῃ αὐτὴν ἐφ' ὅρῳ πάσης ζωῆς αὐτοῦ, ἐπεὶ ἐγνώρισεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐξ ἀναφορᾶς τοῦ καλογήρου αὐτοῦ, τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις, κὺρ Ἀθανασίου, καὶ ἐξάρχου τῶν πατριαρχικῶν δικαίων, ὅτι ἀπέλυσεν αὐτὴν ὁ ἱερώτατος μητροπολίτης Σερρῶν, ὃς κατεῖχεν αὐτὴν διὰ συνοδικῆς διαγνώσεως πρότερον. καὶ εἰς ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα παρασημείωσις †.

## CCCCLXXXI. Sine anno.

*Litterae metropolitae Thessalonicensis datae ad patriarcham de mola quadam Acapnii.*

† Πιττάκιον τοῦ πανιερωτάτου μητροπολίτου Θεσσαλονίκης, ὅπερ ἐπέμφθη ἐνταῦθα ὑπὲρ τοῦ μόλωνος τῶν Ἀκαπνιωτῶν, ἐκποιηθέντος ἐνδόσει αὐτοῦ ὡς πατριαρχικοῦ ἐξάρχου, καὶ ἀνακρινομένου †.

† Παναγιώτατέ μου αὐθέντα καὶ δέσποτα, οἰκουμενικὲ πατριάρχα, θειότατε, θεοχαρίτατε καὶ πᾶν εἴ τι μοι τίμιον καὶ ὑψηλὸν πρᾶγμα καὶ ὄνομα· εἰς τὸ ἔλεος τοῦ θεοῦ ἐλπίζω ὑγιαίνειν τὴν μεγάλην ἁγιωσύνην σου καὶ κατὰ τὸ θεῖον καὶ ἅγιον αὐτῆς σῶμα, ἧς ταῖς ἁγίαις καὶ θεοπειθέσιν εὐχαῖς καὶ αὐτὸς ὑγιαίνω μετρίως. τιμία γραφὴ τῆς μεγάλης ἁγιωσύνης σου ἀπελύθη πρὸ καιροῦ εἰς ἐμέ, ἣν νῦν ἰδὼν ἀναφέρω. αὕτη διελάμβανε περὶ τοῦ μόλωνος, ὃν διέπρασαν οἱ Ἀκαπνιῶται πρὸς τοὺς ἐν τῇ μονῇ τοῦ κῦρ Ἰσαάκ, ὅτι οὕτως ἔδοξε δίκαιον καὶ συμφέρον, ἵνα κατέχωσι τοῦτον οἱ ὁ .... λαβόντες τὸν τρόπον, ὃν ἔλαβον, καὶ οὐχ οἱ ἠγορακότες, ἡ μονὴ τοῦ κῦρ Ἰσαάκ, ὅτι οὐκ ἔχει ἄδειαν ὁ ἔξαρχος ἐν ταῖς μοναῖς συγχωρεῖν ἐκποίησιν ἀκινήτων, ἐπεὶ οὐ πάντα ἐφεῖται τῷ ἐξάρχῳ, ἅπερ καὶ τῷ ἐπισκόπῳ, οὐδὲ γὰρ ἂν ὁ ἔξαρχος ἐπίσκοπον χειροτονήσειε, καὶ εἰ δοθείη αὐτῷ μὴ κατὰ γνώμην τοῦ ἰδίου ἐπισκόπου πάντα ποιεῖν, πολλὰ τὰ ἄτοπα συμβήσεται, ἄλλως τε ..............................

Reliqua desunt.

## CCCCLXXXII. (6903—1395) aprili. ind. III.

*Episcopo Eleutherupoleos confertur metropolis Christupoleos.*

† Μηνὶ ἀπριλλίῳ ἰνδ. γ΄ παρεδόθη ἐξαρχικῶς πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Ἐλευθερουπόλεως ἡ μητρόπολις Χριστουπόλεως μετὰ καὶ τῆς ἐνορίας αὐτῆς πάσης. καὶ ἐγένετο ἐνταῦθα ἡ περὶ τούτου παρασημείωσις †.

## CCCCLXXXIII. (6903—1395) maio. ind. III.

*Hierodiaconus Ioannes absolvitur.*

† Εἰς τὸν Λήμνου. ἀθῳωτικὸν τοῦ ἱεροδιακόνου Ἰωάννου †.

† Ἱερώτατε ἀρχιεπίσκοπε Λήμνου, κατὰ κύριον ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη σοι ἀπὸ θεοῦ. ἡ ἔγγραφός σου ἀναφορὰ διεκομίσθη τῇ ἡμῶν μετριότητι, καὶ ἐγνώρισεν ἀπ' αὐτῆς περὶ τοῦ παρόντος ἱεροδιακόνου Ἰωάννου, ὅσα ἔγραφες καὶ ἀνέφερες· δεήσαν δὲ, ἵνα μάθωσι ταῦτα καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἀνηρτήσαμεν τὰ περὶ τούτου εἰς ἐξέτασιν καὶ συνεδριαζόντων ἡμῖν τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Κορίνθου, τοῦ Ζηκχίας, τοῦ Μηδείας καὶ τοῦ Δέρκω, ἀνεγνώσθη πάλιν ἥ τε ἀναφορὰ τῆς σῆς ἱερότητος καὶ τὸ κρισιμόγραφον τῶν αὐτόθι καθολικῶν κριτῶν, καὶ ἐπεὶ ἐξ ἀμφοτέρων τούτων ἀνεφάνη, ὅτι ὁ ἱεροδιάκονος οὗτος ἀνέγκλητος καὶ ἀθῷός ἐστι τοῦ λαληθέντος κατ' αὐτοῦ ἐγκλήματος, περὶ οὗ καὶ προεγράψαμεν ἵνα ἐξετάσῃς τοῦτο, καὶ ἅπαν τὸ εὑρεθὲν γράψῃς καὶ ἀναφέρῃς εἰς τὴν ἡμῶν μετριότητα, διέγνω καὶ ἀπεφήνατο καὶ ἡ μετριότης ἡμῶν γνώμῃ καὶ τῶν δηλωθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ὡς, εἴπερ οὕτως ἔχει τὰ κατ' αὐτόν, ὡς ἡ σὴ ἱερότης γράφεις καὶ ἀναφέρεις, ὅτι εὗρες ἀπὸ ἐξετάσεως, καὶ οὐκ ἐκοινώνησεν αὐτὸς εἰς τὸν θάνατον τῆς γυναικὸς αὐτοῦ, συγκεχωρημένον αὐτὸν εἶναι καὶ ἐνεργὸν τῆς ἱερωσύνης αὐτοῦ καὶ ἀνέγκλητον παντάπασι καὶ ἀκατηγόρητον. ὀφείλει τοιγαροῦν οὕτως ἔχων προβιβασθῆναι καὶ εἰς πρεσβύτερον καὶ τοὺς παῖδας αὐτοῦ λαβεῖν ἀπὸ τοῦ πενθεροῦ αὐτοῦ τοῦ Σερμοκαίτου καὶ τὴν προῖκα τῆς μητρὸς αὐτοῦ καὶ ἐπιμελεῖσθαι αὐτῶν, ὡς γνησίων αὐτοῦ παίδων· ὥσπερ γάρ, εἰ φονεὺς οὗτος ηὑρίσκετο ἀπὸ ἐξετάσεως, οὔτε ἱερωσύνην ἂν εἶχεν, οὔτε παῖδας ἐλάμβανε τοὺς οἰκείους, οὔτε πρᾶγμά τι αὐτῶν, οὕτως, ἐπειδή, θεοῦ χάριτι, ἀθῷός ἐστιν ἀπὸ τούτου καὶ τὴν ἱερωσύνην ἔχει τὴν αὐτοῦ, ὀφείλει λαβεῖν καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὰ πράγματα καὶ χρῆσθαι αὐτοῖς, ὡς ἂν βούληται καὶ ἀποδέχηται. γράφομεν οὖν τὰ περὶ τούτου καὶ τῇ σῇ ἱερότητι, καὶ γενέσθωσαν ἅπαντα, ὡς ἡμῖν διεγνώσθησαν καὶ ἀπεφάνθησαν, καὶ οὕτω διατηρείσθω ὁ

ἱεροδιάκονος οὗτος εἰς τὸ ἑξῆς ἀνενόχλητος ἀπὸ τοῦ πενθεροῦ αὐτοῦ καὶ ἀνεπηρέαστος. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος. ἀντιστραφήτω τὸ παρὸν τῷ ἱεροδιακόνῳ εἰς ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. γ' †.

## CCCCLXXXIV. (6903—1395) maio. ind. III.

*Patriarcha metropolitam Nicaeae monet, ne monachis Romaniotissae molestiam exhibeat.*

† Ἱερώτατε μητροπολῖτα Νικαίας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἱ ἀπὸ τοῦ μονυδρίου τοῦ περὶ τὴν Κίον εἰς ὄνομα τιμωμένου τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένου τῆς Ῥωμανιωτίσσης, ὅ τε τιμιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικός, κῦρ Ματθαῖος, καὶ ὁ μοναχὸς κῦρ Μαρκιανός, ἀναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα συνοδικῶς προκαθημένην ἀνέφερον, ὡς πρό τινος ἤδη καιροῦ ἐζήτησας καὶ ἔλαβες ἐκ τοῦ μοναστηρίου αὐτῶν δανειακῶς σίτου μόδιον ἓν καὶ οἶνον, ὅσον δῆτα καὶ ἔλαβες, ἅπερ ἀπαιτούμενος παρ' αὐτῶν, ἐπεὶ καὶ χρείαν εἶχον αὐτῶν, ἄποροι καὶ πτωχοὶ καλόγηροι ὄντες καὶ τῶν ἀναγκαίων ἔχοντες σπάνιν, οὐ μόνον αὐτοῖς (οὐ) δέδωκας ταῦτα, ἀλλὰ καὶ πέμψας τήν τε ἐκκλησίαν τοῦ μονυδρίου ἠσφάλισας, καὶ ταῦτα κατὰ τὸν τῆς μεγάλης πέμπτης καιρὸν, καὶ αὐτοὺς τῆς τῶν ἁγιασμάτων κοινωνίας ἐκώλυσας, καὶ διέμεινεν ἡ ἐκκλησία αὐτῶν ἠσφαλισμένη μέχρι καὶ αὐτῆς τῆς τῶν ἡμερῶν βασιλίδος, τῆς λαμπρᾶς τοῦ Χριστοῦ ἀναστάσεως· καὶ οὐ μόνον ταῦτ' εἶπον παθεῖν παρὰ τῆς σῆς ἱερότητος, ἀλλὰ καὶ πολλὰ πρὸς τούτοις ἕτερα ἀπαιτήσεις ταγῶν καὶ ἀγγαρίας τοῦ τῆς μονῆς ἰσπαριτίου καὶ τοιαῦτά τινα, δι' ἃ καὶ ἐδεήθησαν τῆς ἡμῶν μετριότητος γράψαι σοι περὶ τούτων. εἴπερ οὖν οὕτως ἔχει τὸ πρᾶγμα, ὡς οἱ μοναχοὶ ἀνέφερον, οὐκ ἐποίησας κανονικῶς, οὐδ' ὡς ἔπρεπεν, οἶδας γὰρ καὶ αὐτὸς, ὁποίαν τὴν καταδίκην ἐπάγουσιν οἱ ἱεροὶ καὶ θεῖοι κανόνες τῷ δι' αἰσχροκέρδειαν ἢ ὅλως οὐκ εὔλογον αἰτίαν ναὸν θεοῦ ἀποκλείσαντι, ἀλλ' οὐδὲ δίκαια ἔχεις τοὺς μοναχοὺς ἀπαιτεῖν ἑτερόν τι πλὴν τοῦ ἐν ταῖς τελεταῖς μνημοσύνου καὶ τοῦ συνήθους κανονικοῦ καὶ οὗπερ ἐλάμβανον καὶ οἱ πρὸ

σοῦ ἀρχιερεῖς καὶ οἱ κατὰ καιροὺς ἡμέτεροι ἔξαρχοι Κίου. πλέον δὲ τούτων οὔτε οἱ μοναχοί σοι ὀφείλουσιν, οὔτε σὺ δίκαιον ἔχεις ἀπαιτεῖν αὐτοὺς μέχρι καὶ τοῦ λεπτοτάτου. διὰ τοῦτο γράφομέν σοι συνοδικῶς, ἵνα προηγουμένως μὲν ἀποδῷς πρὸς τὸ μονύδριον, εἴ τι ἔλαβες δανειακῶς, χωρίς τινος λόγου, εἶτα καὶ τοῦ λοιποῦ ἀποστῇς τοῦ ἐπηρεάζειν καὶ ἀπαιτεῖν καὶ ἀεὶ δι' ὄχλου τοῖς μοναχοῖς γίνεσθαι, παραγγελίαν γὰρ ἔλαβον παρὰ τῆς ἡμῶν μετριότητος, ἵνα χωρὶς τοῦ μνημοσύνου καὶ τοῦ συνήθους κανονικοῦ οὐδὲν ἕτερον ἀποδιδῶσι πρὸς σέ· εἰ μὲν οὖν οὕτω ποιήσεις, ἤδη καλόν, εἰ δὲ ἔχεις τι λέγειν περὶ τούτου, ἐλθὲ χωρίς τινος ὅλως ἀναβολῆς, ἵνα πᾶν, εἴ τι ἔχεις, εἴπῃς ἐνταῦθα καὶ ἀντικριθῇς μετ' αὐτῶν, ἀνενοχλήτους δὲ παντελῶς ἄφες αὐτούς, καὶ ἀπόδος αὐτοῖς καὶ τὰ ἴδια, καθὼς παρακελευόμεθα. ἀντίστρεψον δὲ αὐτοῖς καὶ τὸ παρὸν εἰς δικαίωμα †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. γ' †.

## CCCCLXXXV. (6903—1395) maio. ind. III.

*Patriarcha litteris datis ad metropolitam Thessalonicensem diiudicat causam Hypomonae monachae cuiusdam.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη τῇ σῇ ἱερότητι ἀπὸ θεοῦ παντοκράτορος. Ὑπομονὴ μοναχὴ ἡ Καλοθετίνα δι' ἐγγράφου ἀναφορᾶς αὐτῆς ἠξίωσε καὶ παρεκάλεσε συνοδικῶς τὴν ἡμῶν μετριότητα, ἵνα ἐξετασθῇ καὶ εὑρεθῇ καὶ λάβῃ, ὅσον ἔχει δίκαιον ἀπὸ τῆς περιουσίας τοῦ ποτὲ ἀνδρὸς αὐτῆς Θεοδώρου τοῦ Κολοθέτου ἐκείνου, ἐνεφάνισε δὲ καὶ ἴσον σεκρετικοῦ γράμματος, ὃ διελάμβανε, τήν τε τῆς ἐκκλησίας διάγνωσιν τὴν περὶ τοῦ συνοικεσίου ἐρρῶσθαι καὶ ἀδιάζευκτον μένειν τὸ συνοικέσιον, ὡς μὴ δυνηθέντος τοῦ Καλοθέτου παραστῆσαι δι' ἀπόδειξιν, ὅσα κατηγόρει τῆς αὐτοῦ γυναικός, καὶ πρὸς τούτοις διελάμβανε, ἵνα δῷ πρὸς τὴν γυναῖκα αὐτοῦ ὁ Καλόθετος ὑπὲρ διατροφῆς καὶ λοιπῆς ἐξόδου αὐτῆς χρόνου ἑνὸς σίτου κάρταν μίαν ἥμισυν, οἴνου μέτρα μ', ξύλων καυσίμων χιλιάδα μίαν καὶ ὀψωνίου χάριν καὶ λοιπῆς ἐξόδου ὑπέρπυρα λ', μετὰ δὲ τὴν τοῦ χρόνου παραδρομήν, εἴ τι ἂν ἀποφήνηται ἡ ἐκκλησία περὶ

τοῦ συνοικεσίου, τοῦτο τὸ στέργον ἔχειν ὀφείλει, ὃ καὶ ἡμῖν ἔδοξεν εὔλογον ἅμα καὶ δίκαιον. ὀφείλει γὰρ ὁ ἀνὴρ τῇ γυναικὶ τὰ ἀρκοῦντα, μέχρις ἂν ἀπ' αὐτῆς νομίμως καὶ μετὰ αἰτίας εὐλόγου καὶ δικαίας διαστῇ· νῦν οὖν, ἐπειδὴ τὸ χρεὼν ἐλειτούργησεν ἐκεῖνος, ἄπορος δ' αὕτη περιλειφθεῖσα ζητεῖ μαθεῖν τε καὶ λαβεῖν, ὅσον ἔχει δίκαιον. ἀπὸ τῆς περιουσίας ἐκείνου, διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἵνα παρ' ὅσον χρόνον ἀδιάσπαστον ὑπῆρχε τὸ συνοικέσιον, δίκαιον ἔχειν λαμβάνειν τὴν Καλοθετίναν κατ' ἔτος ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, ὅσα ἀνωτέρω διείληπται καὶ ὧν δεῖ(ται). ταύτην διέκρινεν ἡ τοῦ σεκρέτου διάγνωσις, ὡς ὀφείλοντος τοῦ Καλοθέτου τρέφειν αὐτήν, μέχρις ἂν ἐκείνου γυνὴ ἦν καὶ ὠνομάζετο. ἐξετασθήτω τοίνυν παρὰ τῆς σῆς ἱερότητος ὅ τε χρόνος ὁ μεταξὺ καὶ εἴτιπερ ἔλαβεν ἡ γυνή, καὶ οὕτως ἱκανωθήτω ἀπὸ τῆς περιουσίας ἐκείνου κατὰ τὸ ἀκέραιον εἰς τὰ κατ' ἔτος ὀφειλόμενα ταύτῃ χάριν τῶν ἀναγκαίων, κατά τε τὴν αὐτόθι ισεκρετικὴν διάγνωσιν καὶ τὴν ἡμετέραν ἐπίκρισιν. ἐπεὶ δὲ νόμιμόν ἐστιν, εἴπερ τις μοιχείαν κατηγορήσει τῆς αὐτοῦ γυναικός, καὶ μὴ δυνηθείη τὴν κατηγορίαν συστῆσαι, ἄδειαν ἔχειν τὴν γυναῖκα, παραιτουμένην τὴν μετ' αὐτοῦ συνοίκησιν, λαμβάνειν τήν τε προῖκα αὐτῆς καὶ τὴν προγαμιαίαν δωρεὰν αὐτῆς, ἀλλὰ δὴ καὶ ἕτερον τρίτον τῆς προγαμιαίας δωρεᾶς ἐπὶ ταύτῃ, λέγομεν καὶ ἀποφαινόμεθα, ἵνα, εἴπερ οὐκ ἔφθασε λαβεῖν ταῦτα κατὰ τὸ ἀκέραιον ἡ Καλοθετίνα ἢ διά τινα ῥᾳθυμίαν καὶ ἀμέλειαν αὐτῆς ἢ διὰ δυναστείαν καὶ βίαν τοῦ Καλοθέτου ἐκείνου, λάβῃ νῦν αὐτὰ ἀπὸ τῆς περιουσίας ἐκείνου κατὰ τὸ ἀκέραιον. γενέσθω γοῦν καὶ τοῦτο μετ' ἐπιμελείας καὶ ἀκριβοῦς ἐξετάσεως παρὰ τῆς σῆς ἱερότητος. ἔτι ἐπεὶ καὶ διὰ τὴν κατηγορίαν, ἣν οὐκ ἐδυνήθη ὁ Καλόθετος ἀποδεῖξαι, ἠδίκηται ἡ γυνὴ καὶ διὰ τὸν φόνον τῆς μητρὸς αὐτῆς, ἣν μανεὶς ἀδίκως ἅμα καὶ παρανόμως ἐφόνευσεν ὁ Καλόθετος, πολλῷ πλέον ἠδίκηται, εἴπερ ἀποδειχθῇ, ὅτι πάντα τὰ ἀνωτέρω ῥηθέντα ἀπέδωκεν αὐτῇ κατὰ νόμους, ὡς ὤφειλεν, διὰ μόνον τὸν φόνον τῆς αὐτῆς μητρὸς διακρίν(ομεν), εἴπερ εὑρίσκονται τοῦ Καλοθέτου ἐκείνου πράγματα, γενέσθαι τινὰ προμήθειαν εἰς τὴν Καλοθετίναν πρὸ πα.... ψυχικοῦ τε καὶ λοιπῶν μνημοσύνων τῶν ὑπὲρ αὐτοῦ γίνεσθαι ὀφειλόντων. γενέσθω γοῦν τὰ πάντα μετ' ἐπιμελείας παρὰ τῆς σῆς ἱερότητος, μεθ' ἧς ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρος τὸ· μηνὶ μαΐῳ ἰνδ. γ΄ †.

## CCCCLXXXVI. (6903—1395) maio. ind. III.

*Patriarcha dirimit controversiam ortam inter monachos Kosinitzae et Batopedii de mola quadam aquaria.*

† Τιμιώτατε ἐν ἱερομονάχοις καὶ καθηγούμενε τῆς σεβασμίας καὶ θείας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Κοσινίτζης, κατὰ πνεῦμα υἱὲ τῆς ἡμῶν μετριότητος κῦρ . . ., καὶ οἱ ἐν αὐτῇ εὑρισκόμενοι ἅπαντες ἱερομόναχοι καὶ μοναχοί· χάρις ὑμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ. οἱ Βατοπεδινοὶ πρὸς τὴν ἡμῶν μετριότητα ἀναδραμόντες ἀνέφερον, ὡς περὶ τὸν Πάνακα ποταμὸν πλησίον τοῦ αὐτῶν ὑδρομύλωνος ἐποιήσατε καὶ ὑμεῖς νῦν ἕτερον ὑδρομύλωνα, ἐξ οὗ συμβαίνει τὸν ἐκείνων ἀργὸν καὶ ἀπρόσοδον εἶναι, διὸ καὶ ἀναγκασθέντες ἔδειξαν τοῦτο πρὸς τὸν ἱερώτατον μητροπολίτην Σερρῶν καὶ ὑπέρτιμον, ὡς ἡμέτερον ἔξαρχον, εὑρισκόμενον τότε εἰς τὰ αὐτόθι μέρη, ὃς δὴ διεκώλυσε μὲν ὑμᾶς μὴ ποιῆσαι τὸν μύλωνα, ὡς μὴ ἔχοντας πρώην ἐκεῖσε νομὴν καὶ συνήθειαν τοιαύτην, ὑμεῖς δὲ κατελύσατε μὲν τὴν ἐκείνου γνώμην τε καὶ διάκρισιν, ἐποιήσατε δὲ τὸν μύλωνα δυναστείᾳ χρησάμενοι· εἴπερ οὖν οὕτως ἔχει τὸ πρᾶγμα, ἐποιήσατε κακῶς καὶ εἰς ἡμετέραν περιφρόνησιν, ἡ γὰρ εἰς τὸν ἡμέτερον ἔξαρχον καταφρόνησίς τε καὶ ἀπείθεια εἰς ἐμὲ ἀναφέρεται· διὰ τοῦτο ἔχει πάντας ἡμᾶς ἡ μετριότης ἡμῶν, τοὺς μὲν ἱερωμένους ἀργοὺς πάσης ἱερωσύνης, τοὺς δὲ ἰδιώτας ὑπὸ φρικώδη ἀφορισμόν, μέχρις ἂν καταχαλάσητε χωρίς τινος ὅλως προφάσεως τὸν μύλωνα, ὃν ἐποιήσατε παρὰ γνώμην τοῦ ἡμετέρου ἐξάρχου. ποιήσατε γοῦν τοῦτο χωρίς τινος ὅλως ὑποθέσεως, καὶ τότε, εἴπερ τι ἔχετε λέγειν δίκαιον, ἔρχεσθε ἐνταῦθα, καὶ ἀκουσόμεθα ὑμῶν, καὶ μέλλομεν διακρῖναι, εἴτιπερ ἔχετε δίκαιον· πρὸ τοῦ χαλάσαι δὲ τὸν μύλωνα καὶ καταλῦσαι, ὅσον ἐποιήσατε δυναστείᾳ ἀρχοντικῇ, οὐδὲ λόγου ὑμῶν φιλοῦ ἀκουσόμεθα. ἔσονται δὲ καὶ οἱ μὲν ἱερωμέναι ὑμῶν ἀργοί, οἱ δὲ ἰδιῶται ἀφωρισμένοι, μέχρις ἂν ποιήσητε, καθὼς παρακελευόμεθα· σπουδάσατε οὖν, ἵνα ποιήσητε, καθὼς γράφομεν πρὸς ὑμᾶς, ἵνα καὶ συγγνώμης ἐπιτύχητε, καὶ ἡ τοῦ θεοῦ χάρις ἤ μετὰ πάντων ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. γ' †·

## CCCCLXXXVII. (6903—1395) maio. ind. III.

*Annotationes synodicae.*

I. † Μηνὶ μαΐῳ ἰνδ. γ' ὁ ἀπὸ τῆς Μαυροβλαχίας Ἰσάκιος ἔγραψεν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην περὶ τῶν προσόντων αὐτῷ μονυδρίων ἐν τῇ Μαυροβλαχίᾳ, τῆς Παναγίας καὶ τοῦ ἁγίου Δημητρίου, καὶ παρεκάλεσε τὴν μεγάλην ἁγιωσύνην αὐτοῦ, ἵνα ἀναδέξηται ταῦτα κτητορικῶς, ὅστις δεξάμενος τὴν ἀναφορὰν αὐτοῦ ηὐδόκησε τοῦτο, καὶ ἀπελύθη τιμία αὐτοῦ γραφὴ περὶ τούτου, ἵνα ἡ μὲν κτητορεία τῶν μονυδρίων ὑπάρχῃ πατριαρχική, ὁ δὲ κατὰ καιροὺς εὑρισκόμενος ἀρχιερεὺς ἔχῃ τὸ κανονικὸν αὐτοῦ καὶ τὸ μνημόσυνον κατὰ τὴν συνήθειαν ἀπ' αὐτῶν. ὅθεν καὶ διὰ πληροφορίαν ἐσημειώθη ἐνταῦθα †.

II. † Τῷ αὐτῷ μηνὶ ἀπελύθη τιμία πατριαρχικὴ γραφή, ἵνα ἐγκρατὴς γένηται τῆς ἁγιωτάτης μητροπόλεως Μαυροβλαχίας ὁ ἐκεῖθεν ἐλθὼν πρωτοπαπᾶς, κὺρ Πέτρος, καὶ ποιῇ πάντα τὰ ἐκεῖσε ἐκκλησιαστικὰ πλὴν τῆς χειροτονίας, σπουδάσῃ δὲ, ἵνα ἐκβληθῶσιν ἀπὸ τῶν ἐκεῖ καὶ οἱ εὑρισκόμενοι ἐκεῖσε ψευδοεπίσκοποι, καὶ οὕτως ἵνα τύχῃ ὁ λαὸς ἅπας καὶ ὁ βοεβόδας συγχωρήσεως τοῦ ἐπενεχθέντος κατ' αὐτῶν ἀφορισμοῦ πρὸ καιροῦ. ἐτάχθη δὲ τοῦτο εἶναι ἤγουν τὸ δικαίῳ εὑρίσκεσθαι τὸν πρωτοπαπᾶν τῆς μητροπόλεως ταύτης, μέχρις ἂν διόρθωσις γένηται εἰς τὰ πράγματα, καὶ ἢ ὁ γνήσιος μητροπολίτης Μαυροβλαχίας ἀπέλθῃ ἐκεῖσε (νῦν γὰρ περὶ τὸν Τρίναβον ἐπιδημεῖ) ἢ ἄλλο τι γένηται θεραπευτικώτερον τούτου. ὅθεν διὰ πληροφορίαν ἐσημειώθη καὶ τοῦτο ἐνταῦθα †.

## CCCCLXXXVIII. (6903—1395) maio. ind. III.

***Patriarcha protopapae Petro confert administrationem metropolis Russovlachiae.***

† Ἔνταλμα †.

I. † Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος παραδίδωσι τῷ ἐντιμοτάτῳ πρωτοπαπᾷ τῆς Ῥωσοβλαχίας, κυρῷ Πέτρῳ,

ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ υἱῷ τῆς ἡμῶν μετριότητος, τὴν οἰκονομίαν καὶ διοίκησιν τῆς ἁγιωτάτης μητροπόλεως Ῥωσοβλαχίας, ὅστις καὶ ἀπελθὼν ἐκεῖσε ὀφείλει ἐπιλαβέσθαι ὡς δικαίῳ τῆς ἡμῶν μετριότητος τὴν ἁγιωτάτην μητρόπολιν ταύτην μετὰ πάντων τῶν προσόντων αὐτῇ δικαίων καὶ προνομίων καὶ ἐπιμελεῖσθαι τῆς συστάσεως αὐτῆς, ἔχων ἄδειαν καὶ ἐξουσίαν κρίνειν καὶ ἐξετάζειν τὰς ἐρχομένας εἰς αὐτὸν ὑποθέσεις ἐκκλησιαστικάς τε καὶ κοσμικὰς καί, ὡς τὸ δίκαιον ἀπαιτεῖ τοῦ θεοῦ, ἀποφαίνεσθαι περὶ αὐτῶν, κολάζειν τε τοὺς πταίοντας ἱερεῖς καὶ εὐθύνειν κανονικῶς, ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν τοὺς ἀξίους, θείους καὶ ἱεροὺς οἴκους καθιεροῦν, κατὰ τὴν ἐξ ἀρχῆς παραδοθεῖσαν συνήθειαν, τούς γε μὴν ἀναγομένους πρὸς τὸ τῆς ἱερωσύνης ἀξίωμα καὶ ζητοῦντας τὴν τοῦ διακόνου χειροτονίαν ἢ τοῦ πρεσβυτέρου κρίνειν καὶ ἐξετάζειν καὶ ἐρευνᾶν καί, εἴπερ εὕροι τὴν πολιτείαν αὐτῶν ἀκατάγνωστον, δέχεσθαι τὰς ὑπὲρ αὐτῶν μαρτυρίας, ἀποστέλλειν τε αὐτοὺς πρός τινα τῶν πλησίον ἀρχιερέων καὶ οὕτω μετὰ γνώμης αὐτοῦ δέχεσθαι ἐκείνους τὴν χειροτονίαν, πλὴν δὲ αὐτοῦ τῆς γνώμης καὶ τοῦ θελήματος μηδένα χειροτονηθῆναι λέγομεν, διδάσκειν τε τὸν ἐν (αὐ)τῇ χριστώνυμον τοῦ κυρίου λαὸν καὶ μετὰ παραινέσεως καὶ νουθεσίας εἰσάγειν αὐτοὺς πρὸς ἐργασίαν τοῦ νόμου τοῦ θεοῦ καὶ τῶν ἐντολῶν αὐτοῦ, οὕτω γὰρ καὶ αὐτὸς ἀπὸ τῆς ὠφελείας ἐκείνων λήψεται μισθὸν ἀπὸ θεοῦ· ὀφείλουσι δὲ καὶ πάντες οἱ ἐν αὐτῇ εὑρισκόμενοι τῇ Ῥωσοβλαχίᾳ καὶ πάσῃ τῇ ἐνορίᾳ αὐτῆς στέργειν καὶ τιμᾶν αὐτὸν ὡς δικαίῳ ἐμὸν καὶ ἀκούειν τοὺς λόγους καὶ τὴν διδασκαλίαν αὐτοῦ καὶ ποιεῖν αὐτούς, γινώσκοντες, ὅτι τοῦτό ἐστιν ἡ σωτηρία τῆς ψυχῆς αὐτῶν· ὁ γὰρ πρωτοπαπᾶς οὗτος ἐκεῖνα μέλλει ποιεῖν εἰς αὐτοὺς τὰ ὠφελοῦντα καὶ σῶμα καὶ ψυχήν, διὰ τοῦτο καὶ πάντες ὀφείλουσιν ἀκούειν αὐτοῦ, πρὸ δὲ τούτων οἱ ἱερεῖς, οἱ ἱερομόναχοι, οἱ μοναχοὶ καὶ ὅσοι τῆς ἱερατικῆς εἰσι τάξεως, εἰδότες, ὡς ἡ πρὸς αὐτὸν ἀγάπη καὶ στοργὴ καὶ τιμὴ εἰς ἐμὲ ἔρχεται, ὃς ἔστησα αὐτὸν ἀντ' ἐμοῦ ὡς δικαίῳ, ὡς φρόνιμον ἄνθρωπον καὶ καλόν, καὶ ὥσπερ μέλλει εὐλογίαν καὶ εὐχὴν ἔχειν ἀπ' ἐμοῦ, ὃς ἂν φανῇ εὐπειθὴς καὶ καλὸς εἰς τὸ δικαίωμά μου, οὕτω πάλιν ὀργισθήσομαι εἰς ἐκεῖνον, ὅστις οὐ δέχεται αὐτὸν ὡς ἐμέ, οὐδὲ ἀκούει αὐτοῦ· ὅθεν καὶ εἰς ἀσφάλειαν ἀπο-

λέλοται τῷ ῥηθέντι πρωτοπαπᾷ καὶ δικαίῳ τῆς ἡμῶν μετριότητος καὶ τὸ παρὸν αὐτῆς γράμμα †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαΐῳ ἰνδ. γ΄ †.

---

II. † Εὐγενέστατε, ἀνδρικώτατε, φρονιμώτατε μέγα βοεβόδα καὶ αὐθέντα τῆς Ῥωσοβλαχίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Στέφανε· χάριν, εἰρήνην, ἔλεος καὶ εὐλογίαν ἀπὸ θεοῦ παντοκράτορος ἐπεύχεται τῇ εὐγενείᾳ σου ἡ μετριότης ἡμῶν. ὁ εὐλαβέστατος πρωτοπαπᾶς, κῦρ Πέτρος, ἤφερεν εἰς τὴν ἡμῶν μετριότητα τὰ γράμματα τῆς εὐγενείας σου, καὶ παρεκάλεσε καὶ αὐτὸς πολλά, ἵνα εὐλογήσωμεν τοὺς ἐπισκόπους, καὶ ἀφήσωμεν αὐτοὺς εἰς τὸν τόπον σου. ἡμεῖς γοῦν διὰ τὴν ἀγάπην τῆς εὐγενείας σου, εἴ τι ἄλλο ἐζήτεις, μὴ ἐμποδιζόμενον παρὰ τῶν ἱερῶν κανόνων, ἐμέλλομεν ποιήσειν αὐτό, τὸ δὲ νὰ ἀφήσωμεν τοὺς ἐπισκόπους αὐτοῦ, νὰ χειροτονοῦσι καὶ νὰ λειτουργοῦσιν, οὐδέποτε θέλομεν ποιήσειν τοῦτο, ὅτι ἔχει αὐτοὺς ὁ θεὸς καὶ ἡ μετριότης ἡμῶν ἀνευλογήτους ὡς κλέπτας καὶ μοιχοὺς καὶ λῃστάς, ὅτι παρὰ γνώμην τῆς ἱερᾶς καὶ μεγάλης συνόδου ἥρπαξαν τὴν ἐκκλησίαν τῆς Ῥωσοβλαχίας, καὶ εἴ τι ποιοῦσιν αὐτοῦ, ἔνε εἰς βλάβην τῶν ψυχῶν σας καὶ εἰς κατάλυσιν τοῦ τόπου σας, ὁ θεὸς γὰρ ὀργίζεται εἰς αὐτοὺς πολλά· ἐὰν γοῦν θέλῃς, νὰ ἔνε ὁ θεὸς πάντοτε μετὰ σοῦ, καὶ νὰ σὲ εὐλογῇ, καὶ νὰ βοηθῇ τῷ λαῷ σου καὶ τῷ τόπῳ σου, δίωξέ τους ἀπ' αὐτοῦ, καὶ ἔχω σε καὶ ἐγώ, ὁ πατήρ σου, ὁ οἰκουμενικὸς πατριάρχης, συγκεχωρημένον ἐν ἁγίῳ πνεύματι καὶ εὐλογημένον καὶ πάντα τὸν λαόν σου καὶ τὸν τόπον σου καὶ ὅλους τοὺς ἀποθαμένους σου. περὶ δὲ τῆς ἐκκλησίας μου τῆς εὑρισκομένης αὐτοῦ εἰς τὸν τόπον σου ἠθέλησα νὰ ποιήσω τὸν πρωτοπαπᾶν, κῦρ Πέτρον, ἔξαρχον καὶ δικαίῳ τῆς ἡμῶν μετριότητος, νὰ ἐνεργῇ αὐτὸς πάντα τὰ ἐκκλησιαστικά, καὶ αὐτὸς οὐδὲν ἤθελεν, ἠνάγκασά τον πολλά, καὶ αὐτὸς οὐδὲν ἤκουσεν· ἤθελα νὰ ἐπάρω τὴν ἱερωσύνην του, καὶ νὰ τὸν ἔχω καὶ ἀνευλόγητον, καὶ διὰ τοῦτο ἠναγκάσθη καὶ ἤκουσέ με, καὶ ἀπῆρε γράμμα μοῦ, ἵνα κρατῇ τὴν ἐκκλησίαν ταύτην, ὡς δικαίῳ τῆς ἡμῶν μετριότητος. ἂς ἔχῃ τοίνυν καὶ ἀπὸ τῆς εὐγενείας σου ἀγάπην καὶ τιμὴν καὶ βοήθειαν, νὰ διώξῃ τοὺς ψευδο-

επισκόπους, καὶ ὅταν γένηται τὸ θέλημα τοῦ θεοῦ, καθὼς γράφομεν, τότε θέλομεν φροντίσειν, νὰ ποιήσω αὐτοῦ μετὰ καὶ τοῦ θελήματός σου μητροπολίτην, νὰ εὐλογῇ καὶ νὰ ἁγιάζῃ πάντας, ἐπεὶ ἐκεῖνος θέλει ἐλθεῖν αὐτοῦ μετὰ τῶν ἱερῶν κανόνων καὶ ἀποστολικῶν παραδόσεων, καὶ θέλει ἔχειν καὶ εὐλογίαν τῆς μεγάλης συνόδου. ἡ εὐχή μου καὶ ἡ εὐλογία μου μετὰ τῆς εὐγενείας σου καὶ παντὸς τοῦ λαοῦ σου †.

III. † Οἱ ἐν τῇ Ῥωσοβλαχίᾳ φεματένιοι ἐπίσκοποι, σύ τε Ἰωσὴφ καὶ σὺ Μελέτιε· ἐξεύρετε, ὅτι ἀποταχὸς ἔγραφέ σας ἡ μετριότης μου, καὶ ἤργησέ σας, καὶ ἠφόρισέ σας ὡς ἀνθρώπους ἀδίκους καὶ παρανόμους καὶ πολιτευομένους ἔξω τῶν θείων καὶ ἁγίων κανόνων, ὅτι ἡρπάξατε ἐκκλησίαν, τὴν οὐδὲν ἐμετέχετε, καὶ κρατεῖτέ την, καὶ ἐδιώξατε τὸν μητροπολίτην τὸν εὐλογημένον ἀπ' ἐμέναν, ὁποῦ τὴν ἐμετέχει, καὶ ἀκούω, ὅτι ὑπάρχετε καὶ γέροντες, καὶ οὐδὲν τὸν θάνατον τρέμετε, ἀμὴ θέλετε νὰ ὑπάγετε καὶ κολάζεσθε εἰς ἐκείνην τὴν ἀτελεύτητον κόλασιν, ὁποῦ οὐδὲν πλερόνει ποτέ. ἰδῶ δὲ ἦλθεν καὶ ὁ πρωτοπαπᾶς ἀπ' αὐτοῦ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Πέτρος, καὶ παρεκάλεσέ με πολλά, διὰ νὰ (σὰ)ς συγχωρήσω, καὶ οὐδέν τον ἤκουσα, ἀμὴ εἶπα τον, ὅτι ἀνθρώπους ἀδίκους καὶ παρανόμους οὐδέν μας ἀφήνουν οἱ κανόνες μας, νὰ τοὺς συγχωρήσωμεν, ἔνε δὲ οἱ ἄνθρωποι ἐκεῖνοι τάχα ἐσεῖς καὶ πολλὰ ἀναίσχυντοι, ὅτι, ἀφ' ὅτου σας ἠφόρισεν ὁ μητροπολίτης σας, πάλιν λειτουργεῖτε, καὶ ἄλλον κακὸν ἐὰν οὐδὲν εἴχετε, αὐτὸ μόνον σώζει, νὰ σᾶς ποιήσῃ πολὺν κακόν. διὰ τοῦτο γράφω σας, ὅτι τὴν ἐκκλησίαν μου αὐτὴν παρέδωκά την τὸν πρωτοπαπᾶν, νὰ ποιῇ, ὅσα λέγουσιν οἱ κανόνες μου, ἔνε γὰρ ἄνθρωπος φρόνιμος, παιδεμένος καὶ καλός, καὶ ἀποδεξάμην τον· ἐσᾶς δὲ πάλιν γράφω σας, ὅτι, ἐὰν οὐδὲν φύγετε ἀπὸ τὴν ἐκκλησίαν αὐτήν, ἔχω σας ἀργοὺς καὶ ἀφωρισμένους ὡς παρανόμους καὶ κακοὺς ἀνθρώπους καὶ κλέπτας καὶ μοιχοὺς καὶ λῃστάς. ἐὰν οὖν θέλετε νὰ εὕρητε τὴν σωτηρίαν σας, ἐλᾶτε ἐδῶ, νὰ κανονισθῆτε ἀπὸ τὴν μεγάλην σύνοδον εἰς ὅσα ἐπταίσατε, νὰ μηδὲν χάσετε τὴν ψυχήν σας. ἄλλον γοῦν πρᾶγμα οὐδὲν ἔνε, νὰ σᾶς βοηθήσῃ εἰς τὴν ψυχήν σας, εἰ μὴ νὰ ἔλθητε ἐνταῦθα †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ μηνὶ μαΐῳ ἰνδ. γ' †.

IV. † Οἱ ἐν τῇ ἁγιωτάτῃ τῆς Ῥωσοβλαχίας μητροπόλει εὑρισκόμενοι εὐλαβέστατοι κληρικοὶ, ἱερεῖς, ἱερομόναχοι, μοναχοὶ, ἄρχοντες καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ κυρίου λαὸς, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν εἴη ἅπασι καὶ εἰρήνη ἀπὸ θεοῦ παντοκράτορος. ἐδῶ ἦλθεν ὁ ἐντιμότατος πρωτοπαπᾶς σὰς, κατὰ πνεῦμα ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Πέτρος, καὶ ἐζήτησεν, νὰ σὰς συγχωρήσωμεν ἀπὸ τὸν ἀφορισμὸν, ὁποῦ σὰς ἠφόρισεν ἡ μετριότης ἡμῶν καὶ ὁ μητροπολίτης σας, διότι οὐδὲν ἐδέξασθε αὐτὸν, ἀμὴ ἐδιώξατέ τον, καὶ ἔχετε αὐτοῦ κακοὺς ἐπισκόπους καὶ ἀφωρισμένους, καὶ τὸν εὐλογημένον σας μητροπολίτην ἐδιώξατέ τον· διότι γοῦν ἐπαρεκάλεσέ με πολλὰ ὁ πρωτοπαπᾶς σας, διὰ τοῦτο γράφομέν σας, πλὴν ἔτζη σας ἔχω συγκεχωρημένους καὶ εὐλογημένους, ἐὰν ἐκβάλετε ἀπ' αὐτοῦ τοὺς κακοὺς αὐτοὺς καὶ ἀφωρισμένους καὶ ἀνευλογήτους καὶ ψεματένιους ἐπισκόπους, καὶ νὰ μηδὲν δέξηται κἂν εἷς ἀπ' ἐσὰς ἢ εὐλογίαν των ἢ εὐχήν των ἢ χειροτονίαν των, ἀμὴ νὰ τοὺς φεύγετε ὡς ἀνθρώπους, ὁποῦ ἔνε ἔξω ἀπὸ τῆς ἁγίας ἐκκλησίας τοῦ δεσπότου μας, τοῦ Χριστοῦ, τὸν δὲ πρωτοπαπᾶν σας, διότι τον εἶδα καλὸν καὶ φρόνιμον καὶ παιδεμένον ἄνθρωπον, παρέδωκά τον τὴν ἁγίαν ἐκκλησίαν αὐτὴν, νὰ σὰς ἁγιάζῃ, νὰ κρατῇ τὴν ἐκκλησίαν, καὶ νὰ ἔχῃ τόπον μητροπολίτου εἰς ἐσὰς, νὰ κρίνῃ, νὰ ποιῇ πνευματικοὺς, νὰ ποιῇ ἀναγνώστας, νὰ καθιερώνῃ ἁγίους ναοὺς, νὰ ἐξετάζῃ, ὅσοι θέλουν νὰ γένουν ἱερεῖς, καὶ ἀφότου τοὺς ἐξετάσῃ, νὰ τοὺς πέμψῃ εἰς μητροπολίτην, ὁποῦ ἔνε κοντὰ, καὶ νὰ τοὺς χειροτονεῖ, νὰ ἔχῃ ἄδειαν νὰ λέγῃ τοὺς ἀνθρώπους, νὰ εὐλογοῦνται γυναῖκες μὲ τὸν νόμον, νὰ διδάσκῃ τοὺς ἀνθρώπους, νὰ ποιῶσιν καλὰ εἰς τὴν ψυχήν των· ἀγωνίζεσθε οὖν καὶ ἀγαπᾶτέ τον, καὶ τιμᾶτέ τον, τόρα καὶ πλέον καὶ ὡς ἰδικόν μου, ὅτι ἔνι καλὸς ἄνθρωπος, καὶ ἂν τιμᾶτε αὐτὸν, ἐμέναν το ποιεῖτε, αὐτὸν γὰρ ὥρισα, νὰ κρατῇ τὴν ἐκκλησίαν μου, νὰ ποιῇ, ὅσα λέγουν οἱ κανόνες, ἕως ὅτου ἡ μητροπολίτης σας νὰ ἔλθῃ αὐτοῦ, ἢ νὰ ποιήσωμεν εἰς ἐσὰς ἄλλον πρᾶγμαν καλὸν, τὸ λέγουν οἱ κανόνες μ(ας) καὶ οἱ νόμοι μας. ἡ εὐχή μου καὶ ἡ εὐλογία μου μετ' ἐσὰς ὅλους· ἔχομεν καὶ τοὺς ἀποθαμένους σας συγκεχωρημένους καὶ εὐλογημένους, ἐὰν μας ἀκούσετε ἐσεῖς †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐω ἰνδ. γ' †.

## CCCCLXXXIX. (6903—1395) maio. ind. III.

*Hieromonachus Cyrillus constituitur exarchus Trapezuntis.*

† Μηνὶ μαΐῳ ἰνδ. γ' παρεδόθησαν τὰ περὶ τὴν Τραπεζοῦντα πατριαρχικὰ δίκαια εἰς τὸν ἱερομόναχον Κύριλλον. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

## CCCCXC. (6903—1395) maio ind. III.

*Patriarchae litterae datae ad monasterium Batopedii de mola quadam aquaria.*

† Πιττάκιον πατριαρχικόν †.

† Τιμιώτατε καθηγούμενε τῆς κατὰ τὸ Ἅγιον Ὄρος τὸν Ἄθω ἱερᾶς καὶ σεβασμίας τοῦ Βατοπεδίου μονῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, ἱερομόναχε κῦρ Θεοδώριτε, καὶ οἱ λοιποὶ ἱερωμένοι καὶ γέροντες· χάρις ὑμῖν εἴη ἅπασι καὶ εἰρήνη ἀπὸ θεοῦ. πρὸ μικροῦ ἐγράψαμεν ὑμῖν γράμμα συγχωρήσεως, ὅπερ διακομίζει αὐτόθι ὁ τιμιώτατος ἱερομόναχος καὶ προηγούμενος, κῦρ Ἰγνάτιος, ἐν ᾧ καὶ παρακελευόμεθα πᾶσιν, ἵνα συντηρηθῆτε τῷ τοῦ συνειδότος ἀπαραγράπτῳ κριτηρίῳ, καὶ λύσητε τὴν γινομένην ἀδικίαν παρ' ὑμῶν εἰς τὴν Σοφίαν, καὶ ἐάσητε αὐτὴν ἔχειν τὸν ὑδρομύλωνα αὐτῆς κατὰ τὸ ἐκτεθὲν περὶ τούτου εἰς δικαίωμα αὐτῆς γράμμα παρὰ τῶν ἐκκρίτων τῆς μονῆς, οὗ τὸ ἴσον καὶ διακομίζει αὐτόθι ὁ ἱερομόναχος Ἰγνάτιος· ἀρτίως δὲ εἰς πλείονα τῆς ἀληθείας εὕρεσιν καὶ αὐτοῦ δὴ τοῦ δικαίου ἔδοξε καὶ τῇ ἡμῶν μετριότητι συνοδικῶς ἐξετάσαι τὰ ἐν τῷ τῆς Σοφίας δικαιώματι παρὰ τῶν τοῦ Βατοπεδίου ἐκκρίτων μοναχῶν· προκαθημένης τοίνυν συνοδικῶς τῆς ἡμῶν μετριότητος, συνεδριαζόντων αὐτῇ καὶ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου καὶ τοῦ Μηδείας, ὁ τιμιώτατος ἐν ἱερομονάχοις, κῦρ Μακάριος, τὸ διαληφθὲν δικαίωμα τῆς Σοφίας εἰς ἐπήκοον τῆς ἱερᾶς δέδωκεν ἀναγνωσθῆναι συνόδου, παρόντος καὶ τοῦ ἱερομονάχου κῦρ Κοσμᾶ καὶ ἀκροωμένου νουνεχῶς, ἅπερ κατὰ μέρος διεξήει τὸ γράμμα, καὶ ἀγωνιζομένου καὶ σπουδὴν ὅτι μάλιστα ποιουμένου ὑπὲρ τῆς μονῆς· καὶ τοῦ τῆς Σοφίας δικαιώματος ἀναγνωσθέντος καὶ ἀκριβῶς παρ' ἡμῶν πάντων τὰ ἐν τῷ γράμματι κατὰ μέρος καταγεγραμμένα ἐξετασθέντα, ἔτι δὲ καὶ διὰ καταγραφῆς τῆς τῶν μυλώνων θέσεως καὶ τῆς τοῦ παταμοῦ, ἣν οὕτως ἔχειν καὶ οὐκ ἄλλως καὶ ὁ ἱερομόναχος

Κοσμᾶς ὡμολόγησε. πληροφορηθείσης τῆς ὄψεως ἡμῶν τὴν γινομένην αὐτόθι διένεξιν, διέγνω συνοδικῶς ἡ μετριότης ἡμῶν, γνώμῃ καὶ τῶν δηλωθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, καὶ ἀπεφήνατο, ὡς ἂν, ἐπεὶ διαλαμβάνεται ἐν τῷ τῆς Σοφίας δικαιώματι, ὅπερ τὸ Βατοπέδιον ἐποιήσατο πρὸς αὐτήν, ὅτι κοινὸν καὶ ἡνωμένον ἐστὶ τῶν τριῶν μολώνων τὸ ὑδραγώγιον, καὶ ἐν ταῖς κεφαλογούρναις τῶν μολώνων ὀφείλει μερίζεσθαι τὸ ὕδωρ καὶ εἰσέρχεσθαι τὰ τῶν δύο μολώνων ἀποστραγγίσματα εἰς τὸ μονομύλιον μετὰ καὶ τοῦ ἀπὸ τοῦ Τριχᾶ ἐρχομένου ὕδατος καὶ εἰσερχομένου εἰς τὸ κοινὸν ὑδραγώγιον, καὶ ὅτι ἐὰν πολλὴ γένηται κατάλυσις εἰς τὸ ὑδραγώγιον, ἐτάχθη, ἵνα ἀνοικοδομῆτε ὑμεῖς οἱ τοῦ Βατοπεδίου αὐτὸ δι' οἰκείας ὑμῶν ἐξόδου, καὶ ἔχειν τὴν Σοφίαν τὸ ἀρχῆθεν δίκαιον καὶ τὴν κοινότητα, ἣν ἀνέκαθεν ἐκέκτητο, εἰς τὸ τοιοῦτον ὑδραγώγιον, καθὼς καὶ περὶ τούτου ἀριδήλως διέξεισι τὸ πρὸς αὐτὴν γράμμα τῶν Βατοπεδινῶν, δίκαιον καὶ ἄδειαν πλείστην ἔχῃ αὕτη θεῖναι τὸ μονομύλιον πλησίον τῶν μολώνων ὑμῶν, κἂν ὅπου ἄρα μετεθήκατε αὐτούς, καὶ κεῖσθαι αὐτὸ σύνεγγυς ἐπὶ τοσούτῳ διαστήματι, ἐφ' ὅσῳ καὶ πρώην ἔκειτο, καὶ ἀλήθειν αὐτὸ ἀπὸ τῶν τοῦ κοινοῦ ὑδραγωγίου ὑδάτων, ὥσπερ ἦν διενεργῶν τὸ πρότερον· τὴν τοιαύτην οὖν καὶ δικαίαν καὶ νόμιμον καὶ ἀπαράγραπτον συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν καὶ ὁ ἱερομόναχος κὺρ Κοσμᾶς στέρξας ὑπεσχέθη καὶ αὐτός, στέρξαι ὑμᾶς, καὶ συνεργὸς εἶναι εἰς τὴν τῆς ἀδικίας διάλυσιν· ὅθεν καὶ γράφει καὶ παραδηλοῖ τὰ περὶ τούτου πᾶσιν ἡ μετριότης ἡμῶν, καὶ διακελεύεται, ὡς ἂν σπουδάσητε πάντες εἰς ἐκπλήρωσιν ὧν συνοδικῶς ἀπεφηνάμεθα, οὐδὲ γὰρ ἐνδέχεταί ποτε ἕτερόν τι πραχθῆναι ὧν νῦν σὺν πολλῇ τῇ βασάνῳ καὶ ἐξετάσει διέγνωμεν. τῆς γοῦν παρούσης συνοδικῆς διαγνώσεως μετὰ σπουδῆς παρ' ἡμῶν γενομένης ἔσται τελεία καὶ ἡ εἰς ὑμᾶς γενομένη συγχώρησις παρὰ τῆς ἡμῶν μετριότητος· τῆς ἀδικίας δὲ ἐπικρατούσης οὐδεὶς ὄφελος ἐφ' ὑμῖν γενήσεται συγχωρήσεως· οἴδατε γάρ, ὅ φησιν ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος· „ὅτι καὶ τὸ τοῦ βαπτίσματος θεῖον λουτρὸν τῶν ἡμαρτημένων, οὐ τῶν ἁμαρτανομένων ἔχει τὴν ἔκπλυσιν,“ καὶ ὅπως διαρρήδην ὁ μέγας ἀπόστολος βοᾷ· „ὡς ἄδικοι βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν“· τοὺς γοῦν παρὰ τῆς θείας ἐκείνου φωνῆς τῆς τῶν οὐρανῶν βασιλείας ἐξαγομένους οὐδεὶς ἡμῶν εἰσαγαγεῖν δυνήσεται δι' ἀπατηλῆς συγχωρήσεως, ἐὰν τῇ ἀδι-

κίᾳ σπουδάζωσιν ἐπιμένειν, ἀλλὰ μᾶλλον ὡς ἐκφάντορες τῶν θείων δικαιωμάτων καὶ τῷ θεῷ ὑπὲρ τῶν ἁμαρτανόντων λόγον ἀποδοῦναι ὀφείλοντες, καὶ μάλιστα τῶν ἐπ' ἀδικίᾳ ἀναισχυντούντων, ἐκκοπὴν ὑμᾶς τῆς καθολικῆς τοῦ Χριστοῦ ἐκκλησίας ποιησώμεθα, ἀσυγγνώστους καὶ ἔξω τῆς τυχούσης συγκαταβάσεως, ἕως ἂν γένηται παρ' ὑμῶν ἡ τῆς ἀδικίας διόρθωσις, καὶ ἀποκαταστήσητε τὸ μονομόλιον διενεργεῖν εἰς τοὺς παῖδας τοῦ κοινωνοῦ ὑμῶν, Ἰωάννου ἐκείνου, καθὼς συνοδικῶς ἀρτίως διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἀκριβῶς περὶ τοῦ δικαίου ἑκατέρων τῶν μερῶν πρότερον ἐξετάσαντες· ἀπαλλάξατε τοίνυν τὴν μὲν Σοφίαν τῆς ζημίας, σαυτοὺς δὲ τῆς ἀδικίας, καὶ ἡμᾶς ὧν καθ' ὑμῶν διαναστῆναι ὑπὲρ τοῦ δικαίου ὀφείλομεν, καὶ γράφατε καὶ πληροφορήσατε τὴν ἡμῶν μετριότητα, ὅση τις ὑπεγένετο ταῖς ψυχαῖς ὑμῶν διόρθωσις ἐκ τῆς παρούσης διδασκαλίας καὶ συνοδικῆς ἀποφάσεως, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις ᾖ μετὰ πάντων ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαΐῳ ἰνδικτιῶνος γ' †.

Τὸ παρὸν γράμμα ἀπαραγράπτως γραφὲν ἐστάλη εἰς τὴν γυναῖκα εἰς δικαίωμα εἰς Μελενίκον δι' ἀσφάλειαν †.

## CCCCXCI. Sine anno.

*Professio fidei Michaëlis, patriarchae Magnae Antiochiae et totius Orientis.*

† Ὁμολογία πατριάρχου θεουπόλεως Μεγάλης Ἀντιοχείας, κυροῦ Μιχαήλ, ἣν ἀπέστειλε μετὰ τοῦ μητροπολίτου Ἡλιουπόλεως καὶ τοῦ ἐπισκόπου Ζεβεδαίου †.

† Μετὰ τὸ πιστεύω, καθὼς καὶ ἡμεῖς λέγομεν, ἀπαραλλάκτως φησὶν ἐπὶ τούτοις· ὁμολογῶ ἓν βάπτισμα δι' ὕδατός τε καὶ πνεύματος, ἀναγεννητικόν τε καὶ καθαρτικὸν μολισμῶν σαρκός τε καὶ πνεύματος, προσέρχομαι τοῖς ἀχράντοις μυστηρίοις, πιστεύων αὐτὸ ἀληθῶς εἶναι σῶμα καὶ αἷμα τοῦ δι' ἡμᾶς σαρκωθέντος θεοῦ λόγου καὶ δόντος αὐτὰ τοῖς πιστοῖς τοῖς εἰς βρῶσιν καὶ πόσιν ἄφεσιν ἁμαρτιῶν, δέχομαι πάσας τὰς ἐκκλησιαστικὰς παραδόσεις ἐγγράφους τε καὶ ἀγράφους, προσπτύσσομαι καὶ προσκυνῶ τὴν πάνσεπτον εἰκόνα τοῦ ἀνθρωπίνου σώματος τοῦ θεοῦ λόγου τοῦ χρισθέντος θεότητι, προσκυνῶ τὸ ξύλον τοῦ τιμίου σταυροῦ διὰ τὸν ἐπ' αὐτῷ κρεμασθέντα σαρκὶ

κύριον καὶ πάντα τύπον τοῦ ζωοποιοῦ σταυροῦ, τὰ ἱερά τε σκεύη καὶ τοὺς σεπτοὺς ναοὺς καὶ τόπους καὶ τὰς ἱερὰς βίβλους διὰ τὸν ἐν χειροποιήτοις δι' ἡμᾶς κατοικεῖν εὐδοκήσαντα καὶ τὰ ἑαυτοῦ λόγια τοῖς ὑλικοῖς γεγράφθαι φιλανθρώπως ἐπινεύσαντα· προσκυνῶ καὶ τιμῶ τὴν εἰκόνα τῆς ἁγίας θεοτόκου καὶ πάσας τὰς σεπτὰς τῶν τοῦ Χριστοῦ θεραπόντων εἰκόνας διὰ τὴν πρὸς τὸν μόνον φύσει προσκυνητὸν θεὸν ἀγάπην, τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἀναπτερῶν πρὸς τὰς πρωτοτύπους μορφὰς, καὶ οὐ μέχρις ὕλης καὶ χρωμάτων καὶ χαραγμάτων ἱστῶν τὴν διάνοιαν· προσκυνῶ καὶ τιμῶ τὰ τῶν ἁγίων πάντων λείψανα, ὡς ἁγιαστικὴν παρὰ θεοῦ χάριν εἰληφότα· οὕτω πιστεύω, οὕτω φρονῶ, ἐπὶ τούτοις ἐβαπτίσθην, καὶ ἐν τούτοις διαρκῶ. καὶ πάντας τοὺς αἱρετικοὺς καὶ ὁμογνώμονας καὶ πάσας τὰς αἱρέσεις αὐτῶν φεύγω τε καὶ ἀναθεματίζω καὶ μυσάττομαι, δεχόμενος καὶ ἀσπαζόμενος τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους πάντας, δέχομαι δὲ καὶ πάσας τὰς κατὰ θεοῦ χάριν κατὰ καιρὸν ἢ τόπον πρὸς βεβαίωσιν εὐσεβείας καὶ εὐαγγελικῆς πολιτείας συναθροισθείσας ἁγίας συνόδους, ἃς καὶ ἡ καθολικὴ ἐκκλησία ἐδέξατο, καὶ ἅπερ ἀπηγόρευσεν, ἀπαγορεύω, καὶ οὓς ἀνεθεμάτισεν, ἀναθεματίζω, Βαρλαὰμ καὶ Ἀκινδύνῳ καὶ τοῖς ὁμόφροσιν αὐτῶν ἀνάθεμα, ὅλοις τοῖς αἱρετικοῖς ἀνάθεμα †.

† Εἶχε δὲ καὶ διὰ τιμίας πατριαρχίκῆς χειρὸς αὐτῆς τό· Μιχαὴλ, ἐλέῳ θεοῦ πατριάρχης θεουπόλεως Μεγάλης Ἀντιοχείας καὶ πάσης Ἀνατολῆς †.

## CCCCXCII. (6903—1395) augusto. ind. III.

*Hieromonachus Matthaeus constituitur exarchus.*

† Μηνὶ αὐγούστῳ ἰνδ. γ' παρεδόθησαν τα περὶ τὴν Χαζαρίαν πατριαρχικὰ δίκαια, ἤγουν ἡ Ἰαλίτα καὶ τὰ λοιπὰ πρὸς τὸν ἱερομόναχον Ματθαῖον τὸν ἀπὸ τῆς Κυρίζου σεβασμίας μονῆς. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

## CCCCXCIII. (6903—1395) 23. augusti. ind. III.

*Metropolita Antiquarum Patrarum in ius vocatur.*

I. † Μηνὶ αὐγούστῳ ἰνδ. γ' εἰκοστῇ τρίτῃ τοῦ μηνὸς, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου,

ἐν τοῖς δεξιοῖς κατηχουμενείοις, συνεδριαζόντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Κορίνθου, τοῦ Μιτυλήνης καὶ τοῦ Μηδείας, ἀνεγνώσθησαν εἰς ἐπήκοον ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τὰ ἀποσταλέντα γράμματα πρὸς τὴν κραταιὰν καὶ ἁγίαν βασιλείαν αὐτοῦ παρὰ τοῦ πανευτυχεστάτου δεσπότου καὶ αὐθέντου ἡμῶν τοῦ Πορφυρογεννήτου, ἐν οἷς καὶ διελαμβάνετο περὶ τοῦ Παλαιῶν Πατρῶν κατὰ λέξιν οὕτως· „ἃς γινώσκῃ καὶ τοῦτο ἡ βασιλεία σου, ὅτι ὁ μητροπολίτης Παλαιῶν Πατρῶν ῥωμαῖος, ὅστις ἦν ἐνταῦθα, εἰργάσθη τὸν ἀδελφὸν τοῦ Φραγκοπούλου, ὃν εἴχαμεν εἰς κάστρον ἡμῶν, Γρεβενὸν λεγόμενον, καὶ ἐκράτει καὶ τὸν κουλὰν τοῦ κάστρου ἐκείνου, καὶ μετὰ ἀπάτην καὶ πανουργίαν ἐπίασαν τὸν ἀδελφὸν τοῦ Φραγκοπούλου, καὶ ἀπῆρε τὸν κουλάν, καὶ ἔδωκέν τον πρὸς τὸν πρωτοστράτορα τὸν Σαρακινόπουλον, ὅστις ἔνι ἄπιστος εἰς ἐμέ, καὶ διεγείρει καὶ παρακινεῖ τὸν λαὸν πάντοτε εἰς ἀπιστίας καὶ κακόν. ἐφάνη οὖν καὶ αὐτὸς δεύτερος μητροπολίτης Ἀθηνῶν, ἐπεὶ οὐδὲν τὸν ἤρεσεν, ἵνα ἔνι μοναχὸς ἐκεῖνος, ἀλλ' ἵνα ἀκολουθήσῃ καὶ αὐτὸς τῇ πράξει ἐκείνου καὶ τοῖς τρόποις του, καὶ ἵνα τον ἔχῃ σύντροφον· διὸ καὶ τὸ δίκαιον θέλει ἦσθεν, ὡς λογίζομαι, ἵνα καθήρῃ τοῦτον ὁ πατριάρχης τὸ ἔλαττον, ἂν ἴσως οὐδὲν ἔνι ἄλλη τις αἰτία ἀξία, ὁποῦ νὰ ἐμποδίσῃ τοῦτο·“ πρὸς ταῦτα τοίνυν διασκεψάμενος συνοδικῶς ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἀπέλυσε ταῦτα τὰ γράμματα·

† Περιπόθητε αὐτάδελφε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, πανευτυχέστατε δεσπότη Πορφυρογέννητε· χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς, ῥῶσιν σώματος ἐπεύχεται τῇ βασιλείᾳ σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. ἀπὸ τῶν γραμμάτων τῆς βασιλείας σου τῶν ἐλθόντων εἰς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα ἐγνωρίσαμεν τὰ λαληθέντα κατὰ τοῦ ἱερωτάτου μητροπολίτου Παλαιῶν Πατρῶν, καὶ ἠνιάθημεν ὑπερβαλλόντως, εἰ τοιαῦτα τολμῶνται παρὰ ἀρχιερέων· ὅθεν καὶ συνάξαντες τὴν ἐνταῦθα εὑρισκομένην σύνοδον τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἐσκεψάμεθα συνοδικῶς, στῆναι τὸ κατ' αὐτοῦ κριτήριον κατὰ τὴν τῶν ἱερῶν κανόνων διαγόρευσιν· γράφομεν οὖν αὐτῷ καὶ παρακελευόμεθα διὰ μηνυμάτων τριῶν ἀγράφως, ἵνα

ἀπαντήσῃ εἰς τὴν μεγάλην σύνοδον, καὶ ἀπολογήσηται εἰς ἃ κατηγορεῖται, ἀνατίθεμεν δὲ τῷ Μονεμβασίας καὶ τῷ Κορώνης ὡς ἀρχιερεῦσιν, ἵνα διακομίσωσιν αὐτῷ τὴν συνοδικὴν διάγνωσιν, καὶ ἐν μὲν τῇ πρώτῃ διαγνώσει παρέχομεν αὐτῷ διωρίαν ὅλον τὸν ὀκτώβριον, ἐν δὲ τῇ δευτέρᾳ μόνον τὸν νοέμβριον καὶ ἐν τῇ τρίτῃ τὸν δεκέμβριον, εἰς ἣν καὶ πρόσκειται, ὡς ἐὰν ἀπειθήσῃ, ἵνα ἀργήσῃ τῇ ἐμφανείᾳ τῆς ἡμετέρας ἐγγράφου συνοδικῆς διαγνώσεως πάσης ἀρχιερατικῆς ὑπηρεσίας, οὕτω τῶν ἱερῶν καὶ θείων κανόνων περὶ τῶν ἀρχιερέων διεξιόντων, οὓς οὐ παριδεῖν δυνάμεθα· τοῦ τοίνυν Παλαιῶν Πατρῶν ἐνταῦθα καταλαμβάνοντος ἐπὶ τῷ ἀποδοῦναι λόγον περὶ ὧν ἐγκαλεῖται, ἂς στείλῃ καὶ ἡ βασιλεία σου μάρτυρας ἀξιολόγους καὶ ἀμέμπτους πρὸς τὸ συστῆσαι τὰ αὐτοῦ ἐγκλήματα· ἡμεῖς πιστοὺς ἔχομεν τοὺς λόγους καὶ ὁρισμοὺς τῆς βασιλείας σου, ἐπεὶ δὲ οἶδεν ἡ βασιλεία σου, ὅτι οἱ βασιλεῖς καὶ αὐθένται οὔτε κατήγοροι οὔτε μάρτυρες ἀνέχονται γίνεσθαι (ἀνοίκειον γάρ ἐστι τοῦτο τῷ βασιλικῷ μεγαλείῳ καὶ ἀξιώματι, νενομοθέτηται γὰρ καὶ τοῦτο τοῖς ἀοιδίμοις βασιλεῦσι) διὰ τοῦτο γράφομεν τῇ βασιλείᾳ σου, ἵνα σὺν αὐτῷ ἔλθωσι κατήγοροι κατ' αὐτοῦ καὶ μάρτυρες ἀξιόλογοι, τοῦτο γὰρ ἀπεφήνατο ἡ συνοδικὴ τῶν ἀρχιερέων διάσκεψις, καθὼς οἱ ἱεροὶ κανόνες διαγορεύουσι. καὶ γενέσθωσαν ταῦτα ὁρισμῷ καὶ θελήματι τῆς βασιλείας σου. πλὴν οὕτως ἔσται ἀργὸς μετὰ τὸ τρίτον μήνυμα, εἴπερ ἐρχομένων τῶν κατηγόρων καὶ τῶν μαρτύρων αὐτὸς ἀμελήσει, ἐπεὶ εἴπερ μάρτυρες οὐκ ἔλθωσιν ἢ κατήγοροι, καὶ αὐτὸς ὀφείλει καθῆσθαι καὶ τὸ ἐνεργὸν ἔχειν. κύριος ὁ θεὸς φυλάξαι τὴν βασιλείαν σου ἄνοσον, εὔθυμον, ὑγιᾶ καὶ ἀνωτέραν παντὸς ἀνιαροῦ συναντήματος †.

---

II. † Ἱερώτατε μητροπολῖτα Μονεμβασίας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Πελοποννήσου, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ περιπόθητος αὐτάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκρτάτορος, πανευτυχέστατος δεσπότης ὁ Πορφυρογέννητος, ἐν ἁγίῳ πνεύματι ποθεινότατος υἱὸς τῆς ἡμῶν μετριότητος, ἔγραψε πρὸς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, ὅτι ὁ ἱερώτατος μητροπολίτης Παλαιῶν Πατρῶν, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀχαΐας, ἐν

ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸς, καθοσιώσεως ἐγκλήματι περιέπεσεν, ἐπεβούλευσε γὰρ κάστρον βασιλικὸν τὸν Γερβενὸν, καὶ παρέδωκεν αὐτὸ πρὸς ἐχθρὸν τοῦ δεσπότου, τὸν Σαρακινόπουλον τὸν πρωτοστράτορα· ὃ δὴ γράμμα τοῦ πανευτυχεστάτου δεσπότου συνοδικῶς ὑπαναγνωσθὲν ἔδοξε βαρύ τε καὶ κανονικὸν ἔγκλημα· συνδιασκεψαμένη τοίνυν ἡ μετριότης ἡμῶν, γνώμῃ καὶ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν αὐτῆς καὶ συλλειτουργῶν, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Κορίνθου καὶ τοῦ Μιτυλήνης, διέγνωμεν καὶ ἀπεφηνάμεθα, διαμηνυθῆναι τὸν ῥηθέντα ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν κανονικῶς καὶ εἰς τὴν σύνοδον ἀπαντῆσαι καὶ ἀπολογήσασθαι περὶ ὧν ἐγκαλεῖται· ἐπεὶ δὲ ἡ τοῦ τόπου διάστασις δυσχέρειαν ἐμποιεῖ πρὸς τὸ γίνεσθαι ἀπὸ τῶν ἐνταῦθα πρὸς τὸν Παλαιῶν Πατρῶν καὶ τὰ τρία κανονικὰ μηνύματα διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, ταῦτα δὲ προβῆναι πᾶσα δήπου ἀνάγκη, διεκρίναμεν καὶ ἀπεφηνάμεθα συνοδικῶς, ἵνα ἀπολυθῶσι πρὸς αὐτὸν τρεῖς γραφαὶ τῆς ἡμῶν μετριότητος, ἡ μὲν πρώτη, παρακελευομένη παραγενέσθαι αὐτὸν πρὸς τὴν σύνοδον καὶ ἀποδύσασθαι τὰ ἐγκλήματα δι' ὅλου τοῦ ἐρχομένου ὀκτωβρίου μηνὸς, ἡ δέ γε δευτέρα, παρακελευομένη παραγενέσθαι αὐτὸν δι' ὅλου τοῦ ἐρχομένου νοεμβρίου μηνὸς, ἡ δέ γε τρίτη, παρακελευομένη, εἴπερ οὐκ ἀπαντήσει εἰς τὴν σύνοδον ἀποδύσασθαι τὰ ἐγκλήματα δι' ὅλου τοῦ ἐρχομένου δεκεβρίου μηνὸς, ἀργὸν αὐτὸν εἶναι πάσης ὑπηρεσίας ἀρχιερατικῆς· ταύτας δὲ τὰς γραφὰς διεκρίναμεν, ἵνα σταλῶσι πρός τε τὴν σὴν ἱερότητα καὶ πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον Κορώνης, ὡς ἂν ἅμα οἱ δύο πρὸς αὐτὸν ἀποδῶτε τὴν πρώτην γραφὴν, καὶ οὕτως ἀναμείνητε μέχρι παραδρομῆς ὅλου τοῦ ὀκτωβρίου μηνὸς, καὶ εἰ μὲν οἰκονομηθῇ καὶ ἔρχηται, ἤδη καλὸν, εἰ δὲ μὴ, τοῦ ὀκτωβρίου παρελθόντος ἀποδῶτε τότε πρὸς αὐτὸν καὶ τὴν δευτέραν γραφὴν, παρελθόντος δὲ τοῦ νοεμβρίου μηνὸς, εἴπερ οὐκ οἰκονομηθῇ καὶ ἐξέλθῃ, τότε ἀποδῶτε πρὸς αὐτὸν καὶ τὴν τρίτην γραφήν· ἔχουσι δὲ αἱ γραφαὶ ἔξωθεν σημεῖα, ποία ἐστὶ πρώτη καὶ ποία δευτέρα καὶ ποία τρίτη. ποιήσατε οὖν ἀπαραλλάκτως κατὰ τὴν συνοδικὴν παρακέλευσιν καὶ ἀπόφασιν τῆς ἡμῶν μετριότητος, πλὴν γινώσκετε, οὕτως ἔσται ἀργὸς μετὰ τὸ τρίτον μήνυμα, εἴπερ ἐρχομένων τῶν κατηγόρων καὶ τῶν μαρτύρων αὐτὸς ἀμελήσει· ἐπεὶ εἴπερ

οὔτε μάρτυρες, οὔτε κατήγοροι ἔλθωσι, καὶ αὐτὸς ὀφείλει καθῆσθαι καὶ τὸ ἐνεργὸν ἔχειν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. τρίτης †.

Πρῶτον.

III. † Ἱερώτατε μητροπολῖτα Παλαιῶν Πατρῶν, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἀχαΐας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι· ὁ περιπόθητος αὐτάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ποθεινότατος υἱὸς τῆς ἡμῶν μετριότητος, πανευτυχέστατος δεσπότης ὁ Πορφυρογέννητος, ἔγραφεν ἐνταῦθα πρὸς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα, ἐγκαλῶν τῇ σῇ ἱερότητι ἔγκλημα καθοσιώσεως, ὅπερ διασκεψαμένη ἡ μετριότης ἡμῶν ἅμα τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Κορίνθου καὶ τῷ Μιτυλήνης, γράφει καὶ παρακελεύεται τῇ σῇ ἱερότητι, ὡς ἂν ἐπιδημήσῃς ἐνταῦθα ἀπολογησόμενος εἰς ἅπερ κατηγορῇ, οὐ γὰρ παροπτέα ταῦτα, ὥστε ἢ τὴν ἡμῶν μετριότητα παριδεῖν αὐτὰ ἢ τὴν σὴν ἱερότητα ἀπὸ τῶν αὐτόθι ἀπολογήσασθαι· ἐλθὲ γοῦν ἀνυπερθέτως, ἡνίκα δέξῃ τὴν παροῦσαν γραφὴν τῆς ἡμῶν μετριότητος, μέλλουσι γὰρ καὶ οἱ μάρτυρες τῶν κατὰ σοῦ λεγομένων ἐπιδημῆσαι ἐνταῦθα καὶ οἱ κατήγοροι, ὡς ἂν ἐνώπιον τῆς σῆς ἱερότητος ἐξετασθῶσι τὰ περὶ τούτου. μηδὲν γοῦν γένηται ἄλλως, ἀλλ' εἴτε διὰ θαλάσσης, εἴτε διὰ ξηρᾶς, ὡς ἂν δυνηθῇς, σπούδασον καὶ ἐλθέ· ἔστω σοι δὲ καὶ διωρία τῆς ἐνταῦθα ἐπιδημίας σου, ὡς ἂν ἐντὸς ταύτης ἔλθῃς, καὶ μὴ περαιτέρω, ὅλος ὁ ὀκτώβριος μήν, γίνωσκε δέ, ὅτι, εἰ ἐντὸς ταύτης οὐκ ἐξέλθῃς τῶν αὐτόθι, οὐκ εἰς καλὸν ἔσται σοι· ἵνα γοῦν μή τι τοιοῦτον γένηται καὶ λυπηθῇς, ποίησον ἀνυπερθέτως, καθὼς παρακελευόμεθα. ἔτι, γενέσθω τὰ περὶ τούτου, καθὼς παρακελευόμεθα, ἐμμένοντος τοῦ πανευτυχεστάτου δεσπότου εἰς ἅπερ ἔγραφε, καὶ κινοῦντος αὐτά· εἰ δὲ οὗτος εἴτ' οἰκονομίᾳ σῇ, εἴτε ἄλλῳ τρόπῳ τινὶ ἀφήσῃ τὰ περὶ τούτου, καὶ εἰρηνεύσῃ, καὶ οὔτε μάρτυρες φαίνονται τῶν κατηγορημάτων, οὔτε κατήγοροι, κάθου καὶ αὐτὸς καὶ εἰρήνευε· καὶ ἔνι τοῦτο καὶ εἰς ἀποδοχὴν ἡμετέραν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ αὐγούστῳ ἰνδ. γ' †.

Δεύτερον.

IV. † Ἱερώτατε μητροπολῖτα Παλαιῶν Πατρῶν, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἀχαΐας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἔγραψέ σοι πρό τινος ἤδη καιροῦ, ὡς ὁ περιπόθητος αὐτάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, πανευτυχέστατος δεσπότης ὁ Πορφυρογέννητος, ἐν ἁγίῳ πνεύματι ποθεινότατος υἱὸς τῆς ἡμῶν μετριότητος, ἐν τοῖς πρὸς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα γράμμασιν αὐτοῦ καθοσιώσεως ἔγκλημα κινεῖ κατὰ σοῦ, ὅπερ συνοδικῶς διασκεψαμένη ἡ μετριότης ἡμῶν ἔγραψέ σοι, ὡς ἂν δι' ὅλου τοῦ ὀκτωβρίου τῆς τετάρτης ἰνδ. σπουδάσῃς εἴτε διὰ θαλάσσης, εἴτε διὰ ξηρᾶς ἐπιδημῆσαι ἐνταῦθα ἀπολογησόμενος εἰς ἅπερ κατηγορῇ, ὡς ἄλλως ἐὰν γένηται, οὐκ εἰς καλὸν εἶναί σοι μέλλει· ἡ δὲ σὴ ἱερότης δεξαμένη ταῦτα τὰ γράμματα, κάθησαι οὕτω, καὶ οὐ φροντίζεις περὶ τῶν διαμηνυθέντων σοι μεγάλων ὄντων καὶ ἀπαραιτήτων πρὸς ἀπολογίαν. ἐπεὶ γοῦν ὁ καιρὸς παρέρχεται, καὶ σὺ οὐκ ἐξέρχῃ, εἰ καὶ δίκαιον ἦν, ἵνα καὶ ἡ μετριότης ἡμῶν ποιήσῃ, ὡς ἔγραφε, πρὸς παραλύπησιν σὴν δηλονότι, ὅμως ἵνα μή σοι χώρα ἀπολογίας γένηται τὸ πρὸ τῶν κανονικῶν μηνυμάτων ἐπενεγκεῖν κατὰ σοῦ ψῆφόν τινα, ἤδη σοι καὶ δεύτερα γράμματα, ἅπερ προαπεστάλησαν μὲν, ἵνα μὴ τριβὴ γένηται χρόνου πολλὴ, τῷ μήκει καὶ τοῖς διαστήμασι τῆς ὁδοῦ, ἀλλ' ἐντὸς τετραμήνου ὁ πᾶς γένηταί σοι τόπος τῆς ἀπολογίας, λυμαίνεται δὲ οὐδὲν, πρὸς τὰ ὡρισμένα καὶ κανονικὰ μηνύματα· καὶ σπούδασον, ἵνα δι' ὅλου τοῦ νοεμβρίου μηνὸς ἐξέλθῃς τῶν αὐτόθι, καὶ ἔλθῃς. σκόπει γοῦν, ἵνα μὴ δεηθῶμεν καὶ τρίτου μηνύματος, τὰ γὰρ παρὰ τοῦτο ὅπου καταλῆξαι μέλλουσιν, οὐδὲ αὐτὸς ἀγνοεῖς. ἵνα γοῦν καὶ σαυτὸν ἀπαλλάξῃς ἀτιμίας πολλῆς καὶ ἡμᾶς ἀθυμίας, ὅπερ οὐκ ἐποίησας ὁπωσδήποτε ἀπὸ τῶν πρώτων γραμμάτων, ποίησον ἀπὸ τῶν δευτέρων, καὶ ἔξελθε δι' ὅλου τοῦ νοεμβρίου, καὶ ἔρχου, καθὼς παρακελευόμεθα τῇ σῇ ἱερότητι, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις ᾖ μετ' αὐτῆς †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. τρίτης †.

Τρίτον.

V. † Ἱερώτατε μητροπολῖτα Παλαιῶν Πατρῶν, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἀχαΐας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ σὴ ἱερότης, ὡς μίαν καὶ δὶς ἐγράψαμεν πρὸς αὐτήν, ὅπως ἐπιδημήσῃς ἐνταῦθα ἀπολογησόμενος τὰ κατὰ σοῦ ἐγκλήματα, ἅπερ ἐκίνησεν ὁ πανευτυχέστατος δεσπότης ὁ Πορφυρογέννητος, ὁ περιπόθητος αὐτάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ποθεινότατος υἱὸς τῆς ἡμῶν μετριότητος, καὶ διωρία ἐδόθη σοι πρὸς τοῦτο, ἐν μὲν τοῖς πρώτοις γράμμασιν ὅλος ὁ ὀκτώβριος μήν, ἐν δὲ τοῖς δευτέροις ὅλος ὁ νοέμβριος, ὡς ἂν ἐντὸς τούτων σπουδάσῃς, ὡς αὐτὸς οἶδας, ἐλθεῖν ἐνταῦθα πρὸς ἀπολογίαν τῶν ἐγκαλουμένων σοι· σὺ δέ, ὀφείλων ἐξελθεῖν ἅμα τῷ πρῶτον διαμηνυθῆναι, οὐδὲ μετὰ τὰ δεύτερα ἐκεῖνα ἐξῆλθες γράμματα, ἀλλ' ἔτι εὑρίσκῃ αὐτόθι, μηδένα λόγον, ὡς φαίνῃ, ποιούμενος μήτε τῶν κατηγορημάτων τῶν σῶν, μήτε ἡμῶν, οἵτινες περὶ τούτων διεμηνυσάμεθα· ὅθεν καὶ συνοδικῶς τὰ περὶ τούτου διασκεψαμένη ἡ μετριότης ἡμῶν ἅμα τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Κορίνθου καὶ τῷ Μιτυλήνης, τρίτον σοι μήνυμα πέμπει ταῦτα τὰ γράμματα, δι' ὧν καὶ παραδηλοῖ, ὡς ἂν τρόπῳ παντὶ σπουδάσῃς παραγενέσθαι, ὡς οἶδας, ἐνταῦθα μέχρις καὶ ὅλου τοῦ δεκεβρίου μηνός. εἰ μὲν οὖν τοῦτο ποιήσεις, συγγνώμην ἕξεις καὶ παρ' ἡμῶν εἰς τὰ παρελθόντα· εἰ δὲ καὶ ταῦτα δεξάμενος ἀμελήσεις, καὶ οὐκ ἔλθεις ἐνταῦθα, καθὼς παρακελευόμεθα, οἱ δὲ μάρτυρες τῶν κατηγορημάτων σου καὶ οἱ κατήγοροι ἔρχονται πρὸς παράστασιν τῶν ἐγκαλουμένων, γράφομεν καὶ παρακελευόμεθα, ἀργὸν εἶναί σε πάσης ἀρχιερατικῆς ὑπηρεσίας, ὡς μηδὲ μετὰ τὰ κανονικὰ ταῦτα τρία μηνύματα πρὸς τὴν σύνοδον ἀπαντήσαντα. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. γ' †.

CCCCXCIV. (6903—1395) augusto. ind. III.

*Patriarcha metropolitam Athenarum in ius vocat.*

† Ἱερώτατε μητροπολῖτα Ἀθηνῶν, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Ἑλλάδος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. καιρὸν ἔχομεν πολύν, ἐξ ὅτου ἀκούομεν περὶ τῆς σῆς ἱερότητος, ὅσα οὐδόλως ἀποδεχόμεθα ἀκοῦσαί ποτε· διὰ τοῦτο ἐγράψαμεν πολλάκις τῇ σῇ ἱερότητι, ὡς ἂν ποιήσῃς εἰς τὰ κατὰ σὲ τὴν προσήκουσαν διόρθωσιν, καὶ ἀπαλλάξῃς μὲν σαυτὸν πολλῶν καὶ ἐπονειδίστων κόπων καὶ μόχθων, τὸ δὲ τῆς ἐκκλησίας σύστημα τὸ θεῖον καὶ ἱερὸν μώμων καὶ ψόγων· ἡ δὲ σὴ ἱερότης, οὐκ οἴδαμεν τίσι πειθόμενος λόγοις, ἀντὶ τοῦ ἀκοῦσαι ἡμῶν καὶ τῆς ἡμῶν μετριότητος τὴν συμβουλήν, μᾶλλον ἐθέλεις καὶ αὐτὸς κοπιᾶν καὶ τὸ ὄνομά σου ὑβρίζεσθαι, καὶ λυπεῖσθαι παρασκευάζεις ἀκούοντας κατὰ τοῦ ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ, ὅσα οὐκ ἀποδεχόμεθα. διὰ τοῦτο γράφομεν καὶ πάλιν τῇ σῇ ἱερότητι, καὶ εἰσηγούμεθα, ὡς ἂν καταλάβῃς ἐνταῦθα, καὶ παύσῃς μὲν αὐτὸς τῶν πολλῶν καὶ ἀκερδῶν πόνων, εὐφράνῃς δὲ καὶ ἡμᾶς, ἰδόντας σε ἐνταῦθα ἐλθόντα. ἀλλὰ καὶ ἡ μετριότης ἡμῶν καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος τῶν ἱερωτάτων ἀρχιερέων θέλομεν ποιῆσαι εἰς τὴν σὴν ἱερότητα προμήθειαν καὶ κυβέρνησιν τοσαύτην, ὅσην μέλλεις καὶ αὐτὸς ἀποδέξασθαι· ἄκουσον οὖν ἡμᾶς καί, τοῖς λόγοις τῆς ἡμῶν μετριότητος πεισθείς, ἐλθὲ μετὰ πάσης πληροφορίας καὶ θάρρους εἰς ἡμᾶς, μηδένα ἔχων ἐνδοιασμόν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. τρίτης †.

CCCCXCV. (6904—1395) septembri. ind. IV.

*Patriarcha metropolitam Mitylenes in Vlachiam mittit.*

† Ἱερώτατε μητροπολῖτα Μιτυλήνης, ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. ἐπεὶ ὁρισμῷ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος καὶ θελήσει καὶ γνώμῃ συνοδικῇ τῆς ἡμῶν μετριότητος ἐξελέγης ἀπελθεῖν εἰς τὰ μέρη τῆς Βλαχίας καὶ ἀποκαταστῆσαι πάντα, ὅσα τε ἀνετέθης αὐτοστομάτως

παρὰ τῆς ἡμῶν μετριότητος καὶ ὅσα ἐν τοῖς πρὸς τοὺς ἐκεῖσε αὐθέντας διαλαμβάνονται γράμμασιν, ὀφείλεις διὰ τοῦ παρόντος ἐνταλτηρίου γράμματος τῆς ἡμῶν μετριότητος καταλαβεῖν καὶ εἰς τὰ μέρη τῆς Μαυροβλαχίας, καὶ ἐπειδὴ πρὸ καιροῦ τινος ἐπισυμβάσης αἰτίας παρά τινων ἐπισκόπων ἐξεφωνήθη κατὰ μὲν αὐτῶν καὶ βάρος ἀφορισμοῦ, παρακελευόμεθά σοι, ὡς ἂν περὶ μὲν τῶν ἐπισκόπων μηδὲ τὸ τυχὸν βουληθῇς ποιῆσαι, περὶ δὲ τοῦ λαοῦ ἐκχωροῦμέν σοι πρᾶξαι, καθὼς ἂν εὕροις τὰ κατ' αὐτούς, τηρουμένης μέντοι τῆς κανονικῆς ἐν ἅπασιν ἀκριβείας, ἕξουσι γὰρ τὸ στέργον καὶ παρὰ τῆς ἡμῶν μετριότητος οὕτως, ὥσπερ ἂν εἰ αὐτὴ παροῦσα καὶ ἐπιδημοῦσα διετίθη ταῦτα καὶ διεπράττετο. ὀφείλεις οὖν κατὰ τὴν παρακέλευσιν, καὶ τὴν ἔγγραφον καὶ τὴν αὐτοστομάτως γενομένην πρὸς σὲ τῆς ἡμῶν μετριότητος, πάντα ποιῆσαι, ὡς ἀνετέθης, μετὰ πολλῆς τῆς ἐπιμελείας ὡς φρόνιμος καὶ πρακτικός, συναιρομένης σοι ἐπὶ πᾶσι τῆς τοῦ θεοῦ χάριτος. ἀσφαλείας γὰρ ἕνεκα καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος ἀπελύθη τῇ σῇ ἱερότητι †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. δ' †.

## CCCCXCVI. (6904—1395) 15. septembris. ind. IV.

*Matthaeo Palaeologo ad argumenta quaerenda dies prorogatur.*

† Μηνὶ σεπτεβρίῳ ἰνδ. τετάρτης, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς, ἐδόθη κυρῷ Ματθαίῳ τῷ Παλαιολόγῳ διωρία μηνῶν ἕξ, ἀρχομένη ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶ ιε' σεπτεβρίου τῆς ῥηθείσης ἰνδ., ὡς ἂν ἐντὸς ταύτης κινήσῃ ἣν ἔχει ἀγωγὴν κατὰ τοῦ Λαοσυνάπτου κῦρ Μιχαὴλ τοῦ Λυκούτζη περί τε τοῦ διαιροῦντος τοίχου τὰ οἰκήματα τοῦ Λαοσυνάπτου καὶ τὴν αὐτοῦ τοῦ Παλαιολόγου αὐλήν, ἀλλὰ καὶ περὶ τῶν οἰκημάτων τοῦ Λαοσυνάπτου, ὅτι οὐκ εἶχεν ἄδειαν ὁ πρὸς αὐτὸν πωλήσας πωλῆσαι αὐτά, ὑποχείριος γὰρ ὢν τοῦ πατρός του ἔμενεν ἐν αὐτῷ, οὐχ ὡς δεσπότης, ἀλλ' ὡς ἂν ἔχῃ εὐκόλως τῷ δεσπότῃ αὐτοῦ ἐκδουλεύειν. τῶν δὲ γονέων του ἀποθανόντων τῶν μέν, τῶν δὲ καὶ εἰς ἀλλοδαποὺς τόπους διαμερισμένων, εὑρὼν ἐκεῖνος ἄδειαν ἐπώλησε τὸ οἴκημα ὁμοῦ μετὰ τοῦ τόπου· ταῦτα καθυπεσχέθη ἐντὸς τῆς ὡρισμένης διωρίας ἀποδεῖξαι, ἀντικριθεὶς τῷ Λαοσυνάπτῃ· εἰ δὲ τῆς

διωρίας παρελθούσης οὐ δυνηθῇ τοῦτο ἀποδεῖξαι, ἀλλὰ μᾶλλον καὶ σιωπήσει, μὴ ἔχειν ἄδειαν αὐτὸν εἰς ὑπερθέσεις πλέον καὶ ἀναβολὰς χωρεῖν, προβαλλόμενος ἄλλα ἐπ' ἄλλοις, ἱκανὴ γὰρ ἡ παροῦσα διωρία εὑρεῖν αὐτὸν, εἴπερ βούλεται, πᾶν, εἴτιπερ θέλει, καὶ εἶναι καταδεδικασμένον αὐτὸν ἐκ τοῦ ἀπεντεῦθεν, λαβεῖν δὲ καὶ τὸν Λαοσυνάπτην γράμμα εἰς δικαίωμα αὐτοῦ καὶ εἰς τὸ ἑξῆς διατηρεῖσθαι ἀνενόχλητος ἀπὸ παντὸς τοῦ μέρους τοῦ Παλαιολόγου. καὶ δι' ἀσφάλειαν κατεστρώθη καὶ ἐν τῷ παρόντι ἱερῷ κώδικι †.

## CCCCXCVII. (6904—1395) septembri. ind. IV.

*Promissio hieromonachi Matthaei, exarchi Chazariae.*

† Ἐγὼ ὁ ἐν ἱερομονάχοις ἐλάχιστος καὶ πνευματικὸς Ματθαῖος ὑπόσχομαι ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι, ἐπεὶ ἀπέρχομαι εἰς τὴν Χαζαρίαν ἔξαρχος θείῳ ὁρισμῷ αὐτοῦ, ἔστι δὲ ὑποψία, μήποτε ἐνοχλήσω τὸν εὑρισκόμενον εἰς τὸ τῆς Κυρίζου μετόχιον τὸ εἰς τὸ Νεοχώριον, εἰς ὃ εὑρισκόμην ἐγὼ, ἤδη λέγω καὶ διαβεβαιοῦμαι, ἵνα μηδέποτε ἐνοχλήσω τῷ ἐκεῖσε εὑρισκομένῳ ἢ ὅλως ἐπιχειρήσω εἰσαχθῆναι ἐν αὐτῷ παρὰ γνώμην τοῦ κατὰ καιροὺς προϊσταμένου τοῦ μοναστηρίου ἡγουμενικῶς· εἰ δὲ ποτέ τι τοιοῦτον ἐπιχειρήσω, ἵνα καταδικάζωμαι εἰς τὴν ἱερωσύνην μου εὐθύνεσθαι. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις, καὶ ὑπεγράφη καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν μηνὶ σεπτεβρίῳ ἰνδ. δ' †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Ματθαῖος καὶ πνευματικὸς ὑπέγραψα †.

## CCCCXCVIII. (6904—1395) septembri. ind. IV.

*Patriarchae litterae datae ad clerum insulae Euboeae.*

† Πιττάκιον πατριαρχικὸν πρὸς τοὺς ἐν τῷ Εὐρίπῳ κληρικοὺς γράφαντας καὶ ἀναφέροντας περὶ τοῦ Ἀθηνῶν, ὅτι ἠφωρίσθησαν παρ' αὐτοῦ διὰ τὸ μὴ μνημονεύειν αὐτοῦ ἐν ταῖς ἱεραῖς τελεταῖς κατὰ τὴν συνήθειαν †.

† Οἱ εἰς τὸν Εὔριπον εὑρισκόμενοι, σύ τε, εὐλαβέστατε πρωτοπαπᾶ, καὶ οἱ λοιποὶ ἱερωμένοι καὶ κληρικοί, τέκνα ἐν κυρίῳ ἀγαπητὰ

τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν εἴη ἅπασι καὶ εἰρήνη ἀπὸ θεοῦ. τὴν ἔγγραφον ἀναφορὰν ἡμῶν ἐδεξάμεθα μετὰ τοῦ παρόντος ἀνθρώπου. ὑπανεγνώσθη οὖν συνοδικῶς, καὶ ἐγνωρίσαμεν, περὶ ὧν ἐγράφετε καὶ ἀνεφέρετε. εἰ μὲν οὖν οὕτως εἶχε τὰ εἰς τὸν ἱερώτατον μητροπολίτην Ἀθηνῶν, ὡς καὶ ὑμεῖς ἠκούσατε, καὶ συνοδικῶς καθῃρεῖτο δι' ἅπερ ἀκούονται κατ' αὐτοῦ, καλῶς ἂν ἐποιεῖτε, κόψαντες αὐτοῦ τὸ μνημόσυνον, τότε καὶ ὁ ἀφορισμὸς αὐτοῦ οὐχ ἥπτετο ἂν ὑμῶν· ἐπεὶ δὲ ὁ μητροπολίτης, κἂν ὅσα, κἂν ὁποῖα ἐργάζεται, εἰ καὶ καθαιρέσεώς ἐστιν ἄξιος ἀπὸ τούτων, ἀλλ' οὖν οὔτε ὁ κατηγορήσων αὐτοῦ ταῦτα συνοδικῶς ἐπαρρησιάσατο, οὔτε μάρτυρες τῶν κατηγορημάτων ἐφάνησαν, οὔτε δικαστήριον ὅλως συνέστη περὶ τούτων συνοδικόν, ὡς ἂν ἐξετασθέντων τῶν λαλουμένων συνοδικῶς, εἴπερ εὑρεθῶσιν ἀληθῆ ταῦτα, καθαιρεθῇ, καὶ μέχρις ἂν τοῦτο γένηται, ἐνεργὸς ἀρχιερεύς ἐστι, καὶ τὸ μνημόσυνον αὐτοῦ ὀφείλει ἔχειν ἀφ' ὑμῶν· ἄδικον γὰρ καὶ παρὰ κανόνας, εἰ πρὸ τῆς κρίσεως καὶ τῆς ἐξετάσεως καὶ τῆς παραστήσεως τῶν λαλουμένων ἀφαιρεθῇ ταῦτα, ἃ μετὰ τὴν κρίσιν ἔμελλε, διὰ τοῦτο καὶ ἡμεῖς ἐνεργὸν αὐτὸν ἔχομεν, καὶ ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν γράφομεν αὐτὸν μέχρι τῆς σήμερον· διὰ τοῦτο καὶ τὸ γεγονὸς παρ' αὐτοῦ εἰς ὑμᾶς δικαίως ἐγένετο καὶ κανονικῶς. πλὴν ἐπειδὴ οὐκ ἀπὸ περιφρονήσεως ἐποιήσατε τοῦτο, ἀλλ' ἀπατηθέντες τῇ ἀκοῇ, ἥνπερ ἠκούσατε, ἔχει ὑμᾶς ἅπαντας ἡ μετριότης ἡμῶν συγκεχωρημένους τοῦ ἐπενεχθέντος καθ' ὑμῶν ἀφορισμοῦ παρὰ τοῦ μητροπολίτου ὑμῶν ἕνεκα τούτου, πλὴν ἐὰν εἰς τὸ ἑξῆς ἔχητε αὐτὸν ὡς μητροπολίτην ὑμῶν, καὶ στέργητε αὐτόν, καὶ μνημονεύητε αὐτοῦ· ἄνευ γὰρ αὐτοῦ οὔτε ἐγὼ ἔχω ἄδειαν μνημονεύεσθαι αὐτόθι, οὔτε ἄλλος ἀρχιερεύς, παρὰ κανόνας ἔσται τοῦτο. εἰ δὲ γένηται κρίσις μετὰ τοῦ μητροπολίτου, καὶ τῶν ἐγκλημάτων τῶν κατ' αὐτοῦ ἀληθῶν φανέντων καθαιρεθῇ, τότε καὶ ὑμεῖς τοῦτο πληροφορηθήσεσθε παρὰ τῆς ἡμῶν μετριότητος, καὶ καθὼς ἂν γράφωμεν ὑμῖν, ποιήσετε· μέχρις ἂν δὲ τοῦτο γένηται, ἀρχιερεὺς ὑμῶν ἄλλος οὐκ ἔστι εἰ μὴ ὁ Ἀθηνῶν, καὶ πλὴν αὐτοῦ ἄλλου μνημονεύειν οὐκ ὀφείλετε· φροντίσατε οὖν καὶ τὸ ἀκίνδυνον καὶ τὴν τιμὴν ὑμῶν, καὶ ποιήσατε, καθὼς παρακελευόμεθα, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις ᾖ μετὰ πάντων ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. τετάρτης †.

## CCCCXCIX. 6904 (1395) octobri. ind. IV.

*Pia fundatio facta in monasterio Petrae a Manuele Palaeologo et ab Helena Palaeologina pro anima Constantini, Serbiae domini, patris Helenae.*

I. † Ἐπεὶ οἱ χάριτι καὶ εὐδοκίᾳ τοῦ τὰ ἡμέτερα διιθύνοντος καὶ διακυβερνῶντος θεοῦ κραταιοὶ καὶ ἅγιοι ἡμῶν αὐθένται καὶ βασιλεῖς, ὅ τε κὺρ Μανουὴλ ὁ Παλαιολόγος καὶ κυρὰ Ἑλένη ἡ Παλαιολογίνα, μετὰ τῶν ἄλλων εὐεργεσιῶν καὶ ἀναδοχῶν ὧν εὐεργετοῦσιν ἡμᾶς, ηὐδόκησαν καὶ νῦν καὶ διέκριναν, ἵνα ἡ καθ' ἡμᾶς σεβασμία μονὴ τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένη τῆς Πέτρας προσφέρῃ τῷ θεῷ θυσίας καθ' ἑβδομάδα τρεῖς ὑπὲρ τῆς ψυχῆς τοῦ μακαρίτου καὶ ἐνδοξοτάτου αὐθέντου Σερβίας, κῦρ Κωνσταντίνου, τοῦ πατρὸς τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, καταγραφῇ δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἐν τῷ ἱερῷ τῆς μονῆς βρεβείῳ, καὶ ἐν τῷ γινομένῳ μνημοσύνῳ κατὰ παρασκευὴν τῆς ἑβδομάδος ἐν τῷ κοιμητηρίῳ ἀναφέρηται καὶ τὸ αὐτοῦ ὄνομα, ὡς δὲ καὶ τὴν ἐπὶ τὴν αὔριον ἡμέραν τοῦ σαββάτου ἐν τῷ ὄρθρῳ ἐν τῷ καθολικῷ ναῷ τοῦ μοναστηρίου, καθ' ἕκαστον δὲ χρόνον κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ἀπέθανεν, ἐκτελῆται παρ' ἡμῶν μνημόσυνον, καὶ ἀφ' ἑσπέρας μὲν φορένωσιν ἱερεῖς δεκαέξ, καὶ ἔχωμεν κόλυβα ἀπαλλαρέας ὀκτὼ καὶ μανουάλια μετὰ κηρίων ὀκτὼ, τῇ δὲ ἐπαύριον γένηται λειτουργία καὶ τράπεζα τοῖς καλογήροις καὶ τοῖς εὑρεθεῖσι πτωχοῖς, καὶ διδῶμεν εἰς τὰ πτωχὰ ἐκεῖνα καὶ ψυχικὸν τὸ δυνατὸν, καὶ ὑπὲρ τούτων ὥρισαν καὶ ἐδόθησαν ὑπέρπυρα πεντακόσια, ἵνα ἐξωνηθῇ κτῆμα ἐντὸς τῆς βασιλίδος ταύτης τῶν πόλεων, δυνάμενον παρέχειν τῷ μοναστηρίῳ ἐτήσιον εἰσόδημα ἢ πεντήκοντα ὑπέρπυρα ἢ πλείω καὶ μικρὸν ἴσως ἐλάττω, καθὼς ἂν εὕρωμεν ἀρεστὸν ἡμῖν κτῆμα, ἃ δὴ ὑπέρπυρα τοῦ εἰσοδήματος ἀπετάχθησαν ἐξοδιάζεσθαι ὑπὲρ τῶν τριῶν λειτουργιῶν καὶ τοῦ δηλωθέντος μνημοσύνου τοῦ καθ' ἕκαστον χρόνον. ἄσμενοι καὶ μετὰ πολλῆς τῆς περιχαρείας ὅλῃ ψυχῇ καὶ γνώμῃ τοῦτο ἀποδεξάμενοι τάττομεν καὶ ὑποσχόμεθα διὰ τοῦ παρόντος ἡμετέρου γράμματος, ἵνα ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ παρ' ἡμῶν τῶν νῦν ὄντων ἱερομονάχων καὶ μοναχῶν καὶ παρὰ πάντων τῶν μεθ' ἡμᾶς μετὰ πάσης τῆς προθυμίας καὶ τῆς ἐπιμελείας πρῶτον μὲν ἐκτελῶνται αἱ τρεῖς λειτουργίαι καθ' ἑκάστην ἑβδομάδα, ἡ μὲν

μία κατὰ τὴν πέμπτην ἡμέραν τῆς ἑβδομάδος ἐν τῷ καθολικῷ ναῷ τοῦ μοναστηρίου, αἱ δὲ λοιπαὶ δύο τὴν τρίτην καὶ τὸ σάββατον ἐν ἑτέρῳ τοῦ μοναστηρίου θυσιαστηρίῳ, εἶτα ἐπειδὴ κατεγράφη καὶ τὸ ὄνομα τοῦ πατρὸς τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, τοῦ μακαρίτου καὶ ἐνδοξοτάτου αὐθέντου Σερβίας, κῦρ Κωνσταντίνου, ἐν τῷ ἱερῷ βρεβείῳ τῆς μονῆς, ἵνα ἐν τῷ γινομένῳ μνημοσύνῳ ἐν τῷ κοιμητηρίῳ καὶ κατὰ τὸν ὄρθρον τοῦ σαββάτου ἐν τῷ καθολικῷ ναῷ ἀναφέρηται ἀεὶ ἐν πᾶσι τούτοις παρ' ὅλον τὸν χρόνον κατὰ πᾶσαν παρασκευὴν καὶ κατὰ πᾶν σάββατον τὸ ἐκείνου ὄνομα, καθὼς καὶ τῶν λοιπῶν ἀδελφῶν τῶν τεθνεότων τῶν τεταφέντων ἐν τῷ μοναστηρίῳ καὶ τῶν ζητησάντων τοιοῦτον μνημόσυνον ἔχειν ἀπὸ τῆς μονῆς ἡμῶν· ὁμοίως τάττομεν καὶ συμφωνοῦμεν, ἵνα ποιῶμεν καθ' ἕκαστον χρόνον κατὰ τὴν ἡμέραν, καθ' ἣν ἀπέθανεν ὁ πατὴρ τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, ἤτοι κατὰ . . . . ., μνημόσυνον μετὰ ἱερέων δεκαέξ, ἀπαλλαρέων μετὰ κολύβων ὀκτὼ καὶ μανουάλια ὀκτὼ μετὰ κηρίων, τῇ δὲ ἐπαύριον ἔχωμεν τὴν λειτουργίαν, ποιοῦντες καὶ τράπεζαν τοῖς καλογήροις καὶ τοῖς εὑρεθεῖσι πτωχοῖς, οἷς καὶ ψυχικὸν ὀφείλομεν διδόναι τὸ δυνατόν. ταῦτα γοῦν πάντα ὀφείλομεν ἐκπληροῦν ἀόκνως καὶ ἀρρᾳθύμως μετὰ πάσης τῆς προθυμίας καὶ τῆς θελήσεως, ἐπειδὴ οὐ μόνον ἀρκετὰ ἐφάνησαν εἰς ἐκπλήρωσιν τούτων ἁπάντων, ὅσα μέλλομεν ἔχειν ἀπὸ τοῦ κτήματος ἐκείνου εἰσοδήματα, ἢ γὰρ πεντήκοντα ὑπέρπυρα μέλλουσιν εἶναι ἢ πλείω ἢ μικρόν τι ἐλάττω, καθὼς ἂν δόξῃ ἡμῖν ἀρεστὸν τὸ ἐξωνηθησόμενον κτῆμα εἰς τὰ φ' ταῦτα ὑπέρπυρα. ἀλλὰ καὶ ὅτι προετιμήθη ἡ καθ' ἡμᾶς σεβασμία μονὴ εἰς ἐκπλήρωσιν τοῦ ψυχικοῦ τούτου ἔργου παρὰ τῶν κραταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων, πολλὰς καὶ ὑπὲρ αὐτῶν ὀφείλομεν τῷ θεῷ τὰς εὐχὰς ἕνεκεν τῆς ἀναδοχῆς καὶ τῆς εὐεργεσίας αὐτῶν· εἰ γὰρ ἁπλῶς εἰς πάντα χριστιανὸν τὸν προσένεξιν οἱανδήτινα ποιήσαντα εἰς τὸ μοναστήριον μνήμης ἕνεκα τῆς ἑαυτοῦ ψυχῆς χρέος ἐστὶν ἀπαραίτητον ἐκπληροῦν τὰ συμφωνηθέντα, κἂν ἐλάττω ὦσι τὰ τῆς προσενέξεως τῶν παρ' ἡμῶν ὑπὲρ ἐκείνου γινομένων, πολλῷ μᾶλλον ὀφείλομεν τοῦτο κατὰ πᾶσαν ἀνάγκην πληροῦν εἰς τὸν πατέρα τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας καὶ δεσποίνης, ἀρκετῆς οὔσης τῆς προσενέξεως ταύτης εἰς τὰ ὑπὲρ τῆς ψυχῆς ἐκείνου γινόμενα. εἰ δ' ἴσως ποτὲ τῶν καιρῶν ἢ ἀφ' ἡμῶν

ἢ ἀπὸ τῶν μεθ' ἡμᾶς ἐπιχειρήσωσί τινες ἢ τῶν λειτουργιῶν ἀμελῆσαι ἢ τοῦ ἐτησίου μνημοσύνου, κἀντεῦθεν ἐλάττω ποιῆσαι τὰ συμφωνηθέντα ταῦτα (ἐπεὶ τὸ κτῆμα ἐκεῖνο τῶν πεντακοσίων ὑπερπύρων ὑπὲρ τούτων τῇ μονῇ παρεδόθη, καὶ κέρδος μὲν ἔχει τὸ μοναστήριον, ζημίαν δὲ οὐδαμῶς, τὰ γὰρ ἀπὸ τοῦ κτήματος εἰσοδήματα. ἐν τῇ μονῇ πάλιν ἐξοδιάζεσθαι μέλλουσι καὶ οἱ ἱερωμένοι καὶ οἱ λοιποὶ ἐσθίειν τε καὶ λαμβάνειν) καὶ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἀνεδέξατο τὴν περὶ τούτου ἐπιστασίαν, ὥστε μήτε τὸ κτῆμα ἐκεῖνο πωληθῆναί ποτε καὶ ἀποσπασθῆναί ποτε τῆς μονῆς, μήτε ἀμεληθῆναί τι τῶν εἰς μνημόσυνον ἐκείνου ἀποταχθέντων, ὀφείλομεν μὴ μόνον τὴν κατάκρισιν καὶ τὴν καταδίκην ἐπισπᾶσθαι εἰς ἑαυτοὺς καὶ ἐκ θεοῦ καὶ ἐξ ἀνθρώπων, ὡς ἀγνώμονες καὶ ἀχάριστοι καὶ κακοὶ φύλακες τῶν ἐμπιστευθέντων ἡμῖν, ἀλλὰ καὶ τοῦ κτήματος τούτου στερηθῆναι πατριαρχικῇ διαγνώμῃ, καθὼς ἐστι δίκαιον, ὥστε ἐν ἄλλῃ μονῇ τοῦτο παραδοθῆναι, ἐκπληροῦν δυναμένῃ τὰ ὑπὲρ τῆς ψυχῆς ἐκείνου συμφωνηθέντα. τούτου γὰρ ἕνεκεν εἰς ἐκπλήρωσιν καὶ μνήμην πάντων τούτων καὶ τὸ παρὸν ἡμέτερον γράμμα τῷ ἱερῷ κατεστρώθη κώδικι τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ὡς ἂν καὶ ὁ παναγιώτατος ἡμῶν οὗτος δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἕως ἂν ζῇ, καὶ πάντες οἱ μετ' αὐτὸν δεσπόται καὶ οἰκουμενικοὶ πατριάρχαι ἐπιτηρῶσι καὶ ἐπισκέπτωνται καὶ τὸ περὶ τούτου, ἅτε δὴ τὴν τῶν χριστιανῶν φροντίδα καὶ τὰς ψυχὰς ἐγχειρισθέντες παρὰ θεοῦ, τῶν τε ζώντων καὶ μάλιστα τῶν τεθνηκότων. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν καὶ τὸ παρὸν ἡμῶν ἐγεγόνει γράμμα, καὶ ταῖς ἡμετέραις ἐσημειώθη οἰκειοχείροις ὑπογραφαῖς διὰ τὸ ἀδιάβλητον, κατὰ μῆνα ὀκτώβριον τῆς δ' ἰνδ. τοῦ ,ς ἐ ν ν α κ ο σ ι ο σ τ ο ῦ δ' ἔτους· ἔτι ὁμολογοῦμεν, ὅτι παρελάβομεν ἀπὸ τῶν ταιῶν καὶ ἁγίων ἡμῶν αὐθεντῶν καὶ βασιλέων ὑπέρπυρα ἑκατόν, ἵνα ποιήσωμεν ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς μνημόσυνα τέσσαρα ὑπὲρ τῆς ψυχῆς τοῦ πατρὸς τῆς κραταιᾶς καὶ ἁγίας ἡμῶν κυρίας, τὰ μὲν δύο ἀρτίως ὡς τεσσάρακοντα καὶ τριμήνια, τὰ δὲ δύο εἰς τὸ ἑξῆς ἐν τῷ καιρῷ τῶν μετὰ τὸν θάνατον ἐκείνου ἓξ καὶ ἐννέα μηνῶν, τὸ γὰρ χρονιαῖον μνημόσυνον γενήσεται ἀπὸ τοῦ εἰσοδήματος, καθὼς εἴρηται. ὀφείλομεν γοῦν καὶ ταῦτα ποιῆσαι ἐπιμελῶς καὶ ἐντίμως, καθὼς ἄνωθεν ὑπεσχέθημεν διὰ τοῦ παρόντος ἡμῶν γράμματος †.

† Εἶχε τὸ πρωτότοπον καὶ ὑπογραφὰς ταύτας· Ὁ καθηγούμενος Γερμανὸς ἱερομόναχος· † Γρηγόριος ἱερομόναχος. † Ὁ ἐλάχιστος ἐν ἱερομονάχοις Ἰωσὴφ καὶ ἐκκλησιάρχης· † Ἡσαΐας ἱερομόναχος. † Θεοδώριτος ἐν ἱερομονάχοις καὶ πνευματικοῖς ἐλάχιστος. † Διονύσιος ἱερομόναχος. † Σάββας ἱερομόναχος. † Θεόκτιστος ἱερομόναχος. † Ἡσαΐας ἱερομόναχος. † Νεῖλος ἱερομόναχος. † Γερμανὸς ἱερομόναχος. † Μελέτιος ἱερομόναχος. † Νεόφυτος ἱερομόναχος. † Μανασσῆς μοναχὸς ὁ Μακροδούκας. † Ὁ μοναχὸς Ναθαναήλ. † Ἐφραὶμ μοναχός. † Μακάριος μοναχός. † Μάρκος μοναχός. † Νικόδημος μοναχός. † Ἰάκωβος μοναχός †.

---

Π. † Ἐπεὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ἅμα τῇ κρατίστῃ μου καὶ ἁγίᾳ δεσποίνῃ, βουλευσάμενοι περὶ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἐνδοξοτάτου αὐθέντου Σερβίας, κυροῦ Κωνσταντίνου, τοῦ πατρὸς τῆς κρατίστης μου καὶ ἁγίας δεσποίνης, διέκριναν καὶ ηὐδόκησαν, ἵνα οἱ ἐνασκούμενοι τῇ σεβασμίᾳ μονῇ τοῦ τιμίου μου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου καὶ ἐπικεκλημένῃ τῆς Πέτρας ποιῶσι καθ' ἑβδομάδα λειτουργίας τρεῖς ὑπὲρ τῆς ψυχῆς ἐκείνου καὶ μνημόσυνον καθ' ἕκαστον χρόνον, καὶ ἔδωκαν ὑπὲρ τούτων ὑπέρπυρα πεντακόσια, ἵνα ἀγορασθῇ κτῆμα δυνάμενον παρέχειν ἄξια τὰ ὅπερ αὐτῶν ἀναλώματα, ἐγένετο δὲ ἐπὶ τούτοις καὶ γράμμα παρὰ τῶν μοναχῶν τόδε τὸ καταστρωθὲν ἐν τῷ παρόντι ἱερῷ κώδικι, πάντα κατὰ μέρος διεξιόν, ἐν ᾧ καὶ τὴν ἡμῶν μετριότητα καὶ πάντα τὸν μεθ' ἡμᾶς οἰκουμενικὸν πατριάρχην ἐγγέγραπται, θελήματι καὶ ἀποδοχῇ καὶ ζητήσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐπιστατεῖν καὶ ἐπιβλέπειν πάντα τὰ συμφωνηθέντα ταῦτα καὶ ποιεῖν ἡμᾶς, ἐὰν ἀμελήσωσιν οἱ μοναχοί, ὅσα τὸ παρὸν γράμμα αὐτῶν διέξεισιν, ἡ μετριότης ἡμῶν πάντα καὶ ἀπεδέξατο καὶ ἐπῄνεσε, τόν τε σκοπὸν καὶ τὸ θεοφιλὲς τοῦτο ἔργον τῶν βασιλέων τῶν ἁγίων καὶ τὴν συμφωνίαν τῶν μοναχῶν. διὰ τοῦτο καὶ ἕως ἂν

ζῶμεν ἡμεῖς, μέλλομεν ἐπισκέπτεσθαι τὰ περὶ τούτου καὶ ἐπιμελεῖσθαι γίνεσθαι ταῦτα κατὰ τὸ δυνατόν· ἐπεὶ δὲ γέροντες ὄντες καὶ ἀσθενεῖς τὸ κοινὸν καὶ ἡμεῖς μετ' ὀλίγον ἀποδώσομεν χρέος, ἀξιοῦμεν πάντας τοὺς μεθ' ἡμᾶς οἰκουμενικοὺς πατριάρχας, διαδέξασθαι καὶ τὴν περὶ τῆς πράξεως ταύτης καὶ συμφωνίας φροντίδα, ἅμα μὲν διὰ τὴν βασιλικὴν ἀνάθεσιν καὶ ἀξίωσιν, ἅμα δὲ καὶ διὰ τὸ ἔργον αὐτό, εἰς ψυχικὴν ὠφέλειαν ἀφορῶν τεθνεότος ἀνθρώπου, ὃ καὶ χωρὶς τῆς βασιλικῆς ἀξιώσεως ἔργον ἐστὶ ποιμένος καὶ διδασκάλου, ἡ τῶν ψυχῶν δηλαδὴ φροντὶς καὶ ἐπίσκεψις. διὰ τοῦτο γὰρ μνήμης ἕνεκεν τό τε τῶν μοναχῶν, ὡς ὁρᾶται, κατεστρώθη ἐνταῦθα γράμμα, ζητήσει καὶ θελήματι τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, καὶ ἡ μετριότης ἡμῶν τὴν παροῦσαν γραφὴν αὐτῆς ἐξέθετο ἐπὶ τῷ διατηρηθῆναι ταῦτα ἀμετάθετα καὶ ἀμεταποίητα †.

## D. 6904 (1395) octobri. ind. IV.

*Patriarcha profitetur, monasterium SS. Patrum in Lesbo non esse patriarchale.*

† Φθάνει πρό τινος ἤδη καιροῦ ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ὁ καθηγούμενος τῆς σεβασμίας μονῆς τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων, ἀρχιμανδρίτης ἱερομόναχος κῦρ Γαλακτίων, καί τινα δικαιώματα ἐμφανίσας, ἃ διελάμβανε πατριαρχικὴν εἶναι τὴν κατ' αὐτὸν μονήν, καὶ μὴ ὑποκεῖσθαι τῇ μητροπόλει τῆς Μιτυλήνης, ἐπορίσατο καὶ γράμμα σιγιλλιῶδες τῆς ἡμῶν μετριότητος, πατριαρχικὴν εἶναι παρακελευόμενον τὴν τοιαύτην σεβασμίαν μονὴν τῶν Ὁσίων Πατέρων καὶ μηδεμίαν ἔχειν ἄδειαν τὸν κατὰ καιροὺς εὑρισκόμενον μητροπολίτην Μιτυλήνης εἰς αὐτόν· ἐπεὶ δὲ ἀρτίως τὰ ἐνταῦθα κατέλαβεν ὁ ἱερώτατος μητροπολίτης Μιτυλήνης καὶ ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Ἱερεμίας, ἐνεφάνισε πράξεις συνοδικὰς τῶν ἁγιωτάτων ἐκείνων καὶ ἀοιδίμων πατριαρχῶν, τοῦ τε κῦρ Ἀρσενίου καὶ τοῦ κῦρ Ἠσαΐου, ἃ δὴ διελάμβανον, μὴ εἶναι πατριαρχικὴν ταύτην τὴν ἀρτίως ἱσταμένην σεβασμίαν μονὴν τῶν Ὁσίων Πατέρων, ἀλλ' ἑτέραν παρὰ ταύτην, τὴν τοῦ ὁσίου Γεωργίου, ἥτις ἀρτίως οὐδὲ εὑρίσκεται, οὐδὲ ὅλως συνίσταται, κατεχαλάσθη γὰρ καὶ ἐρείπιον γέγονε, καὶ τέλεον ἠφανίσθη, καὶ οὐδὲ αὐτὴ τελέως ἦν πατριαρχική· εὑρέθη μὲν γὰρ οὖσα κατ' ἀρχὰς αὐτόνομος καὶ ὑπὸ μηδένα ἐπίσκοπον, ὅπερ ἦν ἀριδήλως παρὰ κανόνας,

διεκρίθη δὲ τηνικαῦτα συνοδικῶς, μνημόσυνον μόνον ἔχειν τὸν πατριάρχην ἐν ταύτῃ, τὴν δέ γε ἐφορίαν τε καὶ διοίκησιν καὶ τῶν αὐτῇ προσόντων μετοχίων ἁπάντων τὸν κατὰ καιροὺς εὑρισκόμενον μητροπολίτην Μιτυλήνης, ὡς τοπικὸν ἐκεῖσε ἀρχιερέα εὑρισκόμενον, καὶ τῇ αὐτοῦ ὑποκείμενα ἐνορίᾳ τε καὶ μητροπόλει, καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν τοῦτον ἐκράτει τὸν τρόπον, καὶ ἡ μὲν τοῦ ὁσίου Γεωργίου μονὴ ἀφανισθεῖσα συνδιέφθειρε καὶ τὰ ἐν ταύτῃ πατριαρχικὰ δίκαια, τῶν δὲ ἄλλων ἁπάντων προαστείων τε καὶ λοιπῶν μετοχίων καὶ τῶν ἐκκλησιῶν ὁ κατὰ καιροὺς μητροπολίτης Μιτυλήνης εἶχε τὴν πρόνοιαν ὡς ἐπίσκοπος τοπικός, καὶ καθιέρου μὲν τὰς ἐν αὐτοῖς ἐκκλησίας, ἐμνημονεύετο δὲ καὶ ἐν ταύταις ὡς ἐπίσκοπος τοπικὸς μέχρι καὶ τοῦ λαβεῖν τὸν ἀρχιμανδρίτην τὰ δικαιώματα παρὰ τῆς ἡμῶν μετριότητος. ἐπεὶ οὖν ταῦτα τοῦτον προέβη τὸν τρόπον, καὶ οὕτως ἔχειν ἀπεδείχθησαν, ἔχει δὲ καὶ τὸ δίκαιον οὕτω, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, εὑρίσκεσθαι καὶ πάλιν αὐτά, τήν τε σεβασμίαν μονὴν τῶν Ὁσίων Πατέρων καὶ πάντα τὰ ταύτης μετόχια καὶ τὰς ἐν αὐτοῖς ἐκκλησίας ἁπάσας, ὑπὸ τὴν ἐπικράτειαν καὶ διοίκησιν τοῦ ἱερωτάτου μητροπολίτου Μιτυλήνης καὶ ἔχειν εἰς ταῦτα τὴν ἣν εἶχε καὶ πρώην νομὴν καὶ συνήθειαν, ἤγουν τό τε μνημόσυνον αὐτοῦ ἐν ταῖς ἱεραῖς τελεταῖς καὶ τὴν εἰς ταῦτα πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν, καὶ ἀργὰ εἶναι τὰ προβάντα ἅπαντα, τά τε δικαιώματα, ὅσαπερ ἔλαβεν ὁ ἀρχιμανδρίτης, καὶ ἃς ὡς πατριαρχικὸς ἔξαρχος καθιερώσεις ἐποίησεν, ἐπεὶ οὐκ εἰς ἀρτίως ἀνεγειρομένους ναοὺς ταύτας ἐποίησεν, ὥσπερ τῷ πατριαρχικῷ ἐνδέδοται ἀξιώματι, ἀλλ' εἰς ναοὺς παλαιοὺς καὶ καθιερωμένους παρὰ τῶν κατὰ καιροὺς μητροπολιτῶν Μιτυλήνης, εἰς τινὰς δὲ αὐτῶν καὶ τῶν ἁγίων θυσιαστηρίων ἀσαλεύτων μενόντων, ἅπερ ἅπαντα παρὰ κανόνας εἰσί, καὶ μᾶλλον ὑπὸ ἐγκλήμασίν ἐστιν ὁ ταῦτα ποιήσας· ἕξει τοίνυν ὁ Μιτυλήνης, ὡς εἴρηται, τὴν ἣν εἶχε νομὴν καὶ συνήθειαν εἴς τε τὴν τῶν Ὁσίων Πατέρων σεβασμίαν μονὴν καὶ τὰ αὐτῆς πάντα μετόχια ἀδιασείστως, μέχρις ἂν ὁ ἀρχιμανδρίτης ἢ δι' ἑτέρου τινὸς ἀποκομίσει πρὸς τὴν ἡμῶν μετριότητα τὰ δικαιώματα αὐτοῦ, τά τε πρῶτα ἐκεῖνα καὶ παλαιά, καὶ ἅπερ ἐπ' ἐκείνοις ἐπεκτήσατο πρὸ ὀλίγου, ὡς ἂν συγκρουσθέντων μετὰ τῶν τοῦ Μιτυλήνης διαγνῶμεν συνοδικῶς πᾶν, ὅπερ ἂν ἐξ ἀμφοτέρων ἀναφανῇ κανονικόν τε καὶ δίκαιον· οὐ γὰρ βούλεται ἡ μετριότης ἡμῶν

τοῖς πατριαρχικοῖς συντετάχθαι δικαίοις τὴν τοιαύτην σεβασμίαν μονήν, εἴπερ τῷ Μιτολήνης ὑπόκειται, ὅτι τε παρὰ κανόνας ἐστί, καὶ ἄλλως πῶς μέλλομεν αὐτοὶ τὸ δίκαιον τοῖς ἄλλοις νομοθετεῖν καὶ ἀδικίας ἀπέχεσθαι, εἴπερ ἔργοις αὐτὸ μὴ ἐνδειξόμεθα πᾶσι; τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα, καὶ ἐκεδόθη τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Μιτολήνης καὶ ὑπερτίμῳ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, εἰς ἀσφάλειαν. ἀπολυθὲν ἐν ἔτει ,ϛ ἐννακοσιοσ τοῦ δ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. δ' †.

## DI. (6904—1395) ianuario-februario. ind. IV.

*Professio fidei Alexii Palaeologi et Antonii Lombardi.*

I. † Μετὰ τὸ ἅγιον σύμβολον ἀποβάλλομαι τὴν παρὰ τῶν Λατίνων γενομένην προσθήκην ἐν τούτῳ τῷ ἁγίῳ συμβόλῳ τὴν λέγουσαν, ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ, πιστεύω γὰρ καὶ ὁμολογῶ, ὅτι ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται. ἀποβάλλομαι δὲ καὶ πάντα τὰ ἔθιμα αὐτῶν καὶ τὴν πολιτείαν καὶ διαγωγὴν αὐτῶν, ὅσα εἰσὶν ἔξω τῆς ἁγίας καθολικῆς τῶν χριστιανῶν ἐκκλησίας καὶ τῆς νομοθεσίας τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων καὶ θεοφόρων πατέρων, καὶ στέργω καὶ φρονῶ πάντα, ὅσα καὶ ἡ ἁγία ἐκκλησία τῆς Κωνσταντινουπόλεως, καὶ προσέρχομαι ὁλοψύχως καὶ καθαρῶς τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, κυρῷ Ἀντωνίῳ, καὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ. μηνὶ ἰαννουαρίῳ ἰνδ. δ' †.

† Ἀλέξιος Παλαιολόγος στέργων ὑπέγραφα †.

---

II. † Μηνὶ φευρουαρίῳ ἰνδ. δ' προσῆλθε τῇ καθ' ἡμᾶς ἁγίᾳ τοῦ Χριστοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ Ἀντώνιος ὁ Λουμπάρδος ὁ Τυατζίβα, καὶ ὡμολόγησε στέργειν τὴν ἡμῶν ἁγίαν πίστιν, ἀποβαλλόμενος τὴν βλάσφημον προσθήκην ἐν τῷ ἁγίῳ συμβόλῳ τὴν τῶν Λατίνων καὶ τὰ ἔθιμα πάντα ἐκείνων. καὶ διὰ ταῦτα ἐσημειώθη ἐν τῷ παρόντι ἱερῷ κώδικι †.

## DII. Sine anno.

*Professio fidei Constantini Asani, abiurantis dogmata Barlaam et Acindyni.*

† Ὁμολογία τοῦ Ἀσάνη κῦρ Κωνσταντίνου †.

† Ἐπεί τινες ὑποψίαν κατ' ἐμοῦ σχόντες, ὡς πρόσκειμαι τοῖς δόγμασι τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἃ τῷ ἀναθέματι καθυπέβαλε συνοδικῶς ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, ἀνέφερον τοῦτο εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ διὰ τοῦτο ἐδέησεν, ἵνα δῶ πληροφορίαν περὶ τῆς δόξης ἧς ἔχω περὶ τούτων, καὶ ἀπαλείψω ἀπὸ πάσης ψυχῆς πᾶσαν ὑπόληψιν πονηρὰν, ἣν ἔχουσιν ἴσως περὶ ἐμοῦ, ἰδοῦ, τὴν παροῦσάν μου δίδωμι ὁμολογίαν, δι' ἧς ἅμα μὲν ἐπικυρῶν, ἅπερ ἐγγράφως τῷ ἀοιδίμῳ καὶ ἁγιωτάτῳ πατριάρχῃ, κυρῷ Νείλῳ, ἅμα δὲ καὶ εἴ τι ἐλλιπῶς ἐν ἐκείνοις εἶπον, νῦν ἀναπληρῶν λέγω, ὅτι στέργω τὰ δόγματα, ἅπερ στέργει καὶ ὁμολογεῖ ἡ ἁγία καὶ χάριτι θεοῦ ὀρθόδοξος ἐκκλησία τῆς Κωνσταντινουπόλεως, ἧς ἀρτίως προστάτης ὁ ἁγιώτατος ὑπάρχει πατριάρχης κῦρ Ἀντώνιος, τὸν δὲ Βαρλαὰμ καὶ Ἀκίνδυνον καὶ τὰ δόγματα αὐτῶν ὡς ἀλλότρια τῶν ἀποστολικῶν καὶ πατρικῶν δογμάτων καθυποβάλλω τῷ ἀναθέματι, σὺν αὐτοῖς δὲ καὶ πάντας τοὺς ὁμόφρονας καὶ ὀπαδοὺς καὶ διαδόχους αὐτῶν. αὕτη μου ἐστὶν ἡ ὁμολογία, μεθ' ἧς εὔχομαι παραστῆναι τῷ κριτῇ ζώντων καὶ νεκρῶν, κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, τῷ ἀληθινῷ θεῷ καὶ σωτῆρι, ἐν τῇ κοινῇ τῆς ὁμολογίας ἡμέρᾳ. καὶ δι' ἀσφάλειαν ὑπέγραψα †.

† Ὁ δοῦλος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Κωνσταντῖνος ὁ Ἀσάνης †.

## DIII. (6904—1394) aprili. ind. IV.

*Patriarchae litterae datae ad Lemnios de dote coniugis Chrysolorae.*

† Πιττάκιον πατριαρχικὸν πρὸς τοὺς κεφαλάδας τῆς Λήμνου περὶ τῆς γυναικὸς Χρυσολωρᾶ τοῦ Καλοήθη †.

† Περιπόθητε θεῖε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Θεόδωρε Παλαιόλογε, πρωτοβεστιαρῖτα, καὶ σὺ, οἰκεῖε τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Μανουὴλ Ἐσκαμματισμένε, ἐν

ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος· χάρις ἡμῖν εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ. ἡ μετριότης ἡμῶν καὶ ἄλλοτε ἔγραψεν αὐτόθι περὶ τῆς γυναικὸς τοῦ Χρυσολωρᾶ, ζῶντος ἐκείνου, ἵνα ἐπειδὴ ἀπέλυσεν αὐτὴν ἐπὶ χρόνοις πολλοῖς καὶ ἀφῆκεν ἀνεπιμέλητον, πέμψῃ πρὸς αὐτὴν πᾶν, εἴ τι παρέλαβε τῆς προικὸς αὐτῆς, πολὺ ὂν καὶ ἀξιόλογον· πρὶν ἂν οὖν φθάσῃ τοῦτο ποιῆσαι, τὸν βίον ἀπέλιπε· κατελείφθησαν οὖν τὰ αὐτοῦ πράγματα, κινητά τε καὶ ἀκίνητα, καὶ ζητεῖ τὴν προῖκα αὐτὴν κατὰ τοὺς νόμους, λέγουσα ἀποδεῖξαι αὐτὴν ποσότητα ὑπερπύρων λιτρῶν εἴκοσι πέντε. ἐπεὶ γοῦν περὶ τῆς ὑποθέσεως ταύτης σύνοιδε καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, καὶ ἔγγραφον αὐτοῦ ὁρισμὸν ἀπέστειλε πρὸς ἡμᾶς πρὸ καιροῦ τινος εἰς δικαίωσιν τῆς προικὸς τῆς γυναικός, ἀλλὰ καὶ νῦν ἐγνώρισε περὶ τοῦ θανάτου τοῦ Χρυσολωρᾶ, καὶ δικαιοῖ τὴν γυναῖκα κατὰ τοὺς φιλευσεβεῖς νόμους ἱκανωθῆναι εἰς τὸ χρέος τῆς προικὸς αὐτῆς, ὅπερ ἐστὶν ἀναγκαῖον γενέσθαι περὶ τούτου εἰς ἐλευθερίαν καὶ τοῦ βάρους τῆς ψυχῆς ἐκείνου καὶ θεραπείαν τῆς γυναικὸς αὐτοῦ καὶ τοῦ δικαίου αὐτῆς, τοῦτο γράφομεν πρὸς ὑμᾶς, ἵνα μετὰ βάρους ἀφορισμοῦ πᾶς ὁ κατέχων βίον ἐκείνου ἢ παρακαταθήκης χάριν ἢ λεγάτου ἢ ὁπωσδήποτε ἄλλως ἐμφανίσῃ αὐτό, καὶ παραλάβῃ τοῦτο ἡ ἀντίληψίς σας· ὁμοίως πωλήσητε καὶ τὴν κτηματικὴν ὑπόστασιν αὐτοῦ καὶ ἀμπέλια καὶ χωράφια καὶ εἴ τι ἄλλο, καὶ συναγαγόντες πάντα ὁμοῦ καὶ τὰ εὑρεθέντα νῦν κινητὰ καὶ τὰ ἀπὸ πωλήσεως τῶν ἀκινήτων, πέμψητε ἐνταῦθα εἰς τὴν ἡμῶν μετριότητα, καὶ εἰ μὲν ἐποίησε διαθήκην, πέμψητε καὶ αὐτήν· εἰ δὲ οὐκ ἐποίησε διαθήκην, ἀφῆκε δέ τισιν ἀγράφως λεγάτα, γράψητε ταῦτα εἰς τὴν ἡμῶν μετριότητα, καὶ εἴπερ ἐστί τις αὐτόθι ὁ ἀντιποιούμενος τοῦ δικαίου τοῦ Χρυσολωρᾶ, εἴτε ἀπὸ κληρονόμων, εἴτε ἀπὸ λεγαταρίων, ἔλθῃ κἀκεῖνος ἐνταῦθα μετὰ τῶν δηλωθέντων πραγμάτων, καὶ κρίσεως γενομένης συνοδικῆς καὶ νομίμου λάβῃ ἡ γυνὴ τοῦ Χρυσολωρᾶ τὴν προῖκα πᾶσαν, καὶ εἴ τι ἔρχηται δίκαιον αὐτῇ κατὰ τοὺς νόμους· τὸ δὲ πλέον, ὅσον ἂν ἐναπολειφθῇ, εἴπερ ἄρα καὶ εὑρεθείη πλέον, μερισθῇ εἰς τοὺς ἔχοντας δίκαιον λαβεῖν αὐτό. τοῦτο γοῦν ἐστι τὸ δίκαιον, ὅπερ γράφομεν, καὶ τοῦτο ἐπιμεληθήτω ἡ ἀντίληψίς σας ἵνα πληρωθῇ, ἄλλως γὰρ ἀδύνατόν ἐστι γενέσθαι, καὶ σπουδάσατε, ἵνα καὶ ἑαυτοὺς καὶ ἡμᾶς ἐλευθερώσητε τῆς ἐκ τῆς ὑποθέσεως ταύτης ὀχλήσεως. ἐμφανισθήτω καὶ τὸ παρὸν γράμμα πρὸς

πᾶσαν τὴν χώραν, ἵνα πᾶς ὁ κατέχων, ὡς εἴπομεν, πρᾶγμά τι τῶν ἐκείνων ἐμφανίσῃ τοῦτο, καὶ ἀποδῷ πρὸς ὑμᾶς, καὶ οὐδὲν κινδυνεύσῃ κατὰ ψυχήν. ἡ τοῦ θεοῦ χάρις (εἴη) μετὰ τῆς ἀντιλήψεώς σας †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. δ' †.*)

## DIV. (6905—1396) septembri. ind. V.

*Iosephus, metropolita Zecchiae et Matrachorum, promittit, se obtemperaturum esse iudicio synodi.*

† Γνώμη τοῦ ἱερωτάτου μητροπολίτου Ζηκχίας καὶ Ματράχων †.

† Περὶ τοῦ παπᾶ κῦρ Μακαρίου ἀληθῶς οὕτως εἶπον κατὰ τὴν πρώτην ἡμέραν, ὅτι οὔτε ἔχω τοῦτο συσκευήν, οὔτε πάλιν δύναμαι μὴ ἔχειν συσκευήν· ἀρτίως δὲ λέγω, ὅτι ἀπὸ τότε καὶ μέχρι τοῦ νῦν πολλὰ σκεπτόμενος οὐχ εὑρίσκω τοῦτο συσκευήν, διὰ τοῦτο οὐδὲ λέγω καθαίρεσιν. διὰ δὲ τὸν λόγον τῆς ἐγγραφῆς λέγω, ὅτι εἴ τι λέγει ὁ κανὼν περὶ τούτου, στέργω το. περὶ δὲ τοῦ μεταξὺ ταύτης τῆς ὑποθέσεως ἀναφυέντος ζητήματος τοῦ εἰ δεῖ ἐγκληματικῆς κινουμένης ὑποθέσεως κατὰ ἱερωμένων παρεῖναι βασιλικοὺς ἄρχοντας ἢ καὶ μή, ἐπειδὴ διὰ τὸ δοῦναί με γνώμην, ἥντινα δέδωκα περὶ τούτου, εὗρον βάρος παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὡς παρὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν πράξας, διὸ καὶ ἐδεήθην καὶ παρεκάλεσα καὶ ἔτυχον συγγνώμης· ἔνι δὲ ἀναγκαῖον, ἵνα ἀπερχόμενος εἰς τὴν ἐκκλησίαν μου δῶ γνώμην περί τε τῶν ἐκκλησιαστικῶν πασῶν ὑποθέσεων καὶ δὴ καὶ περὶ τούτου, λέγω, ἵνα ὅπερ ἐπὶ πᾶσι πραχθῇ συνοδικῶς καὶ διακριθῇ κατὰ τὴν διαταγὴν τῶν θείων καὶ ἱερῶν κανόνων, στέργω τοῦτο κατὰ πᾶσαν ἀνάγκην. τούτου χάριν στοιχήσας δι' ἀσφάλειαν ὑπέγραψα μηνὶ σεπτεβρίῳ ἰνδ. ε' †.

† Εἶχε καὶ ὑπογρραφήν· ὁ ταπεινὸς μητροπολίτης Ζηκχίας καὶ Ματράχων Ἰωσήφ †.

---

*) Folia tria e codice exscissa.

## DV. (6905—1396) 6. novembris. ind. V.

*Metropolitae Gotthiae et Chersonis in synodum vocantur.*

† Μηνὶ νοεμβρίῳ, ς', ἡμέρᾳ δευτέρᾳ, προκαθημένου συνοδικῶς τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, συνεδριαζόντων αὐτῷ καὶ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου καὶ τοῦ Σεβερίνου, ἐξήγαγεν ὁ τιμιώτατος μέγας χαρτοφύλαξ πιττάκιον τοῦ ἱερωτάτου μητροπολίτου Γοτθίας πρὸς αὐτόν, καὶ ὑπανεγνώσθη συνοδικῶς· ἔγραφε γοῦν, ὅτι πενταγαμίαν κωλυθεῖσαν παρ' αὐτοῦ, λαβὼν ἄσπρα ἱκανά, ὁ Χερσῶνος συνεχώρησεν αὐτὴν εὐλογηθῆναι, καὶ ἀξιοῖ τοῦτο λαληθῆναι συνοδικῶς. ἐδόθη γοῦν εἰς τοῦτο γνώμη παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, συμψηφισάντων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τῶν εἰρημένων ἀρχιερέων, ἵνα ὁ μὲν Γοτθίας ὡς κατήγορος ἔλθῃ ἐνταῦθα, παραστήσων τὸ ἔγκλημα συνοδικῶς, ἔλθῃ δὲ καὶ ὁ Χερσῶνος δι' ὅλου τοῦ ἀπριλλίου μηνός, κριθησόμενος μετ' αὐτοῦ. εἰ δὲ ἀμελήσει, εἰς τὸ ἔμπροσθεν ἵνα ᾖ ἀργός· τὸ δὲ συνοικέσιον ὡς παράνομον ἵνα ᾖ διεζευγμένον. ἐγράφησαν οὖν τίμιαι πατριαρχικαὶ γραφαὶ εἰς ἀμφοτέρους τοὺς ἀρχιερεῖς τὴν ῥηθεῖσαν συνοδικὴν γνώμην διεξιοῦσαι. καὶ δι' ἀσφάλειαν ἐσημειώθη καὶ τὸ περὶ τούτου ἐνταῦθα †.

## DVI. (6905—1396) ind. V.

*Patriarcha episcopum Zetunii iubet expelli, in ius vocans metropolitam Larissae, qui eum consecraverat.*

† Πιττάκιον πατριαρχικὸν πρὸς τὸν Λαρίσσης, ὡς ἂν ἔλθῃ ἐνταῦθα †.

I. † Ἱερώτατε μητροπολῖτα Λαρίσσης, ὑπέρτιμε καὶ ἔξαρχε δευτέρας Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν ἐπληροφορήθη συνοδικῶς, ὅτι ἐποίησας τὸν παπᾶν Σάβαν ἐπίσκοπον Ζητουνίου, ἄνθρωπον φαῦλον καὶ κατηγορούμενον εἰς πολλὰ καὶ σχεδὸν ἀπὸ τῶν ἐνταῦθα δεδιωγμένον ἐπὶ τοιούτῳ σκοπῷ, ἵνα ἀπέλθῃ εἰς τὸ Ἅγιον Ὄρος, καὶ ἀποκλεισθῇ διὰ τὰ λαλούμενα κατ' αὐτοῦ. σὺ οὖν μηδὲν γράμμα ἐπιφερόμενον ἢ συστατικὸν ἢ ἀπολυτικὸν ἡμέτερον καλόγερων καὶ κληρικόν, ἱερέα δὲ μᾶλλον ἐμὸν ἐχειροτόνησας, καὶ ἐνέπεσας εἰς τὸ παρενορίας ἔγκλημα, καὶ

κατεπάτησας, ὅσον τὸ εἰς σὲ ἦκον, τοὺς θείους καὶ ἱεροὺς κανόνας. διὰ τοῦτο τὸν μὲν κακῶς προβληθέντα ἐπίσκοπον Ζητουνίου ἔχομεν ἀργὸν πάσης ἱερωσύνης, μέχρις ἂν τὰ ἐνταῦθα καταλαβόντα τὸ προσῆκον αὐτὸν δέξηται πέρας, σοὶ δὲ συνοδικῶς διδόαμεν διωρίαν δι' ὅλου τοῦ σὺν θεῷ ἐρχομένου ἀπριλλίου μηνὸς τῆς νῦν τρεχούσης ε' ἰνδ. χωρίς τινος ἀναβολῆς ἢ εὑρεσιλογίας καὶ ὑπερθέσεως, ἵνα καταλάβῃς ἐνταῦθα καὶ κριθῇς συνοδικῶς περὶ τῶν ῥηθέντων σου ἐγκλημάτων, εἰς ἅπερ περιέπεσες. εἰ μὲν οὖν ἔλθῃς ἐντὸς τῆς δοθείσης σοι διωρίας, ἤδη καλόν· εἰ δ' οὐκ ἔλθῃς, παρελθούσης τῆς δοθείσης σοι διωρίας ἔχομέν σε ἀργὸν πάσης ἀρχιερατικῆς ὑπηρεσίας. εἰ δὲ καὶ μετὰ ταῦτα καταφρονήσεις καὶ ἅψῃ τινὸς ἱερατικοῦ, ἔχομέν σε καὶ ἀφωρισμένον, πρόσεχε οὖν, μή ποτε καὶ τέλεον κινδυνεύσῃς ἐξ ἀπροσεξίας. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

II. † Ἐγράφη τῇ αὐτῇ ἡμέρᾳ καὶ ἕτερον εἰς τοὺς κληρικοὺς τῆς ἐπισκοπῆς Ζητουνίου, ὡς ἂν ἀποδιώξωσι τὸν κακῶς χειροτονηθέντα ψευδεπίσκοπον. διὰ τοῦτο καὶ ἐσημειώθη †.

## DVII. (6905—1396) decembri. ind. V.

*De imperatoris iuribus in synodo.*

† Ἐρωτηθέντες οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι, ὅ τε Νικομηδείας καὶ ὁ Κορίνθου, περὶ οὗ ἔδωκαν ἐγγράφως εἰς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα, εἶπον, ὅτι περὶ μεν τοῦ παπᾶ κῦρ Μακαρίου ἐγράψαμεν τὴν γνώμην, ἣν εἴπομεν καὶ ἐν τῇ ἱερᾷ συνόδῳ, εἶτα ἐρωτηθέντες παρὰ τῆς ἁγίας βασιλείας αὐτοῦ, καὶ εἰ στέργομεν τὰ πρακτικὰ τῆς δ' συνόδου, ἐγράψαμεν ἐκεῖ καὶ τοῦτο, ὅτι ἀναθεματισμοὶ κεῖνται κατὰ τῶν μὴ στεργόντων αὐτά· περὶ δὲ τοῦ ἵνα ἔχῃ ἄρχοντας ὁ βασιλεὺς εἰς τὰ λαλούμενα ἐν τῇ ἱερᾷ συνόδῳ ἐπὶ ἐγκληματικῶν ὑποθέσεων, οὔτε γνώμην ἐδώκαμεν εἰς τοῦτο, οὔτε ἐγράψαμεν τοιοῦτό τι, ἀλλὰ μᾶλλον μὲν οὖν λέγομεν νῦν, ὡς ὅταν ζητήσῃ αὐτὰ ὁ βασιλεὺς ὁ ἅγιος μετὰ ἐξετάσεως, ἐὰν ἀποδειχθῇ, ὅτι ἔχει δίκαιον ὁ βασιλεὺς εἰς τοῦτο, μέλλομεν καὶ ἡμεῖς ἀκολουθεῖν τῇ ἱερᾷ συνόδῳ καὶ τοῖς εὑρεθεῖσιν· ἐὰν δὲ οὐδὲν εὑρεθῇ,

στέργομεν καὶ ἡμεῖς τοῦτο κατὰ πᾶσαν ἀνάγκην. μηνὶ δεκεβρίῳ ἰνδ. ε' †.

† Ταῦτα οὕτως ἀκούσαντες ἀπὸ τοῦ στόματος τῶν ἀρχιερέων ὑπεγράφομεν δι' ἀσφάλειαν †.

† Ὁ μέγας σκευοφύλαξ διάκονος ὁ Βαλσαμών †.

† Ὁ μέγας χαρτοφύλαξ ἀρχιδιάκονος ὁ ....

## DVIII. (6905—1397) ianuario. ind. V.

*Presbyter Georgius constituitur archiepiscopus ecclesiae Imbri, evectae in archiepiscopatum.*

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

Τοῦ πρωτεκδίκου τοῦ Συροπούλου.

† Καὶ ἥλιος μὲν ἀνίσχων καὶ τὰς ἑαυτοῦ ἀφιεὶς ἀκτῖνας τῷ σύμπαντι τούτῳ κόσμῳ εἴωθε καὶ θάλπειν ἅπαντα καὶ τῇ αἴγλῃ τῆς αὐτοῦ δᾳδουχίας κατάδηλα πᾶσι ποιεῖν τὰ πρὸς τὴν ἑαυτῶν σύστασιν τινὸς τῶν παρ' ἡμῶν βοηθείας δεόμενα· καὶ βασιλεὺς δὲ δίκην ἡλιακῶν ἀκτίνων καὶ πόρρωθεν τὰς ὄψεις ἐπαφιεὶς τοῖς πράγμασιν οἶδε καὶ πρὸς κατάστασιν καλῶς ῥυθμίζειν αὐτὰ καὶ βελτίωσιν καὶ τῆς προσηκούσης πᾶσιν ἀνθρώποις ψυχικῆς σωτηρίας, πολλὴν καὶ ὡς εἰκὸς ποιεῖσθαι τὴν πρόνοιαν· ἔνθεν τοι καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ καὶ βασιλεὺς τὰ περὶ τὴν θεόσωστον νῆσον Ἴμβρον ἰδὼν καὶ κατανοήσας θείῳ καὶ βασιλικῷ φρονήματι ὡς ἐπισκοπικῆς ἐπισκέψεως δεῖται ὁ ἐκεῖσε εὑρισκόμενος χριστώνυμος τοῦ κυρίου λαός, ὅπως ἂν τὰ κατ' αὐτὸν διεξάγοιτο ἀποστολικαῖς τε καὶ πατρικαῖς παραδόσεσι, κατάδηλον τοῦτο ποιεῖται τῇ ἱερᾷ συνόδῳ, καὶ τὴν ἱκανὴν εἰς τοῦτο βοήθειαν βασιλικῶς ἐπορέγει καὶ κτήματα δωρεῖται τῇ ἐκκλησίᾳ τῆς Ἴμβρου εἰς προμήθειαν τοῦ γεγονότος ἀρχιεπισκόπου· τὸν γοῦν θεοφιλῆ σκοπὸν τῆς κρατίστης αὐτοῦ βασιλείας καὶ ἡμεῖς ὡς εἰκὸς ἐπαινέσαντες εἰς πέρας ἐκβῆναι τοῦτον ἐσπεύσαμεν. συνδιασκεψαμένη τοίνυν ἡ μετριότης ἡμῶν τὰ περὶ τούτου τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Σεβερίνου, τῷ Κορίνθου καὶ τῷ Μηδείας, καὶ προσ-

βίβασε καὶ ἐτίμησε τὴν νῆσον Ἴμβρον, πατριαρχικὴν ἐξαρχίαν τελοῦσαν τὸ πρότερον, εἰς ἀρχιεπισκοπήν, καὶ ψήφῳ θείᾳ καὶ κανονικῇ τῆς δηλωθείσης τῶν ἱερωτάτων ἀρχιερέων ὁμηγύρεως καὶ ἐπικρίσει τῆς ἡμῶν μετριότητος ἐχειροτονήσαμεν τῇ ἐπικλήσει καὶ χάριτι τοῦ παναγίου καὶ ζωαρχικοῦ πνεύματος ἀρχιεπίσκοπον θεοσώστου ἐπισκοπῆς τῆς νήσου Ἴμβρου τὸν ἀπὸ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου εὐλαβέστατον πρεσβύτερον Γεώργιον, ὃν καὶ ἐφοδιάζοντες εὐχαῖς τε καὶ συνοδικοῖς γράμμασι στέλλομεν εἰς τὴν λαχοῦσαν αὐτῷ ἐκκλησίαν. ὀφείλει τοίνυν ὁ διαληφθεὶς ἱερώτατος ἀρχιεπίσκοπος τῆς θεοσώστου νήσου Ἴμβρου, κῦρ Γεώργιος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἐπιλαβέσθαι τῆς τοιαύτης αὐτοῦ ἐκκλησίας καὶ διδάσκειν κ. τ. λ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ ἱερωτάτῳ ἀρχιεπισκόπῳ τῆς θεοσώστου νήσου Ἴμβρου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, καὶ ἡ παροῦσα αὐτῆς συνοδικὴ πρᾶξις δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ε' †.

## DIX. 6905 (1397) ianuario. ind. V.

*Acacius, hieromonachus, archimandrita et protosyncellus, constituitur metropolita Monembasiae et exarchus totius Peloponnesi.*

## DX. Sine anno.

*Patriarchae litterae datae ad patriarcham Hierosolymorum.*

† Πιττάκιον τοῦ Ἱεροσολύμων πατριαρχικόν †.

† Ἁγιώτατε δέσποτά μου, πατριάρχα Ἱεροσολύμων, Συρίας, Ἀραβίας, πέραν Ἰορδάνου, Καννᾶ τῆς Γαλιλαίας καὶ πάσης Παλαιστίνης, ἐν ἁγίῳ πνεύματι ποθεινότατε ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. εὔχομαι τῷ θεῷ, ἵνα ὑγιαίνῃ ἡ ἁγιωσύνη σου καὶ σωματικῶς εἰς ὠφέλειαν καὶ καταρτισμὸν τοῦ ὑπ' αὐτὴν χριστιανικοῦ καὶ θείου πληρώματος. ὑγιαίνομεν καὶ ὑμεῖς, πλὴν ὡς οἱ γέροντες. πρὸ καιροῦ τινος ἐμάθομεν τὴν εἰς θεὸν ἐκδημίαν τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας ἀπό τινων τῶν εἰς ἡμᾶς καταιρόντων αὐτόθεν, εἶτα καὶ διὰ γραφῆς τὰ περὶ τούτου πλατύτερον ἐπληροφορήθημεν τοῦ εἰς κούσουλον εὑρισκομένου τῶν ἐν Ἀλεξανδρείᾳ Κυπρίων, κῦρ

Πέτρου τοῦ Σωζομένου, ὃς δὴ καὶ ἠξίου ἡμᾶς, ἵνα ἀπὸ τῶν ἡμετέρων ἐπιλεξάμενοί τινα καὶ χειροτονήσαντες αὐτὸν πατριάρχην Ἀλεξανδρείας πέμπωμεν αὐτόθι, ὡς δι' ἀποδοχῆς ὂν μᾶλλον τοῦτο καὶ τῷ ὑψηλοτάτῳ σουλτάνῳ ἢ τὸ γενέσθαί τινα ἀπὸ τῶν αὐτοχθόνων Ἀλεξανδρείας· εἰ μὲν οὖν τοῦτο καὶ ἄλλοι τινὲς ἔγραφον τῶν ἐν Ἀλεξανδρείᾳ, καὶ παρεκάλουν ἵνα γένηται, εἴχομεν ἂν πληροφορίαν, καὶ ἴσως ἐμέλλομεν ἐπιχειρήσειν αὐτό, ἐπειδὴ ὃν ἂν ἡ χάρις τοῦ παναγίου πνεύματος ἐξελέξατο ἀπὸ τῶν ἐνταῦθα καὶ ἀπεκατέστησε πατριάρχην, τῶν μεγάλων ἀνθρώπων τῶν ἐν ἡμῖν ἔμελλεν εἶναι τῶν βίῳ καὶ λόγῳ σεμνονομένων· ἐπεὶ δὲ οὐκ ἔστιν ἁπλῶς καὶ ὡς ἔτυχε τὸ γενέσθαι πατριάρχην ἀπὸ τῶν ἐνταῦθά τινα, εἶτα ἐλθεῖν ἐκεῖνον αὐτόθι καὶ ἐμπεσεῖν εἰς πειρασμούς (τὰ γὰρ μεταξὺ τούτου εἰσὶ πολλά, εἰκὸς γάρ ἐστιν, ἐὰν μὴ καὶ ὁ σουλτάνος καὶ ἡ ἐκκλησία πᾶσα τῶν Ἀλεξανδρέων γινώσκωσι τοῦτο, ἕτερον ζητῆσαι ἀπὸ τῶν αὐτόθι καὶ ἀποκαταστῆσαι αὐτὸν πατριάρχην Ἀλεξανδρείας πρὸ τοῦ ἐλθεῖν τοῦτον αὐτόθι) ἔδοξε καλὸν καὶ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι καὶ τῇ ἡμῶν μετριότητι, ἵνα ἀναθῶμεν τὰ περὶ τούτου τῇ ἁγιωσύνῃ σου· διὰ γοῦν τὴν τοῦ κυρίου ἐντολὴν ἄπελθε ἐκεῖ, καὶ ὡς εἶδεν ἡ γνῶσίς σου, ἰδὲ καὶ σκέψαι καὶ φρόντισον τὰ περὶ τούτου, καὶ εἴπερ εὕροις τοῦτο ἀσπαστὸν παρὰ πάντων, καθὼς ἄνωθεν εἴπομεν, γράψον ἡμῖν καὶ πληροφόρησον διὰ γραμμάτων καὶ τῆς σῆς ἁγιωσύνης καὶ ἄλλων ὧν οἶδας, ὡς ἂν τὸ ἱκανὸν εἰς πληροφορίαν λαβόντες ἐξ αὐτῶν πληρώσωμεν τὸ θεάρεστον τοῦτο καὶ ἐπαινετὸν ἔργον, τῇ συνεργίᾳ τοῦ παναγίου πνεύματος, καὶ ἔχῃ καὶ ἡ ἁγιωσύνη σου μισθὸν ἀπὸ θεοῦ καὶ ἡμεῖς· εἰς δόξαν γὰρ ἔσται τοῦ θεοῦ καὶ τῆς ἐκκλησίας αὐτοῦ πάσης τὸ ἐπιλεγῆναί τινα ἀπὸ τῶν ἐνταῦθα καὶ ἀποκαταστῆναι πατριάρχην Ἀλεξανδρείας ἢ ἀπὸ τῶν αὐτόθι τοῦτον προχειρισθῆναι, καὶ μηδὲν γένηται τῇ ἁγιωσύνῃ σου ἐμποδὼν ἢ τὸ τῆς ὁδοῦ μῆκος ἢ ἄλλο τι τῶν δυσχερῶν ἴσως πρὸς τὸ μὴ ἀπελθεῖν ἐκεῖσε, ὡς γράφομεν, ἀλλὰ γενέσθω τὰ περὶ τούτου οὕτως, ὡς ἀξιοῦμεν αὐτήν. ἔρρωσο ἐν κυρίῳ, ἁγιώτατε δέσποτα, ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· ἀπελύθη τῇ γ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

DXI. 6905 (1397) ianuario. ind. V.

*Hieromonachus Niphon,* καθηγούμενος καὶ ἀρχιμανδρίτης τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένης τῆς Παμμακαρίστου, *nominatur metropolita Antiquarum Patrarum* (οὐ πρὸ πολλοῦ γνησίου στερηθείσης ποιμένος) *et exarchus totius Achaiae.*

DXII. (6905—1397) 20. martii. ind. V.

*Patriarcha hieromonachum Nathanaël monet, ne aperte ambiat metropolim thessalonicensem.*

† Εἰς τὴν Θεσσαλονίκην· πατριαρχικὸν πιττάκιον πρὸς τὸν παπᾶν, κῦρ Ναθαναήλ †.

Τοῦ πρωτονοταρίου κῦρ Βαλσαμών.

† Τιμιώτατε ἐν ἱερομονάχοις καὶ ἔξαρχε τῶν περὶ τὴν δύσιν πατριαρχικῶν δικαίων, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Ναθαναήλ· χάρις εἴη σοι καὶ εἰρήνη ἀπὸ θεοῦ. οἶδας, ὅτι μετὰ τὸν θάνατον τοῦ μακαρίτου Θεσσαλονίκης, τοῦ κῦρ Ἰσιδώρου, γράμματα διεκομίσθησαν ἐνταῦθα ἀπὸ τῆς Θεσσαλονίκης καὶ κληρικῶν καὶ ἀρχόντων, παρακαλοῦντα καὶ ζητοῦντα σὲ γενέσθαι ἀρχιερέα αὐτῶν· ἀλλὰ καὶ νῦν πρὸ ὀλίγου ἕτερα ἦλθον τῶν αὐτόθι μητροπολιτῶν ψῆφον διδόντα περὶ σοῦ εἰς τοῦτο, περὶ ὧν πάντων καὶ τῶν πρώτων καὶ τῶν ὑστέρων ἐδυσχεράναμεν, ὡς εἰκός· οὐκ οἴδαμεν γοῦν, πῶς ὁ παπᾶς, κῦρ Ναθαναήλ, ἄνθρωπος φρόνιμος καὶ πεπαιδευμένος καὶ πεῖραν ἔχων ἐκκλησιαστικῶν πραγμάτων καὶ κανόνων καὶ νόμων ἐπεχείρησεν ὑπὲρ ἑαυτοῦ τοιαῦτα· τὸ μὲν γὰρ κρατῆσαί σε τὴν ἐκκλησίαν οὐδὲν ἀπεικός, ἐξουσίαν γὰρ εἶχες ἀπ' ἐμοῦ τοιαύτην ὡς ἡμέτερος ἔξαρχος, τὸ δὲ τοιαῦτα γράμματα ἐλθεῖν ὑπὲρ σοῦ, παρακινοῦντα ἡμᾶς, ὡς δὲ καὶ ἀπὸ τῆς αὐτόθι κοσμικῆς ἐξουσίας ἔρχεσθαι ἐνταῦθα μηνύματα, ὥστε χειροτονηθῆναί σε παρ' ἡμῶν μητροπολίτην Θεσσαλονίκης, εἴτε σὺ παρεκίνησας ταῦτα ἔρχεσθαι, εἴτε ἄλλων ποιούντων εἶχες εἴδησιν εἰς ταῦτα, καὶ οὐκ ἐκώλυσας, οὔτε πρὸς ἀποδοχὴν ἡμῖν ἦν, οὔτε πρὸς συμφέρον σόν, ἔδει γάρ σε παντελῶς σιωπῆσαι, καὶ εἴπερ θεοῦ χάριτι καὶ βουλῇ τὰ τοιαῦτα γίνονται, καθὼς ἄρα γίνονται καὶ πιστεύομεν, τὴν παρ' αὐτοῦ τοῦ θεοῦ εἰς ταῦτα καὶ τὴν παρ'

ἡμῶν περιμένειν ψῆφον καὶ συνέργειαν· ἐπεὶ δὲ ταῦτα ἐγένοντο, ὡς ἐγένοντο, εἰρήνευσον ἀπὸ τοῦ νῦν, καὶ τὴν ἐκκλησίαν καὶ τὰ πράγματα κράτει μετὰ τῶν ἀρχόντων τῆς ἐκκλησίας καθὼς καὶ πρότερον, γράμματα δὲ καὶ μηνύματα εἴτε ἀρχιερέων, εἴτε ἀρχόντων, βουλευόμεθά σοι, παῦσον ἀπὸ τοῦ νῦν, καὶ ἐπειδὴ ἐλπίζομεν εἰς κύριον τὸν θεὸν, συντόμως διαλυθῆναι τὴν μάχην, τότε μέλλομεν ποιῆσειν, ἔχοντες τὴν ἐλευθερίαν ἡμῶν, ὡς βουλόμεθα, ψήφους ἱερὰς κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν, καὶ θέλει γενέσθαι νομίμως καὶ κανονικῶς μητροπολίτης Θεσσαλονίκης. ἐνδέχεται δὲ γενέσθαι καὶ σὲ, ἡ γὰρ ἐκλογὴ αὕτη τῶν τιθεμένων εἰς τὰς ψήφους προσώπων οὐκ ἀνθρωπίνη καὶ ἡμετέρα, ἀλλὰ ψῆφός ἐστι τοῦ θεοῦ, συνεργείᾳ τοῦ παναγίου πνεύματος. τοῦτό σοι γράφω ἀναγκαῖον καὶ συμφέρον σοι κατὰ πολὺ, καὶ τήρησον ἀμεταθέτως. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ σοῦ. ἀπελύθη τῇ κ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ μαρτίῳ ἰνδ. ε' †.

## DXIII. 6905 (1397) martio. ind. V.

*Hieromonacho Theophylacto conferuntur metropoles Attaliae et Sidae.*

† Πρᾶξις τοῦ Ἀτταλείας †.

† Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Τῆς ἁγιωτάτης μητροπόλεως Σίδης τοῦ οἰκείου ποιμένος στερηθείσης ἡ μετριότης ἡμῶν ἔργον τοῦτο ποιεῖται τῶν ἄλλων ἐπιμελέστατον, φροντίδα θέσθαι περὶ αὐτῆς καὶ ποιμένα καὶ πνευματικὸν διδάσκαλον ταύτῃ ἐγκαταστῆσαι, μάλιστα καὶ διότι ποιμένος εὐποροῦσα οὐδὲν ἧττον ἀποίμαντος διέκειτο, νόσῳ τε καὶ πολλῇ ῥᾳθυμίᾳ τοῦ ἐν ταύτῃ ποιμαντικῶς προϊσταμένου οὐδὲν ἄμεινον ἐκ μακροῦ τῶν ἀψύχων διακειμένου· ἐπεὶ δὲ τὸ ἐκ μακροῦ ἑαλωκέναι σπάνιν μὲν τῶν ἐν ταύτῃ πιστῶν, ἔνδειαν δὲ τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐν ταύτῃ πεποίηκε, καὶ ὅλως οὐκ ἦν δυνατὸν διὰ ταῦτα ἀρχιερέα γνήσιον ἐν ταύτῃ χειροτονηθῆναι, ἡ μετριότης ἡμῶν σὺν τῇ περὶ αὐτὴν ἱερᾷ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Κορίνθου, τοῦ Παλαιῶν

Πατρῶν, τοῦ Σεβερήνου καὶ τοῦ Μηδείας, πλεῖστα περὶ τούτου φροντίσασα καὶ σκεψαμένη καὶ ἀκριβεῖ βασάνῳ δοῦσα τὸ περὶ τούτου, ἐπεὶ εὗρε πλησίον τῆς τοιαύτης ἁγιωτάτης μητροπόλεως οὖσαν καὶ τὴν ἁγιωτάτην τῆς Ἀτταλείας μητρόπολιν, μὴ δυναμένην καὶ αὐτὴν διὰ τὰ προειρημένα γνησίου εὐμοιρῆσαι ποιμένος καὶ διὰ τοῦτο δεομένην ἐπιδόσεως λόγῳ πρὸς τὸν ἱερώτατον μητροπολίτην Μύρων, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Λυκίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, καὶ μηδὲ αὐτὴν ἀκριβῶς καὶ ὡς δεῖ ποιμαινομένην διὰ τὸ πολλὴν εἶναι τὴν ὑπὸ τὸν Μυρέων ἐνορίαν, ἔτι δὲ καὶ τὴν τῆς Καρπάθου διέποντα ἁγιωτάτην ἀρχιεπισκοπήν, διὰ ταῦτα ψήφῳ καὶ γνώμῃ κοινῇ τῆς ἱερᾶς συνόδου τῶν ῥηθέντων ἁγιωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἥνωσε τὰς τοιαύτας ἁγιωτάτας ἐκκλησίας ποιμαίνεσθαι καὶ διακυβερνᾶσθαι πνευματικῶς ἀναποσπάστως ὑφ' ἑνὶ ποιμένι τε καὶ ἀρχιερεῖ, ὅθεν, ἐπεὶ εὗρε τὸν πρὶν τιμιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικὸν πατέρα, κῦρ Θεοφύλακτον, φρόνιμον καὶ ἐνάρετον ἄνθρωπον καὶ ὑποτακτικὸν ἐκ νέου τοῦ ὁσιωτάτου ἐν μονοτρόποις κῦρ Μάρκου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, ψήφῳ καὶ δοκιμασίᾳ κανονικῇ τῆς θείας καὶ ἱερᾶς συνόδου τῶν ῥηθέντων ἁγιωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἐξελέξατο τοῦτον καὶ ἐχειροτόνησε γνήσιον μητροπολίτην Ἀτταλείας καὶ πρόεδρον Σίδης, ὑπέρτιμον καὶ ἔξαρχον πάσης Παμφυλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, ὃς καὶ ὀφείλει τῇ ἐνούσῃ αὐτῷ ἀρετῇ τε καὶ μετριότητι ποιμαίνειν τὰς τοιαύτας τοῦ Χριστοῦ ἐκκλησίας καὶ πνευματικῶς διιθύνειν κ. τ. λ. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίωσιν ἐγένετο τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ἀτταλείας καὶ προέδρῳ Σίδης, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Παμφυλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Θεοφυλάκτῳ, καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος κατὰ μῆνα μάρτιον τῆς ἐνισταμένης νῦν ε' ἰνδ. τοῦ ,ϛ ἐννακοσιοστοῦ ε' ἔτους †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

DXIV. 6905 (1397) ianuario. ind. V.

*Patriarcha Michaëlem archiepiscopum Bethlehem iterum mittit in Russiam.*

† Ἔνταλμα δοθὲν τῷ ἀρχιεπισκόπῳ Βηθλεὲμ ἀπερχομένῳ εἰς τὴν Ῥωσίαν τὸ δεύτερον †.

† Ἐπεὶ οἱ ἐν ταῖς ἁγιωτάταις ἐκκλησίαις τῆς τε Μαυροβλαχίας καὶ τῆς Γαλίτζης εὑρισκόμενοι χριστιανοὶ πολλῆς δέονται τῆς πνευματικῆς ἐπιμελείας καὶ ἐπισκέψεως, τῆς μὲν Γαλίτζης ἀποβαλλομένης θανάτῳ τὸν οἰκεῖον ποιμένα, τῆς δὲ Μαυροβλαχίας πρὸ χρόνων ἤδη τινῶν στερηθείσης τοῦ γνησίου αὐτῆς ἀρχιερέως διά τινας αἰτίας καὶ μηδὲ εὐκόλου νῦν ὄντος τοῦ πράγματος ἐκεῖ τοῦτον ἀπελθεῖν, διὰ τοῦτο καὶ ὡς ἐρήμων τῶν ἐκκλησιῶν τούτων οὐσῶν οἰκείων ποιμένων καὶ διδασκάλων, ὁ κοινὸς τῶν χριστιανῶν ἐχθρὸς καὶ πολέμιος, χώραν εὑρίσκων εἰσάγει τινὰς ὡς λύκους, τὰ ἐναντία κηρύττοντας δόγματα τῇ καθ' ἡμᾶς ὀρθοδόξῳ καθολικῇ καὶ ἀποστολικῇ μεγάλῃ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ διαφθείρουσι τὰς ἐκεῖ ψυχὰς καὶ ἁρπάζουσιν ἀπὸ τῶν χειρῶν τοῦ θεοῦ, καὶ ἄλλοι δὲ ἀνίεροι ὄντες, ὑποκριθέντες ἱερωσύνην, λειτουργοῦσιν ἀπελθόντες ἐκεῖ, καὶ πᾶσαν παρανομίαν ἐργάζονται ἐπ' ἀπωλείᾳ τῶν ἰδίων ψυχῶν καὶ τῶν δεχομένων καὶ ἀκουόντων αὐτούς, καθὼς ἡμᾶς διὰ γραμμάτων πολλοὶ ἀπὸ τῶν ἐκεῖ ἀρτίως ἐπληροφόρησαν, ἡ μετριότης ἡμῶν, ὡς ἀπὸ θεοῦ καὶ τὴν τῶν ψυχῶν ἐκείνων ἐγχειρισθεῖσα φροντίδα καὶ λόγον ὀφείλουσα αὐτῷ, ἐὰν μὴ κατὰ τὸ δυνατὸν αὐτοὺς ἐπισκεψάμενος διορθώσομαι, ἕως ἂν ὁ θεὸς δῷ ἄνωθεν καὶ ἐπιχωρηγήσῃ γνησίους εἰς αὐτὰς ποιμένας καὶ διδασκάλους, ὃ νῦν ἔδοξεν ἀναγκαῖον γενέσθαι πρὸς τὴν τούτων ἐπίσκεψιν καὶ τὴν τοῦ κακοῦ ἀποδίωξιν, τοῦτο καὶ ποιεῖ συνεργείᾳ θεοῦ· καὶ τοίνυν εὑροῦσα τὸν ἱερώτατον ἀρχιεπίσκοπον Βηθλεέμ, ἀγαπητὸν κατὰ κύριον ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, κῦρ Μιχαήλ, ἄνθρωπον δυνάμενον τῇ ἰδίᾳ σπουδῇ καὶ ἐπιμελείᾳ τὰ μέγιστα δουλεῦσαι τῷ θεῷ καὶ τῇ ἐκκλησίᾳ αὐτοῦ καὶ ὠφελῆσαι καὶ βοηθῆσαι τοῖς ἐκεῖ χριστιανοῖς, ἔχοντα μὲν συνεργὸν εἰς τοῦτο καὶ τὴν ἰδίαν γνῶσιν καὶ οἰκονομίαν καὶ ἐπιτηδειότητα, μάλιστα δὲ ἣν ἔχει μετ' αὐτῶν κοινωνίαν καὶ οἰκειότητα ἀπὸ τῆς ἰδίας διαλέκτου καὶ γλώττης καὶ ἄλλως δὲ γνώριμον ὄντα καὶ φίλον οὐ τοῖς ἐκεῖ μόνον ἄρχουσιν, ἀλλὰ καὶ τῷ λοιπῷ σχεδὸν λαῷ ἅπαντι, τοῦτον ἐξαποστέλλει

ἐκεῖσε βοηθείᾳ καὶ συνάρσει θεοῦ, ὅθεν καὶ ὀφείλει ἀπελθὼν ἐκεῖ διδάξαι τὸν ἐν αὐταῖς ταῖς ἐκκλησίαις τοῦ κυρίου λαὸν καὶ ἐπιστηρίξαι αὐτοὺς εἰς τὴν ἀληθῆ καὶ ἀπλανῆ καὶ ὀρθόδοξον πίστιν ἡμῶν, ἣν ἡ τοῦ Χριστοῦ ἁγία καὶ μεγάλη ἐκκλησία, ἐγώ τε ὁ οἰκουμενικὸς πατριάρχης καὶ οἱ μετ' ἐμοῦ ἕτεροι ἁγιώτατοι πατριάρχαι, ὁ Ἀλεξανδρείας, ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων, διδάσκομεν καὶ κηρύττομεν,, εἰς ἥντινα πίστιν καὶ ἐπίστευσαν ἀπ' ἀρχῆς οἱ ἐκεῖσε χριστιανοὶ καὶ ἐβαπτίσθησαν, μεθ' ἧς πίστεως καὶ ἀπέθανον καὶ προσκυνήσουσι τῷ κυρίῳ καὶ θεῷ καὶ σωτῆρι Χριστῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς κρίσεως· ἔπειτα ἐξετάσαι καὶ εὑρεῖν καὶ τοὺς ἀνιέρως ἐκεῖ εἰσελθόντας καὶ ἀποδιῶξαι τούτους καὶ ἀποπέμψαι ἀπὸ τοῦ ἐκεῖ τόπου ὡς λύκους καὶ διαφθορεῖς καὶ σπαράκτας τοῦ λογικοῦ τοῦ Χριστοῦ ποιμνίου καὶ θρέμματος καὶ ἱερουργῆσαι καὶ εὐλογῆσαι καὶ ἁγιάσαι πάντας τοὺς ἐκεῖσε χριστιανούς, ἄρχοντάς τε καὶ ἀρχομένους, γυναῖκας καὶ νήπια, εἰ δεήσει δὲ καὶ ἱερέας ποιῆσαι τοὺς εὑρεθέντας ἀξίους καὶ ἀναγνώστας σφραγίσαι καὶ ναοὺς καθιερῶσαι καὶ πᾶν ἄλλο ἐκκλησιαστικὸν ποιῆσαι λειτούργημα, ὅσον ἀνήκει αὐτῷ, ἄνευ μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, ὀφειλόντων καὶ πάντων τῶν ἐκεῖ ἱερωμένων, μοναχῶν, ἀρχόντων καὶ παντὸς τοῦ χριστωνύμου πληρώματος τὴν προσήκουσαν ἀποδιδόναι τούτῳ τιμὴν καὶ εὐπείθειαν, οὐ μόνον ὡς δικαίῳ καὶ ἐξάρχῳ τῆς ἡμῶν μετριότητος, ἀλλὰ καὶ ὡς ὑπομείναντι δι' αὐτοὺς καὶ διὰ τὴν αὐτῶν σωτηρίαν καὶ τὴν ψυχικὴν προκοπὴν αὐτῶν καὶ ὠφέλειαν κόπους καὶ κινδύνους καὶ κακοπαθείας καὶ ὅσα ἄλλα δυσχερῆ φέρει τὸ πολὺ τῆς ὁδοῦ μῆκος, δι' ἃ δὴ καὶ πολλῶν ἐστιν ἐπαίνων ἄξιος καὶ πολλῆς εὐχαριστείας καὶ ἀπρδοχῆς παρ' αὐτῶν πάντων, καὶ δέχεσθαι καὶ στέργειν πάντα τὰ παρ' αὐτοῦ λεγόμενα ἐπὶ συμφέροντι καὶ ἁγιασμῷ αὐτῶν καὶ ἐκπληροῦν αὐτὰ μετὰ πάσης τῆς προθυμίας καὶ τῆς χαρᾶς τῆς πνευματικῆς, ἐκεῖνα γὰρ αὐτοὺς προτρέψει καὶ παραινέσει καὶ διδάξει ποιεῖν, ὅσα πρὸς ψυχικὴν αὐτῶν ἀφορῶσιν ὠφέλειαν· ταῦτα δὲ πάντα ποιεῖν εἰς αὐτὸν ὀφείλουσιν,. ἕως ἂν ἐκεῖ εὑρίσκηται μετ' αὐτῶν, ὅταν δὲ καὶ ἐνταῦθα ἐπανέρχηται, ὀφείλουσι προπέμψαι τοῦτον μετὰ πολλῆς τῆς τιμῆς καὶ τῆς ἀγάπης καὶ μετὰ συνοδίας ἱκανῆς πρὸς τὸ ἐπανελθεῖν ἀκινδύνως, ὅπως καὶ ἡ μετριότης ἡμῶν, ταῦτα ἀκούσασα καὶ τὴν αὐτῶν ἀποδεξαμένη γνώμην καὶ διάθεσιν, ἣν πρὸς τοὺς πνευματικοὺς διδασκάλους

αὐτῶν δεικνύουσι, ἀποδέξηται πάντας αὐτοὺς καὶ εὔξηται ὡς οἰκεῖα τέκνα ἐν Χριστῷ καὶ γνήσια· ἔτι ἐκχωρεῖ καὶ ἄδειαν δίδωσι ἡ μετριότης ἡμῶν τῷ δηλωθέντι ἱερωτάτῳ ἀρχιεπισκόπῳ Βηθλεέμ, κατὰ κύριον ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, ὡς ἄν, εἴπερ δεήσει αὐτὸν λειτουργῆσαι ἀπερχόμενον ἢ ἐπανερχόμενον σὺν θεῷ ἐν χηρευούσῃ ἐκκλησίᾳ, δι' ἁγιασμὸν αὐτοῦ ἢ διὰ χειροτονίαν ἱερέως ἢ διὰ καθιέρωσιν ναοῦ ἢ διὰ κηδείαν καὶ μνημόσυνον τελευτήσαντος, ποιεῖν τοῦτο ἀνεμποδίστως κατὰ τὴν ἄνωθεν ἐπικρατήσασαν εἰς ταῦτα ἐκκλησιαστικὴν τάξιν τε καὶ παράδοσιν, ἀπεχόμενος ἐν ἅπασι τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν ἔτους ἑξακισχιλιοστοῦ ἐνναχοσιοστοῦ ε' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρός· μηνὶ ἰαννουαρίῳ ἰνδ. ε' †.

## DXV. (6905—1397) ianuario. ind. V.

*Patriarcha regi Poloniae promittit ecclesiarum unionem, monens eum, ut cum Hungariae rege foedere iunctus infidelibus bellum inferat, et commendans ei legatum suum, archiepiscopum Bethlehem.*

† Πιττάκιον εἰς τὸν κράλην πατριαρχικόν †.

† Εὐγενέστατε, ἐνδοξότατε, φρονιμώτατε κράλη καὶ αὐθέντα πάσης Πόλτζης, Λιτβορωσίας, Παραθαλασσίας καὶ ἄλλων πολλῶν τόπων· ἄμποτε νὰ ὑγιαίνῃ ἡ εὐγένειά σου, καὶ νὰ ἔχῃς ὁλόκαλα. τὴν γραφὴν τῆς εὐγενείας σου ἐδεξάμην, καὶ ἐγνώρισα τὴν ἀγάπην, ἣν ἔχεις εἰς ἡμᾶς καὶ εἰς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας, τὸν κῦρ Κυπριανόν· ἀπεδεξάμην οὖν τοῦτο, καὶ θέλω καὶ ἀποδέχομαι, ἵνα ἀπὸ τῆς σήμερον γράφῃ ἡ εὐγένειά σου εἰς ἡμᾶς, τὸ χρῄζεις καὶ ἀποδέχεσαι νὰ γίνεται τοῦτο, ὅτι καὶ ἡμεῖς οὕτω θέλομεν ποιεῖν ἀπὸ τοῦ νῦν εἰς τὴν εὐγένειάν σου. γράφεις περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν, καὶ θέλομεν καὶ ἡμεῖς τοῦτο καὶ ἀποδεχόμεθα, πλὴν οὐκ ἔστι τοῦτο τοῦ παρόντος καιροῦ, μάχη γάρ ἐστι μετὰ τῶν ἀσεβῶν, οἱ δρόμοι κεκλεισμένοι, τὰ πράγματα εἰς ἡμᾶς στενά, καὶ πῶς ἔνι δυνατόν, τούτων ὄντων, νὰ ἐξέλθωσιν ἀφ' ἡμῶν τινες, νὰ συγκροτήσωσιν αὐτόθι σύνοδον· ἐὰν δὲ ὁ θεὸς χορηγήσῃ εἰρήνην, καὶ ἀνοιγῶσιν αἱ στράται,

ἕτοιμοί ἐσμεν ἡμεῖς πρὸς τοῦτο αὐτοκίνητοι· ἔστ' ἂν δὲ τοῦτο γένηται, ἀξιοῦμεν πολλὰ τὴν εὐγένειάν σου, ἵνα ἐν τῷ καιρῷ τῆς ἀνοίξεως ἑνωθῇς καὶ αὐτὸς τῷ εὐγενεστάτῳ ῥηγὶ τῆς Οὐγγρίας, καὶ ἐξέλθῃς καὶ αὐτὸς ὑπὲρ τῶν χριστιανῶν καὶ μετὰ φωσσάτου σου καὶ μετὰ πραγμάτων σου εἰς κατάλυσιν τῶν ἀσεβῶν, τότε τῆς στράτας ἀνοιγείσης γενήσεται μετ' εὐκολίας καὶ ἡ ἕνωσις τῶν ἐκκλησιῶν, καθὼς καὶ ἡ εὐγένειά σου καὶ ἡμεῖς τοῦτο ἀποδεχόμεθα. ὁ δέ γε εὐγενέστατος ῥὴξ τῆς Οὐγγρίας, ἐὰν ὁ θεὸς δῷ, κινηθήσεται ἀπὸ μαρτίου μηνός· μετὰ τοιούτων γὰρ λόγων καὶ καταστάσεων ἐξῆλθεν ἀφ' ἡμῶν, καὶ ἄλλως μηδὲν τὸ ἔχεις. περὶ δὲ τοῦ ἐπισκόπου Λοτζικοῦ, τοῦ Ἰωάννου, ἐπειδὴ διὰ τὴν Γάλιτζαν καὶ δι' ἄλλα τινὰ πέμπομεν αὐτόθι τὸν ἱερώτατον ἀρχιεπίσκοπον Βηθλεὲμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργόν, ἂν θέλῃ καὶ ὁ ἐπίσκοπος Λοτζικοῦ νὰ ἔνι συγκεχωρημένος καὶ νὰ εὕρῃ καὶ ἀγάπην καὶ τιμὴν ἀφ' ἡμῶν οὕτως, ὡς ἂν ἴδῃ αὐτόν, ἂς ἀφήσῃ τὴν Γάλιτζαν, καὶ ἂς παραδώσῃ ταύτην ἡ εὐγένειά σου πρὸς τὸν ἀρχιεπίσκοπον Βηθλεὲμ καὶ τὰ δίκαια αὐτῆς πάντα, αὐτὸς δὲ ἂς ἀπέλθῃ εἰς τὸν μητροπολίτην αὐτοῦ, καὶ ἂς τὸν προσπέσῃ, καὶ ὅταν ἐκεῖνος εὐλογήσῃ αὐτόν, καὶ ἀπολύσῃ τον, νὰ ἔλθῃ ἐδῶ, θέλομεν ποιήσειν καὶ ἡμεῖς εἰς αὐτόν, τὸ ἔνι εἰς ἀποδοχὴν τῆς εὐγενείας σου· εἰ δὲ ὁ ἐπίσκοπος οὐδὲν ἀπολυθῇ παρὰ τοῦ μητροπολίτου αὐτοῦ, εἰ μὲν ἔνι τις ἄλλος αὐτοῦ καλὸς ἄνθρωπος καὶ τῆς εὐγενείας σου καὶ ἄξιος εἰς ἀρχιερωσύνην ἀπὸ μαρτυρίας καλῶν ἀνθρώπων, λαβέτω τοῦτον ὁ ἱερώτατος ἀρχιεπίσκοπος Βηθλεὲμ, καὶ ἐλθέτω ἐνταῦθα μετὰ γραμμάτων σου· εἰ δὲ τοιοῦτον ἄνθρωπον οὐκ ἔχεις αὐτοῦ, ἂς μάθωμεν τοῦτο, καὶ θέλομεν φροντίσειν, ἵνα γένηται ἀπὸ τῶν ἐνταῦθα τοιοῦτος ἄνθρωπος, ὅστις θέλει ἦστεν καὶ εἰς ἀποδοχὴν τοῦ θεοῦ καὶ τῆς εὐγενείας σου καὶ εἰς ἀνάπαυσιν τοῦ θεοῦ καὶ τῆς εὐγενείας σου καὶ εἰς ἀνάπαυσιν τοῦ λαοῦ σου, ὅτι οὐκ ἔνι καλὸν εἰς τὸν λαόν σου, οὐδὲ εἰς τὴν τιμήν σου, νὰ ἔνι ἡ ἐκκλησία τῶν χριστιανῶν χωρὶς ἐπισκόπου, ἁμαρτία ἔνι εἰς τὸν θεὸν πολλή, καὶ θέλω νὰ ἐκβάλω ταύτην ἐγὼ ἀπ' ἐμαυτοῦ. ὁ δὲ ἱερώτατος ἀρχιεπίσκοπος Βηθλεὲμ ἔνι φρόνιμος ἄνθρωπος καὶ εὐλαβὴς καὶ γνώριμος εἰς τὰ αὐτόθι μέρη· ἔρχεται οὖν αὐτόθι οὐ διὰ ὄρεξιν αὐτοῦ, ἀλλὰ διὰ τὰς δουλείας τῆς μεγάλης ἐκκλησίας, ἔνι δὲ καὶ τοῦ βασιλέως τοῦ ἁγίου· ἀξιῶ γοῦν τὴν

εὐγένειάν σου, ἵνα εὕρῃ ἀγάπην καὶ ἀναδοχὴν καὶ συνδρομὴν εἰς τὰ χρήζει ἀπὸ τῆς εὐγενείας σου καὶ ἀπὸ παντὸς τοῦ τόπου σου καὶ τοῦ λαοῦ σου, καὶ νὰ προβοδήσῃς αὐτὸν μετὰ γραμμάτων καὶ μετὰ ἀνθρώπων σου εἰς τὴν δουλείαν αὐτοῦ. ἔχει δὲ καὶ λόγους ἀπὸ τοῦ στόματός μου τινὰς καὶ ὑπὲρ τῆς Γαλίτζης καὶ ὑπὲρ τῆς μεγάλης καὶ ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, ἵνα δείξῃ πρὸς τὴν εὐγένειάν σου, καὶ δέξαι αὐτοὺς ὡς ἡμετέρους λόγους. ἄμποτε νὰ ὑγειαίνῃ ἡ εὐγένειά σου, καὶ νὰ ἦσαι ὁλόκαλα †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ Ἰανουαρίῳ ἰνδ. ε′ †.

## DXVI. (9605—1397) ianuario. ind. V.

*Patriarchae litterae datae ad metropolitam Kioviae de bello cum infidelibus gerendo, de unione ecclesiarum etc.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν ἱερώτατον μητροπολίτην Κυέβου καὶ πάσης Ῥωσίας †.

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. τὰ γράμματα τῆς σῆς ἱερότητος διεκομίσθησαν ἐνταῦθα, καὶ ὑπανεγνώσθησαν συνοδικῶς· ἐγνωρίσαμεν οὖν περὶ πάντων ὧν γράφεις καὶ ἀναφέρεις. περὶ γοῦν τῶν πολλῶν κόπων καὶ περιόδων τῆς σῆς ἱερότητος ὧν ὑφίστασαι καὶ ὑπομένεις, ἐξ ὅτου ἦλθες αὐτόθι, ὑπὲρ τῆς ἐκκλησίας Χριστοῦ καὶ τῶν ὑπὸ σὲ χριστιανῶν, τοῦτό ἐστι τοῦ ἀληθοῦς ποιμένος καὶ ἀρχιερέως καὶ διδασκάλου κατὰ σὲ τὸ καὶ μέχρις αἵματος ἀγωνίζεσθαι ὑπὲρ τοῦ ἐμπιστευθέντος αὐτῷ λογικοῦ ποιμνίου, τοῦτ᾽ ἔστιν ἡ τοῦ κυρίου πρὸς ἅπαντας ἡμᾶς ἐντολή, τοῦτ᾽ ἔστιν ὁ ἀποστολικὸς δρόμος, οὗ ὀφείλει τρέχειν ἕκαστος τῶν ἀρχιερέων, ὑπὲρ τοῦ τοιούτου ἀγῶνος καὶ δρόμου ὁ Χριστὸς ἵσταται στεφανίτης, ὁ μέγας καὶ πρῶτος ἀρχιερεύς, ὃ καὶ εὐχόμεθα, τούτου οὕτως ἔχοντος. καὶ ταύτην σοι τρέχοντι τὴν ὁδὸν καὶ ὁδηγὸς εἶναι καὶ συνεργὸς καὶ τελειωτὴς τοῦ ἔργου τούτου καὶ παροχεὺς τῶν ἀποκειμένων βραβείων τοῖς οὕτω πάσχουσιν· ἀγωνίζου οὖν καὶ εἰς τὸ ἑξῆς περὶ τούτου, ἀδελφὲ ἡμῶν ἀγαπητὲ καὶ συλλειτουργέ. περὶ δὲ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν καὶ τῆς ὁμονοίας αὐτῶν καὶ ἡμῖν τοῦτο δι᾽ εὐχῆς ἐστι

γενέσθαι, πλὴν οὔτε τοῦ παρόντος ἐστὶ καιροῦ τοῦτο, οὔτε ὁ τόπος δίδωσι τοῦτο, εἰς ὃν ἡ σὴ ἱερότης γράφεις συναχθῆναι τὴν σύνοδον, τὸ μὲν γὰρ πρᾶγμα οἰκουμενικὴν ἀπαιτεῖ σύνοδον γενέσθαι, οὐ τοπικήν, ὁ δὲ καιρὸς οὔτε τινὰ τῶν πατριαρχῶν δίδωσιν ἐξελθεῖν τοῦ τόπου αὐτῶν ἢ τοποτηρητὰς αὐτῶν, οὔτε τινὰ τῶν ἡμετέρων ἀρχιερέων, οὐδὲ κἂν ἕνα τῶν ἔγγιστα ἡμῶν, ὁ πόλεμος γὰρ κυκλῶν ἡμᾶς ἐστι, πᾶσαν εἴσοδον ὑμῖν ἀποκλείσας καὶ τὰ μέγιστα καθ' ἡμῶν κινούμενος, ὅπου γε καὶ εἰρήνης οὔσης ἀνεπιτήδειος πάντως ἐστὶν ὁ τῆς Ῥωσίας τόπος πρὸς σύνοδον οἰκουμενικήν· τὸ μὲν γὰρ ἐξ ἡμῶν τῆς πόλεως λέγω λογάδας ἐξελθεῖν αὐτόθι καὶ ἐλθεῖν αὐτόθι καὶ δύσκολόν ἐστι, ἀλλ' ὅμως γενήσεταί ποτε, τὸ δὲ ἐξ Αἰγύπτου μεταγαγεῖν αὐτόθι τινὰς τὸν παρόντα καιρὸν τῶν ἀδυνάτων ἐστί· ἀλλα μᾶλλον εἰ θέλει ὁ εὐγενέστατος κράλης γενναῖον πρᾶγμά τι ποιῆσαι καὶ ἄξιον τῆς τιμῆς αὐτοῦ καὶ τοῦ τόπου καὶ τῆς ἀρχῆς, τὰ μὲν τῆς ἑνώσεως τῶν ἐκκλησιῶν κείσθω τὰ νῦν ἐμποδῶν πολλῶν ὄντων, ἐξελθέτω δὲ νῦν καὶ αὐτὸς ὑπὲρ τῶν χριστιανῶν, καὶ ἑνωθήτω τῷ εὐγενεστάτῳ ῥηγὶ τῆς Οὐγγρίας, καὶ ἀγωνισθήτω καὶ αὐτὸς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ καὶ εἰς κατάλυσιν τῶν ἀσεβῶν, οἵτινες καταπιεῖν ἐπιχειροῦσι πᾶσαν τὴν οἰκουμένην· τούτου γεγονότος ἔχομεν καὶ ἡμεῖς τὴν ἐλευθερίαν ἡμῶν πορεύεσθαι, ὅπου ἂν ἐθέλομεν, καὶ ἄλλους μετακαλεῖν εἰς ἡμᾶς, τότε καὶ ἡ σύνοδος μέλλει γενέσθαι, ὅπου ἂν δόξῃ λυσιτελές. τῷ γοῦν συνεργήσοντι πρὸς τοῦτο τὸν εὐγενέστατον κράλην στέφανοι ἀπὸ θεοῦ καὶ μισθὸς καὶ παρ' ἡμῶν ἔπαινοι καὶ εὐχαριστίαι· τοῦτο γοῦν οὐδεὶς ἕτερος μᾶλλον δύναται τῆς σῆς ἱερότητος ποιῆσαι, ἐπειδή, καθὼς γράφεις, φίλος σου πολύς ἔνι ὁ κράλης· σπούδασον οὖν περὶ αὐτοῦ, ἵνα γένηται πρῶτον. περὶ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Μαυροβλαχίας οὔτε θέλομεν, ἵνα γίνωνται ἐκεῖσε ἄθεσμά τινα καὶ παρὰ κανόνας, οὔτε καιροῦ καλοῦντος εἰς διόρθωσιν αὐτῶν μέλλομεν ἀμελήσειν, νῦν δὲ ἐπλάκη τὸ πρᾶγμα οὕτως, ὅτι καὶ ἡμεῖς ὑπερβαλλόντως λυπούμεθα περὶ αὐτῆς, ὅτι τοσοῦτον ἔνι καιρὸν ἀνεπισκόπητος, καὶ οὐδὲ θεραπείαν ἔχει τὸ πρᾶγμα, εἰ μήπου ἐξαρχικῶς, ἄχρι ἐὰν ζῇ ὁ γνήσιος μητροπολίτης αὐτῆς, ὁ κῦρ Ἱερεμίας· εἰ γάρ τι ἄλλο παρὰ τοῦτο γένηται, εἰς τοὺς ἱεροὺς προσκρούσει κανόνας ὁ τοῦτο διαπραξάμενος. περὶ δὲ τῆς ἁγιωτάτης μητροπόλεως Γαλίτζης οἶδεν ἡ σὴ ἱερότης, πῶς προεβιβάσθη αὕτη καὶ ἐτιμήθη εἰς μητρόπολιν, καὶ τίνα γράμματα

ἐγράφησαν περὶ αὐτῆς εἰς τὸν Ῥωσίας, κῦρ Ἀλέξιον ἐκεῖνον, παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κῦρ Φιλοθέου, οὔσα τῆς σῆς ἱερότητος χειροτονηθείσης εἰς ἀρχιερέα, ἃ δὴ πάντα καὶ ἐν τοῖς ἱεροῖς τῆς ἐκκλησίας κώδιξι κατεστρώθησαν διὰ τὸ ἀνεξάλειπτον. τούτων τοιγαροῦν οὕτως ἐχόντων εἰς τὴν ἡμῶν μετριότητα ἡ φροντὶς αὐτῆς ἐστι καὶ εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ θέλομεν καὶ περὶ γνησίου ἀρχιερέως αὐτῆς φροντίσειν, ὅταν ὁ θεὸς δῷ καὶ τὰ πράγματα· τέως δ' ὅπερ ἐγένετο νῦν παρὰ τῆς σῆς ἱερότητος εἰς αὐτήν, ὡς γράφεις, ὅτι κεχειροτόνηκας ἕνα τῶν ἐπισκόπων αὐτῆς, οὐ καλῶς ἐγένετο. περὶ δὲ τοῦ ἐπισκόπου Λουτζικοῦ, τοῦ Βάβα, γίνωσκε, ὅτι οὔτε ἐπράχθη τι πλέον περὶ αὐτοῦ, οὔτε πραχθήσεται, εἰ μὴ ὅσον οἶδας, ἔστ' ἂν ἀποδόσηται τὰ ἐγκλήματα τὰ κατ' αὐτοῦ λαληθέντα, καὶ γράφῃ περὶ τούτου ἡ σὴ ἱερότης, καὶ πληροφορήσῃς εἰς ἡμᾶς ἅπαντα τὰ κατ' αὐτόν, ἔχεις δὲ τὰ περὶ αὐτοῦ ἐξετάσαι νῦν μᾶλλον ἢ πρότερον, ὄντος αὐτόθι καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Βολοδιμοίρου. ὁ δὲ ἱερώτατος ἀρχιεπίσκοπος Βηθλεέμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότηοος καὶ συλλειτουργός, ἐξελέγη καὶ ἀπεστάλη αὐτόθι καὶ δι' ἅπερ ἄλλα ἀνετέθησαν παρὰ τῆς ἡμῶν μετριότητος πρὸς αὐτόν, μετὰ δὲ τούτων, ἵνα ἴδῃ καὶ ἐπισκέφηται καὶ τὰς ῥηθείσας ἁγιωτάτας μητροπόλεις, τὴν Μαυροβλαχίαν καὶ τὴν Γάλιτζαν, ὡς ἔξαρχος καὶ δικαίῳ ἡμέτερος, καὶ τὰ κακῶς γινόμενα ἐν αὐταῖς διορθώσεται, καὶ τὰ καλῶς γινόμενα πάλιν ἐπιστηρίξει, ἀκούομεν γὰρ πολλὰ γινόμενα ἐν αὐταῖς πνευματικῆς δεόμενα διορθώσεως, ὡς καὶ ἡ σὴ ἔγραφεν ἱερότης, οὐκ ἐδυνήθημεν δέ, τό γε νῦν ἔχον, ἄλλο τι ποιῆσαι, εἰ μὴ στεῖλαι τοῦτον αὐτόθι· ἔρχεται γοῦν καὶ δι' ἄλλα μέν, ἃ μέλλεις μαθεῖν ἀπ' αὐτοῦ, ἃ καὶ δέξαι ὡς λόγους ἡμετέρους, ἀλλὰ καὶ διὰ τὴν τῶν ἐκκλησιῶν ἐπίσκεψιν· τοῦτον οἶδε μὲν ἡ σὴ ἱερότης, ὅτι καὶ φίλος σός ἐνι καὶ ἐπαινέτης σου, ἀλλὰ πληροφορήθητι τοῦτο καὶ ἐξ ἐμοῦ, πολλὰ γὰρ σὲ ἀγαπᾷ καὶ ἐπαινεῖ καὶ θαυμάζεται· ὡς γοῦν φίλος σὸς καὶ ἰδικός μου καὶ καλὸς καὶ ἐπαινετὸς καὶ τοῦ θεοῦ ἄνθρωπος καὶ προθύμως ἐκδουλεύων τῇ ἐκκλησίᾳ Χριστοῦ, ὅπου ἂν προσταγῇ, τυχέτω τῆς προσηκούσης ἀγάπης καὶ παρὰ τῆς σῆς ἱερότητος, καὶ σύνδραμε αὐτῷ, εἰς ὅσα ἂν ἐθέλει, καὶ ὅπου νῦν δεηθῇ τῆς σῆς ἱερότητος, εἴτε διὰ γραμμάτων σου, εἴτε δι' ἀνθρώπων σου, εἴτε εἰς τὸν εὐγενέστατον κράλην, εἴτε

καὶ ἀλλαχοῦ, καὶ θέλω ἀποδέξασθαι τοῦτο ὑπερβαλλόντως· τὸ γὰρ γεγονὸς εἰς αὐτὸν εἰς τὴν ἡμῶν μετριότητα διαβαίνει. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰαννουαρίῳ ἰνδ. ε΄ †.

## DXVII. Sine anno.

*Synodus ecclesias Sidae et Attaliae in unam iungit ecclesiam.*

† Πιττάκιον πατριαρχικὸν εἰς τὸν Μυρέων ὑπὲρ τοῦ Ἀτταλείας †.

† Ἱερώτατε μητροπολῖτα Μύρων, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λυκίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν πρόνοιαν διη(νε)κῶς ποιουμένη τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν καὶ μάλιστα τῶν ἐν μέσοις τοῖς ἔθνεσι κατοικούντων (οὗτοι γὰρ καὶ πλείονος δέονται βοηθείας) ἐπεὶ εὗρε τὴν ἁγιωτάτην τῆς Σίδης μητρόπολιν χηρεύουσαν ἐκ πολλοῦ καὶ τοὺς ἐν αὐτῇ ὀλίγους χριστιανοὺς διδασκαλίας πνευματικῆς στερουμένους, διεσκέψατο συνοδικῶς, γνήσιον αὖθις ποιμένα ἐγκαταστῆσαι αὐτοῖς καὶ μή, διότι τῶν χριστιανῶν ὀλίγοι εἰσί, παραβλέψαι καὶ τούτους ἀπωλείας δοθῆναι βυθῷ, οὐ γάρ ἐστιν ὅλος ὁ κόσμος ἀντάξιος ὑπὲρ μιᾶς ψυχῆς ἀνθρώπου, ὁ κύριος καὶ θεὸς ἡμῶν εἴρηκεν ἐν εὐαγγελίοις. ἐπεὶ δὲ αὕτη μόνη ἡ Σίδη καὶ τὰ περὶ αὐτὴν (οὐκ) ἐκρίθησαν συνοδικῶς ἱκαναὶ πρὸς διατροφὴν καὶ κυβέρνησιν ἀρχιερέως καὶ τῶν μετ' αὐτοῦ ψυχῶν, ἐφάνη καλὸν τῇ ἡμῶν μετριότητι καὶ τῇ ὑπ' αὐτὴν θείᾳ καὶ ἱερᾷ συνόδῳ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας, τοῦ Μονεμβασίας, τοῦ Κορίνθου, τοῦ Παλαιῶν Πατρῶν, τοῦ Σεβερίνου καὶ τοῦ Μηδείας, καὶ ἡνώθησαν αἱ δύο ἐκκλησίαι ἄποροι καὶ ἀμφότεραι, αὕτη τε ἡ Σίδη καὶ ἡ Ἀττάλεια, καὶ μία ἐκκλησία καὶ ἐνορία μία ἐγένοντο καὶ ἀμφότεραι, ὡς ἂν ὁ χειροτονούμενος μητροπολίτης Ἀτταλείας ἔχῃ καὶ τὴν Σίδην ἀναποσπάστως, ὥσπερ τὰς ἐνορίας αὐτῆς, καὶ ὁ χειροτονούμενος Σίδης ἔχῃ καὶ τὴν Ἀττάλειαν ὁμοίως· τούτων οὕτω γεγενημένων καὶ ἀποκαταστάντων, γνήσιος μητροπολίτης Ἀτταλείας κεχειροτόνηται, ὅστις καὶ καταλαμβάνει αὐτόθι, ὁ κῦρ Θεοφύλακτος, ἐν ἁγίῳ πνεύματι ἀγαπη-

τὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἔχων καὶ τὴν ἁγιωτάτην τῆς Σίδης μητρόπολιν εἰς οἰκείαν κυβέρνησιν, ὥσπερ αὐτὴν τὴν Ἀττάλειαν καὶ τὰ περὶ αὐτήν. ἐπεὶ γοῦν ἔτυχεν ἡ σὴ ἱερότης λαβοῦσα τὴν Ἀττάλειαν κατ' ἐπίδοσιν ἀπὸ τῆς ἡμῶν μετριότητος πρό τινος ἤδη καιροῦ, γράφομέν σοι περὶ τούτου, ὅπως γνωρίσας τὸ γεγονὸς ἀποστῇς τῆς ἐκκλησίας ταύτης τῆς Ἀτταλείας καὶ τῶν δικαίων αὐτῆς πάντων, καὶ παραλάβῃ αὐτὴν ὁ γνήσιος μητροπολίτης αὐτῆς, καὶ ἐγκαθιδρυθῇ αὐτῇ διὰ τοῦ ἐντιμοτάτου διδασκάλου, τοῦ ἀποστόλου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, διακόνου τοῦ Βαρυκεφάλου, ὃς καταλαμβάνει αὐτόθι μετὰ τοῦ ἀρχιερέως· μηδὲν γοῦν ξενισθῇς, πῶς τὸ γεγονὸς προπέρυσι πρὸς τὴν σὴν ἱερότητα, ἵνα κατέχῃς αὐτὴν ἐπιδόσεως λόγῳ, μέχρις ἂν ζῇς, κατελύθη νῦν παρ' ἡμῶν σοῦ ζῶντος, καὶ γνήσιος Ἀτταλείας κεχειροτόνηται· ἔθος γὰρ τῇ ἐκκλησίᾳ Χριστοῦ τοῦτο, ἵνα ὁπόταν γνήσιος μητροπολίτης ζητηθῇ γενέσθαι εἰς τὰς κατεχομένας ἐκκλησίας ἐπιδόσεως λόγῳ, μὴ ἐμποδίζεσθαι διὰ τοῦτο, ἀλλὰ γίνεσθαι. τοῦτο γοῦν γέγονεν νῦν παρ' ἡμῶν, καὶ μὴ μόνον μηδὲν λυπηθῇς περὶ τούτου, πῶς ἐγένετο, χωρὶς γὰρ τοῦ γνήσιον ἀποκαταστῆναι Ἀτταλείας μητροπολίτην οὐκ ἂν ἀφῃροῦ ταύτην, ἀλλὰ καὶ ἀναδέξου τὸν ἀρχιερέα ὡς ἀδελφὸν ἡμῶν καὶ συλλειτουργόν, ἐάνπερ δεήσῃ ἀλλήλους ἰδεῖν, καὶ συνέργησον πρὸς τὸ λαβεῖν αὐτὸν τὰς ἐκκλησίας αὐτοῦ, ὅσον δύνασαι, καὶ γράφον καὶ αὐτὸς καὶ μήνυσον, ὅπου οἶδας ὅτι συμφέρει δι' αὐτόν· ὡς γὰρ προκάτοχος αὐτόθι ἀρχιερεὺς οἶδας καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν καὶ τὰς γνώμας αὐτῶν, ἃς ἀναγκαῖον μαθεῖν τὸν ἀρχιερέα ἀπὸ σοῦ, ὅπως γινώσκῃ, πῶς ἵνα χρήσηται αὐτοῖς· τοῦτο ἐὰν γένηται παρὰ τῆς σῆς ἱερότητος, καὶ οὐ μόνον οὐδὲν ἐναντιωθῇς τῷ ἀρχιερεῖ τούτῳ, ἀλλὰ καὶ συνδράμῃς καὶ συνεργήσῃς αὐτῷ κατὰ τὸ δυνατόν, καὶ μάθωμεν τοῦτο, ἔχῃς ἡμᾶς εὐηκόους καὶ συνεργοὺς εἰς ἅπερ ἂν δεηθῇς ἡμῶν· εἰ δὲ μή, γίνωσκε, ὅτι εἰς τοὺς θείους καὶ ἱεροὺς κανόνας προσκρούσεις, ἐάν τι πρὸς τὸν ἀρχιερέα λυπηρὸν διαπράξῃ, ἢ τῆς ἐκκλησίας αὐτοῦ αὐτίκα οὐκ ἀποστῇς, ἢ τῶν δικαίων αὐτοῦ τινος τοῦτον στερήσῃς, μήποτε ἀπὸ τούτου ἀπολέσῃς μάλιστα καὶ ὅπερ ἔχεις. ποίησον, καθὼς παρακελευόμεθα, ἵνα ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

## DXVIII. 6905 (1396—1397)

*Synodus episcopatus Manae et Zemeni restitui iubet metropoli Corinthi.*

† Πρᾶξις τοῦ Κορίνθου †.

† Ὁ ἱερώτατος μητροπολίτης Κορίνθου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Πελοποννήσου, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Θεόγνωστος, συνεδριάζων τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἅμα τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Κυζίκου, τῷ Νικομηδείας, τῷ Μονεμβασίας, τῷ Παλαιῶν Πατρῶν, τῷ Ἀτταλείας καὶ τῷ Σεβερίνου, τοιάνδε κεκίνηκεν ὑπόθεσιν περὶ τῶν ἐνοριακῶν δικαίων αὐτοῦ· ὡς ἐπισκοπὰς δύο, τήν τε Μάνην καὶ τὴν Ζεμενᾶν, ἀνηκούσας τῇ κατ' αὐτὸν ἐκκλησίᾳ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς, καθὼς ἐν τοῖς ἱεροῖς κώδιξι τῆς μεγάλης ἐκκλησίας εὑρισκόμεναι φαίνονται, κατέχουσι ταύτας οἱ κατὰ καιροὺς χειροτονούμενοι μητροπολῖται Μονεμβασίας, ὥσπερ οὐκ ἀρκούμενοι τῷ τῆς μητροπόλεως ἀξιώματι, ᾧ τετίμηται ἡ κατ' αὐτοὺς ἐκκλησία· ἡ γὰρ Μονεμβασία ἐπισκοπὴ μὲν τοῦ Κορίνθου τὸ πρότερον ἦν, τετίμητο δὲ εἰς μητρόπολιν, αἰχμαλωσίᾳ λατινικῇ περιπεσούσης τῆς μητροπόλεως, περὶ οὗ λόγος οὐδεὶς τούτῳ τῶν θείων καὶ ἱερῶν κανόνων περὶ τούτου διακελευομένων. ἡ ζήτησις δὲ περὶ τῶν ἀνηκόντων ταύτῃ ἐπισκοπῶν, ὃ δὴ καὶ ἄλλοτε μὲν ἐβουλήθη κινῆσαι, κεκώλυται δὲ τῷ μὴ παρεῖναι ἐνταῦθα τὸν πρὸ τοῦ μητροπολίτου Μονεμβασίας, ἡνίκα οὗτος κεχειροτόνηται· ἐπεὶ δὲ ὁ μὲν ἐξ ἡμῶν ἐγένετο, ἀποκατέστη δὲ ἕτερος μητροπολίτης Μονεμβασίας, ὁ κῦρ Ἀκάκιος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κινεῖ τὸν λόγον ἐπὶ τούτου, ζητῶν ἢ ἀποστῆναι τοῦτον τῶν εἰρημένων ἐπισκοπῶν, ὡς μὴ ὑποκειμένων αὐτῷ, ἢ εἴπερ ἔχει τι πρὸς ἀπολογίαν, κινῆσαι τοῦτο συνοδικῶς, ἐπειδὴ καὶ ἡ κατ' αὐτὸν ἐκκλησία, θεοῦ χάριτι τῆς λατινικῆς δουλείας ἀπαλλαγεῖσα καὶ πρὸς τὸν περιπόθητον αὐτάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος ἐπανελθοῦσα, ὥσπερ ηὐχόμεθα, καὶ τοῖς Ῥωμαίοις αὖθις ἡμῖν, ὡς δίκαιον ἦν, ἀποκαταστᾶσα παρέχει τούτῳ ὡς οἰκείῳ ἀρχιερεῖ νῦν μᾶλλον ἢ πρότερον ἀνακαλεῖσθαι τὰ ἑαυτῆς, καὶ ὅτι καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες πολλὴν ἐπάγουσι μέμψιν τοῖς ἀμελοῦσι τῶν ἀνηκόντων ταῖς ἑαυτῶν καθέδραις καὶ

μητροπόλεσι. ταῦτα εἰπὼν καὶ τοὺς θείους καὶ ἱεροὺς κανόνας προυκόμισεν ὑπαναγνωσθῆναι, τόν τε κα' τῆς ἐν Καρθαγένῃ τὸν περὶ τῶν ἀμελούντων διαλαμβάνοντα τῶν τόπων τῶν ἀνηκόντων τῇ ἑαυτῶν μητροπόλει· τὸν ζ' τῆς πρώτης συνόδου τὸν οὕτω διαγορεύοντα· „ἐπειδὴ συνήθεια κεκράτηκε καὶ παράδοσις ἀρχαία, τὸν ἐν Αἰλίᾳ ἐπίσκοπον τιμᾶσθαι, ἐχέτω τὴν ἀκολουθίαν τῆς τιμῆς τῇ μητροπόλει, σωζομένου τοῦ οἰκείου ἀξιώματος·" τὸν η' τῆς γ' συνόδου τὸν σώζεσθαι διαγορεύοντα ἑκάστῃ ἐπαρχίᾳ καθαρὰ καὶ ἀβίαστα τὰ αὐτῇ προσόντα δίκαια ἐξ ἀρχῆς καὶ ἄνωθεν κατὰ τὸ πάλαι κρατῆσαν ἔθος καὶ τὰ ἑξῆς· καὶ τὸν ιβ' τῆς δ' συνόδου, ὅς μετά τινα εὐθὺς ἐπάγει· „ὅσαι δὲ ἤδη πόλεις διὰ γραμμάτων βασιλικῶν τῷ τῆς μητροπόλεως ἐτιμήθησαν ὀνόματι, μόνης ἀπολαυσάτωσαν τῆς τιμῆς καὶ ὁ τὴν ἐκκλησίαν αὐτῆς διοικῶν ἐπίσκοπος, σωζομένων δηλονότι τῇ κατ' ἀλήθειαν μητροπόλει τῶν οἰκείων δικαίων". πρὸς ταῦτα τοίνυν καὶ ὁ ἱερώτατος μητροπολίτης Μονεμβασίας ἀπολογήσασθαι προτραπείς, τὴν ἄγνοιαν προεβάλετο τῶν δικαιωμάτων ὧν ἔχειν εἰκὸς ἐπὶ τούτοις τὴν κατ' αὐτὸν ἁγιωτάτην μητρόπολιν, νεωστὶ χειροτονηθείς, ἠξίου δὲ μάλιστα καὶ ὡς εἴ τι τοιοῦτον προῄδει, οὐκ ἂν κατεδέχετο τὴν τοιαύτην χειροτονίαν, ἀλλὰ σωζομένων πάντως τῶν δικαίων αὐτῆς, ἃ καὶ οἱ πρὸ αὐτοῦ πάντες εἶχον ἀρχιερεῖς. ἥ τε σύνοδος ἐψηφίσατο τοῦτον, καὶ αὐτὸς τὸ ψηφισθὲν κατεδέξατο, ὧν ἄλλως νῦν γινομένων οὐκ ἂν ᾔδει τοῦτον ἡ Πελοπόννησος. ἦν οὖν ἀναγκαῖον ἐντεῦθεν προκομισθῆναί τι πρὸς ἀνάμνησιν ἔγγραφον τῶν προβάντων· ἐπεὶ γοῦν ὁ τιμιώτατος μέγας χαρτοφύλαξ κώδικα προυκόμισε παλαιόν, ἐν ᾧ κατὰ τὸ τότε ἐπικρατοῦν ἔθος αἱ καθημεριναὶ συνοδικαὶ πράξεις ἐσημειοῦντο, καὶ τοῦτον ἀναπτύξας εὗρεν ἐκτεθεμένην εἰς πλάτος τὴν πρώτην πρᾶξιν ἐκείνην, δι' ἧς ὁ τότε Μονεμβασίας ἐπίσκοπος τετίμητο εἰς μητροπολίτην, καὶ τὰς ῥηθείσας ἐπισκοπὰς τῆς Κορίνθου βασιλικῷ θεσπίσματι ἀνελάβετο, ἡ μετριότης ἡμῶν ὑπαναγνωσθῆναι συνοδικῶς παρεκελεύσατο εἰς ἐπήκοον, ἥτις καὶ διεξῄει, ὡς τῆς ἁγιωτάτης μητροπόλεως Κορίνθου πολιορκίᾳ περιπεσούσης καὶ τῶν ἐποίκων αὐτῆς πανταχόσε διασπαρέντων, ὁ τότε Μονεμβασίας ἐπίσκοπος (ἐπισκοπὴ γὰρ αὕτη τῆς Κορίνθου τὸ πρότερον ἦν) σπουδὴν ποιησάμενος πᾶσαν, οὐ μόνον τινὰς τῶν Κορινθίων ἐπανεσώσατο καὶ κατῴκισεν αὐτοὺς ἐν τῇ Πελοποννήσῳ, ἀλλὰ καὶ πολλοὺς ἄλλους τῶν περιοίκων μετακαλεσά-

μενος ἐγκατέσπειρε ταύτῃ, καὶ οὕτως αὖθις τὴν Πελοπόννησον κατῳκίσατο. τοῦτον ἀμειβόμενος τῆς καλοκαγαθίας ὁ τότε τὰ τῆς βασιλείας σκῆπτρα διέπων, μὴ μόνον δι' αὐτὸν καὶ τοὺς ἐφεξῆς ἐπισκόπους τοὺς μετ' αὐτὸν τῷ τῶν μητροπολιτῶν ἐτίμησεν ἀξιώματι ἐν τῷ τὴν Μονεμβασίαν ἐπισκοπὴν οὖσαν ἀποκαταστῆσαι αὐτὴν εἰς μητρόπολιν, ἀλλὰ καὶ ἄλλας δύο ἐπισκοπὰς τῆς μητροπόλεως ἀποσπάσας Κορίνθου, ἔργον γεγονυίας τῆς λατινικῆς δεξιᾶς, ὡς εἴρηται, προσένειμε τούτῳ καὶ προσεκύρωσεν, ὃ δὴ καὶ ἡ σύνοδος ὕστερον ἐπεκύρωσεν, ἐπιψηφίζουσα περὶ τούτου καὶ τὸν οὕτω ταῦτα διαταξάμενον αὐτοκράτορα. τούτων τοιγαροῦν οὕτως ἀναφανέντων καὶ ἐπὶ τοιαύταις αἰτίαις διαπραχθέντων, ἐπεὶ τὸ μὲν εἰς μητρόπολιν τιμηθῆναι πόλιν τινὰ βασιλικῷ προστάγματι δεδομένον ἐστὶ παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων, ὡς εἴρηται, φυλαττομένων ἀεὶ τῶν δικαίων τῇ ἐξ ἀρχῆς μητροπόλει, τὸ δὲ καὶ ἐπισκοπὰς αὐτῆς ἀποσπάσαι καὶ προσκυρῶσαι τῇ καινισθείσῃ πόλει παρὰ πᾶσαν κανονικὴν τυγχάνει καὶ νόμιμον παρατήρησιν (οὐδὲ γὰρ ἔχει τις εἰπεῖν τοῦτο οἰκονομίαν· φησὶ γὰρ ὁ μέγας Κύριλλος· „εἴ τις τῶν δοκούντων τοῖς θεοφόροις πατράσι σαλεύει τι, οὐκέτι τοῦτο οἰκονομίαν κλητέον, ἀλλὰ παράβασιν καὶ προδοσίαν δόγματος καὶ περὶ τὸ θεῖον ἀσέβειαν.“ καὶ ὁ κανὼν δ' τῆς ἐν Καθαργένῃ κωλύων τοὺς κατὰ τὴν οἰκείαν ὄρεξιν τὰ πάντα ποιοῦντάς φησι· „τὰ μὲν νεωστὶ ἀνενεχθέντα ἀμαυρὰ ὄντα καὶ καθόλου λανθάνοντα σκοπούμενα παρ' ἡμῶν τυπωθήσεται.“ περὶ δὲ ὧν φανερώτατα ἡ θεία γραφὴ ἐθέσπισεν, οὐ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἕπεσθαι) ἦν μὲν πάντως ἀκόλουθον, διαγνῶναι τὴν ἡμῶν μετριότητα, ἐπανασωθῆναι τῇ ἁγιωτάτῃ μητροπόλει τῆς Κορίνθου τὰ ἑαυτῆς ἀπ' αὐτῆς ἤδη τῆς σήμερον· ἧ γὰρ ἐλευθέρας οὔσης αὐτῆς ἀπεσπάσθησαν αἱ τοιαῦται ἐπισκοπαί, καὶ προσετέθησαν τῇ Μονεμβασίᾳ, ἐπισκοπῇ αὐτῆς οὔσῃ, καὶ δεῖ πάντως ὡς παρὰ κανόνας ὂν τὴν κατάλυσιν ἀναδέξασθαι, ἢ μετὰ τὴν πολιορκίαν αὐτῆς πάντα προέβη, καὶ δεῖ καὶ οὕτως ἐπανασωθῆναι ταύτῃ τὰ ἑαυτῆς, ἐπειδὴ ἐλευθερίας ἔτυχεν· οὐ γὰρ ἐμποδὼν τῷ Κορίνθου πρὸς ἐπανάληψιν τῶν δικαίων τῆς ἐκκλησίας αὐτοῦ ἡ χρονία παραδρομή, πρῶτον μέν, ὅτι ὁ νόμος διακελεύεται τὸ ἐξ ἀρχῆς ἀνυπόστατον μὴ βεβαιοῦσθαι διὰ τῆς χρονίας παραδρομῆς, καὶ ὅτι τὰ κακῶς κριθέντα καὶ τυπωθέντα οὔτε χρόνος, οὔτε νόμος, οὔτε συνήθεια βεβαιοῖ, ἀλλὰ καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες

διαγορεύουσιν, ὅτι πλημμελῶς δέ τινος ἐπισκόπου τὰ τῆς ἐκκλησίας αὐτοῦ διοικήσαντος καὶ ἑτέροις τῆς ἰδίας ἐνορίας παραχωρήσαντος, εἰ καὶ γράμματα προύβησαν, οὐκ ἀποκλεισθήσεται ὁ μετὰ τοῦτον χειροτονηθησόμενος ἀναζητεῖν τῆς αὐτοῦ ἐκκλησίας τὰ δίκαια, κἂν πολὺς ὁ μεταξὺ παρελθὼν εἴη χρόνος, εἰ δὲ καὶ βασιλικῇ διατάξει εἴποι τις αὐτὸ γεγενῆσθαι καὶ διαγνώμῃ συνοδικῇ· ἀλλ' ἀπολυμένης πάντως τῆς Κορίνθου ταῦτα ἐγένοντο, ἧς ἐπανελθούσης τὴν σήμερον τῇ τῶν Ῥωμαίων ἀρχῇ καὶ τὴν ἑαυτῆς ἐλευθερίαν ἀπολαυούσης, ἀναγκάζεται πάντως καὶ ὁ Κορίνθου, τῷ ὄντι νῦν ἀπολαβὼν τὴν ἑαυτοῦ γνησίαν μητρόπολιν, ὡς δὲ καὶ αὐτὸ τοὔνομα τὸ καλεῖσθαι Κορίνθου, τὸ πρότερον γὰρ ψιλὸν ὄνομα ἦν, πραγμάτων ἐστερημένον ἀνακαλεῖσθαι τὰ ἑαυτῆς ἀφ' ὧν ταῦτα κατέχονται, ὥσπερ οἱ ἀπὸ αἰχμαλωσίας οἴκαδε ἐπανασωθέντες. ἐπεὶ δὲ ὁ ἱερώτατος μητροπολίτης Κορίνθου καὶ ὑπέρτιμος τὸ φιλάδελφον κἀνταῦθα ἐπιδεικνύμενος καὶ εἰρηνικὸν ἑαυτοῦ, τὸ μὲν διὰ τὴν τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ θεραπείαν, τὸ δὲ καὶ διὰ τὴν οἰκείαν τιμήν, ἵνα μὴ δόξῃ τισὶν ἄλλο τι τὸ χθὲς αὐτὸν ψηφίσασθαι, τὸν Μονεμβασίας ἄνθρωπον ἐκ πολλοῦ πρὸς τοῦτο ἁρμοδιώτατον, καὶ μηδὲν εἰπεῖν περὶ τούτου, σήμερον δὲ γυμνοῦν αὐτὸν ἀφ' ὧν εἶχον καὶ οἱ πρὸ αὐτοῦ, ἐξὸν μᾶλλον πλείω αὐτὸν χαρίσασθαι, γνώμην εἰσήνεγκεν, ἥτις δὴ καὶ τῇ ἡμῶν μετριότητι ἤρεσε καὶ τῇ ὑπ' αὐτὴν θείᾳ καὶ ἱερᾷ τῶν ἀρχιερέων συνόδῳ, ἣν δὴ καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ καὶ βασιλεὺς ὑπεραπεδέξατο καὶ ἐπῄνεσεν, ὡς ἑκατέρῳ τῶν ἀρχιερέων τὸ ἀτάραχον καὶ τὴν τιμὴν συντηροῦσαν, μᾶλλον δὲ καὶ αὐτὸς τοιάνδε τινὰ γνώμην ἔχειν διωρίσατο καὶ πρὸ τοῦ τὸν Κορίνθου ταύτην εἰπεῖν, ᾗ δὴ γνώμῃ ἐπανεπαύσατο καὶ ὁ ἱερώτατος μητροπολίτης Μονεμβασίας, ἵνα μεχρις ἂν ζῇ ὁ δηλωθεὶς μητροπολίτης Μονεμβασίας, κῦρ Ἀκάκιος, ἔχῃ καὶ καρπίζηται καὶ νέμηται τὰς τοιαύτας δύο ἐπισκοπάς, ὡς καὶ ὁ πρὸ αὐτοῦ, τελευτήσαντος δὲ αὐτοῦ ἐπαναστρέφωνται αὗται πρὸς τὴν ἁγιωτάτην τῆς Κορίνθου μητρόπολιν, καὶ ἀναπόσπαστοι διαμένωσιν ἀπ' αὐτῆς εἰς αἰῶνα τὸν ἅπαντα, ὡς ἀνήκουσαι ταύτῃ τὸ ἀπ' ἀρχῆς. καὶ ἡ μετριότης ἡμῶν, ἐπισφραγίζουσα τὰ εἰρημένα διὰ τῆς παρούσης αὐτῆς συνοδικῆς πράξεως, ἅτε κατὰ γνώμην ὄντα καὶ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι καὶ τῆς φιλίας ἐξεχόμενα τῆς τοῖς ἀρχιερεῦσιν ὀφειλομένης, τὸ ἀτάραχόν τε

ἀλλήλων συντηροῦντα καὶ κόσμιον, παρακελεύεται τὸ στέργον ἔχειν τὰ δεδογμένα ταῦτα καὶ ἐρρωμένον καὶ ἀκατάλυτον, καὶ μήτε τὸν ἱερώτατον μητροπολίτην Κορίνθου πρὸ τῆς τελευτῆς τοῦ Μονεμβασίας ἐπιχειρῆσαι ἀποσπάσαι τὰς τοιαύτας ἐπισκοπὰς ἀπὸ τῆς Μονεμβασίας, μήτε τοὺς μετ' αὐτὸν χειροτονηθησομένους, εἰ πρὸς μείζονα οὗτος ἀναχθείη τιμήν, ἀλλ' ὁ μὲν χρήσεται ταῖς τοιαύταις ἐπισκοπαῖς καὶ τὰ ἱερατικὰ πάντα διενεργήσει τὰ ἐν αὐταῖς ὁ Μονεμβασίας, ἄχρις ἐν τοῖς ζῶσι διατελεῖ, τελευτήσαντος δὲ αὐτοῦ ἢ πρὸς μείζονα ἀναχθέντος ἀξίαν τῇ ἁγιωτάτῃ μητροπόλει Κορίνθου αὗται προσκυρωθήσονται, ὡς τὰ πρότερον, καὶ τῷ κατὰ καιροὺς γενομένῳ μητροπολίτῃ Κορίνθου ἔσονται εἰς περιποίησιν καὶ διανομήν, καὶ οὔτε Κορίνθου χειροτονηθήσεται πώποτε ἄνευ τῆς δεσποτείας αὐτῶν, οὔτε Μονεμβασίας ἀναζητήσει αὐτὰς ἐξ αὐτοῦ. ὥστε δὲ τῶν ἐνταῦθα τυπωθέντων ἕκαστον ἀδιάσειστον εἶναι, καὶ βάρος ἀφορισμοῦ φρικώδους ἐπανατείνεται ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος, ἀπολυθέντος εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐν ἔτει ,ς ἐννακοσιοστῷ ε' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ἀντώνιος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ὁρισμῷ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὑπέγραψαν οὗτοι †. † Ὁ ταπεινὸς μητροπολίτης Νικομηδείας καὶ ὑπέρτιμος Μακάριος †. † Ὁ ταπεινὸς μητροπολίτης Μονεμβασίας καὶ ὑπέρτιμος Ἀκάκιος †. † Ὁ ταπεινὸς μητροπολίτης Παλαιῶν Πατρῶν Νίφων †. † Ὁ ταπεινὸς μητροπολίτης Οὐγγροβλαχίας Ἀθανάσιος †. † Ὁ ταπεινὸς μητροπολίτης Ἀτταλείας ὑπέρτιμος καὶ πρόεδρος Σίδης Θεοφύλακτος †.

† Εἶχε καὶ ὄπισθεν· θείῳ ὁρισμῷ αὐτοῦ ὑπογράφομεν καὶ ἡμεῖς·

† Ὁ μέγας σκευοφύλαξ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας διάκονος Δημήτριος

ὁ Βαλσαμών †. † Ὁ μέγας χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας καὶ ἀρχιδιάκονος Ἰωάννης ὁ Ὀλόβωλος †. † Ὁ πρωτέκδικος τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας Ἰωάννης ὁ Συρόπουλος †.

## XII.

† Μηνὶ μαΐῳ, ιζ', ἰνδ. ε' ἐδόθησαν αἱ μαρτυρίαι τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ ὁσιωτάτου ἐν μοναχοῖς κῦρ Καλλίστου †.

† Διονύσιος, ἱερομόναχος καὶ πνευματικὸς πατήρ, μαρτυρῶ τὸν ἐν μοναχοῖς ὁσιώτατον κῦρ Κάλλιστον, πνευματικὸς ὢν αὐτοῦ ἐξ ἀρχῆς, ἄξιον Χριστοῦ χάριτι πάσης ἱερωσύνης †.

† Μακάριος, ἱερομόναχος καὶ πνευματικὸς πατήρ, μαρτυρῶ τὸν ἐν μοναχοῖς ὁσιώτατον κῦρ Κάλλιστον ἄξιον πάσης ἱερωσύνης †.

† Ὁ ἐλάχιστος ἐν ἱερομονάχοις Ἰωάσαφ μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Μητροφάνης μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Μακάριος μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Θεοφάνης μαρτυρῶν ὑπέγραψα †. † Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Μακάριος μαρτυρῶν ὑπέγραψα †.

† Μηνὶ μαΐῳ ... ἰνδ. ε', ἡμέρᾳ ... ἔτους ἑξακισχιλιοστοῦ ἐνναχοσιοστοῦ ε' ἐχειροτονήθη θεοῦ εὐδοκίᾳ καὶ χάριτι ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, κῦρ Κάλλιστος, καὶ ἤρξαντο καταστρώννυσθαι ἐν τῷ παρόντι κώδικι αἱ συνοδικαὶ πράξεις καὶ τὰ τῶν ἐκκλησιαστικῶν ὑποθέσεων ἔγγραφα σημειώματα, πρὸ πάντων δὲ ἐτέθη ἡ ὁμολογία αὐτοῦ †.

## DXIX. (6905—1397). maio. ind. V.

*Professio fidei patriarchae Callisti II. Xanthopuli.*

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. πρὸς τούτοις ἀποδέχομαι τὰς ἁγίας καὶ οἰκουμενικὰς ἑπτὰ συνόδους, αἵτινες ἐπὶ φυλακῇ τῶν ὀρθῶν δογμάτων συνηθροίσθησαν, καθομολογῶν τοὺς ὑπ' αὐτῶν διωρισμένους στέργειν καὶ φυλάττειν κανόνας καὶ τὰς ἁγίας διατάξεις, ὅσαι τοῖς ἱεροῖς ἡμῶν πατράσι κατὰ διαφόρους καιροὺς καὶ χρόνους διετυπώθησαν, πάντας, οὓς ἀποδέχονται, συναποδεχόμενος καὶ οὓς ἀποστρέφονται, συναποστρεφόμενος. ἔτι καὶ τὴν ἐκκλησιαστικὴν εἰρήνην ὁμολογῶ διαφυλάττειν καὶ κατ' οὐδένα τρόπον ἐναντία φρονεῖν αὐταῖς διὰ βίου παντός, προσεπαγγελλόμενός τε ἐν φόβῳ θεοῦ καὶ θεοφιλεῖ γνώμῃ τὴν ἐγχειρισθεῖσάν μοι ποίμνην ἰθύνειν, πάσης ὑπολήψεως πονηρᾶς καθαρὸν ἐμαυτὸν συντηρῶν, ὁπόση μοι περίεστι δύναμις. ἔτι ἀσφαλίζομαι, μηδέποτε τῶν δογματισθέντων παρὰ τοῦ γεγονότος Νικαίας Εὐστρατίου καὶ ἀποβληθέντων ἀντιποιήσασθαι ὡς ἀλλοτρίων ὄντων τῆς ὀρθῆς πίστεως καὶ παρὰ τῆς ἐκκλησίας ἀποπεμφθέντων καὶ ἀναθέματι καθυποβληθέντων. ἀναθεματίζω δὲ καὶ τὰ δογματισθέντα καὶ λαληθέντα παρὰ Μιχαὴλ τοῦ γενομένου πρωτεκδίκου, καὶ μαΐστορος τῶν ῥητόρων τοῦ Βασιλάκη Νικηφόρου, καὶ Σωτηρίχου, τοῦ ὑποψηφίου θεουπόλεως Μεγάλης Ἀντιοχείας, τοῦ ἐπονομαζομένου Παντευγένου, περὶ τῆς προσαγωγῆς καὶ θυσίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔτι δὲ καὶ τῆς καθ' ἑκάστην παρὰ τῶν ἱερουργῶν τελουμένης, ὡς ἀποδοκιμασθέντα καὶ ἀποβληθέντα παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας. ἔτι ἀσπάζομαι καὶ ὁμολογῶ τὰ περὶ τῆς ἐν τοῖς ἁγίοις εὐαγγελίοις δεσποτικῆς φωνῆς τῆς· ὁ πατήρ μου μείζων μου ἐστί, παρὰ τῶν ἁγίων πατέρων παραδοθέντα καὶ διατρανωθέντα ὑπὸ τοῦ εὐσεβοῦς τόμου τοῦ ἐκτεθέντος παρὰ τοῦ τρισμάκαρος βασιλέως κῦρ Μανουὴλ τοῦ Κομνηνοῦ, ἤγουν ὅτι τὴν φωνὴν ταύτην εἴρηκεν ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς καὶ κατὰ τὴν ἐν αὐτῷ κτιστὴν καὶ περιγραπτὴν φύσιν, καθ' ἣν πέπονθε, μὴ λαμβανομένην γυμνὴν καὶ κεχωρισμένην τῆς θεότητος κατὰ τὴν κατὰ ψιλὴν ἐπίνοιαν διαίρεσιν, μήτε πρὸς τὸ κοινὸν τῆς φύσεως ἀναγομένην ἢ νοουμένην, ἀλλὰ καὶ τοὺς κατὰ τὰ τῆς κενώσεως μέτρα μόνον εἰρηκέναι τὸν κύριον λέγοντας ταύτην τὴν φωνὴν καὶ τῇ κενώσει

ταύτην μόνῃ προσαρμόζοντας, τοῦτ' ἔστι διὰ μόνην τὴν κένωσιν ἤγουν διὰ τὸ λαβεῖν σάρκα, καὶ οὐ κατὰ τὴν σάρκα, ἣν προσελάβετο, καθυποβάλλω τῷ ἀναθέματι· δέχομαι καὶ τὰς περὶ τούτου ἑρμηνείας τῶν ἁγίων πατέρων. πρὸς τούτοις στέργω καὶ ἀποδέχομαι καὶ τὰς κατὰ τὴν μεγαλόπολιν ταύτην συγκροτηθείσας ἱερὰς συνόδους ἔν τε τῷ περιωνύμῳ ναῷ τῆς ἁγίας τοῦ θεοῦ Σοφίας καὶ ἐν τῷ θεοφρουρήτῳ παλατίῳ κατὰ τοῦ καλαβροῦ Βαρλαὰμ καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου καὶ τῶν ὁμοφρόνων αὐτοῖς, οἳ τὴν κοινὴν καὶ θείαν χάριν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθ' ὃ καὶ οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὡς καὶ ὁ Χριστὸς ἐπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμιν καὶ ἐνέργειαν τῆς τρισυποστάτου θεότητος καὶ πᾶν τὸ ὁπωσοῦν διαφέρον τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι καὶ κατατέμνουσι, καὶ οὗτοι δυσσεβῶς εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν θεότητα καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ θεῷ προσόντων φυσικῶς, διθεΐτας φρενοβλαβῶς ὀνομάζουσιν ἡμᾶς καὶ πολυθέους ὡς καὶ Ἰουδαῖοι, Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς· ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους ὡς ὄντας ἀθέους καὶ πολυθέους ἀποβαλλόμεθα, καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, εἰ μὴ μεταμεληθεῖεν, ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία διὰ τῶν προβάντων ἱερῶν τόμων τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτουσαν διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις. ἔτι ἀσφαλίζομαι, ὅτι οὐ δέδωκα τὸ οἱονοῦν χάριν τοῦ ψηφισθῆναί με εἰς τήνδε τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, ἀλλ' οὐδὲ ὑπεσχέθην τι παρασχεῖν ἕνεκα τούτου πρός τινα, οὐδὲ δώσω, ἀλλ' ἀσπάζομαι καὶ τὰς περὶ τούτου ἀποστολικὰς καὶ πατρικὰς παραδόσεις, ἀλλὰ δὴ καὶ τὴν γεγονυῖαν ἀκρίβειαν τῆς νεαρᾶς παρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως, τοῦ Παλαιολόγου κῦρ Ἀνδρονίκου, ἐπὶ τῇ τοιαύτῃ ἱερᾷ πράξει τὴν στερχθεῖσαν καὶ βεβαιωθεῖσαν παρὰ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, καὶ ὑπισχνοῦμαι φυλάττειν ταύτην ἀπαρεγχείρητον. ὑπεγράφη ταῦτα διὰ χειρὸς ἡμετέρας

δι' ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδικτιῶνος πέμπτης, ἔτους ἑξακισχιλιοστοῦ ἐνακοσιοστοῦ πέμπτου †.

† Κάλλιστος ἱερομόναχος, ἐλέῳ θεοῦ ὑποψήφιος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## DXX. (6905—1397) iulio. ind. V.

*Papas Ioasaph abiurat errores Barlaam et Acindyni.*

† Ἡ ὁμολογία τοῦ παπᾶ Ἰωάσαφ †.

† Ἐπειδὴ ἐγὼ δι' ἅς ὑπὸ ἀφελείας δέδωκα ὑποψίας ἀπῃτήθην δοῦναι ὁμολογίαν καὶ δηλῶσαι, ὅπως ἔχω δόξης περὶ τῆς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου κακοδοξίας καὶ ἔχω γνώμην περὶ τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν διασαφῆσαι, ἤδη τοῦτο ὅλῃ μου τῇ προθυμίᾳ δίχα τινὸς δόλου καὶ περινενοημένου τρόπου καθαρῶς καὶ ἀπεριέργως ποιῶ, Χριστοῦ τοῦ θεοῦ ἡμῶν χάριτι, διὸ καὶ πρῶτον μὲν λέγω ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, ὅτι ἅπαντα τὰ λαληθέντα κατὰ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ (Παλα)μᾶ καὶ τῶν θεοφόρων ἐκείνων ἀνδρῶν, τῶν ἱερῶν φημι καὶ θείων ἡσυχαστῶν τῶν ὑπὲρ τῆς κατ' ἀσέβειαν ἀληθείας ἐκείνῳ συναγωνισαμένων καὶ τὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου διελεγξάντων δυσσέβειαν· ἅπαντα γοῦν τὰ κατ' ἐκείνων καὶ πραχθέντα καὶ λαληθέντα ἀνάθεμα· εἶτα ἀποβάλλομαι τὸν Βαρλαὰμ καὶ τὸν Ἀκίνδυνον καὶ ὅσα ἐκεῖνοι κατὰ τοῦ θείου ὕψους ἐλάλησαν, ἤγουν ὅτι οὐκ ἔστιν ἐπὶ θεοῦ διάκρισις θείας οὐσίας καὶ θείας ἐνεργείας, ὅτι τὸ λάμψαν φῶς ἐν τῷ Θαβωρίῳ ἴνδαλμά ἐστι καὶ παραπέτασμα καὶ φάντασμα, γεγονός τε καὶ ἀπογεγονός, ὅτι ἡ φυσικὴ δύναμις καὶ ἐνέργεια τῆς τρισυποστάτου θεότητος, ἡ τῆς θείας φύσεως διαφέρουσα κτιστή τε ἐστὶν καὶ πρόσφατος καὶ ὑπὸ χρόνον, ὅτι σύνθεσις περὶ τὸν θεὸν διὰ τὴν διάκρισιν τῆς θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας, ταῦτά τε οὖν, καθὼς εἶπον, ἐξ ὅλης ψυχῆς ἀποβάλλομαι καὶ ὅσα ἐκ τούτων ἄτοπα ἕπεται· ἔπειτα δέχομαι καὶ ἀσπάζομαι καὶ στέργω τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν, ἧς προστάτης ἀρτίως διὰ τῆς τοῦ θεοῦ χάριτος ὁ ἁγιώτατος, πατριάρχης, κῦρις Κάλλιστος, σεβαζόμενος καὶ τιμῶν καὶ ἀποδεχόμενος καὶ ὅσα περὶ τῶν προειρημένων ἐθεολόγησε συμφώνως

τοῖς ἁγίοις καὶ θεοφόροις ἡμῶν πατράσι καὶ διδασκάλοις, ἤγουν ὅτι ἐστὶν ἐπὶ θεοῦ θεοπρεπὴς διάκρισις θείας οὐσίας καὶ θείας ἐνεργείας, καὶ ὅτι ἄκτιστος ἡ θεία ἐνέργεια, καὶ ὅτι οὐδεμία σύνθεσις ἐπὶ θεοῦ διὰ τὴν διάκρισιν τῆς θείας οὐσίας καὶ τῶν περὶ αὐτὴν φυσικῶς τε καὶ ὑπερφυῶς θεωρουμένων, καὶ ὅτι τὸ λάμψαν ἀπὸ τοῦ κυρίου φῶς ἐν τῇ θειοτάτῃ μεταμορφώσει οὔτε κτίσμα ἐστὶ καὶ ἴνδαλμα καὶ φάσμα, οὔτε θεία οὐσία, ἀλλὰ φῶς ἀπρόσιτον καὶ χύσις ἀπερινόητος θείας αἴγλης καὶ δόξα θεότητος ἀπόρρητος καὶ θεοῦ βασιλεία καὶ ὅσα τοῦτο ὑμνοῦντες οἱ τῆς ἐκκλησίας θεολόγοι φασί, τοὺς δὲ οὐσίας θεοῦ τοῦτο δοξάζοντας ἢ κτίσμα καθυποβάλλω τῷ ἀναθέματι. ταύτῃ μου τῇ ἐγγράφῳ ὁμολογίᾳ ἐμμένω καὶ μενῶ εἰς τὸν ἅπαντά μου τῆς ζωῆς χρόνον, συνεργοῦντός μοι τοῦ θεοῦ, καὶ μετὰ ταύτης εὔχομαι παραστῆναι τῷ κριτῇ ζώντων καὶ νεκρῶν ἐν τῇ κοινῇ τῆς ὁμολογίας ἡμέρᾳ· εἰ δέ, ὅπερ ἀπεύχομαι, φανείην ποτὲ ἄλλο παρὰ ταῦτα φρονῶν τε καὶ σεβαζόμενος καὶ ὁμολογῶν, ὡς ἀπατεὼν ἄνθρωπος καὶ πανοῦργος καὶ ἐν τῷ φανερῷ μὲν εὐσεβεῖν δοκῶν, λάθρα δὲ τὴν δυσσέβειαν ἀσπαζόμενος καὶ ὑποκρινόμενος τὸ ὀρθόδοξον, ἵνα μετὰ πολλῆς τιμωρίας τοῖς αἱρετικοῖς προσηκούσης καὶ ἀντιθέτοις τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὡς ἐναγής τε καὶ βέβηλος καὶ μηδεμίαν ἔκτοτε δυνάμενος δοῦναι πληροφορίαν εὐσεβοῦς πίστεως ἐξορίζωμαι. ταῦτα στέργων καὶ ὁμολογῶν οἰκείᾳ χειρὶ ὑπογράφω μηνὶ ἰουλίῳ ἰνδ. ε' †.

† Εἶχε καὶ ὑπογραφὴν τήνδε· Ἰωάσαφ ἱερομόναχος τὰ ἄνωθεν γεγραμμένα στέργων καὶ ὁμολογῶν ὑπέγραψα †.

## XIII.

(Κωδίκιον τῶν συνοδικῶν παρασημειώσεων γεγονὸς ἐπὶ τῶν ἡμερῶν τοῦ παναγιωτάτου δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, κῦρ Ματθαίου.)

### DXXI. (6907—1398) decembri. ind. VII.

Ὁ ἀπὸ τῶν Λατίνων ἐλθὼν Μανουὴλ ὁ Ἡρακλεινὸς *orthodoxam fidem profitetur.*

## DXXII. 6907 (1399) augusto. ind. VII.

*Patriarcha in codice consignari iubet sponsalia et matrimonia.*

† Μηνὶ αὐγούστῳ ἰνδ. ζ', τοῦ ,ςϡζ', ὁρισμῷ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἤρξαντο καταστρώννυσθαι ἐνταῦθα αἱ μνηστεῖαι καὶ αἱ γαμικαὶ ἱερολογίαι †.

† Τῷ αὐτῷ μηνί, η', εἴληφεν ὁ παπᾶς Μανουὴλ ὁ Ἀπόκαυκος ὁ εἰς τὸν Αἰγιαλὸν τῆς βασιλικῆς εὑρισκόμενος βούλλαν, ἵνα εὐλογήσῃ Μιχαὴλ τὸν Ζουμᾶν μετὰ Ἄννης τῆς θυγατρὸς τοῦ ....., αὐτὸν μὲν εἰς τρίτον ἐρχόμενον γάμον, αὐτὴν δὲ εἰς πρῶτον †.

† Τῷ αὐτῷ μηνί, κβ', ἔλαβεν ὁ πρεσβύτερος Ἰωάννης ὁ Κρουνερίτης βούλλαν, ἵνα εὐλογήσῃ Γεώργιον τὸν Κτενᾶν μετὰ Μαρίας, τῆς θυγατρὸς τοῦ Τριακονταφύλλου, αὐτὸν μὲν εἰσερχόμενον εἰς τρίτον γάμον, αὐτὴν δὲ εἰς δεύτερον· ἀπεστάλη δὲ ὁ Σκουταριώτης εἰς τοῦτο †.

† Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε καὶ ὁ παπᾶς Μιχαὴλ ὁ Καρβαλινὸς βούλλαν, ἵνα εὐλογήσῃ Μανουὴλ τὸν Σκαρλάτον μετὰ Καλλῆς τῆς Ζαγορινῆς, αὐτὸν μὲν εἰσερχόμενον εἰς δεύτερον γάμον, ὡσαύτως καὶ αὐτήν. ἀπεστάλη εἰς τοῦτο ὁ Βουχῆς †.

† Τῇ λ' τοῦ αὐτοῦ μηνὸς ἦλθεν ὁ παπᾶς Ἰωάννης ὁ Γενέσης, καὶ ἔλαβε βούλλαν, ἵνα εὐλογήσῃ Μιχαὴλ καὶ Εἰρήνην, ἄρτι εἰς πρῶτον ἐρχομένους γάμον †.

Σεπτεβρίῳ. Τῇ ς' τοῦ σεπτεβρίου μηνὸς ἐδόθη πρὸς πρεσβύτερον Γεώργιον τὸν Ἀκαταμαχήτην βούλλα, ἵνα εὐλογήσῃ Σαραντηνὸν καὶ Ὁδηγητριανὴν εἰς πρῶτον γάμον ἐλθόντας †.

† Τῇ αὐτῇ ἡμέρᾳ ἐδόθη καὶ πρὸς πρεσβύτερον Γεώργιον καὶ Κριτόπουλον βούλλα, ἵνα εὐλογήσῃ Θεόδωρον καὶ Θωμαΐδα, καὶ αὐτοὺς εἰς πρῶτον ἐρχομένους γάμον †.

† Μηνὶ σεπτεβρίῳ ἰνδ. η' ἐδόθη βούλλα τῷ θεοσεβεστάτῳ ἱερεῖ, κῦρ Γεωργίῳ, τῷ ψάλλοντι τὸν ναὸν τῆς Παναγίας τῆς Καστελιωτίσσας, ἵνα εὐλογήσῃ Μανουὴλ τὸν ἔκγονον τῆς Πέρδικας μετὰ Καλῆς Γανιτίσης εἰς δεύτερον γάμον ἐρχομένης, παρουσίᾳ τοῦ τιμιωτάτου σακελίου, τοῦ πρωτονοταρίου, τοῦ ῥεφεραινδαρίου καὶ ἑτέρων †.

Ὀκτωβρίῳ. † Τῇ ς' τοῦ ὀκτωβρίου ὁ παπᾶς Δημήτριος ὁ Καλόθετος ἔλαβε βούλλαν, ἵνα εὐλογήσῃ τὸν υἱὸν τοῦ Ξυγαλατᾶ τὸν

εὑρισκόμενον πλησίον τῶν ἁγίων Ἀναργύρων μετὰ τῆς θυγατρὸς τοῦ Μακρῆ εἰς πρῶτον συνοικέσιον ἐρχομένους †.

† Τῇ ιε΄ ὁ Μεγαλοδυναμίτης ἔλαβε βοῦλλαν, ὡς ἂν εὐλογήσῃ τινὰ Γεώργιον μετὰ Μαρίας τινός, ἐρχομένης ἐκείνης εἰς δεύτερον γάμον †.

† Τῇ ιζ΄ τοῦ αὐτοῦ ἔλαβεν ὁ παπᾶς Ἰωάννης ὁ Κροονερίτης βοῦλλαν, ἵνα εὐλογήσῃ τὸν μάγιστρον τὸν Τζανκάριν μετὰ τῆς θυγατρὸς τοῦ Καρικᾶ, ἐκείνην μὲν ἐρχομένην εἰς γ΄ γάμον, αὐτὸν δὲ εἰς δεύτερον †.

† Τῇ κ΄ τοῦ αὐτοῦ ἔλαβε καὶ ὁ πρωτοπαπᾶς τῶν Βλαχερνῶν βοῦλλαν, ἵνα εὐλογήσῃ Στυλιανὸν καὶ Μαρίαν †.

† Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε βοῦλλαν καὶ ἱερεὺς Θεόδωρος ὁ Βαϊοφόρος, ἵνα εὐλογήσῃ Μιχαὴλ καὶ Εἰρήνην τῆς Ψιλινῆς τὴν θυγατέρα εἰς δεύτερον γάμον ἐλθοῦσαν †.

† Τῷ αὐτῷ μηνὶ ἔλαβε βοῦλλαν καὶ ἱερεὺς ὁ Ταλαίτης, ἵνα εὐλογήσῃ .... καὶ Εἰρήνην †.

† Τῷ αὐτῷ μηνὶ ἔλαβε βοῦλλαν καὶ ἱερεὺς Μανουὴλ ὁ Καλοειδᾶς, ἵνα εὐλογήσῃ Κωνσταντῖνον καὶ Μαρίαν †.

† Ὁμοίως καὶ ἱερεὺς Ἰωάννης ὁ Φιλάρετος, ἵνα εὐλογήσῃ Μανουὴλ καὶ Θωμαΐδα †.

† Τῇ κθ΄ τοῦ αὐτοῦ ἐδόθη καὶ πρὸς ἱερέα κῦρ Θεόδωρον τὸν Βαρζουφᾶν βοῦλλα, ἵνα εὐλογήσῃ Γεώργιον καὶ Θεοδώραν δι᾽ ἀναφορᾶς πνευματικοῦ τοῦ Φουντᾶ εἰς πρῶτον γάμον ἐρχομένους †.

Νοεμβρίῳ. † Τῇ α΄ τοῦ νοεμβρίου ἦλθεν ἱερεὺς Γεώργιος ὁ Ἀργυρόπουλος, καὶ ἔλαβε βοῦλλαν, ἵνα εὐλογήσῃ Γεώργιον καὶ Θεοδώραν εἰς πρῶτον καὶ αὐτοὺς ἐρχομένους γάμον †.

† Τῇ γ΄ τοῦ αὐτοῦ μηνὸς ἐδόθη βοῦλλα καὶ πρὸς τὸν πρεσβύτερον κῦρ Ἰωάννην τὸν Κροονερίτην, ἵνα εὐλογήσῃ Θεόδωρον καὶ Μαρίαν εἰς πρῶτον ἐρχομένους γάμον †.

† Τῇ η΄ τοῦ αὐτοῦ ἔλαβε πρεσβύτερος Γεώργιος ὁ Λαμπεινὸς βοῦλλαν, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Ἄνναν εἰς δεύτερον ἐρχομένους γάμον †.

Ἰανουαρίῳ. † Τῇ η΄ τοῦ ἰανουαρίου ἔλαβεν ἱερεὺς Μανουὴλ ὁ Ξένος βοῦλλαν, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Συναδινὴν εἰς δεύτερον γάμον καὶ τοὺς δύο, οἳ καὶ εἰς τὴν Πλατέαν εὑρίσκονται †.

† Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε βοῦλλαν καὶ ὁ ἱερεὺς ὁ Ἀθανάσιος ὁ εἰς τὸ ἱεροκομεῖον, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Μαρίαν, τὸν μὲν εἰς πρῶτον, τὴν δὲ εἰς δεύτερον ἐλθόντας γάμον †.

† Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε βοῦλλαν πρεσβύτερος Γεώργιος ὁ Κριτόπουλος, ἵνα εὐλογήσῃ Νικηφόρον καὶ Μαρίαν εἰς πρῶτον γάμον †. † Τῇ δεκάτῃ τοῦ αὐτοῦ ἔλαβε βοῦλλαν ἱερεὺς ὁ Σαββατιανός, ἵνα εὐλογήσῃ Ἰωάννην τὸν τοῦ Μάγγιπος εἰς τρίτον γάμον †. † Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε βοῦλλαν Σπαρτιανὸς ὁ ἱερεύς, ἵνα εὐλογήσῃ Γεώργιον καὶ Ἄνναν εἰς πρῶτον γάμον †. † Τῇ αὐτῇ ἡμέρᾳ ἔλαβε βοῦλλαν ὁ μέγας πρωτοπαπᾶς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἵνα εὐλογήσῃ Ἰωάννην τὸν Συρόπουλον καὶ Μαρίαν εἰς δεύτερον ἐρχομένους καὶ ἄμφω γάμον· ἀπεστάλη ὁ Συναχηρεὶμ †.

† Μηνὶ ἰανουαρίῳ ἰνδ. η', ἡμέρᾳ τοῦ μηνὸς κδ', ἡμέρᾳ σαββάτου, ὥρᾳ θ' τῆς ἡμέρας, ἔλαβεν ὁ θεοσεβέστατος πρεσβύτερος κῦρ Ἰωάννης ὁ Κάλλιστος βοῦλλαν, ὡς ἂν εὐλογήσῃ τὸν Ἰωάννην τὸν Βασιλικὸν ἐρχόμενον εἰς δεύτερον γάμον μετὰ τῆς Εἰρήνης, τῆς τοῦ ἱερέως θυγατρός, ὡσαύτως καὶ αὐτὴν εἰς δεύτερον γάμον ἐρχομένην. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

† Τῷ αὐτῷ μηνὶ ἔλαβε βοῦλλαν ἱερεὺς Κωνσταντῖνος ὁ Κίναμος, ἵνα εὐλογήσῃ Ξανθόπουλον καὶ Εὐφροσύνην †.

† Ὁμοίως καὶ ἱερεὺς πρεσβύτερος Ἀνδρέας ὁ Νομικόπουλος, ἵνα εὐλογήσῃ Μιχαὴλ καὶ Εἰρήνην †.

† Τῇ κβ' τοῦ αὐτοῦ μηνὸς ἔλαβε βοῦλλαν ἱερεὺς Λέων ὁ Μέλιγνος, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Εἰρήνην †.

† Τῇ κδ' τοῦ αὐτοῦ ἔλαβε βοῦλλαν καὶ ἱερεὺς Ἀθανάσιος ὁ ψάλλων τὸν πάνσεπτον ναὸν τῆς Κεχαριτωμένης, ἵνα εὐλογήσῃ Γεώργιον καὶ Εἰρήνην †.

## DXXIII. (6908—1399) decembri. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Μαρία Ἁγιοπετρήτισσα ἡ Γάβραινα ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα συνοδικῶς προκαθημένην ἀνέφερεν, ὡς τοῦ ἀνδρὸς αὐτῆς Ἰωάννου .... τοῦ Γαβρᾶ αἰχμαλωσίᾳ καὶ χρέεσι διαφόροις περιπεσόντος καὶ τῆς προικὸς αὐτῆς πάσης καταναλωθείσης, καθέλκεται νῦν καὶ αὐτὸς παρὰ τῶν χρεωφειλετῶν αὐτοῦ, καὶ ἀπαιτεῖται βιαίως,

εἰ περιλειφθῇ αὐτῷ μικρόν τι· ἐζήτησεν οὖν διὰ ταῦτα τὴν νόμιμον καὶ συνήθη βοήθειαν ἀπὸ τῆς ἐκκλησίας Χριστοῦ ἐπὶ τῷ προτιμᾶσθαι αὐτὴν εἰς τὴν προῖκα αὐτῆς πάντων χρεῶν εἰς τὴν περιουσίαν τοῦ ἀνδρὸς αὐτῆς, διατηρεῖσθαί τε τὸν ἄνδρα αὐτῆς, τὸν ῥηθέντα Γαβρᾶν, ἐλεύθερον ἐπὶ τῷ διενεργεῖν καὶ ἱκανῶσαι αὐτῇ τὴν λοιπάδα τῆς προικὸς αὐτῆς καὶ τρέφειν καὶ αὐτήν. τῆς οὖν αἰτήσεως αὐτῆς τὸ δίκαιον ἐχούσης, ἐπεὶ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι σαφῶς οὕτω διαγορεύουσι, προτιμοτέραν εἶναι τὴν τῆς γυναικὸς προῖκα εἰς τὴν περιουσίαν τοῦ ἀνδρὸς αὐτῆς πάντων τῶν ἄλλων χρεῶν, τῶν τε προγενεστέρων τῆς προικὸς καὶ τῶν μεταγενεστέρων, ἀπέδειξε δὲ διὰ τοῦ γαμηλίου συμφώνου, εἶναι τὴν ποσότητα τῆς προικὸς αὐτῆς ὑπέρπυρα ἑπτακόσια δύο, διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ἱκανωθῆναι πρῶτον αὐτὴν εἰς τὰ ἑπτακόσια δύο ὑπέρπυρα αὐτῆς ἀπὸ τῆς περιουσίας τοῦ ἀνδρὸς αὐτῆς νομίμως πρὸ πάντων τῶν ἄλλων χρεῶν τοῦ ἀνδρὸς αὐτῆς, εἰ μήπου εἴς τινα χρέα διδαχθεῖσα αὕτη τὸν βοηθοῦντα αὐτῇ νόμον παρὰ τῶν ἐχόντων ἄδειαν εἰς τοῦτο παρῃτήσατο ἑκουσίως τὴν ἀπὸ τούτου βοήθειαν, ἢ εἴπερ καὶ γνώριμά τινων εἴδη ἢ ὑπέρπυρα εὑρίσκονται ἐν τῇ περιουσίᾳ τοῦ ἀνδρὸς αὐτῆς· εἰ γάρ τι τοιοῦτον ἀποδειχθῇ, προτιμηθήσεται καὶ τῆς προικὸς αὐτῆς· τούτου δὲ μὴ ἀποδειχθέντος προτιμηθήσεται νομίμως πάντων χρεῶν. ἔτι γε μὴν ὀφείλει καὶ ἐλεύθερος διατηρεῖσθαι ὁ ἀνὴρ αὐτῆς, ὁ Γαβρᾶς, ἐπὶ τῷ διατρέφειν τὴν γυναῖκα αὐτοῦ καὶ ἱκανῶσαι πρὸ πάντων, εἴ τι ἐλλείψει ἀρτίως ἀπὸ τῶν φβ′ ὑπερπύρων τῆς προικὸς αὐτῆς, ἔπειτα ἀποδιδόναι καὶ τοῖς ἄλλοις αὐτοῦ δανεισταῖς, ὅπως ἂν εὐπορήσῃ καὶ δυνηθῇ. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. η′ †.

## DXXIV. (6908—1399) decembri. ind. VIII.

*Annae Phudulae restituuntur res quaedam.*

† Μηνὶ δεκεβρίῳ ἰνδ. η′ παρεδόθησαν πρὸς Ἄνναν τὴν τοῦ Φουδούλη τὰ εἴδη, ἅπερ ἐδικαιώθη λαβεῖν ἀπὸ τοῦ Τζαγκοπούλου, ἤτοι κοῦπα μία καὶ δακτυλίδια δύο μαλαγματηρὰ διὰ τοῦ λογοθέτου, παρόντος καὶ τοῦ πρωτονοταρίου †.

## DXXV. Sine anno.

*De hieromonacho quodam Theodosio.*

† Μηνὶ ἰανουαρίῳ, κη', ἡμέρα τετράδα τοῦ μηνός, παρέστη τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ὁ ἀπὸ τῆς Κεκλικρατείας ἐλθὼν μοναχός, καὶ ἐρωτηθεὶς εἶπεν, ὡς αὐτὸς μὲν ὀνομάζεται ἱερομόναχος Θεοδόσιος, ἐχειροτονήθη δὲ διάκονος καὶ πρεσβύτερος ἐν τῷ Ἀθύρᾳ παρὰ τοῦ ἐπισκόπου ἐκείνου, τοῦ κῦρ Θεοφάνους, ἐνέδυσε δὲ καὶ τὰ ῥάσα ἐκεῖσε παρὰ τοῦ πνευματικοῦ Ἰωσήφ, ἔστι δὲ υἱὸς μὲν τοῦ παπᾶ Γεωργίου ἐκείνου, ἔχει δὲ ἀδελφοὺς δύο, ὁ μὲν εἷς ἱερεύς, Ἰωάννης ὀνομαζόμενος, τοῦ Ἀγγελοπούλου γαμβρός, ὁ δὲ ἕτερος Κωνσταντῖνος. καὶ ἐσημειώθησαν ἐνταῦθα εἰς δήλωσιν †.

## DXXVI. Sine anno.

*Patriarcha dirimit controversiam.*

† Φθάνει πρό τινος ἤδη καιροῦ Ἀλέξιος ὁ Ἄγγελος λαβὼν ἀπὸ τῆς πλησίον μὲν τῶν οἰκημάτων αὐτοῦ κινστέρνης, ἀνηκούσης δὲ τῷ πανσέπτῳ ναῷ τοῦ ἁγίου Γεροντίου, μέρος, ὅσον δῆτα διεκρίθη παρὰ τοῦ πρὸ ἡμῶν ἁγιωτάτου πατριάρχου, κῦρ Ἀντωνίου, ἐπιστατησάντων ἐκκλησιαστικῶν ἀρχόντων προτροπῇ αὐτοῦ, κατ' ἰσότητα τῶν οἰκημάτων καὶ τοῦ περιβολίου αὐτοῦ, ὡς ἂν ἔχῃ τοῦτο εἰς ἰδίαν ἀνάπαυσιν καὶ χρῆται αὐτῷ, ὡς βούλεται, ῥίπτῃ τε ἐν αὐτῷ πᾶσαν ἄχρηστον ὕλην, ἔχει τε ἀπόψεις ἐν τοῖς οἰκείοις οἰκήμασι δι' αὐτοῦ καὶ ἄλλην παντοίαν ἀνάπαυσιν εἰς αὐτό. εἶχε μὲν οὖν τὸ ἀποταχθὲν μέρος, καὶ ἐνέμετο, οὔτε δὲ τοίχῳ τοῦτο περιφράξαι ἠθέλησε, οὔτε μὴν τὸ ἀποταχθὲν τέλος παρέχειν τῷ ναῷ ῥᾳδίως ἐβούλετο, ἄλλα ἐπ' ἄλλοις προφασιζόμενος. ἐκ τούτου τοίνυν οἱ τὴν κτητορείαν τοῦ πανσέπτου ναοῦ ἔχοντες, ὅ τε Ἀνδρέας ὁ Ἀσπιέτης καὶ ἡ τούτου μήτηρ, εἰς τὴν ἡμῶν μετριότητα ἀναδραμόντες, ἔγκλησιν ἐποιήσαντο κατ' αὐτοῦ, καὶ ἐζήτησαν ἀντικριθῆναι αὐτῷ καὶ ἢ τὴν κινστέρναν ἐᾶσαι τοῦτον ἢ τὸ ἀποταχθὲν παρέχειν τῷ ναῷ· μετάκλητος καὶ ὁ Ἄγγελος γεγονὼς καὶ τῇ ἡμῶν μετριότητι παραστὰς καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπείς, ἔχειν μὲν εἶπε τὸ ῥηθὲν μέρος τῆς κινστέρνης διακρίσει τοῦ ἁγιωτάτου πατρίαρχου, κῦρ Ἀντωνίου, τὸ δὲ παρελθὸν τέλος οὐκ ἐθέλειν δοῦναι, ἐπεὶ ἀλλαγὴν . . . ἐν τῷ θείῳ ναῷ πεποιηκέναι διετεί-

νετο. ἡ γοῦν μετριότης ἡμῶν δίκαιον ᾠήθη ἐπιστατικῶς οἰκείοις ὄμμασι τὸν τόπον κατιδεῖν καὶ τὸ ἀνῆκον δίκαιον ἑκατέρῳ τῷ μέρει δοῦναι· ἐπιστᾶσα τοίνυν καὶ τοὺς ἑκατέρων λόγους ἀκροασαμένη καὶ τὰ τοῦ Ἀγγέλου δικαιώματα ἰδοῦσα, ἀποδοῦναι μὲν τὸν Ἄγγελον πρὸς τὸν πάνσεπτον ναὸν τὸ παρελθὸν τέλος, ὅσον φανείη δίκαιον, ἔκρινε· τὴν γὰρ ἀλλαγὴν οὐ τοῦ τέλους ἕνεκα ποιήσαντα τοῦτον εὗρε, ἐπεὶ οὐδ' αὐτὸς ἢ ἀποδεῖξαι ἐδυνήθη, ἢ μετὰ βάρους εἰπεῖν ἠθέλησε· εἰς δὲ τὸ ἐφεξῆς εἰ μὲν βούλεται κατέχειν τὸ ῥηθὲν τῆς κινστέρνης μέρος, παρεκελεύσατο καὶ τελεῖν τὰ ἀποταχθέντα παρὰ τῶν ἐκκλησιαστικῶν ἀρχόντων καθ' ἕκαστον ἔτος κόκκια δώδεκα, εὖ ἂν ἔχοι· εἰ δ' οὖν, ὡς ἂν πρῶτον μὲν μετοχετεύσῃ τὰ τῶν κεράμων αὐτοῦ ὀμβριμαῖα ὕδατα ἄλλοσε, ὡς ἂν μὴ παραβλάπτῃ τὸν ῥηθέντα τόπον, ἔπειτα δὲ κλείσῃ παντελῶς καὶ πᾶσαν ἄποψιν καὶ ὀπτασίαν τῶν οἰκημάτων αὐτοῦ τὴν εἰς τοῦτον ὁρῶσαν τὸν τόπον, καθὼς ἡ τάξις τοῦ δικαίου ἀπαιτεῖ. τούτων οὕτω παρὰ τῆς ἡμῶν μετριότητος διακριθέντων ὁ Ἄγγελος ἀναβολαῖς τε καὶ ὑπερθέσεσι τῷ πράγματι ἐδίδου, ἄλλα ἐπ' ἄλλοις προβαλλόμενος, μάλιστα δ' ὅτι μὴ δύνασθαι τοσοῦτον τελεῖν τέλος, ἐλαυνόμενος καὶ αὐτὸς τῇ τοῦ καιροῦ ἐνδείᾳ, προυβάλετο· ἀλλ' ἐπεὶ ὅτε τὸ γράμμα τῶν ἐκκλησιαστικῶν ἀρχόντων ἐγένετο πρὸς αὐτόν, ἐκεῖνοι μὲν παρέχειν τοῦτον ὑπὲρ οὗ λαμβάνει μέρους καθ' ἕκαστον ἔτος ἐννέα κόκκια εἶπον, αὐτὸς δὲ φιλοτιμηθεὶς δώδεκα τῷ γράμματι προσπαρέγραφε, καθὼς τοῦτο διέξεισι, παρεκάλεσε, ὡς ἂν ἐν τούτῳ συγκατάβασιν εὕρῃ. ἡ γοῦν μετριότης ἡμῶν, τὴν πολλὴν κάκωσιν τοῦ καιροῦ ὁρῶσα, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν πρῶτον μὲν ἀποδῷ ὁ Ἄγγελος πᾶν, εἴ τι ὀφείλει εἰς τὸ παρελθὸν τέλος, ἔπειτα δὲ περιφράξῃ καὶ τὸ μέρος, ὅπερ εἴληφε, τοίχῳ· διὰ δὲ τὴν κάκωσιν τοῦ καιροῦ, καθὼς εἶπον, ἵνα εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα παρέχῃ ὑπὲρ τούτου τῷ ναῷ καθ' ἕκαστον ἔτος κόκκια ἐννέα. ἐπεὶ τοίνυν καὶ τὸ παρελθὸν ἅπαν ἐδεδώκει τέλος, καὶ διαιρέτην ἐν τῷ ῥηθέντι τόπῳ πεποίηκεν, ὀφείλει ἀπὸ τοῦ νῦν κατέχειν τὸν ῥηθέντα τῆς κινστέρνης τόπον τὸν ὄντα κατ' ἰσότητα τῶν οἰκημάτων καὶ τοῦ περιβολίου αὐτοῦ, κατὰ μῆκος δὲ τέσσαρσι δοξαρίοις καμαρικῶν παρισούμενος, κατὰ πλάτος δ' ἀρχόμενον ἀπὸ τῆς κόγχης τοῦ παλαιοῦ κτίσματος τοῦ παρὰ τὴν δημοσίαν ὁδὸν κειμένου καὶ λήγοντος μέχρι καὶ τοῦ μικροῦ ζυγοτοίχου τοῦ διαιροῦντος τὴν ἅπασαν κινστέρναν

ἀπὸ τοῦ περιβολίου τοῦ Ἀσπιέτου. ὀφείλει τοίνυν κατέχειν αὐτὸν καὶ χρῆσθαι αὐτῷ, ὡς βούλεται, καὶ ἡνίκα πληρώσῃ τοῦτον ἄχρηστον ὕλην, πάλιν ἐκφορεῖν, ὡς μὴ ὑπερχεομένην τοῦ μεταξὺ τοίχου βλάβην τῇ γείτονι παρεχομένην γῇ, ἀλλ' οὐδ' ἐφεξῆς τῶν οἰκημάτων αὐτοῦ ἔχειν ἄδειαν ἕτερον κτίζειν οἴκημα καὶ ἐξ ἐκείνου ἐν τῷ τόπῳ ὁρᾶν· εἰ δέ ποτε τοῦτο ποιήσει, ὡς ἂν χαλῶνται τὰ οἰκήματα αὐτοῦ ἅπαντα τὰ πρὸς τοῦτον τὸν τόπον κείμενα, καὶ ἀποκαθίστανται εἰς ὅνπερ ἐξ ἀρχῆς ἔκειντο τόπον. ταῦτα τοίνυν ὀφείλουσι ἅπαντα διατηρεῖσθαι, καθὼς παρακελευόμεθα διὰ τῆς παρούσης συνοδικῆς ἀποφάσεως, ἀπολυθείσης εἰς τὴν περὶ τούτου ἀσφάλειαν. ἔτι εἴπερ ἐθελήσει ποτὲ εἰς τὸν κατ' ἰσότητα τῶν οἰκημάτων αὐτοῦ τόπον καὶ ἕτερον ἀνοικοδομῆσαι οἴκημα, ἵνα αὐτὸς μὲν καὶ μόνος μὴ ἔχῃ ἄδειαν τοῦτο ποιεῖν, ἀνατρέχῃ δὲ εἰς τὸν κατὰ καιρὸν εὑρισκόμενον οἰκουμενικὸν πατριάρχην, ἐμφανίζῃ τε τὸ γράμμα τῆς ἡμῶν μετριότητος, καὶ πᾶν, ὅπερ ἂν ἐκεῖνος διακρίνοι, γενήσεται †.

## DXXVII. (6908—1400) februario-aprili. ind. VIII.

*Sponsalia et matrimonia.*

† Μηνὶ φ ε υ ρ ο υ α ρ ί ῳ, α', ἔλαβε βούλλαν ἱερεὺς Δαμιανός, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Μαρίαν †. Τῇ γ' τοῦ αὐτοῦ ἔλαβε βούλλαν ἱερεὺς Μανουὴλ ὁ Συνετός, ἵνα εὐλογήσῃ Μιχαὴλ καὶ Εὐφημίαν †. † Τῇ ς' τοῦ αὐτοῦ .ἔλαβε Γεώργιος πρεσβύτερος ὁ Μεγαλοδυναμίτης, ἵνα εὐλογήσῃ Φίλιππον καὶ Εἰρήνην †. † Ὁμοίως καὶ ἱερεὺς Θεόδωρος ὁ Παρβᾶν Δημήτριον τοῦ Μόσχου καὶ Μαρίαν τοῦ Παρδαπάνη †. † Τῇ η' τοῦ αὐτοῦ ἔλαβε βούλλαν πρεσβύτερος Μιχαὴλ ὁ Χρυσοβέργης, ἵνα εὐλογήσῃ Κωνσταντῖνον καὶ Ἀρετήν †. † Τῇ ι' τοῦ αὐτοῦ ἔλαβε βούλλαν ἱερεὺς Λέων ὁ Μέλιγνος, ἵνα εὐλογήσῃ Μανουὴλ τὸν Πορφύρην καὶ Ἄνναν εἰς δεύτερον καὶ τοὺς δύο ἐρχομένους γάμον †.

† Μηνὶ ἀ π ρ ι λ λ ί ῳ, κε', ἔλαβε βούλλαν ἱερεὺς Γεώργιος ὁ Μεγαλοδυναμίτης, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Εἰρήνην †. † Μηνὶ ἀπριλλίῳ ἔλαβε βούλλαν ἱερεὺς Θεόδωρος ὁ Σπαρτηνός, ἵνα εὐλογήσῃ Ἰωάννην καὶ Εἰρήνην †. † Μηνὶ τῷ αὐτῷ, λ', ἐδόθη βούλλα τῷ ἱερεῖ κῦρ Ἀνδρέᾳ, ἵνα εὐλογήσῃ Γεώργιον εἰς δεύτερον γάμον ἐρχόμενον. ὁμοίως τῇ αὐτῇ ἡμέρᾳ ἐδόθη τῷ πρωτοπαπᾷ τῶν Βλαχερνῶν ἑτέρα, ἵνα

εὐλογήσῃ Ἰωάννην καὶ Θεόδωρον εἰς δεύτερον γάμον ἐρχόμενον τὸν γαμβρόν· ὁμοίως ἔλαβε βούλλαν καὶ ἱερεὺς Μανουὴλ ὁ Ἀκαταμαχίτης, ἵνα εὐλογήσῃ Μιχαὴλ καὶ Θεοδώραν, τὸν Μιχαὴλ καὶ αὐτὸν εἰς δεύτερον γάμον ἐρχόμενον †. *)

## DXXVIII. 6908 (1399). octobri. ind. VIII.

*Patriarcha dirimit controversiam de venditione fundi.*

† Φθάνει μὲν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Μανουὴλ Παλαιολόγος ὁ Ῥαοὺλ, ἐκποιησάμενος πρὸς τοὺς ἐνασκουμένους τῇ ἁγίᾳ καὶ σεβασμίᾳ μονῇ τοῦ ἁγίου μου ἐνδόξου μεγαλομάρτυρος Μάμαντος τὸ ἀπὸ γονικότητος περιελθὸν αὐτῷ χωράφιον εἰς ὑπέρπυρα ὀκτακόσια, μοδίων ὂν τῆς μέτρας τεσσαρακοντατεσσάρων, γεωμετρηθὲν οὕτω καὶ τιμηθὲν παρὰ τῶν εἰδημόνων εἰς ταῦτα τῆς πολιτείας, δεξαμένων πρότερον συνήθως τὰς ἑκατέρου μέρους καταδοχὰς, ἐπιστατήσαντος τὰ περὶ τούτου ἐνδόσει καὶ προτροπῇ καὶ ἀποστολῇ καὶ διακρίσει συνοδικῇ τῆς ἡμῶν μετριότητος τοῦ τότε μὲν τιμιωτάτου μεγάλου χαρτοφύλακος, τοῦ Ὁλοβώλου, νῦν δὲ ἱερωτάτου μητροπολίτου Γοτθίας καὶ ὑπερτίμου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς ἡμῶν μετριότητος καὶ πάντα καλῶς καὶ ὡς ἔδει κατὰ τὴν ἐνοῦσαν αὐτῷ σοφίαν καὶ ἐπιστήμην περὶ τὰ τοιαῦτα καὶ πεῖραν ἐκκλησιαστικὴν ἐπ' ἀσφαλείᾳ τῶν μοναχῶν εὑρόντος καὶ διαπράξαντος· προτροπῇ γὰρ τῆς ἡμῶν μετριότητος πρότερον τὸ ἱκανὸν ποιησάμενος τῇ γυναικὶ τοῦ Ῥαοὺλ εἰς τὰ ἑαυτῆς ἀπὸ τῆς ἄλλης κτηματικῆς ὑποστάσεως τοῦ ἀνδρὸς, παρουσίᾳ καὶ τοῦ πατρὸς αὐτῆς τοῦ Μακροδούκα, διὰ τὸ μὴ δύνασθαι αὐτὴν ὡς ἀφήλικα καὶ βοηθοῦντα αὐτῇ νόμον καὶ τὴν ὑποθηκαρίαν ἀγωγὴν ἀναδιδαχθῆναι καὶ ταῦτα ἀποβαλέσθαι, οὕτω δὴ ὡς ἐπὶ ἐλευθέρῳ τῷδε τῷ κτήματι καὶ ἰδιαίτατα μόνου ὄντι τοῦ Ῥαοὺλ, τήν τε πρᾶξιν εἰργάσατο, καὶ τὰ ὑπέρπυρα πάντα λαβὼν ἀπὸ τῶν μοναχῶν ἐνεχείρισε τῷ Ῥαοὺλ καὶ τῷ πενθερῷ αὐτοῦ, τῷ Μακροδούκᾳ, καὶ πρατήριον ἐξ αὐτῶν ἐποιήσατο πρὸς τοὺς μοναχοὺς ἰσχυρὸν πάντῃ καὶ ἀκατάλυτον, ἐφ' ᾧ δὴ νομίμῳ ὄντι καὶ καθαρῷ καὶ πάντοθεν τὸ ἀδιάσειστον ἔχοντι καὶ γράμμα προὔβη τῆς ἡμῶν μετριότητος, διεξιὸν τὰ

---

*) Folia quatuor e codice excissa.

τῆς πράσεως ἅπαντα, ὡς ἐγένοντο, καὶ ὅτι προτροπῇ ταῦτα συνοδικῇ καὶ ἐνδόσει τῆς ἡμῶν μετριότητος γέγονε, τὸ μὲν δι' ἀσφάλειαν τῆς γυναικὸς τοῦ Ῥαοὺλ, τὸ δὲ διὰ τὸ ἀνενόχλητον τῆς μονῆς, ὥστε καὶ βάρος ἀφορισμοῦ ἐκφωνοῦμεν φρικώδους κατὰ (τοῦ) τὴν πρᾶξιν ταύτην ἀνατρέψαι τολμήσοντος· ὃ δὴ χωράφιον ἐξ ἐκείνου μέχρι τοῦ νῦν εὑρίσκεται κατέχουσα ἡ ῥηθεῖσα μονὴ ἐν τῷ φανερῷ, οὐδενὸς ἐναντιουμένου αὐτῇ τὸ σύνολον. ἐπεὶ δὲ, ὅτε τοὺς λόγους τούτους καὶ τὰς καταστάσεις εἶχεν ὁ Ῥαοὺλ μετὰ τῶν μοναχῶν περὶ τοῦ χωραφίου, πρὸς ἔξοδον ἦν, ἐβουλήθη γὰρ ἐξελθεῖν πανοικὶ τῶν ἐνταῦθα, εἰ καὶ νῦν ἐκωλύθη πρὸς τοῦτο, δόξαν οὕτω λυσιτελέστερον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, φιλίᾳ τῇ πρὸς αὐτὸν κινούμενος ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Νικόλαος ὁ Σοφιανὸς, ὁ καὶ τὴν κτητορείαν ἐμπεπιστευμένος τῆς τοιαύτης σεβασμίας μονῆς, ἔτυχέ πως εἰπὼν πρὸς αὐτὸν, ὃ καὶ Ἄμος ἂν εἴπε τῶν φίλων αὐτοῦ, ὡς εἰ μόνον ἐμποδισθῇς, ὦ κῦρ μου Ῥαοὺλ, ἔχε καὶ τὸ χωράφιον, καὶ ἀφίημί σοι καὶ ἀπὸ τῆς τιμῆς αὐτοῦ, ὅπερ οὔτε ἔγγραφον ἦν, οὔτε ἐπὶ μάρτυσιν ἐλέχθη τισὶν, ἀλλὰ ἁπλῶς οὕτω καὶ ἐν παρόδῳ· τούτου μνησθεὶς ὁ Ῥαοὺλ ὑπεψυθίρισε τοῦτο πρός τινα, καὶ ὅτι οὐδὲ τὴν τιμὴν τοῦ χωραφίου αὐτοῦ κατέχει, ὥστε χρήσασθαι αὐτοῖς, ὡς βούλοιτο, ἀλλὰ καὶ ταῦτα ὡς ὑπὸ φύλακί εἰσι τῷ πενθερῷ αὐτοῦ, καὶ δίδονται αὐτῷ ὡρισμένως μηναῖα εἰς διαίτημα ἑαυτοῦ, καὶ ἔχει ποτὲ χρήσασθαι τούτοις εἰς ἀνάληψιν τοῦ χωραφίου αὐτοῦ· ταῦτα μαθὼν τὸ τῆς μονῆς μέρος, εἴτε τοῦ Ῥαοὺλ αὐτὰ ἐξειπόντος πρός τινα ἐν σπουδῆς μέρει, εἴτε καὶ μὴ, ἐζήτησεν, ὡς εἴπερ ποτὲ ὁ Ῥαοὺλ καὶ κινῆσαι τι ἐπ' ἀνατροπῇ τῆς πράσεως ταύτης, ἵνα διαμηνυθεὶς κινήσῃ τοῦτο ἐπὶ τῆς ἡμῶν μετριότητος, καὶ ἀντικριθῶσιν αὐτῷ. διαμηνυθεὶς τοίνυν ὁ Ῥαοὺλ καὶ παραγενόμενος, παρακαθημένων τῇ ἡμῶν μετριότητι τῶν τιμιωτάτων ἐξωκατακήλων καὶ παρισταμένων τῶν θεοφιλεστάτων ἐκκλησιαστικῶν ἀρχόντων καὶ πολλῶν ἄλλων συνδεδραμηκότων, καὶ ἀπολογήσασθαι προτραπεὶς, εἰ στέργει τὴν γεγονυῖαν πρᾶξιν τοῦ χωραφίου, εἰ δὲ καὶ κινῆσαι ἔχει τι κατ' αὐτῆς, νῦν τοῦτο εἰπεῖν, ὡς εἴποτε ἄλλοτε τοῦτο κινήσει, ἀπρόσδεκτος ἔσται παντάπασιν, ἐκεῖνος ἀρξάμενος εἶπεν, ὡς ἐγὼ θεοῦ χάριτι σπουδὴν ἔχω τηρεῖν, ὅσα φθάσω εἰπεῖν καὶ μόνῃ τῇ γλώσσῃ, καὶ τοῦτο ἅπαντες οἴδασιν. εἰ γοῦν περὶ ταῦτα τοιοῦτός εἰμι, πολλῷ μᾶλλον ὀφείλω

στέργειν, ἃ μετὰ πάσης τῆς ἐκκλησίας ἔπραξα, καὶ πολλοὺς ἔχω τοὺς μάρτυρας τῶν γεγονότων· οὔτε γοῦν εἶπόν τι πρός τινα ἐπ' ἀνατροπῇ δῆθεν τῆς πράσεως ταύτης τοῦ χωραφίου, οὔτε λέγω, ἀλλ' ἔστεργα καὶ στέργω τὸ γεγονός, καὶ οὐδὲ αὐτὸς ὁ Σοφιανὸς ἔχει τοῦτο παραστῆσαι, ὅτι ἢ πρὸς αὐτὸν ἢ πρὸς ἕτερόν τι τοιοῦτον ἐξεῖπον· εἰ δὲ θέλει τις ἕτερος φιλονείκως εἰς λόγους ἔρχεσθαι μετ' αὐτοῦ καὶ λέγειν αὐτῷ τοιαῦτα, τοῦτο οὐ πρὸς ἐμέ, ἐγὼ γὰρ οὔτε τινὶ ἐχρησάμην πρὸς αὐτὸν μηνυτῇ τῶν τοιούτων, οὔτε κατὰ πρόσωπον εἶπον αὐτῷ τι, ἀλλ' ἐμμένω εἰς ὅσον ἐποίησα, εἰρηνευέτω οὖν καὶ αὐτός. οὕτω ταῦτα τοῦ Ῥαοὺλ εἰπόντος, ὁ Σοφιανὸς ἀρξάμενος εἶπεν, ὡς περισσὸν εἶναί μοι δοκεῖ λογομαχεῖσθαι νῦν μετὰ τοῦ Ῥαοὺλ καὶ ἀποδεικνύειν αὐτῷ, ὡς ἅπερ ἤκουσα, λόγοι ἦσαν αὐτοῦ, ἀρκοῦμαι δὲ εἰς ὅσα νῦν συνοδικῶς ὡμολόγησεν· εἰ γοῦν καὶ τῇ θείᾳ καὶ ἱερᾷ συνόδῳ ἰσχυρὰ ταῦτα φαίνεται πρὸς τὸ κατέχειν τὸ χωράφιον τὴν μονὴν τοῦ ἁγίου Μάμαντος ἀνενοχλήτως καὶ ἀδιασείστως ἀπὸ τοῦ Ῥαοὺλ καὶ παντὸς τοῦ μέρους αὐτοῦ, ἤδη καλόν· εἰ δ' ἕξει ποτὲ τὴν τυχοῦσαν διενόχλησιν ἐξ αὐτοῦ, παραιτεῖται τοῦτο ἀπ' αὐτῆς ἤδη τῆς σήμερον, καὶ παραλαβέτω τοῦτο ὁ Ῥαοὺλ, καὶ ἀποδότω τὰ ὀκτακόσια ὑπέρπυρα· ἐμοὶ γὰρ ὁ Ῥαοὺλ φίλος ἐστὶ πολύς, καὶ ὅσον ἀπ' ἐμαυτοῦ ἐσπούδασα ἂν ὑπὲρ αὐτοῦ τὰ μέγιστα, βούλομαι γοῦν καὶ αὐτοῦ τὸ ἀζήμιον, ὥσπερ καὶ τοῦ μοναστηρίου. εἰ γοῦν ἐθέλει, ἀποδότω τῇ μονῇ τὰ ὑπέρπυρα, καὶ ἀναλαβέτω τὸ εἰρημένον χωράφιον, καὶ καταλυθήτω ἡ πρᾶξις. ταῦτα δὲ λέγω, ἐὰν καὶ τῷ παναγίῳ ἡμῶν δεσπότῃ οὕτω δόξῃ τὰ περὶ τούτου, ὁ πρῶτος γὰρ τῆς μονῆς ταύτης καὶ τῶν ἄλλων προστάτης καὶ οἰκονόμος καὶ φροντιστὴς καὶ δεσπότης οὗτός ἐστι θείῳ τε καὶ γραπτῷ νόμῳ· εἰ γοῦν καὶ οὗτος οὕτω προστάξει τὰ περὶ τούτου γενέσθαι, ἰδού, καὶ τὰ γράμματα καὶ ἀποβάλλομαι καὶ ταῦτα μετὰ τοῦ χωραφίου. οὕτω μὲν οὖν ὁ Σοφιανός, ὁ δὲ Ῥαοὺλ εἶπεν· ὡς εὐχαριστῶ πολλὰ περὶ τούτου τῷ πατρί μου, τῷ Σοφιανῷ, ὅτι διὰ βοήθειαν ἐμὴν παραιτεῖται αὐτὸς τὸ χωράφιον, ἂν μόνον λάβῃ τὰ ὑπέρπυρα ἐξ ἐμοῦ· τοῦτο δὲ πρότερον ἔδει γενέσθαι, ὅτε τὰ ὑπέρπυρα ἦσαν ἔτι παρ' ἐμοί, ὅτε ἔλαβον αὐτά, καὶ ἐζήτουν μετὰ τοῦ πενθεροῦ μου, ἵνα παραλάβῃς αὐτά, καὶ οὔτε σὺ ἠθέλησας ταῦτα δέξασθαι, οὔτε ὁ τιμιώτατος μέγας χαρτοφύλαξ, ὃς παρέδωκεν ἡμῖν αὐτὰ λαβὼν ἀπὸ σοῦ, ὅτε δὲ καταναλώθησαν τὰ πλείω, τότε ζητεῖς

αὐτὰ ἐξ ἐμοῦ· καὶ πόθεν εὑρήσω ταῦτα; τί δὲ γενήσεται περὶ τοῦ δεκάτου αὐτῶν; ἐγὼ ζημιωθήσομαι τοῦτο, καὶ μὴ ἀναιρεῖται ἡ πρᾶσις, καὶ οὔσης δὲ πράσεως, πῶς ἀποδώσω τὸ δέκατον; ἀλλ' ὅταν καὶ εἰς ταῦτα θεραπεία γενήσεται, ἀκονῶ τὸ ξίφος κατ' ἐμοῦ, ἐγὼ γὰρ διὰ πτωχείαν ἐβουλήθην ἐξελθεῖν τῶν ἐνταῦθα, καὶ διὰ πτωχείαν διέπρασα τὸ χωράφιον τοῦτο, καὶ ἔλαβον ἀπὸ σοῦ τὰ ὑπέρπυρα· νῦν ἐὰν ἀποδῶ σοι τὰ ὑπέρπυρα, καὶ ἀναλάβω τοῦτο ἀπὸ σοῦ, τίς οὐκ ἂν ἀπιστήσειεν ἐφ' οἷς ἔλεγον πρότερον; τίνα ὑπόληψιν ἕξει ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς περὶ ἐμοῦ; εἰ δὲ θέλεις, ἵνα καὶ εἰς ἐμὲ τὸ προσῆκον γένηται, περισωζομένης τῆς ὑπολήψεώς μου, καὶ οὐδὲ τὸ μοναστήριον ἀδικηθῇ, ἃς δέξηται τὸ μοναστήριον ὅσον κατεβαλόμην δέκατον, ἀποδότω ἡ ἀντίληψίς σου, ὅσον εἶπες ἀποδοῦναι, ἐὰν κρατηθῶ ἐνταῦθα, δίδωμι ἐγώ, ὅσα μοι εὑρίσκονται ἀπὸ τῶν ὑπερπύρων τῆς τιμῆς, καὶ εἰς ὅσα ἐναπολειφθῶσι, ποιῶ γράμμα, ἵνα ἐντὸς ὡρισμένου καιροῦ ἀποδῶ αὐτά. ταῦτα τοῦ Ῥαοὺλ εἰπόντος εἶχε μὲν ὁ Σοφιανὸς ἀντιλέγειν πρὸς ἅπαντα· οὐ γὰρ ὑπέκυπτεν ἤδη δέκατον ἀποδοῦναι ἢ ἀπὸ τῆς τιμῆς ἀφιέναι τι αὐτῷ ἢ ἐπὶ διωρίᾳ τῇ τυχούσῃ τὴν λοιπάδα τῶν ὑπερπύρων ἀπολαβεῖν, ἀλλ' ἐζήτει ἢ τὰ ὑπέρπυρα πάντα ἀναλαβεῖν, ἐὰν ἡ σύνοδος διακρίνῃ, ἢ τὸ χωράφιον κατέχειν δεσποτικῶς τὴν σεβασμίαν μονήν, ὡς δικαίως παρὰ ταύτης ἐξωνηθέν. ἡ δὲ μετριότης ἡμῶν, συνοδικῶς διασκεψαμένη τὰ περὶ τούτου, οὐκ ἔγνω δίκαιον εἶναι, τὰ καλῶς τὴν ἀρχὴν προβάντα καὶ νομίμως καὶ κανονικῶς καὶ ἐπὶ πράγμασι θείων καὶ σεβασμίων μονῶν ἁπλῶς οὕτως καὶ ὡς παίδων ἀθύρματα τὴν ἀνατροπὴν καὶ τὴν κατάλυσιν ἀναδέχεσθαι, ἢ γὰρ ἂν πάντα ἄνω καὶ κάτω γίγνοιντο, ἀλλὰ τότε τοῦτο γενέσθαι, ἡνίκα νόμιμος ἀπαντήσει αἰτία· εἰ γοῦν κἀνταῦθα νόμιμόν τι παρηκολούθησε πρὸς ἀναίρεσιν τῶν εἰργασμένων, οἷον εἴτε ἡ πρᾶσις ἐπὶ ῥητῇ τινι συμφωνίᾳ γέγονεν ἢ ἀναργυρίᾳ, ἢ δόλος καὶ καταδυναστεία παρηκολούθησεν ἢ ἐπὶ τὸ διπλάσιον ἀξία ἡ τοῦ χωραφίου τιμὴ ἢ ἄλλο τι τοιοῦτον, καὶ ἀποδειχθῇ τοῦτο παρὰ τοῦ Ῥαοὺλ, τότε νομίμως καὶ τὰ τῆς πράσεως σαλευθήσεται, καὶ ἡ νόμιμος διωρία δοθήσεται τῷ Ῥαοὺλ πρὸς ἀνεύρεσιν τῶν ὑπερπύρων· εἰ δὲ τοιοῦτον οὐδὲν οὐκ ἔχει ὁ Ῥαοὺλ ἀποδεῖξαι, μενεῖ πάντως καὶ τὰ τῆς πράσεως ἀπαρασάλευτα, ὡς ἐγένοντο, καὶ τὸ χωράφιον ἕξει δεσποτικῶς ἡ σεβασμία μονὴ τοῦ ἁγίου Μάμαντος, κἂν ὁ Σοφιανὸς

ὑποκόπτῃ λαβεῖν τὰ ὑπέρπυρα καὶ τὴν πρᾶσιν ἀθετηθῆναι· ἀφηλίκου γαρ τόπον ἐχούσης τῆς σεβασμίας μονῆς, ὅσα μὲν ὁ Σοφιανὸς ὑπὲρ αὐτῆς πράξει, τὸ στέργον ἕξει καὶ ἀδιάσειστον· ὅσα δὲ κατ' αὐτῆς, ἔσονταί ποτε ταύτῃ εἰς περιγραφήν, ὥσπερ δὴ καὶ ἐπὶ τοῦ ἐπιτρόπου γίνεται. ἀπῃτήθη τοίνυν καὶ ὁ Ῥαοὺλ εἰπεῖν, εἴ τινι τῶν νομίμων αἰτιῶν ἔχει χρήσασθαι κατὰ τῆς πράσεως ταύτης, ἅτε τοῦ λόγου τοῦ Σοφιανοῦ παραγραφέντος, ὃν εἴρηκε πρὸς αὐτόν, ὡς οὐκ ἐγγράφως ἐκτεθειμένου αὐτοῦ, οὐδὲ ἐπὶ ῥητῷ τῷ τοιούτῳ λόγῳ γεγονυίας τῆς πράσεως ταύτης, οὐδὲ συνειδότων τὰ περὶ τούτου τῶν μοναχῶν, οὐδὲ ἐπὶ συμφέροντι ὄντος τοῦ τοιούτου λόγου τοῖς μοναχοῖς. πάντα γὰρ ταῦτα ὁ Ῥαοὺλ ἀπῃτήθη, καὶ οὔτε ἔγγραφον εἶχε παραστῆσαι τοῦτο, οὔτε συνειδότων εἶχε κατηγορῆσαι τῶν μοναχῶν, ἀλλ' ἁπλῶς οὕτως εἶπε ῥηθῆναι τοῦτο πρὸς αὐτὸν παρὰ τοῦ Σοφιανοῦ καὶ ἐν φιλίας προσχήματι. ἐνεφανίσθη δὲ καὶ τὸ πρατήριον τοῦ Ῥαοὺλ τὸ πρὸς τὴν μονήν, καὶ ὑπανεγνώσθη συνοδικῶς, καὶ ἐδόθη τῷ Ῥαοὺλ ἐλευθερία παντελής, ἵνα εἴπῃ, εἰ ἔχει τι κατὰ τῶν ἐν αὐτῷ γεγραμμένων εἰς ἀθέτησιν καὶ παρασάλευσιν τῶν γεγενημένων, ὡς εἰ μὴ τοῦτο ποιήσῃ νῦν ὁπωσδήποτε, ὅτε καὶ ἡ μετριότης ἡμῶν περίεστιν ἡ τὴν πρᾶσιν ἐκχωρήσασα ταύτην γενέσθαι καὶ ὁ ἐπιστατήσας ταύτην καὶ γράψας, ὡς δὲ καὶ ὁ Σοφιανὸς ὁ τὴν ἐφορείαν ἀνῃρημένος σεβασμίας ταύτης μονῆς καὶ οἱ μάρτυρες οἱ καταγεγραμμένοι, ἀπρόσδεκτον εἶναι ὀφείλει, κἂν εἴ τι ἂν εἰς τὸ ἑξῆς ἐπ' ἀνατροπῇ τῶν γεγενημένων προβάληται. τοῦ δὲ Ῥαοὺλ ἐπὶ πολὺ σιωπῶντος, ὁ Λάσκαρις κῦρ . . . ., συγγενὴς ὢν αὐτοῦ καὶ τούτῳ πρὸς τὴν σύνοδον συνοδοιπορήσας, εἴτε κατά τινα τύχην, εἴτε πρὸς τὸ συνηγορῆσαι αὐτῷ, ὃ δὴ καὶ μᾶλλον ἐδόκει· ἐν πολλοῖς γὰρ συνεφαπτόμενος ἦν αὐτῷ καὶ συναγωνιζόμενος καὶ ὑπαλείφων πρὸς τὰς ἀπολογίας, ἀνεκάλυψε τὸν νοῦν τοῦ Ῥαοὺλ καὶ τὴν διάνοιαν ἐκείνου, ἣν ἐνδομυχῶν ἦν πρὸς ἀναίρεσιν τῶν γεγενημένων, ὑπ' ὄψιν ἤγαγε, μᾶλλον δὲ δήλην ταῖς ἁπάντων ἔθηκεν ἀκοαῖς· ἔφη γάρ, ὡς ὁ Ῥαοὺλ οὐδὲν ἄλλο κινῆσαι κατὰ τῆς πράξεως ἔχει ταύτης, εἰ μὴ τὸν τῆς ἀναργυρίας λόγον, ὅθεν καὶ ἐρωτηθεὶς ὁ Ῥαοὺλ τὸ πῶς καὶ δι' ἥντινα τὴν αἰτίαν λέγει ἀναργύρως μὲν πεπραχέναι τὴν πρᾶξιν ταύτην, ὑπογράφει δὲ ἐν τῷ πρατηρίῳ διεξιόντι μᾶλλον τὰ ἐναντία, ἐκεῖνος εἶπεν, ὅτι οὐδεὶς τῶν μαρτύρων ὁμολογῆσαι τοῦτ' ἔχει, ὅτι ἐδεξάμην αὐτὸς τὰ ὑπέρπυρα,

ὅτι ὁ τιμιώτατος μέγας χαρτοφύλαξ οὐκ ἐμοὶ δέδωκε τὰ ὑπέρπυρα, οὐδὲ εἰς τὰς χεῖρας μου παρέθετο ταῦτα, ἀλλ' εἰς τοῦ πενθεροῦ μου, καὶ τρίτον, ὅτι ἐμποδισθεὶς ἐγὼ παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἀπελθεῖν, ἔνθα καὶ ἐβουλόμην, ἀπέστρεψα τὰ ὑπέρπυρα μετὰ τοῦ πενθεροῦ μου πρὸς τὸν τιμιώτατον μέγαν χαρτοφύλακα, ὡς ἂν ἀποδῷ ταῦτα τῷ Σοφιανῷ, ὁ δὲ οὐκ ἔλαβε, καὶ ἀκούσας τοῦτο ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεύς, περιορίσας ταῦτα ἐν τῷ πενθερῷ μου διωρίσατο, ἵνα ἐξ αὐτῶν δίδωνταί μοι μηναῖα εἰς διαίτημα ἐμόν· ζητῶ γοῦν ἐξ ἐκείνου τὸ ἐμὸν χωράφιον, καὶ οὔτε αὐτὸ ἔχω, οὔτε τὴν τιμὴν αὐτοῦ· εἰ δὲ καὶ περὶ τοῦ πρατηρίου θέλει τις μαθεῖν, πῶς ὑπέγραψα τοῦτο, ἐγὼ μὲν σιωπῶ τοῦτο, πλὴν ἴστω, ὅτι ἐν τῷ ῥουχαρίῳ ὑπέγραψα αὐτό, ὅπου, νομίζω, οὐκ εἶχον ἄλλως ποιῆσαι. ἐρωτηθεὶς οὖν παρὰ τῆς ἡμῶν μετριότητος, πότερον βιασθεὶς ἐκεῖσε παρὰ τοῦ Σοφιανοῦ καὶ περιορισθεὶς ὑπέγραψας τοῦτο, ἢ ἀπὸ τύχης αὐτὸ συνέβη; ἐκεῖνος μὲν οὐδὲν εἶχεν εἰπεῖν, ὁ δὲ Σοφιανὸς ἀρξάμενος ἀκροωμένου τοῦ Ῥαοὺλ καὶ μὴ ἀντιλέγοντος εἶπεν· τὸ μὲν πρῶτον πρατήριον (δύο γὰρ γέγονασιν) οὔτε ἐν τῷ ῥουχαρίῳ ὑπεγράφη, οὔτε ὁ Ῥάλης ἔχει τοῦτο εἰπεῖν, ἀλλ' ἐν τῷ ὁσπητίῳ γέγονεν αὐτοῦ, ὅπου καὶ τὰ ὑπέρπυρα παραλαβὼν ἐξ ἐμοῦ ὁ τιμιώτατος μέγας χαρτοφύλαξ παρέδωκεν αὐτῷ καὶ τῇ γυναικὶ αὐτοῦ, τῇ Ῥαουλαίνῃ, καὶ τῷ πενθερῷ αὐτοῦ, ἡ δὲ λαβοῦσα αὐτὰ εἰσῆξεν ἐν τῷ σενδουκίῳ τοῦ ἀνδρὸς αὐτῆς, ὡς δὲ πρατήριον ἔλαβον ἐγώ, καὶ ἐδεήθην ἐπικυρωτικοῦ γράμμματος ἐπὶ τούτῳ, ἔφερον αὐτὸ ἐνταῦθα, καὶ ὑπανεγνώσθη συνοδικῶς, καὶ διὰ τὸ μὴ κατὰ μέρος καταγράφεσθαι ἅπαντα τὰ παρακολουθήσαντα ἐπὶ τῇ τοιαύτῃ πράσει, ἀλλά τι παραλειφθῆναι ἐδέησε μεταγραφῆναι τοῦτο· διεμηνύθη οὖν καὶ ὁ Ῥαούλ, καὶ ἦλθε συνοδικῶς, καὶ τὸ λειπόμενον ἀπὸ τοῦ πρατηρίου ἤκουσεν, ὅτι δίκαιόν ἐστιν, ἵνα προστεθῇ, καὶ συνέθετο μεταγραφῆναι τοῦτο καὶ ὑπογραφῆναι παρ' αὐτοῦ, καὶ λαβὼν ἐγὼ τοῦτο, ὡς εὗρον αὐτὸν ἐν τῷ παλατίῳ, ἠξίωσα αὐτόν, ἵνα ἀναγνωσθῇ τοῦτο καὶ ὑπογράφῃ αὐτὸς καὶ ἄλλοι τῶν ἐκεῖσε παρατυχόντων οἱ κληθησόμενοι, ὃ καὶ γέγονεν. ἐζητήθη οὖν καλαμάριον καὶ κονδύλιν, καὶ ἐπεὶ ἄλλοθεν οὐκ εἴχομεν ταῦτα εὑρεῖν, ἀπήλθομεν κοινῶς ἐν τῷ ῥουχαρίῳ, ὅπου σύνηθες κεῖσθαι τοιαῦτα, τὸ μέν, ἵνα εὕρωμεν αὐτά, τὸ δέ, ἵνα καὶ αὐτὸς καὶ οἱ μάρτυρες καθίσωσι καὶ ὑπογράψωσι μετὰ ἐλευθερίας.

οὕτω γέγονε τὰ τοῦ ῥουχαρίου· περὶ δὲ τῆς ἀναργυρίας καὶ τῶν ἄλλων ἐγὼ τὴν τιμὴν ἅπασαν, εἰς ἣν τὸ χωράφιον περιέστη, αὐτίκα δέδωκα αὐτὴν πρὸς τὸν Ῥαοὺλ διὰ τοῦ μεγάλου χαρτοφύλακος, καὶ πρατήριον ἐδεξάμην παρ' αὐτοῦ, καὶ οὔτε ὑπεκράτησά τι ἀπὸ τῆς τιμῆς, οὔτε ἀντεστράφη τι πρὸς ἐμὲ ἀφ' ὧν δέδωκα, ἀλλ' εἰσὶ πάντα παρὰ τῷ Ῥαοὺλ, καθὼς καὶ αὐτὸς ὡμολόγησε τοῦτο πολλάκις, ὅτι ἐδέξατο ταῦτα, καὶ μάλιστα, ἐν οἷς εἶπεν, ὅτι ἐζήτει ἀντιστρέψαι ταῦτα, καὶ οὐκ εἰσηκούετο· εἰ δὲ μετὰ ταῦτα ἐπισυνέβη τι, καὶ ἢ αὐτὸς ἀπώλεσε ταῦτα, ἢ διὰ λογισμόν τινα φυλάσσονται ταῦτα παρὰ τῷ πενθερῷ τοῦ Ῥαοὺλ, τί τοῦτο πρὸς τὴν μονὴν τοῦ ἁγίου Μάμαντος; ἀλλ' οὐδὲ ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς ἐρεῖ ποτε, ὡς τῆς μονῆς τὰ ὑπέρπυρα περιορίσας ἐστὶ παρὰ τῷ πενθερῷ τοῦ Ῥαοὺλ, ἀλλ' αὐτοῦ μάλιστα τοῦ Ῥαοὺλ· τί γὰρ ἠδίκησεν ἡ μονή, ὥστε τὰ ὑπέρπυρα αὐτῆς κρατεῖσθαι παρὰ τῷ Μακροδούκᾳ, μᾶλλον δὲ οὐ κρατεῖσθαι μόνον, ἀλλὰ καὶ μηναῖα ἐξ αὐτῶν δίδοσθαι τῷ Ῥαοὺλ εἰς διαίτημα ἑαυτοῦ; εἰ γοῦν οὔτε ὁ κραταιὸς καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς περιορίσας περιορίου φαίνεται τῆς μονῆς ὑπέρπυρα, ἀλλὰ τοῦ Ῥαοὺλ, οὔτε αὐτὸς ὁ Ῥαοὺλ ἔχει ποτὲ εἰπεῖν, ὡς ἀπὸ ἄλλοθεν αὐτῷ τὰ ὑπέρπυρα ταῦτα, καὶ οὐκ ἀπὸ τῆς τιμῆς τοῦ χωραφίου· πάντες γὰρ οἴδασι τοῦτο, καὶ αὐτὸς ὡμολόγησεν ἐνώπιον πάντων, ὡς ἡ τοῦ χωραφίου τιμή ἐστι τὰ ὑπέρπυρα ταῦτα. εἰ ταῦτα οὕτως ἔχει, ἀπρόσδεκτός ἐστι παντάπασιν ὁ τῆς ἀναργυρίας λόγος· ἐγὼ γὰρ πάντα κατεβαλόμην τὰ ὑπέρπυρα, ὡς ὁ λόγος ἀπέδειξε καὶ τὰ πράγματα μαρτυρεῖ, ἃ γὰρ ἐσθίει ὁ Ῥαοὺλ καὶ οἰκονομεῖται, ἐκ τῶν ὑπερπύρων εἰσὶ τῆς τοῦ χωραφίου τιμῆς, ἃ ἐγὼ κατεβαλόμην αὐτῷ ὡς ἀπὸ τῆς μονῆς. τούτων οὕτω παρ' ἀμφοτέρων τῶν μερῶν λαληθέντων ἡ μετριότης ἡμῶν, διασκεψαμένη τὰ περὶ τούτου συνοδικῶς, ἐξ ὧν τε ὁ Ῥαοὺλ εἶπε τὴν ἀρχήν, ὅτι στέργει τὸ γεγονός, καὶ οὐκ ἀντιλέγει, ἐξ ὧν τε παρακινηθεὶς προυβάλλετο καὶ ἀνεκάλυψε τὸν νοῦν ἑαυτοῦ, οὐδὲν εὗρεν ἰσχυρὸν πρὸς ἀναίρεσιν τῆς πράσεως ταύτης, μᾶλλον μὲν οὖν ἐκ τούτων, ὅτι καὶ τὰ πρῶτα καλῶς ἐγένοντο, βεβαιοῦνται· οὔτε γὰρ ὅτι ὁ Σοφιανὸς εἶπε τῷ Ῥαοὺλ τοὺς λόγους ἐκείνους, ὡς ἐὰν απομείνῃς, ἔχε καὶ τὸ χωράφιον, καὶ ἀφίημί σοι καὶ ἀπὸ τῆς τιμῆς αὐτοῦ, ἀνάγκη διὰ τὸν ἄγραφον τοῦτον λόγον πρᾶξιν ἀκυρωθῆναι συνοδικήν, αἰτίας νομίμου μὴ παρακολουθησάσης, οὔτε ὅτι ἐν τῷ θεο-

φρουρήτῳ παλατίῳ ὑπεγράφη τὸ πρατήριον, διὰ τοῦτο εὐθὺς καὶ δυναστεία παρηκολούθησε· διηγήσατο γὰρ ὁ Σοφιανὸς τὸ περὶ τούτου πῶς ἐγένετο, καὶ οὐδὲν ἐφάνη τοιοῦτον, ἀκροωμένου τοῦ Ῥαοὺλ πάντα καὶ οὐκ ἀντιλέγοντος, οὔτε ὅτι οἱ μάρτυρες οὐκ εἶδον τὴν τῶν ὑπερπύρων καταβολήν, ἢ τὰ ὑπέρπυρα οὐκ ἔχει νῦν ὁ Ῥαοὺλ, ἀναργυρία ἐνταῦθα παρηκολούθησεν, οἱ μὲν γάρ, εἰ καὶ μὴ ὄψει τὰ ὑπέρπυρα εἶδον, ἀλλ' οὖν συνθεμένου πρὸς αὐτοὺς τοῦ Ῥαοὺλ πρότερον, ὅτι κα τὰ ὑπέρπυρα παρέλαβε καὶ τὸ πρατήριον στέργει, καὶ ὑπογράφαντος αὐτὸ, οὕτως ἐκεῖνοι μετὰ τοῦτον ὑπέγραφαν, ὃ ταὐτόν ἐστι σχεδὸν, εἴπερ κατοφὶ τὴν καταβολὴν ἑώρων τῶν ὑπερπύρων· τὰ δὲ ὑπέρπυρα εἰ καὶ νῦν οὐκ ἔχει εἰς ἐξουσίαν ἑαυτοῦ, οὐ διὰ τοῦτο πάντως καὶ ἀναργυρία γέγονεν, ὅτι γὰρ κατεβάλλοντο οἱ μοναχοὶ τὰ ὑπέρπυρα, καὶ ἀναλίσκονται ταῦτα εἰς τὸν Ῥαοὺλ, οὐ μόνον ἔχει τις αὐτὸ συνιδεῖν ἀφ' ὧν πολλάκις εἴρηκεν, ἀλλὰ καὶ νῦν, εἴ τις ἔροιτο τοῦτον, τίνος εἰσὶν, ἃ ὁ πενθερὸς αὐτοῦ κατατίθησιν ὑπὲρ αὐτοῦ κατὰ μῆνα, ἢ ἐρεῖ, ὡς τῆς μονῆς εἰσι τὰ ὑπέρπυρα, καὶ εὐθὺς οἴχεται ὁ τῆς ἀναργυρίας λόγος, ἢ ἑαυτοῦ εἰπὼν εἶναι ταῦτα, παριστᾷ δήπου, ὡς ἐκεῖνα λαβὼν ἔχει παρ' ἑαυτῷ, καὶ οὐκέτι περιωρισμένα εἰσὶ παρὰ τῷ Μακροδούκᾳ. ὅθεν καὶ διαγινώσκει καὶ ἀποφαίνεται συνοδικῶς ἡ μετριότης ἡμῶν, κατέχειν τὴν δηλωθεῖσαν ἁγίαν καὶ σεβασμίαν μονὴν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Μάμαντος τὸ εἰρημένον χωράφιον κυρίως καὶ δεσποτικῶς, ἀναφαιρέτως καὶ ἀναποσπάστως, καθὼς καὶ τὰ λοιπὰ αὐτῆς κτήματα, ὡς μηδενὸς τῶν προβεβλημένων παρὰ τοῦ Ῥαοὺλ εὐπροσώπου ἀναφανέντος πρὸς κατάλυσιν τῶν γεγενημένων, ἀλλὰ πάντων σαθρῶν καὶ ὑποψύχρων ἀποδειχθέντων ἐκ τῶν πραγμάτων καὶ τῆς ἀληθείας αὐτῆς, διὸ οὔτε αὐτὸς ὁ Ῥαοὺλ ἔχει ποτὲ χρήσασθαι τοῖς τοιούτοις καὶ ἀνακαλέσασθαί ποτε τὸ χωράφιον, ἀνετράπησαν γὰρ συνοδικῶς ταῦτα, ἐστέρχθη δὲ μᾶλλον ἡ πρᾶξις ὡς καλῶς καὶ νομίμως προβᾶσα, οὔτε τις τῶν τοῦ μέρους αὐτοῦ, κληρονόμων δηλονότι καὶ διαδόχων ἐπ' ἀδείας ἕξει ποτὲ τὴν οἱανδήτινα ἐπαγαγεῖν ἐπήρειαν τοῖς μοναχοῖς περὶ τούτου· εἰ δὲ μή, τὸ τῶν ἱεροσύλων ὑποστήσεται κατάκριμα ὁ τοιοῦτος, οὐ μὴν ἀλλὰ καὶ ἡ μετριότης ἡμῶν, ὡς ἱεροῦ ὄντος ἀπὸ τοῦ νῦν τοῦ τοιούτου χωραφίου καὶ τῷ θεῷ ἀνακειμένου καὶ τῷ αὐτοῦ ἐνδόξῳ μεγαλομάρτυρι Μάμαντι, πᾶσαν ἀναστέλλουσα χεῖρα πλεονέκτιν καὶ ἅρπαγα, τὸν ἀπὸ τῆς

ἁγίας καὶ ὁμοουσίου τριάδος βαρύτατον καὶ φρικώδη ἀφορισμὸν καὶ πρότερον ἐξεφώνησε καὶ νῦν ἐκφωνεῖ κατὰ τοῦ ὁπωσδήποτε τολμήσοντος ἀποσπάσαι τὸ τοιοῦτον χωράφιον ἀπὸ τῆς ῥηθείσης σεβασμίας μονῆς, καὶ ἀσυγχώρητον αὐτὸν ἔχει ἀπὸ θεοῦ παντοκράτορος, κἂν ὁποῖος ἄρα καὶ ᾖ. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν ἔτους ,ςϠη' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. η' †.

## DXXIX. 6908 (1400) ind. VIII.

I· † *Hieromonachus Macarius a patriarcha Matthaeo consentientibus metropolita Gotthiae, locum tenente metropolitae Ephesi, et metropolitis Heracleae, Ancyrae, Ungrovlachiae* (τοῦ Οὐγγροβλαχίας τῆς κατὰ τὸν Σεβερῆνον) *et electi Cyzicensis constituitur metropolita Laodiceae et* ἔξαρχος πάσης Φρυγίας Καπατιανῆς †.

II. † *Hieromonachus Theognostus* πάνυ νέος προσελθὼν τῷ ἁγίῳ μου καλογήρῳ, τῷ ἁγιωτάτῳ καὶ οἰκουμενικῷ πατριάρχῃ *constituitur metropolita Cyzici et totius Hellesponti,* ἣν διῆπεν ἡ ἡμῶν μετριότης, *consentientibus metropolita Gotthiae, locum tenente metropolitae Ephesi, metropolitis Ancyrae, Neocaesareae, Ungrovlachiae* τῆς κατὰ τὸν Σεβερῆνον *et electi Heracleensis* †·

III. † *Hieromonachus Theophanes,* καθηγούμενος τῆς σεβασμίας καὶ ἱερᾶς μονῆς τῆς παναγίας ἀχράντου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐπικεκλημένης τῆς Παμμακαρίστου, ὅλῃ ψυχῇ τοῖς τοῦ κόσμου πᾶσιν ἀποταξάμενος καὶ νεκρώσας μὲν ἑαυτὸν τοῖς ἐνταῦθα, ἔργοις δὲ τὰς τοῦ μονήρους βίου συνθήκας καὶ ὑποσχέσεις ἀποπληρώσας καὶ τὴν ἀνάγκην καὶ βίαν τῆς ἐν ὑποταγῇ ζωῆς πρὸς ἄκρον καὶ μεθ' ἡδονῆς ἐνεγκών, *constituitur metropolita*

*Heracleae*, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας, *consentientibus metropolita Gotthiae, locum tenente metropolitae Ephesi, metropolitis Ancyrae, Neocaesareae, Ungrovlachiae* τῆς κατὰ τὸν Σεβερῆνον *et electi Cyzicensis* †.

## DXXX. Sine anno.

*Patriarcha dirimit controversiam.*

† Ἐπεὶ πρό τινος ἤδη καιροῦ ἀντικριθεὶς Ἰωάννης ὁ Κατζᾶς τῷ τοῦ ἑτέρου Κατζᾶ ἐκείνου υἱῷ Μανουὴλ, ὀφείλοντι αὐτῷ ὑπέρπυρα κζ' ἀφ' ὧν ὤφειλεν αὐτῷ τεσσαράκοντα πέντε ὑπερπύρων, ἃ διὰ τὴν αὐτοῦ ἀξίωσιν καὶ φιλίαν ἐδανείσατο μὲν αὐτὸς ἀπὸ Ἑβραίου τινὸς, διδοὺς κατὰ μῆνα καὶ τόκους ὑπὲρ αὐτῶν, δέδωκε δὲ αὐτὰ τῷ Μανουὴλ ἐπὶ τῷ ἐλευθερῶσαι τὸ μητρῷον αὐτοῦ οἴκημα ἀπὸ τοῦ χρέους οὗ ὑπέκειτο, ἐδικαιώθη συνοδικῶς διὰ γράμματος τῆς ἡμῶν μετριότητος, ὁμολογήσαντος ταῦτα καὶ τοῦ Μανουὴλ, πλὴν ἔνδειαν προβαλλομένου καὶ τὸ μητρικὸν οἴκημα περισώζεσθαι λέγοντος, εἰς ὃ τὰ τοιαῦτα ὑπέρπυρα κατεβλήθησαν, ὡς ἂν κρατῇ ὁ Ἰωάννης τὸ ῥηθὲν οἴκημα μέχρι παραδρομῆς τεσσάρων μηνῶν, καὶ τότε ἱκανωθεὶς ἐξ αὐτοῦ τά τε εἴκοσι ἑπτὰ ὑπέρπυρα καὶ τὸν ὑπὲρ αὐτῶν τόκον, ἐπεὶ ὃν μὲν ἐδίδου πρότερον, κατεδικάσθη ζημιωθῆναι αὐτὸς, ὡς διὰ φιλίαν ἑκουσίως τοῦτο προαιρεθεὶς, τὸν δ' ὑπὲρ τῶν τεσσάρων μηνῶν ἀκουσίως ἀναγκαζόμενος διδόναι διὰ τὴν δοθεῖσαν διωρίαν καὶ διὰ τοῦτο ἀζήμιον ἑαυτῷ ἐξαιτησάμενος καὶ λαβὼν, ἐπεὶ καὶ ὁ Μανουὴλ ἀλλότρια εἶναι διωμολόγησε τὰ ὑπέρπυρα, καὶ οὐ τοῦ Ἰωάννου, ἀρτίως δὲ ἀντὶ τῶν τεσσάρων μηνῶν πέντε παρελθόντων, ἐπεὶ οὐκ ἔδωκεν ὁ Μανουὴλ αὐτῷ τὰ τοιαῦτα ὑπέρπυρα, τά τε εἰκοσιεπτὰ τοῦ κεφαλαίου καὶ τὰ τρία, ἃ κατεβάλετο ὑπὲρ τόκου τῶν πέντε μηνῶν, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, κατασχεῖν τὸν Ἰωάννην τὸ μητρικὸν οἴκημα τοῦ Μανουὴλ ἀπὸ τῆς σήμερον καὶ ἱκανωθῆναι χωρίς τινος ὅλως ἀναβολῆς ἐξ αὐτοῦ καὶ λαβεῖν τὰ τριάκοντα ὑπέρπυρα, ἃ ἔδωκεν ἐπάνω αὐτοῦ, ὅπως ἂν δυνηθῇ, εἴτε ἀπὸ ἐκποιήσεως αὐτοῦ, εἴτε καὶ καταχαλασθέντος αὐτοῦ, ἐπεὶ καὶ ἡ δοθεῖσα ὑπὲρ αὐτοῦ νόμιμος διωρία παρῆλθε καὶ πλέον, ὅ τε Μανουὴλ ὑπεσχέθη ἐντὸς ῥητῶν ἡμερῶν πάλιν δοῦναι αὐτὰ, δέδωκε δὲ οὐδὲ ὀβολόν. τούτου γὰρ χάριν γεγονὸς καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐπε-

δόθη Ἰωάννῃ τῷ Κατζᾷ δι' ἀσφάλειαν. ταῦτα δὲ οὕτω διεκρίθησαν, ἐπεὶ καὶ τὸ χρέος, εἰς ὃ ὑπέκειτο τὸ ὀσπήτιον, ἄνωθεν τῆς μητρὸς ἦν τοῦ Μανουὴλ, κἀκείνη ἡ τοῦ ὀσπητίου κυρία ἐντὸς διωρίας καιροῦ συνεφώνησεν ἵνα ἐκποιηθῇ τὸ ὀσπήτιον, εἴπερ οὐ δυνηθῇ τὸ χρέος ἀποδοῦναι, ὅ τε Μανουὴλ τῆς μητρὸς αὐτοῦ τῶν ἐνταῦθα ἀποδημησάσης καὶ τῆς διωρίας, ἣν ἔθηκεν ἐκείνη, παρελθούσης, ἐπεχείρησε μὲν δανεισάμενος ἐλευθερῶσαι αὐτὸ, οὐκ ἴσχυσε δὲ, ὡς δεδήλωται τοῦτο· διὰ τοῦτο καὶ δικαίως καὶ γνώμῃ ἐκείνης καὶ πάλαι τε ἐξεποιήθη ἂν, καὶ νῦν δι' ἐκεῖνο τὸ τότε χρέος ἐδόθη πρὸς Ἰωάννην τὸν Κατζᾶν, ὡς ἂν λάβῃ μὲν αὐτὰ, ἃ ὑπε . . . κατεβάλετο, τὰ δὲ πλείω τῶν τριάκοντα οἱ κληρονόμοι ἐκείνης τῆς μητρὸς τοῦ ῥηθέντος Μανουὴλ †.

## DXXXI. Sine anno.

*Exhortatio patriarchae ad Ducam Diasorenum, homicidio devinctum.*

† Ἐν ἁγίῳ πνεύματι υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Δοῦκα Διασωρηνέ· χάρις εἴη σοι καὶ εἰρήνη ἀπὸ θεοῦ παντοκράτορος. τὰ γράμματά σου διεκομίσθησαν εἰς τὴν ἡμῶν μετριότητα μετὰ τοῦ κατὰ πνεῦμα υἱοῦ αὐτῆς, Δούκα Διασωρηνοῦ τοῦ Παντολέοντος, καὶ ἐγνωρίσαμεν ἐξ αὐτῶν, περὶ ὧν ἔγραφες κατὰ μέρος ἐν αὐτοῖς· εἰ μὲν οὖν τὸ συμβὰν εἰς σὲ νεαρὸν ἦν, καὶ ἄρτι πρώτως ἐπεζήτεις τὴν θεραπείαν εἰς τοῦτο, ἔμελλεν ἡ μετριότης ἡμῶν κατὰ τὴν ἐξομολόγησιν τὴν σὴν τὰ δοκοῦντα αὐτῇ γράψαι πρὸς ἐξιλέωσιν τῶν ἡμαρτημένων σοι· ἐπεὶ δὲ τοῦτο πρὸ πολλῶν συνέβη τῶν χρόνων, καὶ σὺ ἐξομολογησάμενος τοῦτο ἐζήτησας ἀπὸ τοῦ ἁγιωτάτου μου καὶ ἀοιδίμου πατριάρχου, κῦρ Νείλου, κανόνας καὶ ἐπιτίμια πρὸς ἐξιλέωσιν αὐτοῦ, ὁ δὲ διέκρινεν, ὅσα δὴ καὶ ἐγγράφως παρεδηλώσατο, ἃ δὴ νῦν ὁμολογεῖς, ὅτι πεπληρωκὼς συγχωρήσεως παρ' αὐτοῦ ἔτυχες, πλείονος δὲ βοηθείας ψυχικῆς ζητεῖς, ἵνα καὶ παρὰ τῆς ἡμῶν μετριότητος συγχωρήσεως εἰς ταῦτα τύχῃς καὶ συμπαθείας, ἡ μετριότης ἡμῶν, μετ' εὐμενείας τὴν σὴν προσδεχομένη παράκλησιν, πληροφορεῖ καὶ παρακέλευταί σοι, ὡς εἴπερ τὸ συνειδὸς λέγει σοι, ὅτι πεπλήρωκας τὸν δοθέντα σοι κανόνα παρὰ τοῦ ἁγιωτάτου μου καὶ ἀοιδίμου πατριάρχου ἐκείνου, καὶ οὐδὲν ὑστερήθης τι τῶν ἐκείνῳ διωρισμένων, παρὰ τῷ θεῷ συγκεχωρημένος ὑπάρχεις, καὶ ἡ μετριότης ἡμῶν συγκεχωρημένον ἔχει σε διὰ τοῦ παρ-

όντος αὐτῆς γράμματος. πλὴν ἐπειδὴ λογισμῷ κινούμενος ἀγαθῷ οὐκ ἠρκέσθης ἐπὶ μόνῃ τῇ συγχωρήσει ἐκείνῃ, ἥτις καὶ προσηκόντως ἐγένετο παρὰ τοῦ ἁγιωτάτου μου ἐκείνου πατριάρχου καὶ ἀοιδίμου, ἀλλὰ καὶ τῆς παρὰ τῆς ἡμῶν μετριότητος συγχωρήσεως ἐδεήθης, ὡς ἂν εἴ τις καὶ μώλωψ ἐναπολειφθῇ σοι τῆς ἁμαρτίας ἐκείνης, ἀπαλείψῃς καὶ τοῦτον, καὶ καθαρὸς ὀφθῇς τῷ καθαρῷ καὶ μόνῳ θεῷ ἡμῶν, δίκαιόν ἐστι, ἵνα καὶ ἡ μετριότης ἡμῶν ὅσα ταύτῃ δοκεῖ πρὸς πλείονα τῆς ψυχῆς τῆς σῆς θεραπείαν καὶ παντελῆ ἀναίρεσιν τοῦ ῥύπου καὶ τῆς ἁμαρτίας ἐκείνης, ταῦτα καὶ εἰσηγήσασθαι πρὸς σὲ καὶ παραινέσαι πατρικῶς. πρῶτον οὖν εἰδέναι σε βουλόμεθα, ὅσον ἐστὶ τὸ πταῖσμα, εἰς ὃ ἐνέπεσες· εἰ γὰρ ᾔδεις τοῦτο ἀκριβῶς, καὶ ἀπὸ σαυτοῦ πολλὰ μέλλεις ποιήσειν εἰς ἐξιλέωσιν αὐτοῦ, καὶ εἴ τι ἄλλο ἡμεῖς προστάξομεν, οὐ φανεῖταί σοι τοῦτο βαρύ· ὅτι δὲ ἀγνοεῖς τὸ πταῖσμα τὸ σόν, φαίνεται τοῦτο ἀπὸ τῆς ἐξομολογήσεως τῆς σῆς· ἐν τῷ λέγειν σε γάρ, ὅτι φοβούμενος, μή ποτε χυθῶσιν αἵματα πολλὰ καὶ φόνοι γένωνται ἀπὸ τῆς προδοσίας, τὸ μυστήριον ἐξήγγειλας, καὶ ἀπέθανον ἄνθρωποι μόνοι δέκα, δικαιοῖς τάχα σεαυτόν, ὅτι εἰ καὶ ἀπέθανον ἄνθρωποι ἐκ σοῦ, ἀλλ' οὖν πάλιν ἐβοήθησας, καὶ οὐκ ἐγένετο μεγάλη φθορά, ὅπερ οὐκ ἔστι κρίσεως ὀρθῆς, ἀλλ' ἀτόπου πάνυ καὶ σφαλερᾶς· τὸ μὲν γὰρ γενέσθαι φθορὰν τοσαύτην ἄδηλόν ἐστι, εἰκὸς γάρ ἐστι μὴ γενέσθαι· εἰ δὲ καὶ τοῦτο ἐγένετο, τί πρὸς σέ; τότε ἀνέγκλητος ὑπῆρχες αὐτός· εἴ τις δὲ ἔνοχος ἦν εἰς τοῦτο, ἐγκαλοῖτο ἂν ἐκεῖνος· ὅτι δὲ ὁ φόνος τῶν δέκα ἀνδρῶν ἀπὸ συνεργίας γέγονε τῆς σῆς καὶ ἡ δήμευσις καὶ ἡ ἐξορία τῶν ἄλλων, τοῦτο πᾶσίν ἐστι φανερόν. ἀπηρτισμένος οὖν φονεὺς ἦσθα, καὶ οὐχ ἑνὸς ἀνθρώπου μόνον, ἀλλὰ δέκα, καὶ μηδεὶς σε ἐξαπατάτω λογισμὸς τοιοῦτος, ὅτι συγγνώμην ἔχεις τάχα τινὰ ἀπὸ τοῦ κωλυθῆναι πλείονα φόνον γενέσθαι, ἀποθανόντων μόνων ἐκείνων τῶν ἀνδρῶν, ἀλλὰ φονέα σαυτὸν ἡγοῦ τῶν φονευθέντων καὶ αἴτιον τῶν δημευθέντων καὶ τῶν ἐξορισθέντων, πάντες γὰρ ἀπὸ αἰτίας ἔπαθον καὶ ἀφορμῆς τῆς σῆς, καίτοι γε ἤρκει σοι εἰπεῖν πρὸς ἐκείνους, ὡς οὐχ ὑπάρξεις τούτοις κοινωνός, καὶ οὕτως ἐκώλυες ἂν καὶ ἐκείνων τὴν ὁρμήν, καὶ σαυτὸν ἠλευθέρους τῆς ἁμαρτίας τῆς τοσαύτης· εἰ δέ τι μετὰ ταῦτα γέγονεν αὐτοῖς, ἀνέγκλητος ἂν ὑπῆρχες αὐτός, ἀλλὰ τοῦτο ἦν πάντως τὸ κινῆσάν σε πρὸς προδοσίαν τὴν αὐτῶν, καὶ οὐκ ἔχεις αὐτὸ ἀρνήσασθαι, ὡς οὐκ ἄλλως ἔχει, ἐπεὶ καὶ

νῦν, εἰ ἐλεγχθῆναι θελήσεις ὑπὸ τοῦ συνειδότος, ἐρεῖς τοῦτο, ὡς οὕτως ἔχει, ὅτι φοβούμενος, μή ποτε ἀστοχησάντων ἐκείνων φωραθῇς καὶ αὐτὸς, καὶ πάθῃς ὡς ὑπαίτιος, ἠναγκάσθης, ἵνα πιστὸς δόξῃς καὶ ἀναίτιος, καὶ προέδωκας αὐτοῖς. τι οὖν ἄλλο ποιεῖ τῶν φονέων ἕκαστος, ἢ τοῦτο; καὶ γὰρ καὶ ἐκεῖνος, φοβούμενος, μήποτε ὑπὸ τοῦ ἐχθροῦ αὐτοῦ φονευθῇ, προλαβὼν φονεύει τοῦτον, καὶ τὸ μὲν ἐκείνου ἄδηλόν ἐστιν, εἰκὸς γὰρ ἦν, μὴ φονεῦσαι, τὸ δὲ ἑαυτοῦ δῆλον ἅπασιν, ἐφόνευσε γάρ, ὃ δὴ κἀνταῦθα συνέβη· ὃ μὲν γὰρ αὐτὸς ἔδρασας, τοῦτο καὶ αὐτὸς ὁμολογήσεις, ὅτι δι' ὑποψίαν φόβου τοῦτο πεποίηκας, ὃ δὲ ὑπώπτευσας, μή ποτε φωραθέντων ἐκείνων καὶ βασανιζομένων ἀπρεπῶς ὁμολογηθῇς καὶ αὐτὸς καὶ ἀποθάνῃς, τοῦτο ἄδηλόν ἐστι, εἰκὸς γὰρ ἦν, μήτε αὐτοὺς φωραθῆναι, μήτε σὲ ὁμολογηθῆναι παρ' αὐτῶν. πρῶτον οὖν, ὡς εἴπομεν, βουλόμεθα εἰδέναι σε, ὡς τέλειος καὶ ἑκούσιος ὑπάρχεις φονεύς, ἔπειτα, τούτου ὑποκειμένου ἐν τῇ ψυχῇ τῇ σῇ, γινώσκειν ἀκριβῶς, ὡς εἰ καὶ τὸν δοθέντα σοι κανόνα ἐπλήρωσας, καὶ συγχωρήσεως ἔτυχες ὑπὲρ τῆς ἐκκλησίας Χριστοῦ, ἀλλὰ σὺ διηνεκῶς ἐναγώνιος εἶναι ὀφείλεις, ὑπ' ὄψιν ἔχων τὸ πάθος καὶ σαυτὸν κατατρύχων καὶ καθ' ἑκάστην ἡμέραν δίκας ὧν εἰργάσω, ἀποδιδούς, βέλτιον γὰρ ἐνταῦθα τιμωρηθῆναί σε μικρὸν ἢ ἐν τῷ μέλλοντι ἐκείνῳ καὶ ἀπεράντῳ αἰῶνι, ἔνθα πάντες οἱ ἀπ' αἰῶνος μάρτυρες τῶν γινομένων καὶ θεαταί· γνωστὸν γὰρ ἔστω σοι, ὡς εἴ τις ἐνταῦθα τῶν ἁμαρτημάτων τὰς δίκας οὐκ ἀποδώσει, τὰ ἐκεῖσε δικαιωτήρια οὐκ ἐκφεύξεται, κἂν καὶ συγχωρήσεως ἐνταῦθα τύχῃ παρ' ἡμῶν, καὶ τοῦτο δῆλον ἐκ τοῦ πταίσματος τοῦ προφητάνακτος καὶ μεγάλου Δαυΐδ· ἐλεγχθεὶς γὰρ ὑπὸ τοῦ προφήτου Νάθαν ἐπὶ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ τῷ εἰργασμένῳ καὶ ἐξομολογησάμενος καὶ συγχωρηθεὶς παρ' αὐτοῦ· ἀφεῖλετο γὰρ, φησίν, κύριος τὸ ἁμάρτημά σου, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσκλαίων ἦν διηνεκῶς καὶ τὸ θεῖον καθ' ἑκάστην διὰ μετανοίας ἐξιλεούμενος, καὶ τοῦτο δῆλον ἐξ ὧν αὐτός φησιν· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου, ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· καὶ ἀλλαχοῦ· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω. καὶ τούτων γεγονότων οὐδὲ τὰς δίκας ἐξέφυγε τὰς ἐνταῦθα, ἀλλὰ καὶ ταύτας ἀπέδωκε· δι' οὐδὲν γὰρ ἕτερον ἐξώσθη τοῦ θρόνου καὶ βασιλείας αὐτοῦ ὁ μέγας ἐκεῖνος καὶ περιβόητος, καὶ παρὰ

τοῦ υἱοῦ αὐτοῦ ἐδιώκετο τοῦ Ἀβεσαλώμ, συγχωρήσει θεοῦ, ἀλλ' ἢ διὰ τὴν ἁμαρτίαν ταύτην, ἵνα ἐνταῦθα τιμωρηθεὶς ἐκεῖσε στεφανωθῇ· ὅτι δὲ διὰ τὴν ἁμαρτίαν ταύτην προσέπεσεν αὐτῷ τὰ τοσαῦτα δυσχερῆ, δῆλον, ὅτι πρὸ αὐτῆς οὐδεὶς ἀντέστη αὐτῷ, οὐδὲ προσέκρουσεν, ἀλλ' ἀκύμαντος ἦν καὶ εἰρηναία ἡ ἀρχὴ αὐτῷ. εἰ γοῦν καὶ αὐτὸς ἐφίεσαι τῆς σωτηρίας τῆς σῆς, καὶ οὐδὲ μίαν ἐθέλεις ἀποδοῦναι δίκην ὧν εἰργάσω, ἔχε καὶ τὰ προγεγονότα σοι πάντα εἰς μισθαποδοσίαν, καὶ διηνεκῶς σπούδαζε καὶ ἐπιμελοῦ εἰς τὸ ἔμπροσθεν, ἐπεὶ καὶ ὁ μακάριος Παῦλος οὕτω φησί· τῶν ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι. καὶ οὐ λέγω σοι νῦν, ὅτι διὰ τοὺς φόνους μόνους δεῖ σε ἀγωνίζεσθαι, ἵνα τύχῃς συμπαθείας εἰς αὐτούς, ἁπλῶς πᾶς χριστιανὸς οὕτω ποιεῖν ὀφείλει, καὶ χωρὶς τούτων οὐδενί ἐστιν εὑρέσθαι σωτηρίαν ψυχῆς· στενὴ γάρ, φησίν, καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωήν, πλατεῖα δὲ καὶ εὐρύχωρος ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν. καὶ ἀλλαχοῦ· διὰ πολλῶν θλίψεων δεῖ εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ· καὶ πάλιν· βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν, καὶ οὐδεὶς ἀπείραστος εἰσέρχεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ. καὶ μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. καὶ πολλὰ ἄλλα ἔχομεν εἰπεῖν, ἐξ ὧν ἁπάντων συνάγεται, ὡς δεῖ πάντα χριστιανὸν ἅπαντα ὑπομένειν διὰ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ πάντα ἐκεῖνα κατορθοῦν, ἃ ὁ κύριος ἐνετείλατο ἡμῖν. εἰ γοῦν πᾶς χριστιανὸς οὕτω ποιεῖν ὀφείλει, τί ἄξιον ἐργάσεται ὁ εἰς φόνους ἐμπεσών, καὶ ταῦτα τοσούτους; εἰ γὰρ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς ποῦ φανεῖται; καὶ ταῦτα λέγω, οὐχ ἵνα σὺ σαυτὸν ἀπογνῷς (τὰ γὰρ ἀδύνατα παρὰ ἀνθρώποις δυνατά εἰσι παρὰ τῷ θεῷ) ἀλλ' ἵνα μᾶλλον ἀπὸ τούτων διαγνῷς, ὅσον ἐστὶ τὸ πταῖσμα τὸ σόν, καὶ δρόμον τρέχῃς μαρτυρικόν, ἄχρις ἂν ζῇς, καὶ μὴ μείνῃς μέχρι τούτου, ὅτι καὶ τοὺς κανόνας εἰργάσω, οὓς ἔδωκέ σοι ἡ ἐκκλησία Χριστοῦ, καὶ συγχωρήσεως ἔτυχες παρ' αὐτῆς, ἀλλὰ καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος διατελῇς, καθὼς φησι ὁ μακάριος Παῦλος. ὅτι δὲ μαρτυρίου δρόμον τρέχειν ὀφείλεις, ἄκουσον, τί φησιν ὁ μέγας Βασίλειος· ἐφόνευσας, μαρτύρησον ἢ τὰ ἰσοδυναμοῦντα τῷ μαρτυρίῳ ἔργα ποίησον, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ ἀπόθεσις καὶ στέρησις τῆς ἰδίας ζωῆς· τοῦτο γάρ ἐστι τὸ μαρτύριον, τὸ μὴ ἀρκεσθῆναι μόνον ἐπὶ χρημάτων ἀποβολῇ, ἐπ' ἀφαιρέσει παίδων, στερήσει φίλων καὶ συγγενῶν, ἀλλὰ

καὶ αὐτὴν προέσθαι τὴν ψυχὴν ὑπὲρ τῆς σωτηρίας αὐτῆς· εἰ δὲ μὴ τοῦτο, φησί, δυνατόν, τὰ ἰσοδυναμοῦντα μαρτυρίῳ ἔργα ποίησον, ἤγουν διηνεκῶς ἐναγώνιος ἔσο, ἀγρυπνῶν, μετανίζων, νηστεύων, ταπεινοφρονῶν, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ παραπτώματος καὶ προστιθέμενος παντὶ ἔργῳ ἀγαθῷ, καθὼς καὶ ὁ μακάριος Παῦλός φησιν· ἐπειδὴ οὖν καὶ σύ, φθόνῳ τοῦ πονηροῦ δαίμονος, περιέπεσες εἰς φόνους τοσούτους, δίκαιόν ἐστιν, εἴπερ γνησίως ἐφίεσαι τῆς σωτηρίας τῆς σῆς, ταύτην ὁδεῦσαι τὴν ὁδόν, ἣν ὁ μέγας Βασίλειος εἴρηκεν, ἀλλὰ μὴ ἀρκεσθῆναι ἐπὶ μόνῳ ἐκείνῳ τῷ δοθέντι κανόνι· εἰ γὰρ καὶ οἱ θεῖοι καὶ ἱεροὶ πατέρες ἡμῶν ἐφ' ἑκάστῳ τῶν ἁμαρτημάτων ὅρους ἔθεντο καὶ κανόνας, ἀλλ' ἡμεῖς ὅταν καὶ τούτους πληρώσωμεν, ἐναγώνιοι καὶ οὕτως ὀφείλομεν εἶναι καὶ ὡς μηδὲν πεποιηκότες ἐξ αὐτῶν· ὅταν γάρ, φησί, ποιήσητε πάντα τὰ διατεταγμένα, τότε ἐρεῖτε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. ἐγὼ μὲν οὖν, εἴπερ ἐστί σοι τοῦτο δυνατόν, συμβουλεύσαιμι ἂν τοῦ κόσμου ἀπορραγῆναι καὶ τῶν φροντίδων τῶν κοσμικῶν καὶ τὸ μοναχικὸν ἐνδύσασθαι σχῆμα καὶ συζῆσαι θεῷ· ἐκεῖσε γὰρ μόλις ἂν γένοιτό σοι τὸ τὸν μαρτυρικὸν διανύσαι βίον· ἐζήσαμεν γὰρ τῇ σαρκί, ζήσομεν καὶ τῷ πνεύματι. εἰ δὲ τοῦτό σοι νῦν οὐ δυνατόν, παῖδας προβαλλομένῳ καὶ βίον καὶ πολιτείαν καὶ φίλους καὶ γυναῖκα καὶ συγγενεῖς, δύνασαι, εἰ βούλει, καὶ ἐν τῷ κόσμῳ ὢν ἐγγὺς τούτων ἐλθεῖν. πῶς; ἐὰν ὑπ' ὄψιν ἔχῃς ἀεὶ τοὺς φόνους καὶ τὰ αἵματα τῶν ἀνδρῶν ἐκείνων τῶν φονευθέντων, ἐὰν ἔναυλον ἔχῃς ἐν τοῖς ὠσὶ τοῖς σοῖς τὴν τοῦ κυρίου φωνήν, ὡς ὁ κόσμος ὅλος οὐκ ἔστιν ἀντάξιος ὑπὲρ μιᾶς ἀνθρώπου ψυχῆς, ἐὰν τῶν πληρωθέντων παρά σου κανόνων ἐπιλανθανόμενος, ὅτι πεπλήρωνται, δίδως σεαυτὸν εἰς ἐκπλήρωσιν μειζόνων καὶ τελεωτέρων κανόνων, καθὼς καὶ τὸ ἀποστολικὸν διέξεισι ῥητόν, ὅτι τῶν ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι· ἐὰν τὸ πταῖσμα τοῦτο τοῦ φόνου μέγιστον τῶν ἄλλων πταισμάτων νομίζῃς καὶ ὑπερβαῖνον πάντα κανόνα, ἐὰν λογίσῃ, ὅπερ ὁ Ζακχαῖος ἐκεῖνος ἐποίησεν ἐπὶ τῇ παρουσίᾳ Χριστοῦ· τί γάρ, φησὶν ἐκεῖνος, ἰδού, κύριε, τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινος ἐσυκοφάντησα, ἤγουν ἠδίκησα, ἀποδίδωμι τετραπλάσιον, καίτοι τὸ γεγονὸς παρὰ σοῦ οὐκ ἔστι ταὐτὸν τοῖς Ζακχαίου πταίσμασιν, ἀλλὰ χείριστον πολλῷ, ἐκεῖσε μὲν γὰρ τῷ ἀδικηθέντι χρήματα ἦν ἴσως ἢ

κτήματα ἡ ζημία, ἅπερ εἰκὸς ἦν αὐτὸν ἑτέρωθεν κτήσασθαι τοιαῦτα ἢ καὶ πολλῷ κρείττονα αὐτῶν· πολλοὶ γὰρ πολλάκις ἀποβαλόντες τινὰ τοῦ χρόνου τρέχοντος δεύτερα ἐκτήσαντο τῶν προτέρων ἀμείνω, ἐνταῦθα δὲ ἡ ζημία τοῖς φονευθεῖσιν αὐτή ἐστιν ἡ ζωή, ἥντινα οὔτε ἐκείνοις ἐστὶ δυνατὸν εὑρεῖν ἄλλοθεν, οὔτε σὲ πρὸς αὐτοὺς ἀποδοῦναι, κἂν ὁπόσα σπουδάσῃς ὑπὲρ τούτου, ψυχὰς γὰρ ἐξῆξας, ἃς οὐκ ἔστιν ἑτέρῳ τινὶ τοῖς σώμασιν ἐμβαλεῖν, εἰ μὴ τῷ δημιουργῷ τούτων, τῷ μόνῳ θεῷ ἡμῶν. ἐπειδὴ τοίνυν ἡ σὴ ἁμαρτία ὑπερβαίνει καὶ τὴν τοῦ τελώνου ἐκείνου τοῦ Ζακχαίου, πλείονα πάντως ὀφείλεις ποιῆσαι πρὸς ἐξιλέωσιν αὐτός, ἢ ἐκεῖνος ὑπεσχέθη, καὶ ἐπειδὴ νῦν καιρὸς οὐκ ἔστιν ἀγώνων καὶ παλαισμάτων μαρτυρικῶν, ἵνα ἐν βραχεῖ καιρῷ μάρτυς ἀποδειχθῇς καὶ ἀποδῷς τὴν ψυχὴν ὑπὲρ τῶν ψυχῶν τῶν ἀνδρῶν ἐκείνων τῶν φονευθέντων, κἂν τοῖς δευτέροις τούτοις ἔργοις τοῖς ἰσοδυναμοῦσι τῷ μαρτυρίῳ ἀπόδος ἑαυτὸν καὶ μεμνημένος ἀεὶ τοῦ πταίσματος τούτου, ὅτι ψυχὰς διεῖλες τῶν ἰδίων σωμάτων, ἃς ὁ μόνος δημιουργὸς εἶχεν ἐπ' ἀδείας ἐκβαλεῖν, ὧν ὑπὲρ μιᾶς οὐδὲ κόσμος ὅλος οὐκ ἔστιν ἀντάξιος, ὑπὲρ ὧν ὁ κύριος ἡμῶν καὶ θεὸς ἐνηνθρώπησεν, ἃς εἰκὸς ἔχειν ἁμαρτίας ἐξαγορεύσεως καὶ διορθώσεως δεομένας, ἐνεποδίσθησαν ὑπὸ σοῦ, καὶ ἀπῆλθον ἀμετανόητοι, τοῦ θανάτου προκαταλαβόντος αὐτούς· τούτων πάντων μεμνημένος, πρῶτον μὲν κλαῖε καὶ πρόσπιπτε καὶ ἐκλιπάρει πρὸς ἐξιλέωσιν, λειτουργίας ἐργαζόμενος καὶ εὐχέλαια, ἔπειτα ἐρεύνησον, εἴ τις ἐναπελείφθη συγγενὴς ἀπὸ τῶν ἀνδρῶν ἐκείνων τῶν φονευθέντων ἢ καὶ τῶν ἐξορισθέντων, καὶ εὑρὼν αὐτόν, ποίησον ἐλεημοσύνην τὴν δυνατὴν εἰς αὐτόν, εἴτε εἷς ἐστιν, εἴτε πολλοί, μᾶλλον δὲ ἐλεγξάτω σε τὸ συνειδός, εἴπερ ἐκέρδησάς τι ἀπὸ τῆς προδοσίας ταύτης, καὶ ἀπόδος τοῦτο, ὅσον ἂν καὶ εὑρεθῇ, πρὸς τοὺς συγγενεῖς ἐκείνων, τιμὴ γὰρ αἵματός ἐστι τοῦτο, καὶ οὐ δεῖ σε κατέχειν αὐτό· εἰ δὲ μὴ ὦσιν ἐκείνων συγγενεῖς, ἀπόδος τοῦτο, καὶ εἴ τι ἄλλο βούλει, ἀπὸ τοῦ βίου σου ὑπὲρ ἀναρρύσεως αἰχμαλώτων καὶ εἰς ψυχὰς πεινώσας καὶ δεομένας· ἐλεημοσύναις γὰρ καὶ πίστεσι, φησίν, ἐξαλείφονται ἁμαρτίαι, καὶ μὴ εἴπῃς, ὅτι πεποίηκας τοῦτο, ἢ ὅτι ποιήσεις ἐν τῷ τέλει τῆς ἰδίας ζωῆς· τὸ μὲν γὰρ ὄπισθεν γέγονε, καὶ οὐκ ἀρκεῖ τοῦτο μόνον, ἀλλὰ δεῖται καὶ τῆς ἔμπροσθεν ἐνεργείας, ὡς γὰρ ἄνωθεν εἴρηται, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενοι ὀφείλομεν εἶναι, τοῖς δ' ἔμπροσθεν ἐπεκτεινόμενοι, ἐπεὶ καὶ

κύριος ἡμῶν καὶ θεός, αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, κρούετε, καὶ ἀνοιγήσεται, τοῦτ' ἔστι, διηνεκῶς τοῦτο ποιεῖτε. καὶ Ἰωάννης δὲ, ὁ τοῦ κυρίου πρόδρομος· μετανοεῖτε, φησὶν, ὡς οὐκ ἀρκοῦντος αὐτοῖς τοῦ ἅπαξ μετανοῆσαι, πολλοὶ γὰρ τῶν ἁμαρτημάτων ἅπαξ μετανοήσαντες ὕστερον εἰς μείζονα ἐξώκειλαν κακά· ἵνα δὲ καὶ τὸ ἔπαθλον μάθῃς τῆς μετανοίας, φησὶν, ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. οὕτω μὲν οὖν περὶ τῶν γεγονότων, περὶ δὲ τῶν μελλόντων, ὅτι ποιήσεις τοῦτο ἐν τῷ τέλει τῆς ἰδίας ζωῆς, καὶ τίς οἶδε τὸ μέλλον; πολλοὶ γὰρ ὑπὸ νόσου ἢ ἄλλης τινὸς αἰτίας κωλυθέντες τὰ συνοίσοντα ποιῆσαι ἀπῆλθον ἄπρακτοι καὶ κενοί· οὐ δεῖ σε οὖν διὰ ταῦτα ἢ εἰς τοὺς οἰκείους θαρρεῖν ἢ εἰς σεαυτὸν, ὅτι ποιήσεις ἀποθνήσκων, ἀλλ' ἔστω σοι μὲν καὶ ὁ τοιοῦτος λογισμός· ἀποδέχομαι γὰρ τοῦτον, πλὴν καὶ σὺ ζῶν καὶ ὑγιῶς διακείμενος ἀπόδος τῷ θεῷ τὸ κατὰ δύναμιν· αὕτη γὰρ καὶ κυρίως ἐλεημοσύνη καὶ μάλιστα ὠφελοῦσα ψυχὴν ἢ τὸ ἑτέρους ὑπὲρ ἑτέρων ποιῆσαι. ἔπειται φαίνου πρὸς ἅπαντας ἥμερος, ἱλαρὸς, προσηνὴς, μιμούμενος κατὰ πάντα τὸν κύριον ἡμῶν καὶ θεὸν καὶ βίον διώκων ἐσταυρωμένον, τουτέστι μαρτυρικὸν, κἂν ὑβρισθῇς παρά τινος, κἂν τυφθῇς, ὑπόμεινον διὰ τὴν κελεύουσαν ἐντολὴν, μᾶλλον μὲν οὖν στρέψον αὐτῷ καὶ τὴν ἄλλην, ἂν ἄλλο τι πάθῃς τῶν ἀπρεπῶν καὶ παρ' ὧν οὐκ ὤφειλες, μὴ μεγαλαυχήσῃς ἐπὶ σαυτῷ, ὅτι τίς ὢν παρὰ τίνος ὑβρίσθης ἢ ἠδικήθης ἢ κατεφρονήθης, μηδὲ διενεργῇς πρὸς ἄμυναν, ἀλλὰ πάντα ὑπόμεινον διὰ τὴν βασιλείαν τοῦ θεοῦ· οὕτω γὰρ ποιοῦντι καὶ ὁ θεὸς ἡμῶν ἵλεως ἔσται σοι εἰς πάντα τὰ εἰργασμένα, καὶ ἡ μετριότης ἡμῶν συγκεχωρημένον ἔχει σε εἰς ταῦτα ἀπὸ τῆς δοθείσης αὐτῇ ἐξουσίας καὶ χάριτος παρὰ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος, ἐπεύχεταί σοι, ὡς ἂν καὶ μετὰ πάσης ἰσχύος τὰ γεγραμμένα πάντα πληρώσῃς, καὶ τὸ τῆς ζωῆς σου ὑπόλοιπον ἐν κατανύξει καὶ μετανοίᾳ καὶ ὑγείᾳ ψυχικῇ καὶ καθαρότητι βίου διαβιβάσῃς, καὶ τελευτήσας τῆς αἰωνίου καὶ μακαρίας ἐπαπολαύσῃς ζωῆς, τῇ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀμήν †.

## DXXXII. (6909—1400) decembri. ind. IX.

*Promissio diaconi Manuelis Chalceopuli promoti in officium archontis magnae ecclesiae.*

† Ἐπεὶ ἠξίωσα καὶ παρεκάλεσα τὸν παναγιώτατον αὐθέντην καὶ δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἵνα με προβιβάσῃ εἰς τὸ ὀφφίκιον τοῦ ἄρχοντος τῶν ἐκκλησιῶν καὶ δὴ τὴν παράκλησιν προσδεξάμενος εὐηργέτησέ με ἀπὸ τοῦ ἐλέους αὐτοῦ τὸ τοιοῦτον ὀφφίκιον ἤδη ὑπόσχομαι καὶ αὐτὸς διὰ τοῦ παρόντος μου γράμματος, ἵνα ἀπὸ τοῦ νῦν ἀδιαλήπτως χωρὶς λόγου τινὸς ἢ προφάσεως εὑρίσκωμαι ἐκδουλεύων εἰς τὴν ἁγιωτάτην μεγάλην ἐκκλησίαν ἔν τε ταῖς καθημεριναῖς ἀκολουθίαις καὶ τοῖς σάββασι καὶ ταῖς κυριακαῖς, ἐξαιρέτως δὲ ἐν ταῖς δεσποτικαῖς ἑορταῖς καὶ ταῖς τῶν μεγάλων μνήμαις, χωρὶς ἀσθενείας τινὸς καὶ τοῦ ἀπέρχεσθαι καὶ εἰς τὸ παλάτιον, ὥστε μόνον ἱερουργεῖν δεύτερον ἢ καὶ τρίτον, εἰ δεήσει, τὸν μῆνα, τὰς δ' ἄλλας ἡμέρας εὑρίσκεσθαι εἰς τὴν ἀκολουθίαν ἅπασαν τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας κατὰ τὴν θείαν παρακέλευσιν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ· ἔτι τε ὑπόσχομαι, μηδένα ποτὲ τῶν ἱερέων ἀπαιτῆσαι τὸ τυχὸν ἐξ αὐτοῦ, εἰ μήπου ἐκεῖνος προαιρεθείη, χάριν τῆς τοιαύτης ὑπηρεσίας ἢ ὅλως ἐπαγαγεῖν ἐπήρειαν τὴν τυχοῦσαν τούτων τινί, ἀλλὰ καὶ εἴ τι εὕρω ἢ ἀκούσω παρείσπρακτον γεγονός, ἀναφέρω τοῦτο ἢ δι' ἐμαυτοῦ ἢ διά τινος τῶν τιμιωτάτων ἐξωκατακήλων· εἰ δ' ἄλλως εὑρεθείην παρὰ τὰ ὑπεσχημένα πράττων, οὐ μόνον, ἵνα ἐκπίπτω ἀσυμπαθῶς ἀπὸ τοῦ τοιούτου ὀφφικίου, ἀλλὰ καὶ ἐκβάλλωμαι παντελῶς ἀπὸ τοῦ κλήρου τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας. καὶ εἰς τὴν περὶ τούτων βεβαίωσιν καὶ τὴν παροῦσάν μου ὑπόσχεσιν γέγραφα ἐν τῷ παρόντι κώδικι οἰκείοις μου γράμμασι κατὰ μῆνα δεκέβριον τῆς νῦν ἐνισταμένης θ' ἰνδικτιῶνος †.

† Ὁ ἄρχων τῶν φώτων, διάκονος Μανουὴλ ὁ Χαλκεόπουλος, τὰ ἄνω γεγραμμένα στέργων ὑπέγραφα †.

## DXXXIII. 6908 (1399) novembri. ind. VIII.

*Nicolaus Macroducas fit patronus ecclesiae SS. Theodororum.*

† Ὁ περιπόθητος γαμβρὸς τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρις ..... ὁ Ἀστρᾶς, πρό τινος ἤδη καιροῦ εἰς τὴν ἡμῶν μετριότητα παραγεγονὼς εἶπεν, ὡς ἐπεὶ τὰ τῷ θεῷ ἀφιερωμένα ὁ ποιήσας ἀποσπασθῆναι οὐ μικρᾷ καταδίκῃ ἔνοχον ἑαυτὸν καθιστᾷ, ἔτυχον δ' αὐτὸς ὁπωσδήποτε ἐκ συναρπαγῆς τοῦτο ποιήσας, τοῦ διορθωθῆναι χάριν ἀρτίως τοῦτο παραδηλῶ· τὸ δέ ἐστι, θείου καὶ πανσέπτου ναοῦ τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μαρτύρων Θεοδώρων ἐν Λήμνῳ περὶ τὸ Παλαιόκαστρον τὸ ἥμισυ, μετά τινων κελλίων ἐκδοθέν τε καὶ ἀφιερωθὲν πρὸς τὴν σεβασμίαν καὶ θείαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου τῆς Εὐεργέτιδος, ἐξεποιησάμην αὐτὸ δι' ἡμετέρου γράμματος πρὸς τοὺς ἔχοντας κτητορικὰ δίκαια καὶ τὸ ἥμισυ τοῦ τοιούτου θείου ναοῦ. ταῦτα ἀκούσασα ἡ μετριότης ἡμῶν καὶ μίαν καὶ δύο καὶ τρεῖς παρ' αὐτοῦ ἔγραφεν ἐν τῇ νήσῳ, περὶ τούτου μαθεῖν βουλομένη καὶ πληροφορηθῆναι, τί τέ ἐστιν ὁ τοιοῦτος ναὸς καὶ τὰ αὐτοῦ, ὅπως τε καὶ πρὸς τίνας ἐξεδόθη, καὶ πῶς εὑρίσκεται νῦν. ὁ γοῦν κτητορικὰ δίκαια ἔχων ἐν τῷ τοιούτῳ ναῷ γαμβρὸς Λέοντος τοῦ Μοδᾶ ἐκείνου, τοῦ κτήτορος τοῦ τοιούτου θείου ναοῦ, Νικόλαος ὁ Μακροδούκας, ἀρτίως ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἐνεφάνισε θεῖα καὶ σεπτὰ προστάγματά τε καὶ δικαιώματα, διαλαμβάνοντα, ὅπως ὁ τοιοῦτος θεῖος ναὸς ἀνεκτίσθη καὶ ἦν γονικόθεν ἀνήκων Λέοντι τῷ Μοδᾷ ἐκείνῳ, καὶ ἀνέφερεν, ὡς εἰ καὶ ἐδόθη τῷ μεγάλῳ στρατοπεδάρχῃ, τῷ Ἀστρᾷ ἐκείνῳ, τὸ ἥμισυ τοῦ τοιούτου θείου ναοῦ, ἀλλ' ὅμως ἠμελήθη ἐπὶ τοσοῦτον, ὥστε ἐκινδύνευσε παντελῶς διαφθαρῆναι καὶ τέλεον ἀφανισθῆναι, μηδενὸς φροντίζοντος ἢ ἐπιμελομένου αὐτοῦ, δι' ἅπερ ἠναγκάσθη αὐτὸς ὁ τὸ ἥμισυ τοῦ ναοῦ ἔχων, ἵνα μὴ τέλεον ὁ καθόλου ναὸς συνδιαφθαρῇ μεθ' ὧν εἶχε κελλίων, καὶ δέδωκε τῷ Ἀστρᾷ ὑπὲρ τοῦ ἡμίσεως ὑπέρπυρα εἴκοσι, καὶ οὕτως ἀνέκτισέ τε καὶ ἐπεμελήθη αὐτό, εἰσῆξέ τε ἐν αὐτῷ ἱερέα, καὶ ἔχει ὁ ναὸς ἐξ ἐκείνου ἀδιακόπως τὴν ὀφειλομένην δοξολογίαν καὶ ἀκατάπαυστον ὑμνῳδίαν, ἃ καὶ παρ' ἄλλων ἐπληρο-

φορήθη ἡ μετριότης ἡμῶν οὕτως ἔχειν, τό τε ἔρημον καταλειφθῆναι πάσης ἐπιμελείας τὸν ναὸν πρὸ τοῦ κατασχεῖν τὸν Μακροδούκαν τὸ καθόλου τοῦ ναοῦ, καὶ ἀπὸ τοῦ γράμματος τοῦ Ἀστρᾶ ἐπληροφορήθημεν, τοῦτό τε διαλαμβάνοντος καὶ τὰ αὐτοῦ κελλία διαρπαγῆναι. τούτου οὖν οὕτως ἀναφανέντος ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ὡς ἐπεὶ οὔτε οἱ μοναχοὶ τῆς Εὐεργέτιδος, οὔτε ὁ τὴν κτητορίαν αὐτῶν ἔχων Ἀστρᾶς πρόνοιάν τινα ἐπεδείξατο ὑπὲρ τοῦ ναοῦ, ἀλλὰ τό γε αὐτῶν μέρος κατεχαλάσθη ἂν καὶ τέλεον ἐφθάρη, καὶ πάλαι ἀπώλετο, ὁ δὲ Νικόλαος ὁ Μακροδούκας ἐπεμελήθη αὐτοῦ, ἀνέκτισέ τε καὶ ψάλλεσθαι αὐτὸν παρεσκεύασε· ὑπὲρ οὖν τούτων καὶ οὐχ ὧν ὑπὲρ ἀγορᾶς τοῦ ναοῦ εἴκοσιν ὑπερπύρων κατεβάλετο (ἐπεὶ παράνομον καὶ παρὰ κανόνας ἐστὶν τὸ τὰ ἀφιερωμένα τῷ θεῷ ἐκποιεῖσθαι) ὑπὲρ οὖν μόνης τῆς εἰς τὸν ναὸν αὐτοῦ προνοίας καὶ σπουδῆς καὶ ἐπιμελείας διαγινώσκει, κατέχειν τὸν ῥηθέντα Μακροδούκα τὸν καθόλου θεῖον ναὸν καὶ φροντίζειν πάντοτε τῆς τούτου συστάσεως καὶ βελτιώσεως καὶ ἀδιακόπου ἐν αὐτῷ ὑμνῳδίας καὶ οὕτως ἔχειν ἐν αὐτῷ πάντα τὰ κτητορικὰ δίκαια, παραπέμπειν τε αὐτῷ καὶ τὰ αὐτοῦ πάντα πρὸς τοὺς ἐξ ὀσφύος αὐτοῦ παῖδας, τοὺς κληρονόμους δηλονότι καὶ διαδόχους αὐτοῦ, ἢ πρὸς ἕτερον, ὃν ἂν βούληται, ἐχόντων πάντων τῶν μετ' αὐτοῦ τοῦτον διαδεξομένων ἀνάγκην πᾶσαν τῆς τοῦ ναοῦ φροντίζειν συστάσεώς τε καὶ βελτιώσεως, τῆς τε ἐν αὐτῷ ἀδιακόπου πρὸς θεὸν ὑμνῳδίας καὶ τοῦ διὰ παντὸς εὑρίσκεσθαι ἐν αὐτῷ ἱερέα καὶ αὐτούργιον μένειν ἱερόν τε καὶ θεῷ ἀνακείμενον καὶ τὰ κελλία καὶ τὰ αὐτοῦ πάντα ἀναπόσπαστα ἐν αὐτῷ, μὴ ἔχοντος ἄδειαν ἢ αὐτοῦ τοῦ Μακροδούκα ἤ τινος τῶν διαδόχων αὐτοῦ ἐκποιήσασθαι τοῦτο ἢ ἀποκρύψαι τι τοῦ ναοῦ ἀπ' αὐτοῦ, ἐπεὶ ἱεροσυλία ἐστὶ τὸ τοιοῦτον καὶ εἰς θεὸν οὐ φαῦλον ἁμάρτημα, καὶ ὁ τοῦτο τολμήσων διωχθήσεται μὲν εὐθὺς τοῦ τοιούτου θείου ναοῦ, παραδώσει δὲ τὴν τοῦ ναοῦ ἐπιμέλειαν καὶ φροντίδα πρὸς ἕτερον, ὃν ἂν διακρίνει ὁ κατὰ καιροὺς οἰκουμενικὸς πατριάρχης. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίωσιν γεγονὸς καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐπεδόθη τῷ διαληφθέντι Νικολάῳ τῷ Μακροδούκᾳ, τῷ γαμβρῷ Λέοντος τοῦ Μοδᾶ ἐκείνου, εἰς ἀσφάλειαν. ἐν ἔτει ,ςω ὀγδόῳ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. η' †.

## DXXXIV. (6908—1399) decembri. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρις Ἀλέξιος Τζαμπλάκου ὁ Καβαλλάριος, εἰς τὴν ἡμῶν μετριότητα παραγενόμενος εἶπεν, ὡς πρὸ ὀλίγων ἡμερῶν ... Ῥαοὺλ τοῦ Ἀσάνη κτητορικὰ δίκαια ἀπαιτοῦντος εἰς τὴν σεβασμίαν καὶ θείαν μονὴν τὴν εἰς ὄνομα τιμωμένην τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κα ἐπικεκλημένην τοῦ Φιλανθρώπου καὶ τοῦ τότε μὲν τιμιωτάτου μεγάλου χαρτοφύλακος, νῦν δὲ ἱερωτάτου μητροπολίτου Γοτθίας καὶ ὑπερτίμου ἀντιλέγοντος αὐτῷ καί τινα δικαιώματα προκομίζοντος, εὑρέθη ἐν τοῖς τοιούτοις δικαιώμασι καὶ πρατήριον γράμμα τοῦ κτήματος τοῦ Χαβάρωνος ἐκείνου, περὶ ὃ δὴ κτῆμα εἶχε καὶ αὐτὸς πλησιασμοῦ δίκαιον, καὶ ἠπατήθη, ὅτε ἡ πρᾶσις ἐγένετο, παρὰ τοῦ Φιλανθρωπινοῦ ἐκείνου, τοῦ κτητορικὰ δίκαια ἔχοντος ἐν τῇ τοιαύτῃ μονῇ, ἐρωτηθέντος παρ' αὐτοῦ καὶ εἰπόντος, ὡς οὐδεμία πρᾶσις προέβη περὶ τὸ τοιοῦτον κτῆμα, ἀλλὰ ἀφιέρωσε τοῦτο ψυχικῆς ἕνεκεν σωτηρίας αὐτοῦ ὁ Χαβάρων ἐκεῖνος. ἐξ ἐκείνου τοίνυν μέχρι καὶ τοῦ προτεῖναι τὸν Γοτθίας τὰ δικαιώματα διεβεβαιοῦτο καὶ ὤμνυε, μηδόλως εἰς γνῶσιν αὐτοῦ πεσεῖν τὰ περὶ τῆς τοιαύτης πράσεως· ἐζήτει οὖν διάκρισιν παρὰ τῆς ἡμῶν μετριότητος, εἴπερ ἔχει δίκαιον κινῆσαι τὸν περὶ τοῦ πλησιασμοῦ λόγον εἰς τὸ τοιοῦτον κτῆμα, ὡς ἀπατηθεὶς ὑπὸ τοῦ Φιλανθρωπινοῦ ἐκείνου καὶ ἀφιέρωσιν προβαλομένου ἀντὶ τῆς πράσεως, καὶ εἰ οὐκ ἀποκλείεται ὑπὸ τοῦ χρόνου τριακοστοῦ ἕκτου ἤδη μετὰ τὴν πρᾶσιν παρεληλυθότος. διασκεψαμένη τοίνυν συνοδικῶς τὰ περὶ τούτου ἡ μετριότης ἡμῶν, ἐπεὶ καὶ δὶς ἤδη καὶ τρὶς παρεγένετο περὶ τούτου, διέγνω καὶ ἀπεφήνατο, τὸ στέργον ἔχειν καὶ βέβαιον καὶ πάντῃ ἐρρωμένον καὶ ἀκατάλυτον τὴν τοιαύτην πρᾶσιν καὶ μηδὲν δίκαιον ἔχειν κινεῖν τὸν Καβαλλάριον ἕνεκεν τοῦ πλησιασμοῦ· ὁ γὰρ νόμος ἕνεκεν τῶν τοιούτων συμβαμάτων τέθηκεν τὴν τῆς δεκαετίας μὲν διωρίαν ἐπὶ τῶν παρόντων, εἰκοσαετίαν δὲ ἐπὶ τῶν ἀπόντων, ὡς ἂν ἐξετάζηται ἐν τούτῳ τῷ χρόνῳ, εἴτε χάρις, εἴτε δωρεὰ καὶ ἀφιέρωσις προέβη εἴς τι τὸ πρὸς ἑτέρου δεσποτείαν μεταπεσόν, εἴτε καὶ ἐκποίησίς τις καὶ πρᾶσις προέβη, περαιτέρω δὲ τῆς νομίμου δια-

ρίας μὴ ἐξεῖναί τινι τοιαῦτα κινεῖν, ἐπὶ δὲ τοῦ παρόντος οὐ μόνον ἡ ἐπὶ τῶν παρόντων νόμιμος διωρία παρῆλθεν, ἀλλὰ καὶ ἡ ἐπὶ τῶν ἀπόντων, μᾶλλον δ' ἐγγὺς καὶ αὕτη διπλασιάζεται, ἄλλως τε καὶ ἀμφοτέρων ἀποθανόντων, τοῦ τε πρώτου, Χαβάρωνος λέγω, τοῦ τε ἀγοραστοῦ, τοῦ Φιλανθρωπινοῦ δηλονότι, καὶ μηδενὸς περιλειφθέντος τοῦ μέλλοντος ἀντιλέγειν τῷ Καβαλλαρίῳ, εἰς ἃ προβάλλεται, ἄλλως τε καὶ τοῦ κτήματος ἀνατεθειμένου τῷ θεῷ, καὶ οὐ μόνον ἀφιερωθέντος, ἀλλὰ καὶ πρὸς κελλίον καὶ μοναχικὸν κάθισμα καὶ μονύδριον μεταμειφθέντος, διορίζεται δὲ σαφῶς ὁ νόμος, ὡς εἴπερ ἀλλότριον κτῆμα παρά τινος ἀμετόχως ἀφιερωθῇ, ἀπαιτεῖται δὲ παρὰ τοῦ δεσπότου, μὴ ἀποκαθίστασθαι τῷ δεσπότῃ τὸ ἀμετόχως ἀφιερωθὲν κτῆμα ἐκεῖνο, ἀλλ' ἐκεῖνο μὲν ἀφιερωμένον μένειν καὶ ἀναπόσπαστον, κἂν ἀμετόχως ἀφιερώθη, τῷ δὲ δεσπότῃ τοῦ κτήματος ἀποκαθίστασθαι τὸ τίμημα τοῦ κτήματος ἀπὸ τῆς περιουσίας τοῦ τὸ κτῆμα ἀμετόχως ἀφιερώσαντος· εἰ γοῦν καὶ τὸ ἀμετόχως ἀφιερωθὲν ἀναπόσπαστον μένει, πολλῷ μᾶλλον τὸ παρὰ δεσπότου ἀφιερωθὲν καὶ πρὸς μονύδριον ἤδη μεταμειφθὲν διὰ μόνην πλησιασμοῦ ἀγωγὴν (ἣν καὶ αὐτὴν ἄκυρον καὶ νομίμως ἀνατετραμμένην ποιεῖ ἡ τῶν τοσούτων χρόνων παραδρομή) ἀδύνατόν ἐστιν ὅλως ἀποσπασθῆναι, ὅθεν καὶ ἐπεὶ τούτοις ἠρκέσθη καὶ κατεπείσθη καὶ συνοδικῶς παρῃτήσατο, ὃ προεβάλλετο, ὁ ῥηθεὶς Καβαλλάριος, καθέξει ἡ τοῦ Φιλανθρώπου μονὴ τὸ τοιοῦτον κάθισμα τοῦ Χαβάρωνος κυρίως τε καὶ δεσποτικῶς, ἀναφαιρέτως πάντῃ καὶ ἀναποσπάστως, τὸ ἀνενόχλητον ἔχουσα καὶ πάντῃ ἀνεπηρέαστον ἀπό τε πάντων, ἀλλὰ δὴ καὶ ἀπὸ τοῦ ῥηθέντος Τζαμπλάκωνος τοῦ Καβαλλαρίου καὶ τοῦ μέρους αὐτοῦ παντός. τούτου γὰρ χάριν ἐγένετο πρὸς αὐτὴν δὴ τὴν σεβασμίαν μονὴν τοῦ σωτῆρος Χριστοῦ τοῦ Φιλανθρώπου καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. η' †.

## DXXXV. (6908—1400) ianuario. ind. VIII.

*Eugenici ius in monachas Sicilae adelphata.*

† Μηνὶ ἰανουαρίῳ ἰνδ. η' διακρίθη παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς ἂν λάβῃ ὁ θεοφιλέστατος

πρωτονοτάριος, ὁ Εὐγενικός, ἀπὸ τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Δημητρίου καὶ ἐπικεκλημένης τῶν Παλαιολόγων ὑπὲρ τῆς μοναχῆς τῆς Σικιλῆς ὡς ἐπίτροπος ἐκείνης ὑπὲρ τῶν ἀδελφάτων αὐτῆς κατὰ τὴν ἔγγραφον αὐτῆς συμφωνίαν κατὰ μὲν τὸ παρὸν οἶνον μέτρα εἴκοσι καὶ ὑπέρπυρα δέκα, κατὰ δὲ τὸν καιρὸν τοῦ θέρους τῆς νῦν ἐνισταμένης ἰνδ. η ἕτερα ὑπέρπυρα δέκα. καὶ διὰ τοῦτο ἐσημειώθη ἐνταῦθα †.

## DXXXVI. (6908—1399) decembri. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Παρέστη τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, κῦρ Θωμᾶς ὁ Καλοκύρης, καὶ ἔγκλησιν ποιησάμενος κατὰ Κωνσταντίνου τοῦ Περδικάρη εἶπεν, ὡς πρὸ καιροῦ τινος ποιησαμένων αὐτῶν συντροφίαν ἐπὶ τῇ τέχνῃ καὶ τῷ κεταραρικῷ ἐργαστηρίῳ τοῦ Περδικάρη, εἶτα λογαριασμοῦ γεγονότος ἐν αὐτοῖς ἀνεφάνη, ὅτι ἀπολοιπάσθη τῷ Καλοκύρῃ ὁ Περδικάρης ὑπέρπυρα διακόσια πεντήκοντα, ἃ καὶ ἦσαν εἰς καρβώνιον καὶ ἄλλην ἐνθήκην τοῦ Περδικάρη· ζητήσας οὖν αὐτὰ ἐπὶ τῷ διαλυθῆναι τὴν συντροφίαν αὐτοῦ, ἐπεὶ οὐκ εἶχεν αὐτὰ λαβεῖν ἀπὸ τοῦ Περδικάρη, εἰ μὴ ἀπὸ διαπράσεως τοῦ καρβωνίου, τὸ δὲ ζημίαν οὐ μικρὰν ἐνεποίει τῷ Περδικάρῃ, ἅτε σχολαζούσης τῆς ἐπιστήμης αὐτοῦ, ἂν τὸ καρβώνιον πωληθῇ, ἀξιωθεὶς πολλὰ παρ' αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ τῆς πενθερᾶς, ὑπέκυψεν, ἵνα δῷ αὐτῷ καὶ ἕτερα ὑπέρπυρα διακόσια πεντήκοντα, καὶ διενεργῇ αὐτὰ ὁ Περδικάρης ἐν τῷ ἐργαστηρίῳ αὐτοῦ, καὶ αὐτὰ μὲν τὰ διακόσια πεντήκοντα ὑπέρπυρα εὑρίσκωνται ὡς ἐνθήκη τοῦ ἐγραστηρίου, ἀπὸ δὲ τοῦ κέρδους αὐτῶν ἀποδιδῷ ὁ Περδικάρης καθ' ἕκαστον μῆνα ὑπέρπυρα δέκα, χάριν ἀποκοπῆς τῶν διακοσίων πεντήκοντα ὑπερπύρων, μέχρις ἂν ἀποφλήσῃ αὐτά, εἰ δὲ οὐκ ἐνεργεῖ τὴν τέχνην αὐτοῦ ὁ Περδικάρης, ἵνα ἀποδιδῷ πρὸς τὸν Καλοκύρην τὴν ἐνθήκην ταύτην τοῦ ἐργαστηρίου, ἤγουν τὰ διακόσια πεντήκοντα ὑπέρπυρα, καὶ οὕτως ἐλεύθερος διατηρῆται καὶ ἀπὸ τῆς ἀποδόσεως τῶν δέκα ὑπερπύρων τῶν κατὰ μῆνα· εἰ δὲ συμβῇ αὐτῷ θάνατος ἢ ἄλλο τι τῶν τυχηρῶν, ἵνα ἱκανοῦται ὁ Καλοκύρης εἰς ἅπαν τὸ χρέος αὐτοῦ ἀπὸ τῆς περιουσίας τοῦ Περδικάρη, κινητῆς τε καὶ ἀκινήτου, προτιμώμενος καὶ αὐτῆς τῆς γυναικὸς αὐτοῦ, ὡς ἀναδιδαχθείσης εἰς τοῦτο τὸν βοηθοῦντα αὐτῇ νόμον

ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος διὰ τῶν τιμιωτάτων, αὐτῆς ἐκκλησιαστικῶν ἀρχόντων, τοῦ μεγάλου σακελλαρίου τοῦ Βαλσαμῶν, τοῦ μεγάλου χαρτοφύλακος τοῦ Ὀλοβόλου καὶ τοῦ πρωτεκδίκου τοῦ Βαλσαμῶν καὶ ἀποβαλλομένη(ς) αὐτόν· νῦν δὲ ὁ Περδικάρης ἑπτὰ μηνῶν ἤδη παρερχομένων, πλὴν μηνῶν τριῶν, ὅτι δέδωκεν ἀντὶ τούτων ὑπέρπυρα τριάκοντα, εἰς τοὺς ἄλλους ἠθέτησε τὴν συμφωνίαν αὐτοῦ, καὶ δέον ὄν, εἰ μὲν ἔκαμνε τὴν τέχνην αὐτοῦ, ἀποδοῦναι τῷ Καλοκύρῃ ὑπέρπυρα δέκα κατὰ μῆνα, εἰ δὲ οὐκ ἔκαμνεν αὐτήν, ἐγχειρίσαι αὐτῷ τὴν ἐνθήκην τοῦ ἐργαστηρίου κατὰ τὴν συμφωνίαν αὐτοῦ, οὗτος οὐδέτερον ἐποίησεν, ὅθεν ζητεῖ καὶ αὐτός, ἵνα ἱκανωθῇ εἰς τὸ ἑαυτοῦ χρέος ἐκ τῆς περιουσίας αὐτοῦ. οὕτως ὁ Καλοκύρης εἰπὼν ἐνεφάνισε καὶ τὸ γράμμα τὸ τῆς συμφωνίας, ὃ καὶ ὑπαναγνωσθὲν εὑρέθη οὕτω διεξιόν· παρὼν οὖν καὶ ὁ Περδικάρης ἀκροώμενος τούτου καὶ ἀπολογήσασθαι προτραπεὶς εἶπεν, ὡς τὸ γράμμα τοῦτο οὐδὲν ἄλλο διέξεισιν, ἢ ὅσον ἐγένετο, καὶ στέργω αὐτό, καὶ οὐδόλως ἐξέρχομαι ἐξ αὐτοῦ, θαρρῶ δὲ εἰπεῖν, ὅτι οὐδὲ ἐξῆλθον, ἄχρις ἂν ἤμην ὑγιής, ἀλλὰ παρ' ὅσον καιρὸν μετεχειριζόμην τὴν ἐμὴν τέχνην, δέδωκα αὐτῷ τοὺς τρεῖς μῆνας ὑπέρπυρα λ', ὡς καὶ ὁ Καλοκύρης ὡμολόγησεν, ὡς δὲ συνέβη μοι τὸ νόσημα, ὃ καὶ νῦν ἔχω, τί ἔμελλον ποιήσειν; πάντα παρ' οὐδὲν θέμενος ἐζήτουν εἰς ἁγίους, ἵνα θεραπευθῶ, διὰ τοῦτο οὖν οὐδὲ ἀπέδωκα τὴν ἐνθήκην ταύτην τοῦ ἐργαστηρίου μου, ἤτοι τὰ διακόσια πεντήκοντα ὑπέρπυρα κατὰ τὴν συμφωνίαν μου, νομίζων, ὀψέ ποτε ἐλεηθῆναί με ὑπὸ θεοῦ καὶ ὑγείας ἐπιτυχεῖν καὶ τὴν ἐμὴν τέχνην μεταχειρίζεσθαι, οὐ μὴν ἀθετήσας τὴν συμφωνίαν μου ταύτην ἐποίησα τοῦτο, μὴ γένοιτο. εἰ γοῦν ἐθέλει ὁ Καλοκύρης νῦν τὰ διακόσια πεντήκοντα ὑπέρπυρα τῆς ἐνθήκης, δίδωμι ταῦτα, εἰς δὲ τὰ λοιπὰ διακόσια εἴκοσι (δέδωκα γὰρ τριάκοντα ἀπὸ τῶν διακοσίων πεντήκοντα) παρακαλῶ, ἵνα γένηται διωρία, καὶ εἰρήνης γενομένης ἀποδῶ ταῦτα ἀπὸ τῆς ἐργασίας μου, εἰ δὲ οὐ τοῦτο βούλεται, ἀξιῶ, ἵνα εὑρίσκηται παρ' ἐμοὶ ἡ ἐνθήκη μῆνας δύο, ὡς ἂν ἐντὸς τῶν μηνῶν τούτων κάμω τὸ καρβώνιον, ὅπερ ἔχω, καὶ ἀποδῶ τῷ Καλοκύρῃ τοὺς μῆνας τούτους ὑπέρπυρα κ', καὶ εἰ μὲν εἰρήνη γένηται, καὶ φανῇ τῷ Καλοκύρῃ καλόν, ἵνα ἵσταται καὶ εἰς τὸ ἑξῆς αὕτη ἡ συμφωνία ἡμῶν ἄχρις ἂν ἀποφλήσω τὸ πρῶτον χρέος, ἤδη καλόν· εἰ δ' οὖν, ἵνα λαμβάνῃ τὰ διακόσια πεντήκοντα ὑπέρπυρα τῆς ἐνθήκης, εἰς δὲ τὰ

λοιπὰ γένηται τότε, καθὼς ἂν διακρίνῃ ὁ παναγιώτατος ἡμῶν δεσπότης. τούτων οὕτω καὶ παρ' ἀμφοτέρων τῶν μερῶν λαληθέντων, ἡ μετριότης ἡμῶν λυσιτελέστερον εὑροῦσα τὸν ὕστερον λόγον τοῦ Περδικάρη καὶ ἑτοιμότερον πρὸς ἀπόδοσιν τοῦ χρέους αὐτοῦ, συμπαθείας ἕνεκα καὶ φιλανθρωπίας τῆς πρὸς αὐτὸν διαγινώσκει καὶ ἀποφαίνεται κατὰ τὴν ἀναφορὰν αὐτοῦ καὶ ἀξίωσιν, ὡς ἂν εὑρίσκωνται παρ' αὐτῷ τὰ διακόσια ταῦτα ὑπέρπυρα καὶ πεντήκοντα μέχρι καὶ ὅλου τοῦ ἐρχομένου φευρουαρίου μηνός, καὶ ἐνέχηται ἀποδοῦναι τῷ Καλοκύρῃ ὑπὲρ τῶν δύο τούτων μηνῶν ὑπέρπυρα εἴκοσι, κἂν τε τὴν τέχνην αὐτοῦ ὁ Περδικάρης μεταχειρίζεται, κἂν τε καὶ μή, πληρωθέντων δὲ τῶν ἡμερῶν τούτων, εἰ μὲν εἰρήνη γένηται εἰς τὰ πράγματα καὶ θελήσει ὁ Καλοκύρης, ἵστασθαι τὴν συμφωνίαν αὐτῶν ταύτην, ἤδη καλόν· εἰ δ' οὖν, ἵνα τὰ μὲν διακόσια πεντήκοντα ὑπέρπυρα τῆς ἐνθήκης λαμβάνῃ αὐτίκα ἀπὸ πάσης τῆς περιουσίας τοῦ Περδικάρη, κινητῆς τε καὶ ἀκινήτου, προτιμώμενος καὶ τῆς προικὸς τῆς γυναικὸς αὐτοῦ, ὡς ἀναδιδαχθείσης ταύτης καὶ ἀποβαλλομένης τὴν οἰκείαν βοήθειαν· εἰς δὲ τὰ λοιπὰ ὑπέρπυρα τὰ ἀναφανησόμενα γένηται διωρία τότε παρὰ τῆς ἡμῶν μετριότητος ἡ προσήκουσα, ὡς ἂν ἐντὸς ταύτης ἀποδῷ καὶ αὐτά, καὶ εἰ μὲν οὕτω ποιήσει, ἤδη καλόν· εἰ δ' οὖν, προτιμηθήσεται καὶ εἰς ταύτην ὁ Καλοκύρης ἱκανωθῆναι ἀπὸ τοῦ βίου καὶ τῆς περιουσίας αὐτοῦ, τῆς γυναικὸς αὐτοῦ μὴ ἐχούσης ἄδειαν μήτε ἐπὶ τοῖς πρώτοις, μήτε ἐπὶ τοῖς δευτέροις ὑπερπύροις προβαλέσθαι τι ἐπ' ἐκδικήσει τῆς ἰδίας προικός, ἂν ὁ ἀνὴρ αὐτῆς οὔτε τὰ τῆς ἐνθήκης ὑπέρπυρα ἀποδῷ, οὔτε τὰ δύο μηναῖα, ἤγουν τὰ εἴκοσιν ὑπέρπυρα, ἃ νῦν ὑπόσχεται ἀποδοῦναι, πληρωθέντος τοῦ φευρουαρίου μηνός, οὔτε τὰ λοιπὰ ὑπέρπυρα ἀπόφλῃ δι' ὅλης τῆς δοθησομένης αὐτῷ διωρίας παρὰ τῆς ἡμῶν μετριότητος, ἥτις κατὰ τὸν καιρὸν καὶ τὰ πράγματα δοθήσεται τότε τῷ Περδικάρῃ κατὰ τὴν ἐργασίαν αὐτοῦ καὶ τὴν μεταχείρισιν καὶ τὴν δύναμιν. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις ἀπολέλυται τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Μηνὶ δεκεμβρίῳ ἰνδ. η' †.

## DXXXVII. 6908 (1400) ianuario. ind. VIII.

*Patriarcha litem diiudicat.*

† Ἡ κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος, κυρὰ Ἄννα Παλαιολογίνα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἔγκλησιν ἐποιήσατο κατὰ τῶν οἰκείων τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, υἱῶν αὐτῆς, τῶν Παλαιολόγων, τοῦ τε κῦρ Ἀνδρονίκου καὶ τοῦ κῦρ . . . , εἰποῦσα, ὡς ὅτε ἐγείματο τὸν πατέρα αὐτῶν, τὸν μακαρίτην Κομνηνὸν τὸν Βρανᾶν ἐκεῖνον, ἦν ἡ προὶξ αὐτῆς τρισχιλίων ἔγγιστα ὑπερπύρων, τοῦ χρόνου δὲ καὶ τῶν πραγμάτων ἀνωμάλως εἰς αὐτοὺς ἔχοντος καὶ ζημίας οὐκ ὀλίγας αὐτοῖς προξενήσαντος οὐ μόνον ἅπαντα διεφθάρησαν, ἀλλὰ καὶ τὸ γαμήλιον αὐτῶν ἀπώλετο σύμφωνον ταῖς πυκναῖς αὐτῶν μεταβάσεσι ταῖς ἀπὸ τόπου εἰς τόπον καὶ τοῖς τοῦ βίου τούτων μεταγγισμοῖς· ἐναπελείφθησαν δὲ αὐτοῖς ἀπὸ τῆς προικὸς μόνα τὰ τῆς καταμονῆς αὐτῶν ὀσπήτια μετὰ τοῦ ἀμπελίου, ἅπερ ὁρῶνται. δεῆσαν οὖν, ἵνα λάβωσιν ἐπὶ τῇ θυγατρὶ αὐτῶν γαμβρὸν τὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι κῦρ . . . τὸν Ἀστρᾶν, δέδωκεν αὐτῷ προικὸς χάριν ὁ πατὴρ αὐτῆς, ὁ Βρανᾶς, τὰ εἰρημένα ὀσπήτια τῆς καταμονῆς καὶ τὸ ἀμπέλιον, ὑπεκράτησε δὲ παρ' ἑαυτῷ τό τε ἀμπέλιον τοῦ Μολιάτου καὶ τὰ οἰκήματα, ἅπερ αὐτὸς ἐξωνήσατο, τὸ ἀμπέλιον τῶν τεσσάρων μουζουρίων τὸ ἀπὸ τοῦ Μουζάλωνος, ὃ καὶ αὐτὸ αὐτὸς ἐξωνήσατο, καὶ ἕτερον ἀμπέλιον ἐν τῷ Πτελουδίῳ. τοῦ γοῦν καιροῦ καὶ τῶν πραγμάτων αὖθις αὐτοὺς ἀναγκάσαντος, ὅπως ἐξέλθωσι τῶν ἐνταῦθα καὶ ἀπέλθωσιν ἔξω μετὰ τῶν λοιπῶν, εἰ βούλοιντο σὺν ἀσφαλείᾳ ζῆν, κατέλιπον τὰ κτήματα ταῦτα τὰ περιλειφθέντα αὐτοῖς τῷ γαμβρῷ αὐτῶν, τῷ Ἀστρᾷ, λόγῳ παρακαταθήκης, οἱ δὲ τοὺς παῖδας αὐτῶν εἰληφότες ἀπεδήμησαν τῶν ἐνταῦθα παρὰ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι. ἐκεῖσε τοίνυν τὸ χρεὼν λειτουργήσαντος τοῦ ἀνδρὸς αὐτῆς, τοῦ Βρανᾶ, καὶ ἀδιαθέτως καὶ θῆλυ παιδίον αὐτῇ καταλείψαντος καὶ τρεῖς υἱούς, εὐδοκίᾳ τῆς κρατίστης καὶ ἁγίας δεσποίνης ἀνδρὶ συνῆψαν αὐτό, ὡς ἐντελοῦς ἐφάμενον ἡλικίας. εἴληφε δὲ ἐπὶ ταύτῃ γαμβρὸν τὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Φίλιππον τὸν Τζυκανδάλην· τὰ μὲν οὖν τῆς προικὸς παρέσχεν αὐτῇ εὐεργετικῶς ἡ κρατίστη καὶ ἁγία δέσποινα, τὰ δὲ ὁ κράτιστος καὶ ἅγιός μου αὐτο-

κράτωρ καὶ βασιλεύς, αὐτὴ δὲ μὴ ἔχουσά τι ἕτερον εἰσενέγκαι ἐν τῷ συμφώνῳ τῆς θυγατρός, τὰ ἄνωθεν εἰρημένα παρέδωκε κτήματα πρὸς ἱκάνωσιν τῆς συμφωνηθείσης προικός· ὡς εἰρήνης γενομένης τοίνυν βοηθείᾳ θεοῦ εἰς τοὺς κρατίστους καὶ ἁγίους μου αὐτοκράτορας καὶ τῶν ἀρχόντων τῶν ἀποδημούντων ἐξ ἡμῶν ἐπιδημησάντων ἐνταῦθα καὶ τὰ ἑαυτῶν ἀπολαμβανόντων, ζητεῖ μὲν καὶ ἡ Παλαιολογίνα τὰ ἑαυτῆς κτήματα, ὅπως ἀποδῷ αὐτὰ εἰς προῖκα τῇ θυγατρὶ αὐτῆς, καθὼς ῥητῶς συνεφώνησεν, ἀντιποιοῦνται δὲ αὐτῶν οἱ παῖδες αὐτῆς, οἱ Παλαιολόγοι, ὡς πατρικῶν, διὸ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτοῖς. διεμηνύθησαν τοίνυν καὶ οὗτοι, καὶ ἀφίκοντο, καὶ ἀπολογήσασθαι προτραπέντες εἶπον, ὡς οὔτε εἰ δισχιλίων ὑπερπύρων ἦν ἡ προῖξ τῆς μητρὸς αὐτῶν ἢ τρισχιλίων, ἐνέχονται αὐτοὶ ἀποδεῖξαι, οὔτε εἰ ἐφθάρη ἅπασα, ἀναγκάζονται νῦν οὗτοι ἱκανοποιῆσαι αὐτήν, ἀλλ' ἓν οἴδασι μόνον, ὅτι πατρικά εἰσιν αὐτῶν τάδε τὰ κτήματα, καὶ βούλονται καὶ οὗτοι τὸ ἀνῆκον αὐτοῖς ἔχειν ἐκ τούτων, ὡς υἱοὶ γνήσιοι τοῦ πατρὸς αὐτῶν· ἐπεὶ δὲ ἡ μήτηρ αὐτῶν ἀπῄτησεν, ἱκανωθῆναι πρῶτον αὐτὴν εἰς τὴν προῖκα αὐτῆς καὶ οὕτω τὸ περιττεῦον λαβεῖν αὐτούς, οἱ δὲ Παλαιολόγοι τούτων ἀκούσαντες ἐζήτησαν, ἐμφανίσαι αὐτὴν τὸ γαμήλιον αὐτῆς σύμφωνον, ἡ δὲ προλαβοῦσα εἶπεν, ὡς ἀπώλετο τοῦτο, ἡ μετριότης ἡμῶν διέγνω, ὡς εἰ καὶ περὶ τῶν ἄλλων ὧν ἡ Παλαιολογίνα διισχυρίζεται, ὅτι εἶχε λόγῳ προικός, οὐκ ἔχομεν τὸ ἀκριβὲς συνιδεῖν, συμφώνου μὴ φαινομένου, ἀλλ' οὖν τὰ τῆς καταμονῆς ὀσπήτια καὶ τὸ ἀμπέλιον, ἃ τῷ Ἀστρᾷ ἐδόθησαν, δῆλά εἰσι πᾶσιν, ὅτι τῆς Παλαιολογίνης εἰσίν· ἱκανωθήτω τοίνυν εἰς ταῦτα ἐκ τῶν τοῦ ἀνδρός, καὶ τὸ ἐναπολειφθὲν ἐχέτωσαν οἱ Παλαιολόγοι· τὸ δὲ μαθόντες διισχυρίσαντο, ὡς ὅτε τὴν συμφωνίαν εἶχε μετὰ τοῦ Ἀστρᾶ καὶ τὴν κατάστασιν καὶ τοὺς γάμους, ἀπῃτήθη παρ' αὐτοῦ, πλείονος ἕνεκεν ἀσφαλείας τῶν γινομένων τότε, ὡς ἂν ἀναδιδαχθῇ ἡ μήτηρ αὐτῶν ἐπὶ τούτοις προικῴοις οὖσι τὸν βοηθοῦντα αὐτῇ νόμον, καὶ ἀποβάληται, καὶ οὕτω τοὺς γάμους γενέσθαι. γέγονε γοῦν τοῦτο παρὰ τοῦ τότε μεγάλου σακελλαρίου, τοῦ Μελιτινιώτου ἐκείνου, ὃ καὶ ἔστιν εὑρεῖν καὶ ἀπὸ τοῦ συμφώνου τῆς αὐταδέλφης αὐτῶν, τῆς γυναικὸς τοῦ Ἀστρᾶ. ἀπῃτήθησαν οὖν ἢ διὰ μαρτύρων παραστῆσαι τὰ εἰρημένα ἢ τὸ γαμήλιον προκομίσαι, οἱ δὲ μαρτύρων μὲν εἶπον οὐκ εὐπορεῖν, διαμηνυθῆναι δὲ ἠξίωσαν τὴν ἀδελφὴν αὐτῶν παρὰ τῆς ἡμῶν μετριότητος

καὶ ἀποδοῦναι αὐτό. διεμηνύθη τοίνυν αὕτη τε καὶ ὁ ἀνὴρ αὐτῆς, ὁ Ἀστρᾶς, καὶ παραγενόμενος οὗτος διισχυρίσατο ἐπὶ τῆς ἡμῶν μετριότητος, παρόντων καὶ τῶν Παλαιολόγων καὶ ἀκροωμένων ἅπαντα, ὡς οὔτε τὸ σύμφωνον περισώζεται, οὔτε αὐτὸς μέμνηται περὶ ὧν διατείνονται οἱ Παλαιολόγοι. τούτων τοιγαροῦν οὕτω προβάντων διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, συνοδικῶς τὰ περὶ τούτου διασκεψαμένη, ὡς ἂν ἐπιλάβηται τῆς κτηματικῆς ταύτης ὑποστάσεως τοῦ ἀνδρὸς αὐτῆς ἡ Παλαιολογίνα ἀντὶ τῆς ῥηθείσης κτηματικῆς ὑποστάσεως αὐτῆς, ἣν προικῴαν οὖσαν λαβὼν ὁ ἀνὴρ αὐτῆς εἰς προῖκα δέδωκε τῇ θυγατρὶ αὐτῶν· εἰ γὰρ αὕτη συνῄνεσεν ἐκεῖσε, ἀλλὰ τὸ ἱκανὸν αὕτη ἔχειν ὀφείλει ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, ἐπειδὴ οὐκ ἐδιδάχθη τὸν βοηθοῦντα αὐτὴν νόμον, ἀεὶ γὰρ τῶν δοθέντων ὀφειλέτης ἐστὶν ὁ ἀνὴρ αὐτῆς, εἰ γὰρ καὶ τῶν δοθέντων τῷ Ἀστρᾷ ἐλάττω εἰσὶν, ἀλλ' οὖν ἀρκεῖσθαι εἰς ταῦτα ὀφείλει, ἐπειδὴ ἄλλος βίος οὐχ εὑρίσκεται τοῦ ἀνδρὸς αὐτῆς, καὶ εἰ μὲν εἰς προῖκα συνεφώνησεν ἢ πάντα ἤ τινα ἐξ αὐτῶν τῷ γαμβρῷ αὐτῆς, τῷ Τζοκανδάλῃ, ἀποδῷ αὐτῷ τὸ συμφωνηθέν· εἰ δ' οὖν, κατέχῃ ταῦτα καὶ νέμηται καὶ δεσπόζῃ, ἀνενόχλητος διατηρουμένη καὶ ἀνεπηρέαστος ἀπὸ τῶν παίδων αὐτῆς. τούτων τοίνυν οὕτω διαγνωσθέντων ὁ Παλαιολόγος κῦρ Ἀνδρόνικος ἀναστὰς εἶπεν, ὡς ἡ μήτηρ αὐτοῦ ἀπεχαρίσατο τούτῳ, ὅτε ἦν ἔξω μετὰ θάνατον τοῦ πατρὸς αὐτοῦ, τὸ τοῦ ἀμ . . . ἀμπέλιον, ζητεῖ οὖν αὐτό. ἀπῃτήθη τοίνυν εἰς τοῦτο ἢ γράμμα τῆς μητρὸς αὐτοῦ προκομίσαι ἢ μάρτυρας, ὁ δὲ μήτε γράμματα ἔχειν διισχυρίσατο, μήτε μάρτυρας, ἀρκεῖσθαι δὲ εἶπεν εἰς τὴν συνείδησιν τῆς μητρός. ἐπεὶ δὲ ταύτης ἑτοίμου πρὸς τοῦτο οὔσης, ὡς οὐδὲν ἐπράχθη τοιοῦτον, οὐδὲ συμπεφώνηται, ὁ Τζοκανδάλης κῦρ Φίλιππος ἀναστὰς εἶπεν, ὡς ὅτε τοὺς γάμους ἐποιεῖτο μετὰ τῆς Παλαιολογίνης, παρῆν καὶ ὁ Παλαιολόγος, καὶ ἤκουσεν, ὅτι τὸ τοιοῦτον ἀμπέλιον δίδοται ἡμῖν λόγῳ προικὸς, καὶ οὐκ ἀντεῖπεν· ἐρωτηθεὶς οὖν ὁ Παλαιολόγος, εἰ οὕτως ἔχει, ὡμολόγησε μὲν τοῦτο, πλὴν εἶπεν, ὡς ἐταμίευε τὸ περὶ τούτου, καιροῦ καλοῦντος εἰπεῖν καὶ κινῆσαι. ἡ μετριότης ἡμῶν διέγνω, ἀμέτοχον αὐτὸν εἶναι καὶ ἀπὸ τούτου, ὡς οὐκ ἀποδείξαντα, ὃ εἶπε, καὶ ὡς σιωπήσαντα, ὅτε πρὸς ἕτερον αὐτὸ πρόσωπον ἀπεδίδοτο· εἰ γὰρ καὶ ἀποδεῖξαι, ὡς ἔλεγεν, εἶχεν, ἀλλὰ καὶ ἀπὸ μόνου τοῦ σιωπῆσαι τότε κατεδικάζετο ἄν, ὃ γὰρ παρόντος αὐτοῦ ἐπράττετο, καὶ οὐκ ἀντεῖπεν,

αὐτὸς δοκεῖ τοῦτο ποιεῖν, ἐπειδὴ ἀφῆλιξ οὐκ ἦν. καὶ τούτου τοίνυν οὕτω διαγνωσθέντος, ἕτερόν τι κεκινήκασιν οἱ Παλαιολόγοι, ὡς ἐπειδὴ πανταχόθεν καταδικάζονται, καὶ ἄκληροι ἀποπέμπονται, τῆς μητρὸς αὐτῶν ἐπεκδικούσης τὰ πατρικά, ὡς οἱ φιλευσεβεῖς νόμοι παρακελεύονται, δι' ἅπερ ἔδωκεν ὁ πατὴρ αὐτῶν τῷ Ἀστρᾷ, ζητοῦσι καὶ οὗτοι ἀπὸ τῶν δοθέντων αὐτῷ παρὰ τοῦ πατρὸς τὸ ἀνῆκον αὐτοῖς. ἡ γοῦν μετριότης ἡμῶν, ἀκριβῶς καὶ τὰ περὶ τούτου διασκεψαμένη, ὃ πολλάκις καὶ ἐν πολλαῖς τῶν ὁμοίων ὑποθέσεων εὗρε διενεργούμενον, καὶ αὕτη συνοδικῶς διεπράξατο, τοῦτο καὶ νῦν διαγινώσκει καὶ παρακελεύεται, ὡς μέχρις ἂν ὁ πατὴρ ἐν τοῖς ζῶσι διατελεῖ, ἄδειαν ἔχει εἰς τοὺς ἑαυτοῦ παῖδας ὑπεξουσίους ὄντας τὰ κατὰ βούλησιν διαπράξασθαι, τελευτῶν δὲ τὸ τρίτον τοῦ βίου τοῖς παισὶν αὐτοῦ διανεῖμαι, οὐδὲ περὶ τούτου γοῦν ὀφείλουσιν οἱ Παλαιολόγοι διενοχλῆσαι τὸ σύνολον, ἀλλὰ στέργειν τὸ γεγονὸς παρὰ τοῦ πατρὸς αὐτῶν. ἐπεὶ δὲ καὶ τούτου οὕτω διακριθέντος ἡ Παλαιολογίνα ἐζήτησιν, ἵνα ἐκστῇ τοῦ κτήματος τοῦ Μολιάτου ὁ νεώτερος αὐτῆς υἱός, ὁ Παλαιολόγος, ἀποδῷ δὲ αὐτῇ καὶ τὰς ἐπικαρπίας τοῦ παρελθόντος καιροῦ, ὡς ἀμετόχως αὐτὸ λαβόντος ἀπὸ τοῦ Ἀστρᾶ, τοῦ ἐπιτρόπου αὐτῆς, ὁ Παλαιολόγος ἀπελογήσατο, ὡς οὔτε περὶ τῆς ἐπικαρπίας ἐνέχεται ἀποδοῦναι λόγον, εὐεργεσίᾳ βασιλικῇ γὰρ ἔλαβεν αὐτάς, οὔτε τοῦ κατασπαρέντος ἐν αὐτῷ χωραφίου παρ' αὐτοῦ ἀποστήσεται πώποτε, ἀνακαθάρσεις γὰρ ἐποιήσατο ἐν αὐτῷ πολλάς, καὶ πρόσοδον ἀνάλογον ταῖς ἐξόδοις ἀκμὴν οὐκ ἐδέξατο ἐξ αὐτοῦ· καὶ περὶ τούτου τοίνυν διασκεψαμένη ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, περὶ μὲν τῶν παρελθόντων ἀναπαίτητον εἶναι τὸν Παλαιολόγον, τὸ μέν, ὅτι εὐεργεσίᾳ βασιλικῇ ἐλάμβανε τὰς ἐπικαρπίας, τὸ δέ, διὰ τὰς ἐξόδους αὐτοῦ, ἃς ὑπὲρ τοῦ ἀμπελίου καὶ τοῦ χωραφίου κατεβάλετο, τὸ δὲ καὶ ὡς υἱὸς τῆς κυρίας αὐτοῦ, εἰ μὴ γὰρ παρ' αὐτῆς τῆς ἰδίας μητρὸς περιθαλφθείη, παρὰ τίνος ἄλλου τοῦτο αὐτῷ γενήσεται; εἰς τὸ ἔμπροσθεν δὲ λαβεῖν αὐτὸν ἀπὸ τοῦ γεωργηθησομένου σίτου ἀπὸ τοῦ χωραφίου τὸ ἥμισυ, διὰ τὸ νῦν κατασπαρῆναι τοῦτο παρ' αὐτοῦ καὶ καλλιεργηθῆναι τῇ ἐκβολῇ τῆς ὕλης καὶ τῶν πετρῶν. ἐπεὶ τοίνυν οὕτω τὰ περὶ τούτων γεγόνασι, καὶ δεσπότις ἀνεφάνη ὧν εἰρήκαμεν κτημάτων ἡ Παλαιολογίνα κυρὰ Ἄννα, ὀφείλει τὸ παρ' αὐτῆς γεγονὸς εἰς τὴν θυγατέρα αὐτῆς τὴν Τζοκανδαλίναν τὸ ἐρρωμένον

ἔχειν καὶ ἀκατάλυτον ἀπό τε τῶν παίδων αὐτῆς καὶ παντὸς ἄλλου ἐξωτερικοῦ προσώπου τῇ ἐμφανείᾳ τῆς παρούσης συνοδικῆς διαγνώσεως τῆς ἡμῶν μετριότητος, ἀπολυθείσης εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐν ἔτει ͵ϛϠζʹ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ηʹ †.

## DXXXVIII. (6908—1400) ianuario. ind. VIII.

*Patriarchae iudicium in lite quadam.*

† Ἱερώτατε μητροπολῖτα Ἡρακλείας, πρόεδρε τῶν ὑπερτίμων καὶ ἔξαρχε πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ παρὼν πρεσβύτερος Μιχαὴλ, ὁ τοῦ ἐν τῇ Καλλικρατείᾳ πρωτοπαπᾶ γαμβρός, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἀνέφερεν, ὡς τῆς γυναικὸς αὐτοῦ, τῆς θυγατρὸς τοῦ πρωτοπαπᾶ Βλακᾶ, ἀποθανούσης ἐπὶ παισὶ τρισὶν ἔλαβε τὰ πράγματα τὰ προικῷα ὁ πατὴρ ἐκείνης, ὁ πρωτοπαπᾶς, τῶν παίδων εὑρισκομένων μετὰ τοῦ πατρὸς αὐτῶν, τοῦ παρόντος πρεσβυτέρου· προβάλλεται δὲ ὁ πρωτοπαπᾶς, ὡς ἀνέφερεν οὗτος ὁ πατὴρ τῶν παίδων, οὐδὲν, ἢ ὅτι αὐτὸς ἔδωκε ταῦτα τῇ θυγατρὶ αὐτοῦ, καὶ πάλιν ἔλαβε ταῦτα ἐκείνης ἀποθανούσης, ὅπερ ἐστὶν ἄδικον καὶ παρὰ τοὺς νόμους, εἴ τι τοιοῦτον προβάλλεται· ἐξετασάτω τοίνυν αὐτὸ ἡ σὴ ἱερότης, εἴπερ ἔχει τὸ πρᾶγμα οὕτως, ὡς ὁ πρεσβύτερος ἀνέφερε, λάβε πάντα καὶ ἀπόδος πρὸς αὐτὸν, δηλονότι τὸν πατέρα τῶν παίδων, καὶ δεῖξον τὴν παροῦσαν ἡμετέραν γραφὴν πρὸς τὸν περιπόθητον θεῖον τοῦ κρατίστου κα ἁγίου μου αὐτοκράτορος, κῦριν Ἰσαάκιον τὸν Ἀσάνην, ἵνα δεφενδεύσῃ τοῦτο ὡς διάγνωσιν καὶ ἀπόφασιν ἡμετέραν. εἰ γὰρ ἔχει οὕτως, ὡς ὁ πρεσβύτερος ἀνέφερεν, καὶ ἡ ἀπόφασις αὕτη νόμιμος καὶ ἡμετέρα ἐστί, τῶν παιδίων γάρ εἰσι τὰ μητρικὰ πράγματα, καὶ δεφενδευσάτω τοῦτο, ὡς ἄρχων τῶν αὐτόθι πραγμάτων καὶ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος. ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. ηʹ †.

## DXXXIX. (6908—1400) ianuario. ind. VIII.

*Patriarcha metropolitam thessalonicensem monet, ut cum hieromonacho Nathanaële in gratiam redeat.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἀπό τινων τῶν αὐτόθεν εἰς ἡμᾶς ἐρχομένων ἠκούσαμεν, ὡς μέσον τῆς σῆς ἱερότητος καὶ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις, κῦρ Ναθαναὴλ, προέβησαν σκάνδαλα καὶ ὀχλήσεις οὐκ ὀλίγαι, ἃς οὐ παραδεχόμεθα ὡς ἀληθεῖς διὰ τὸ μὴ προσήκειν τοιαῦτα γίνεσθαι ἐν τῷ σχήματι ὑμῶν· τήν σήν τε γὰρ ἱερότητα μέτοχον ἴσμεν θείων λόγων καὶ διδασκαλιῶν πνευματικῶν καὶ εἰρηνικὸν ἄνθρωπον, ἀλλὰ καὶ περὶ τοῦ παπᾶ, κῦρ Ναθαναὴλ, δόξαν ἔχομεν ἀγαθὴν, ἀνδράσι γὰρ ὡμίλησεν ἁγίοις καὶ μεγάλοις καὶ ἐναρέτοις, καὶ εἰκός ἐστιν αὐτὸν καρπώσασθαι ἐξ ἐκείνων παίδευσιν καὶ ἦθος καὶ πολιτείαν ἀγαθήν. διὰ ταῦτα τοίνυν ἀπρόσδεκτα ἡμῖν φαίνονται τὰ περὶ ὑμῶν λαλούμενα· πάλιν δὲ ὅτι πολλάκις ἀκούομεν αὐτὰ, παντελῶς οὐ δυνάμεθα τούτοι ἀπιστεῖν, νομίζομεν δὲ, ὅτι καὶ ὑμεῖς παρέχετέ τινας ἀφορμὰς, φθονεροὶ δὲ ἄνθρωποι, ἐκλαμβανόμενοι ταύτας πρὸς τὰς οἰκείας αὐτῶν ὀρέξεις, πλατύνουσιν αὐτὰς, τῷ μὲν ἐξ ὑμῶν προσπαθοῦντες, τῷ δὲ ἀντιπαθοῦντες· οὐ γὰρ οὕτως ἡδὺ, φησὶ, τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια, κἂν τύχωσι μάλιστα ὑπὸ εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὃ καὶ θαυμάζομεν, πῶς τοῖς διασύρειν ἐπιχειροῦσι τὰ ὑμέτερα ὑμεῖς αὐτοὶ τὰς ἀφορμὰς δεδώκατε, μάλιστα δὲ θαυμάζομεν πρὸς τὴν σὴν ἱερότητα· σὺ γὰρ πρὸ τῶν ἄλλων ὀφείλεις τὴν μικροψυχίαν τῶν ἄλλων διορθοῦν, ὡς τῆς εἰρήνης, διδάσκαλος, ἄλλως τε οὐδὲ τὸν παπᾶν, κῦρ Ναθαναὴλ, ἀγνοεῖς, ἀλλ' οἶδας αὐτὸν, ὥσπερ γὰρ ἡ σὴ ἱερότης ἐχρήσατο διδασκάλοις ἁγίοις ἀνδράσι καὶ μεγάλοις καὶ ἐναρέτοις, ὑφ' ὧν παιδευθεὶς ἄριστα ἄξιος ἐκρίθης καὶ εἰς ὅπερ νῦν προεβιβάσθης ἀξίωμα, συνάρσει θεοῦ, οὕτω καὶ αὐτὸς ὁμοίοις ὁμιληταῖς ἐχρήσατο, καὶ ὑμεῖς δὲ αὐτοὶ κατὰ καιροὺς ἐχρήσασθε ἀλλήλοις, καὶ ἀπηλαύσατε καὶ ἀμφότεροι τῆς ἀλλήλων δυνάμεως, καὶ τὴν γνῶσιν οἶδας τοῦ ἀνδρὸς καὶ τὴν παίδευσιν αὐτοῦ καὶ ὅτι καὶ οὗτος γνώριμός ἐστι καὶ βασιλεῦσι καὶ πατριάρχαις καὶ ἄρχουσιν, ἅτινα δὴ πάντα ἱκανὰ

διαλῦσαι, εἴ τις μέσον ὑμῶν ἐνέπεσεν ἀηδία· πῶς δὲ τοσοῦτον ἐξήρθη τὸ συμβὰν εἰς ὑμᾶς, ἀποροῦμεν· ᾄδεται γάρ, ὅτι καὶ καθαίρεσις κατ' αὐτοῦ παρὰ τῆς σῆς ἱερότητος γέγονε, καὶ στῆλαι ἔγγραφοι ἐποιήθησαν, καὶ ἀφορισμοὶ φρικώδεις ἐξεφωνήθησαν, καὶ ἀναθεματισμοὶ προσετέθησαν ἐν τῷ ἱερῷ συνοδικῷ τῷ τῆς ἐκκλησίας, παρὰ τὴν συνήθειαν. ταῦτα τοίνυν ὡς λίαν ἄτοπα οὐ παραδεχόμεθα μέν, ὅμως γράφομεν τῇ σῇ ἱερότητι, καὶ εἰσηγούμεθα, ὡς εἴπερ ὅλως ἐγένετό τι τοιοῦτον, ἐπεὶ οἶδας, ὡς αἱ ὀχλήσεις καὶ τὰ σκάνδαλα τὸν τούτοις χρώμενον οὐκ ἐῶσιν εἰς πέρας καταντῆσαι χρηστόν, σπούδασον, ὁπόση σοι περίεστι δύναμις, τὴν μικροψυχίαν τοῦ ἀδελφοῦ διορθῶσαι καὶ τὴν ἐξ ἀρχῆς φιλίαν ἀνακαλέσασθαι. κάκιστον γάρ ἐστι τοὺς διδασκάλους καὶ κήρυκας τῶν δεσποτικῶν ἐντολῶν ὀπίσω δραμεῖν τῆς ἑαυτῶν διδασκαλίας καὶ εἰσηγήσεως καὶ λόγοις μὲν παραινεῖν, πράγμασι δὲ ἀντιπράττειν τὰ παραινούμενα· γινώσκει δὲ ἡ σὴ ἱερότης, ὡς οὐδὲ ἡ μετριότης ἡμῶν βούλεται ὑποστῆναί τινα τῶν ἁπάντων τὸν τυχόντα πειρασμόν, ἀλλὰ πάντας βουλόμεθα ὡς μέλη ἡμέτερα ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διάγειν πνευματικῇ καὶ μὴ στασιάζειν πρὸς ἑαυτούς, πάλιν δὲ ἀναγκαζόμεθα παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων, μὴ ἀνεξέταστα παραλιπεῖν, ἐάν τι συνέβη γενέσθαι εἴς τινα τῶν ἡμετέρων μελῶν παρὰ τὴν τοῦ δικαίου τάξιν καὶ τὴν συνήθειαν, ἀλλὰ πάντα σὺν ἀκριβείᾳ κανονικῇ διελθεῖν καὶ τὸν παθόντα, πῶς πέπονθεν, ἰδεῖν καὶ παρ' οὗ πέπονθε, καὶ τὸν δεδρακότα, πῶς ἔδρασεν, ἐξετάσαι καὶ ἐπιστύψαι καὶ σωφρονῆσαι τὸν αἴτιον, εἰ δεήσει δέ, κα τοῦ χοροῦ ἡμῶν ἀποκόψαι, ἐὰν μέγα ᾖ τὸ ἁμάρτημα· ἃ δὴ πάντα πόσους πειρασμοὺς ἐπάγει τῷ ἐμπεσόντι εἰς αὐτά, οὐκ ἀγνοεῖ ἡ σὴ ἱερότης. διὰ τοῦτο συμβούλοις ἡμῖν χρησάμενος ποίησον διόρθωσιν τὴν προσήκουσαν εἰς τὰ προλαβόντα, καὶ διαλλάγηθι μετὰ τοῦ παπᾶ κῦρ Ναθαναήλ, τοῦτο γάρ ἐστι ἀμφοτέροις ὑμῖν λυσιτελὲς καὶ συμφέρον, ὡς ἂν καὶ ἑαυτοὺς καὶ ἡμᾶς ἀπαλλάξητε ὀχλήσεων οὐ μικρῶν, καὶ δείξητε ἐν ἅπασιν, ὡς τὰ προλαβόντα ἐκεῖνα ἐπήρειά τις ἦν τοῦ σατανᾶ καὶ μάχη τοῦ ἐξ ἀρχῆς τῇ ἡμετέρᾳ σωτηρίᾳ βασκαίνοντος, ὑμεῖς δὲ ἐστὲ μαθηταὶ τοῦ τῆς εἰρήνης πατρός τε καὶ διδασκάλου, ὃ καὶ θαρροῦμεν ὅτι γενήσεται καὶ πρὸ τοῦ φθάσαι τὰ ἡμέτερα γράμματα αὐτόθι, ὡς ἂν ἡμεῖς εὐφρανθῶμεν χαρὰν πνευματικὴν ἐπὶ τῷ θεαρέστῳ τούτῳ ἔργῳ τῷ τῆς εἰρήνης. σπουδασάτω δὲ εἰς τοῦτο

πλέον ἡ σὴ ἱερότης, ἐπεὶ καὶ σὺ ἦσθα δυνατώτερος καὶ εἰς τοῦτο τεταγμένος παρὰ τῆς ἐκκλησίας Χριστοῦ, διδάσκαλος γὰρ ὑπάρχεις, καὶ ὀφείλεις κατὰ τὸν μέγαν ἀπόστολον Παῦλον ὡς μὲν δυνατώτερος τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, ὡς δὲ διδάσκαλος πάλιν ὀφείλεις τηρεῖν, ἅπερ διδάσκεις· τίνα δέ εἰσι ταῦτα; εἰρήνην διώκετε μετὰ πάντων, ἧς χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, μετὰ πάντων, φησί, οὐ μετὰ τῶν ἐναρέτων μόνον καὶ ἀξιολόγων, ἀλλὰ καὶ μετὰ τῶν ἄλλων τῶν καὶ τὴν εἰρήνην μισούντων, κατὰ τὸν προφήτην Δαβίδ, λέγοντα· ὅτι καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· καὶ πάλιν· δοῦλον κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι καὶ καθαρὸν θυμοῦ· καὶ πάλιν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. εἰ μὲν οὖν ὁ πταίσας κληρικός ἐστι τῆς σῆς ἱερότητος, καὶ τὸ πταῖσμα τὸ ἐκείνου εἰς τὴν σὴν ἱερότητα ἀναφέρεται καὶ μόνην, δεῖ σε ταῦτα ἀφιέναι, μιμούμενον κἀνταῦθα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν πρῶτον καὶ μέγαν ἀρχιερέα, οὗ τύπος ἅπαντες οἱ ἀρχιερεῖς, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει καὶ τὰ ἑξῆς τῆς γραφῆς, καὶ ὑπὲρ τούτου μέλλεις λήψεσθαι ἑκατονταπλασίους τοὺς μισθούς· ἄφετε γάρ, φησί, καὶ ἀφεθήσεται ὑμῖν. εἰ δὲ εἰς τοὺς θείους καὶ ἱεροὺς προσκρούει κανόνας ἢ εἰς τὴν κατὰ σὲ ἐκκλησίαν, τότε παραιτήσασθαι μὲν τοῦτο οὐκ ἔχεις, οὐ γὰρ προσωπικόν σου τοῦτό ἐστιν, ἀνάγκην δ' ἔχεις ἀνακρῖναι ταῦτα καὶ ἐξετάσαι κανονικῶς, οὐ μὴν μετά τινος πάθους ἢ ὀργῆς ἢ θυμοῦ, δόξεις γὰρ ἂν τότε προφάσει ἐκκλησιαστικῆς διορθώσεως τῷ ἰδίῳ ἀποχαρίζεσθαι θυμῷ καὶ τὴν ἰδίαν ἐπιθυμίαν σπεύδειν ἐκπληροῦν, ὅπερ οὐκ ἔστι διδασκάλου· οὐ πάροινος γάρ, φησίν, οὐδὲ πλήκτης ἔστω ὁ διδάσκαλος, ἐπεί τοι γε, εἰ τοιοῦτος ἔσται, οὐ μόνον βλάψει, ὃν κρινεῖ, ἀλλὰ καὶ ἑαυτὸν προσαπολέσει· εἰ δὲ ὁ ἁμαρτάνων οὐκ ἔστι τῶν τοῦ κλήρου τῆς σῆς ἱερότητος, ἀλλὰ ὑπὸ τὴν ἐξουσίαν τοῦ οἰκουμενικοῦ πατριάρχου, εἰ μὲν καὶ τούτου τὸ πταῖσμα εἰς τὴν σὴν καὶ μόνην ἀναφέρεται ἱερότητα, τοῦτο καὶ ἐπὶ τούτου συμβουλεύσαιμι ἄν σοι, τὸ ἀφιέναι αὐτῷ, τοῦτο γὰρ καθ' ἑκάστην προσευχόμενοι λέγομεν, ὅτι ἄφες ἡμῖν τα ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· δεῖ τοίνυν κατάλληλον τῇ εὐχῇ ἡμῶν τὰ ἔργα ἡμῶν εἶναι. εἰ δὲ εἰς τοὺς θείους καὶ ἱεροὺς κανόνας προσκρούει ἢ εἰς τὴν κατὰ σὲ ἐκκλησίαν, τότε τὸν τοιοῦτον ἀνακρῖναι μὲν αὐτὸς οὐκ ἔχεις, πατριαρχικὸς γὰρ

ἐστιν, ὀφείλεις δὲ τὰς κατηγορίας αὐτοῦ ἐγγράφως προσαγγεῖλαι τῷ πατριάρχῃ, ἄνευ τοῦ τυχόντος πάθους καὶ τῆς ἀγανακτήσεως, ὅσας τε ἐξ ἀκοῆς ἔχεις καὶ ὅσας δι' ὄψεως καὶ ὅσας δι' ὑποψίας καὶ παρὰ τίνων ἔχεις αὐτά, ὥσπερ γάρ, ἃ μέλλεις ἐρεῖν, εἴπερ μετὰ πάθους εἴποις, οὐδεὶς οὐδαμῶς ἀποδέξεται, οὕτως εἴπερ οὐκ ἀναγγείλῃς, ἅπερ ἐπίστασαι, ἀλλ' ἐφησυχάσῃς, τὸ ἀπὸ τούτου κρίμα σὺ αὐτὸς ἀπολογήσῃ τῷ θεῷ. δεῖ σε οὖν εἴδησιν δοῦναι περὶ τούτου τῷ πατριάρχῃ, ὁ δὲ ποιήσει τὴν περὶ τούτου ἐξέτασιν, ὡς λόγον ἀνεχόμενος ἀποδοῦναι περὶ τούτων τῷ θεῷ· εἰ δὲ ἄλλως γένηται, παρὰ τὰ ἄνωθεν εἰρημένα, τὸ ἀπὸ τούτου κατάκριμα τὸ ἐκ τῶν θείων καὶ ἱερῶν κανόνων ὅσον ἐστίν, οὐκ ἀγνοεῖν οἶμαι τὴν σὴν ἱερότητα, καὶ τοῦτο συνιδεῖν ἔχεις καὶ ἀπὸ τῶν κατὰ σὲ ἐπισκόπων καὶ κληρικῶν· ὥσπερ γάρ, εἴ τις τῶν σῶν ἐπισκόπων παρὰ γνώμην τῆς σῆς ἱερότητος λαβὼν τὸν σὸν κληρικὸν κρίνει καὶ ἐξετάσει καὶ κανονίσει, οὐ μετρία σοι φανεῖται ἡ περιφρόνησις, οὕτω νόμισον καὶ ἐπὶ τοῦ οἰκουμενικοῦ πατριάρχου· ὃν γὰρ λόγον ἔχετε ὑμεῖς οἱ ἀρχιερεῖς εἰς τοὺς ἐπισκόπους ὑμῶν, τοῦτον ἔχει ὁ οἰκουμενικὸς πατριάρχης εἰς ὑμᾶς· εἰ γοῦν τοῦτο ἀφόρητον, τὸ ἡμέτερον πῶς ἔσται φορητόν; καὶ τοῦτο γὰρ κανονικόν ἐστι καὶ δίκαιον, τὸ τὰ πατριαρχικὰ δίκαια φυλάττειν ἀπαρεγχείρητα ἐπὶ πάσαις ταῖς ἐνορίαις σου, καθάπερ ὑπεσχέθης ἐπὶ μέσου τῆς ἐκκλησίας Χριστοῦ, ἐνώπιον ἐκκλησιαστικῶν ἀρχόντων καὶ παντὸς τοῦ κλήρου καὶ σχεδὸν ἁπάσης τῆς πολιτείας· νῦν δὲ ἀκούομεν, ὅτι καὶ τοῦτο καὶ εἴ τι ἄλλο αὐτόθι πατριαρχικὸν δίκαιον, περιφρονοῦνται πάντα καὶ καταλύονται, τοῦ βουλομένου παντὸς κατεπεμβαίνοντος αὐτοῖς, διόρθωσις δὲ οὐδεμία εἰς ταῦτα γίνεται παρὰ τῆς σῆς ἱερότητος, καὶ ἀποροῦμεν καὶ περὶ τούτου, πῶς ἀνέχῃ τοιαῦτα γίνεσθαι, οἶδε γὰρ ἡ σὴ ἱερότης, ὡς οὐκ ἔστιν ἡ τυχοῦσα ἁμαρτία ἡ εἰς τὰ δίκαια τῆς μεγάλης ἐκκλησίας περιφρόνησις, ἀλλὰ μεγάλη καὶ πολλή, εἰς τοὺς θείους γὰρ καὶ ἱεροὺς κανόνας προσκρούει ὁ τοῦτο διαπραττόμενος, οὐδὲ μικροῦ καὶ παροράσθαι ἀξία ἐστὶν ἡ ὑπόσχεσις, ἣν ποιεῖται ὁ χειροτονούμενος ἀρχιερεύς, ἀλλ' ὥσπερ ἀνάγκην ἔχει τηρεῖν καὶ τἆλλα, ὅσα ἐγγράφως ὑπεσχέθη τότε, εἰ δ' οὖν, ἀναλόγως καὶ τὰς εὐθύνας ὑποστήσεται, οὕτως ὀφείλει καὶ τὴν ὑπὲρ τούτων ὑπόσχεσιν τηρεῖν. σπούδασον οὖν, ὡς τῆς εἰρήνης ἀρχιερεὺς καὶ διδάσκαλος, ἵνα χωρίς τινος πάθους ἔχωσι τὰ πατριαρχικὰ δίκαια τὴν ἐλευθερίαν αὐτῶν, ὡς μήτε

τὴν σὴν ἱερότητα ἐπιβαίνειν αὐτῶν, μήτε παρά τινος ἄλλου τῶν σῶν κληρικῶν περιφρονεῖσθαι αὐτά, ἐπεὶ τοῦτο ὀφείλομεν ἀλλήλοις, τὸ μὴ πλήττειν τὰς συνειδήσεις τὰς πρὸς ἀλλήλους, ἀλλὰ καὶ οἱ πατριαρχικοὶ ὀφείλουσιν, ὅτε δεήσει, προσκαλεῖσθαι τὴν σὴν ἱερότητα μετὰ τῆς προσηκούσης τιμῆς καὶ ἀγάπης ἐν τοῖς μοναστηρίοις τοῖς πατριαρχικοῖς, καὶ ἡ σὴ ἱερότης ὀφείλεις πάλιν προσκαλεῖσθαι αὐτοὺς ἐν ταῖς ἱεραῖς συνάξεσι καὶ ταῖς τελεταῖς καὶ τὴν προσήκουσαν εὔνοιαν ἀπονέμειν αὐτοῖς, ὡς ἂν ἐν ὑμῖν τηρῆται τὸ φιλάδελφον καὶ ἡ εἰρήνη. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν ἔστω μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. η΄ †.

## DXL. Sine anno.

*Nicoletus Gateliuzus, dominus Aeni, monetur, ut patriarchae scribat de electione metropolitae Aeni.*

† Εὐγενέστατε, ἐνδοξότατε, φρονιμώτατε ἄρχων τῆς Αἴνου, σὺρ Νικολέτω Γατελιούζω· ἄμποτε νὰ ὑγιαίνῃ ἡ εὐγένειά σου, καὶ ἔχῃς εἰς τὴν ὑγείαν σου ὁλόκαλα. περὶ τῆς αὐτόθι ἁγιωτάτης μητροπόλεως Αἴνου, διότι ἔχει πολλοὺς χρόνους καὶ οὐκ ἐδέξατο μητροπολίτην, ἔγραφα τῇ εὐγενείᾳ σου καὶ μίαν καὶ δύο καὶ τρεῖς, ἵνα γράφῃς ἡμῖν, καὶ ποιήσωμεν μητροπολίτην μετὰ καὶ τοῦ θελήματος καὶ τῆς ἀποδοχῆς σου, ἐπεὶ διὰ τὴν φιλίαν σου καὶ διότι ἀποδεχόμεθα, ἵνα γένηται καὶ τοῦτο μετὰ τῆς βουλῆς σου, διὰ τοῦτο οὐδὲν ἐποιήσαμεν μητροπολίτην αὐτόθι, ἔνι δὲ ἀναγκαῖον, ἵνα εὑρίσκηται αὐτόθι μητροπολίτης, ὡς καὶ ἁπανταχοῦ, ἵνα διδάσκῃ καὶ τὸν λαόν, καὶ κρατῇ καὶ ἐμποδίζῃ καὶ τοὺς ἱερεῖς ἀπὸ ὁμιλιῶν καὶ μέθης καὶ καπηλείας καὶ ἄλλων σφαλμάτων, μεγάλη γὰρ ἁμαρτία ἔνι εἰς θεὸν τὸ ἐμποδίζειν γενέσθαι ἀρχιερέα εἰς τὸν λαὸν τοῦ θεοῦ, καὶ ἐγὼ οὐδὲν οὔτε ἀπὸ ταύτης τῆς ἐκκλησίας, οὔτε ἀλλαχόθεν ποθὲν βούλομαι λαβεῖν τὸ τυχόν, εἰ μὴ ἀρχιερεῖς πανταχοῦ καθιστάνειν γνησίους εἰς αὔξησιν τῶν πόλεων καὶ προκοπὴν καὶ ἀσφάλειαν τοῦ χριστωνύμου λαοῦ· ἵνα οὖν καὶ ἑαυτοὺς ἀπαλλάξωμεν τῆς ἁμαρτίας, διότι οὐ ποιοῦμεν αὐτόθι γνήσιον μητροπολίτην, καὶ τὴν εὐγένειάν σου, πῶς οὐδὲν ἐζήτησας τοῦτο γενέσθαι, γράφομεν καὶ πάλιν καὶ ἀξιοῦμεν, ἵνα γράφῃς ἡμῖν περὶ τούτου, καὶ

μετὰ τῆς ἀποδοχῆς σου ἐκλεξώμεθα τὸν κρείττονα καὶ ὃν χορηγήσῃ ἡ χάρις τοῦ παναγίου πνεύματος, καὶ χειροτονήσαντες στείλωμεν αὐτόθι γνήσιον ἀρχιερέα διδάσκαλόν τε καὶ ποιμένα εἰς τοὺς αὐτόθι χριστιανούς. γράφον οὖν, ἀξιοῦμεν, περὶ τούτου συντόμως. ἄμποτε νὰ ὑγιαίνῃ ἡ εὐγένειά σου, καὶ ἔχῃς εἰς τὴν ὑγείαν σου ὁλόκαλα †.

## DXLI. Sine anno.

*Patriarcha dirimit controversiam.*

† Ἐπεὶ ἀπὸ τῆς προικὸς ἧς συνεφώνησεν ὁ πρεσβύτερος Μιχαὴλ τῷ γαμβρῷ αὐτοῦ Μανουὴλ δοῦναι, ἐλοιπάσθη καὶ ὀφείλει αὐτῷ ὑπέρπυρα ἑκατὸν εἴκοσιν, ἃ καὶ ἀπαιτῶν ὁ Μανουὴλ ἔγκλησιν ἐποιήσατο συνοδικῶς κατὰ τοῦ πρεσβυτέρου, ὁ δὲ τὸ μὲν χρέος ὡμολόγησε, μηδὲν δὲ ἔχων ἀνεφάνη πλὴν ὀσπητίων δύο, ἀφ᾿ ὧν δὲ τὸ μὲν ἓν εἶχεν αὐτός, τὸ δὲ ἕτερον ἐκτήσατο ἀρτίως ἀπὸ τοῦ Φραγγαλέξι, συμφωνήσας, ἵνα ψάλλῃ τὴν ἐκκλησίαν αὐτοῦ χρόνους τρεῖς, ἀφ᾿ ὧν διεβίβασε τὸν ἕνα, ὀφείλει δὲ ἔτι τοὺς δύο, ἐτιμήθη δὲ τὸ ὀσπήτιον γνώμῃ καὶ ἐνδόσει τῆς ἡμῶν μετριότητος, ὃ εἶχε πρότερον, εἰς ὑπέρπυρα εἰκοσιτέσσαρα. διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ὡς εἰ μὲν τελειώσει ὁ πρεσβύτερος τοὺς τρεῖς χρόνους καὶ κτήσαιτο τὸ ὀσπήτιον τὸ δοθὲν αὐτῷ παρὰ τοῦ Φραγγαλέξι κατὰ τελείαν ἐξουσίαν καὶ κυριότητα, ἵνα ἔχῃ ὁ γαμβρὸς αὐτοῦ τὸ πρῶτον ὀσπήτιον αὐτοῦ κυρίως τε καὶ δεσποτικῶς εἰς ἃ ἐτιμήθη εἰκοσιτέσσαρα ὑπέρπυρα, ὀφείλοντος τοῦ πρεσβυτέρου ἱκανῶσαι αὐτῷ, ὁπότε εὐπορήσει, καὶ τὰ πλείω τῶν ἑκατὸν εἴκοσιν ὑπερπύρων, ἅπερ ὀφείλει αὐτῷ· εἰ δὲ ἢ οὐ φθάσει τελειῶσαι τοὺς τρεῖς χρόνους, οὓς συνεφώνησε μετὰ τοῦ Φραγγαλέξι ὁ πρεσβύτερος, ἢ οὐκ ἐπικαμφθῇ ὁ Φραγγαλέξις τῇ τοῦ πρεσβυτέρου πενίᾳ, καὶ οὐκ ἀφῇ τοῖς παισὶν αὐτοῦ τὸ ὀσπήτιον, ἀλλ᾿ ἀναλάβῃ αὐτό, τότε, ἐπεὶ ἀσυμπαθὲς ἔσται τὸ τοὺς παῖδας τοῦ πρεσβυτέρου μὴ ἔχειν καταμονῆς οἴκημα, ὀφείλουσιν οὗτοι ἀναλαβεῖν τὸ ῥηθὲν πατρικὸν οἴκημα ἀπὸ τοῦ γαμβροῦ αὐτῶν, ὀφειλομένων αὐτῷ πάλιν τῶν ἑκατὸν εἴκοσιν ὑπερπύρων παρὰ τοῦ πρεσβυτέρου· τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι᾿ ἀσφάλειαν †.

## DXLII. (9608—1400) ianuario. ind. VIII.

*Patriarchae litterae de antimensiis.*

† Ἱερώτατε μητροπολῖτα Ἡρακλείας, πρόεδρε τῶν ὑπερτίμων καὶ ἔξαρχε πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ. χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. περὶ ἀντιμινσίων ἁγίων ἔγραφας ἐνταῦθα, ὅτι εὑρίσκονται αὐτόθι καὶ πατριαρχικὰ καὶ μητροπολιανά, καὶ οἱ ἔχοντες αὐτὰ λειτουργοῦσι πολλάκις ἀντικατάλλαγα, ὁ μὲν τὸ μητροπολιανὸν ἔχων ἐν πατριαρχικῇ ἐνορίᾳ, ὁ δὲ τὸ πατριαρχικὸν ἐν μητροπολιανῇ, καὶ ἐζήτησας περὶ τούτου διάγνωσιν, πῶς ἵνα γένωνται· διασκεψαμένη τοίνυν ἡ μετριότης ἡμῶν συνοδικῶς γράφει σοι καὶ παρακελεύεται ταῦτα· ὡς ὁ ἐξ ἀρχῆς σκοπὸς τοῦ πέμπεσθαι ἀντιμίνσια οὗτος ἦν, ὅτι χωρεπισκόπων ἢ ἐξάρχων πεμπομένων ἢ πρέσβεων ἐδέησε καθ' ὁδὸν δι' ἀπαραίτητον ἀνάγκην, ἵνα γένηται· θυσία τυχὸν ἢ διὰ ψυχορραγοῦντα ἢ διὰ βαπτιζόμενον ἢ ὅτι οὐκ ἦν ἐκεῖσε ἀκίνητον θυσιαστήριον, ἐπενοήθη τοῦτο καὶ γίνεται, ὅπερ λαβόντες καὶ οἱ κατὰ τόπους ἀπερχόμενοι βασιλεῖς καὶ ὅσοι τῶν ἀρχιερέων ἐξαρχίας μεγάλας ἔχουσιν, ἐν αἷς οὐ πεπηγμένα τυγχάνουσι θυσιαστήρια ἔχοντα τὰ τοιαῦτα, χρῶνται ἀνάγκης κατεπειγούσης ἢ δι' ἁγιασμὸν αὐτῶν· ὅπου δὲ τυγχάνει πεπηγμένον θυσιαστήριον, ἀπειροκαλία ἔσται καὶ ἐπίδειξις, ἀργήσαντα τὸ ἀκίνητον, ἐπιθεῖναι αὐτῷ ἀντιμίνσιν καὶ λειτουργῆσαι. εἰ δὲ καὶ εἰς ἑτέρου ἐνορίαν τοῦτο ποιήσει ὁ ἀρχιερεύς, ἐπιβάτης νομισθήσεται ὁ τοιοῦτος, οὐ γὰρ δι' ἄλλο τι φαίνεται τοῦτο ποιῶν, ἢ διὰ σκάνδαλον καὶ πλῆξιν τοῦ ἀδελφοῦ, ὅπερ οὐκ ἔστι καλόν, παρὰ κανόνας γάρ. τοῦτο τοίνυν καὶ ἐνταῦθα γινέσθω, εἰ μὲν ὁ κατέχων αὐτὸ ἱερεὺς ἀπειροκαλίας ἕνεκα κατέχει αὐτὸ καὶ δι' ἐπιδείξεως, ὥστε χρῆσθαι αὐτῷ, ὅποι καὶ βούλεται, εὐκαίρως ἀκαίρως, ἢ παυσάσθω ὁ τοιοῦτος, ἢ ἀνάλαβε ἐξ αὐτοῦ τὸ ἀντιμίνσιον, εἴτε πατριαρχικόν ἐστι τοῦτο ἢ μητροπολιανόν· εἰ δὲ κατέχει τοῦτο δι' ἀνάγκην ἀπαραίτητον, καὶ χρῆται αὐτῷ ἀνάγκης μόνον κατεπειγούσης καὶ εἰς τόπον, ἔνθα οὐκ ἔστιν ἀκίνητον θυσιαστήριον, ἢ ἐστι μέν, ἀκαθιέρωτον δέ, ἔασον τοῦτο γίνεσθαι, ἀκώλυτον γὰρ καὶ οὐ πλήττει τινά, γίνεται γὰρ καὶ ἡ θυσία, καὶ ἕτερον θυσιαστήριον οὐκ ἀργεῖ, καὶ τὸ ἔδαφος μένει, ὥσπερ ἦν ἐξ ἀρχῆς ἢ πατριαρχικὸν ἢ μητροπολιανόν, πλὴν ἔστω καὶ

ὁ τόπος τοιοῦτος ἄξιος πρὸς τοιούτων μυστηρίων ὑποδοχήν. ταῦτα οὕτω γινέσθω, σώζεται γὰρ καὶ ὁ σκοπὸς, καθ' ὃν ἀντιμίνσια ἐξεχωρίσθησαν, καὶ οὐδὲ πλήττεταί τις τῶν ἀδελφῶν, ἀργοῦντος τοῦ θυσιαστηρίου αὐτῶν. διὰ τοῦτο καὶ ἐγγράφως παραδηλοῦμεν τὰ περὶ τούτου τῇ σῇ ἱερότητι, μεθ' ἧς καὶ ἡ τοῦ θεοῦ χάρις εἴη †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰαννουαρίῳ ἰνδ. η' †.

## DXLIII. (6908—1400) 20. ianuarii. ind. VIII.

*Patriarcha dirimit controversiam.*

I. † Μηνὶ ἰανουαρίῳ, κ', ἰνδ. η' θείῳ καὶ προσκυνητῷ ὁρισμῷ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἐτάχθη, ἵνα βάλλῃ ἡ Ἀθηναῖσα ἕνα λεπτουργὸν καὶ ὁ παπᾶς Ζωτικὸς ἄλλον λεπτουργὸν, ἵνα τιμηθῇ ὑπ' αὐτῶν τὸ ὀσπήτιον τοῦ γαμβροῦ αὐτοῦ, καὶ μετὰ ταῦτα ἵνα περιμείνῃ ἡ Ἀθηναῖσα τὴν ἐπέλευσιν τῶν ἀποκρισιαρίων, καὶ εἰ μὲν γένηται ἀγάπη, ἵνα περιμείνῃ ἕνα μῆνα, καὶ τότε, ἐὰν οὐδὲν ἔλθωσιν οἱ ἔχοντες αὐτὸ, ἵνα ἔχῃ αὐτὸ κατὰ τὴν ἀρτίως σταθεῖσαν τιμὴν, καὶ διαβιβάζῃ μὲν τὰ ὀφειλόμενα αὐτῇ ὑπέρπυρα, ἵστανται δὲ καὶ τὰ πλείω. εἰ δὲ, ὃ μὴ συμβῇ, σταθῇ πάλιν ἡ μάχη, ἵνα παραυτίκα δέχηται αὐτὸ εἰς τὴν σπαθεῖσαν τιμὴν νῦν. ἐν δὲ τὸ μεταξὺ εἴ τις ζημία γένηται εἰς τὸ ὀσπήτιον, ἐτάχθη, ἵνα ἀποδιδῷ αὐτὴν ὁ παπᾶς Ζωτικὸς, ἐπεὶ ἐγγυητὴς ἐγένετο ἑκουσίως εἰς τοῦτο. καὶ δι' ἀσφάλειαν παρεσημειώθη ἐνταῦθα †.

II. † Μηνὶ φεβρουαρίῳ ἰνδ. η' τοῦ ῥηθέντος παπᾶ Ζωτικοῦ μὴ θελήσαντος, ἅπερ ἐζήτησε, συνοδικῶς ποιῆσαι, κινδυνεύοντος δὲ τοῦ ὀσπητίου παντελῶς καταχαλασθῆναι, θείῳ πατριαρχικῷ ὁρισμῷ ἐτιμήθη καὶ αὐτὸ καὶ τὸ περιβόλιον αὐτοῦ εἰς ὑπέρπυρα ιη' παρὰ τοῦ ἐντιμοτάτου δευτερεύοντος τῶν διακόνων, κυροῦ Νικολάου τοῦ Κονάμου, καὶ παρεδόθη πρὸς τὴν Ἀθηναῖσαν, ἵνα καταχαλάσῃ μὲν αὐτὸ, ἐπεὶ κατέπιπτε, φυλάττῃ δὴ τὴν ὕλην αὐτοῦ μέχρι καὶ τῆς ἐπανόδου τῶν ἀποκρισιαρίων, καὶ τότε ἵνα λαμβάνῃ ἐκ τῆς τιμῆς αὐτοῦ τὰ ὀφειλόμενα αὐτῇ, τὰ δὲ πλείω φυλάττῃ τοῖς κυρίοις τοῦ οἰκήματος διὰ τῆς ....

Finis deest.

## DXLIV. Sine anno.

*Patriarcha litem diiudicat.*

† Ἡ Μανουὴλ τοῦ Ἐγκαρδίου ἐκείνου γονή, παραστᾶσα τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ, ἔγκλησιν ἐποιήσατο κατὰ τῶν ἐπιτρόπων τοῦ ἀνδρὸς αὐτῆς, τοῦ τε ἱερομονάχου κυροῦ Μαλαχίου καὶ κυροῦ Ἰωάννου τοῦ Ἀδὰμ καὶ κυροῦ Νικολάου τοῦ Κωντοστεφάνου, ἀπαιτοῦσα ἐξ αὐτῶν τήν τε προῖκα αὐτῆς πολλὴν οὖσαν, ὡς αὕτη δι' εἰδῶν ἀπηριθμεῖτο, καὶ ἅπερ ἀφῆκεν αὐτὴν ὁ ἀνὴρ αὐτῆς λεγάτου χάριν ὑπέρπυρα ἑκατόν. παρόντες δὲ καὶ οἱ ἐπίτροποι οἱ ῥηθέντες τοῦ ἀνδρὸς αὐτῆς καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπέντες, πρῶτον μὲν συστῆσαι ταύτην δι' ἀποδείξεως ἀπήτησαν ἥνπερ ἔχει προῖκα, ὅπερ οὐδόλως ἠδυνήθη συστῆσαι, οὔτε διὰ γαμηλίου συμφώνου, οὔτε διά τινος ὅλως μαρτυρίας, ἀλλ' οὐδ', ὡς παρθένον ἔλαβε ταύτην, ὡς ἂν τὴν τοῦ πενθίμου χρόνου τροφὴν καί τι ἕτερον ἐκ τῶν τοῦ ἀνδρὸς αὐτῆς ἀποκερδήσῃ πραγμάτων· ἐπεὶ δὲ καὶ περὶ τοῦ λεγάτου ἠρωτήθησαν εἰπεῖν, εἰ οὕτως ἔχει, ὡμολόγησαν, ὡς πεντήκοντα μὲν ὑπέρπυρα ἀφῆκεν αὐτῇ, ἅπερ εἶπεν ὁ ἀνὴρ αὐτῆς προικῷα αὐτῆς εἶναι. ὕστερον μὲν πολλῇ ἐπιθέσει καὶ ἀξιώσει αὐτῶν ἔστερξε δοῦναι κἀκεῖνος αὐτὴν ἀπὸ τῶν αὐτοῦ πραγμάτων καὶ ἄλλα πεντήκοντα ὑπέρπυρα. ἠρωτήθησαν οὖν, εἴπερ ἐδόθησαν ταῦτα πρὸς αὐτήν· οἱ δὲ διὰ πολλῶν διηγήσαντο, ὅτι καὶ ζῶντι τῷ ἀνδρὶ αὐτῆς ἐπίβουλος ἐφάνη καὶ πολεμία πολλάκις, καὶ ἀποθανόντος ἐκείνου οὐδόλως ἀφῆκεν τοὺς ἐπιτρόπους ἀναδέξασθαι τὰ ὑπέρπυρα καὶ ποιῆσαι αὐτά, ὡς ἐκεῖνος διέθετο, καὶ ἐχώρισε ταῦτα, καὶ τὰ μὲν κατέγραφεν ἐν τῇ διαθήκῃ αὐτοῦ, τὰ δὲ ἀφῆκεν ἄγραφα καὶ κεχωρισμένως τοῖς ἐπιτρόποις, ὡς ἂν ποιήσωσιν ὑπὲρ τῆς ἐκείνου ψυχῆς, ὡς αὐτοῖς ἐπέσκηψεν, ἀλλὰ πρὸ τοῦ γνωρισθῆναι τοῖς ἐπιτρόποις τὸν ἐκείνου θάνατον, ἔλαβε πάντα καὶ ἥνωσεν, καὶ τῆς οἰκείας ἔξω πρός τι γραΐδιον παρέθετο ταῦτα, ὕστερον μέντοι τῆς ταφῆς τοῦ ἀνδρὸς αὐτῆς, ἀναγκαζομένη παρὰ τῶν τὸ ἀβιωτίκιον ἀπαιτούντων ἐμφανίσαι τὰ ἐγγεγραμμένα τῇ διαθήκῃ ὑπέρπυρα, ἀντὶ τῶν γεγραμμένων καὶ τὰ ἄγραφα ἐφανέρωσεν, ἐξ οὗ συνέβη πάντα μὲν καὶ τὰ ὑπὲρ τῆς ἐκείνου ψυχῆς δημοσιευθῆναι, αὐτῇ δ' ἀντὶ τῶν ἑκατὸν καὶ ἕτερα δέκα ὑπέρπυρα περιλειφθῆναι. ἔλεγον δὲ καὶ τοὺς ταῦτα ἐξ αὐτῆς ἀναλαβόντας τὰ ὑπέρπυρα,

καὶ οὕτω προβῆναι διετείνοντο, ἔχειν ἀποδεῖξαι ταῦτα. ἐπεὶ δὲ καὶ αὕτη ὑπὸ τῆς ἀληθείας ἐλεγχομένη οὐδόλως εἶχεν ἀντιλέγειν εἰς ταῦτα, δίκαιον μὲν ἦν ζημιωθῆναι τὰ ἑκατὸν δέκα ὑπέρπυρα αὐτήν, ὡς ἐπιβουλεύσασαν μετὰ θάνατον τῇ ψυχῇ τοῦ ἀνδρὸς αὐτῆς· ἐπεὶ δ' ἡ τοῦ θεοῦ ἐκκλησία ἀεὶ πρὸς τὸ φιλάνθρωπον ἀπονεύει, διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, μένειν (ἀνενοχλήτους) τοὺς ῥηθέντας ἐπιτρόπους τοῦ Ἐγκαρδίου ἐκείνου ἀπὸ τῆς ῥηθείσης γυναικὸς ἐκείνου, ἐπεὶ καὶ πλείω ὧν ἀφῆκεν αὐτῇ ἐκεῖνος, ἔλαβεν ἐκ τῶν τοῦ ἀνδρὸς αὐτῆς καὶ παρὰ τὸ δέον, ὡς εἴρηται. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DXLV. (6908—1400) februario. ind. VIII.

*Professio fidei et promissio Ioannis Constantzi.*

† Ὁμολογία τοῦ Ἰωάννου τοῦ Κωνστάντζου υἱοῦ †.

† Πιστεύω εἰς ἕνα θεόν κ. τ. λ. †.

† Εγω Ιωαννης του Κοσταντζου στεργον υπεγραφα †.

† Ἐγὼ Ἰωάννης, ὁ τοῦ Κωνστάντζου υἱός, τὴν παροῦσάν μου ὑπόσχεσιν ποιῶ πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ λέγω, ὡς ἐπειδὴ ὁρισμῷ αὐτοῦ λαμβάνω γυναῖκα τὴν θυγατέρα τοῦ Σιταρούδη, ἤδη ὑπόσχομαι ἔμπροσθεν αὐτοῦ, ὡς εἴπερ μετὰ τὸ λαβεῖν με αὐτήν, ἀθετήσω τὴν παροῦσάν μου ὑπόσχεσιν, καὶ ἐπανέλθω πάλιν εἰς τὴν θρησκείαν τῶν Λατίνων, ἵνα πρῶτον μὲν χωρίζωμαι ταύτης, ἔπειτα ἀποδιδῶ πρὸς αὐτὴν πᾶσαν τὴν προῖκα αὐτῆς καὶ πάντα τὰ δίκαια αὐτῆς, ὥσπερ ἂν εἰ ἀπέθνησκον, ζημιῶμαι δὲ καὶ εἰς τὸ βασιλικὸν βεστιάριον τοῦ καθόλου μου βίου τοῦ εὑρεθησομένου μοι τότε τὸ τρίτον. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα μηνὶ φεβρουαρίῳ ἰνδ. η' †.

† Εγω Ιωαννης του Κοσταντζου στεργον υπεγραφα †.

## DXLVI. (6908—1400) martio. ind. VIII.

*Maria Serba fidem profitetur.*

† Ὁμολογία τῆς ἀπὸ Λατίνων ἐλθούσης Μαρίας τῆς Σέρβας, τοῦ Βαρβαράσκου θυγατρός †.

† Πιστεύω εἰς ἕνα θεόν κ. τ. λ. . . . προσέρχομαι ὁλοψύχως τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, τῷ κυρῷ Ματθαίῳ, καὶ τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ μεγάλῃ συνόδῳ. μηνὶ μαρτίῳ ἰνδ. η' †.

† Μαρία ἡ Σέρβα, ἡ θυγάτηρ τοῦ Βαρβαράσκου, στέργω αἱ ὁμολογῶ τὰ ἄνωθεν γεγραμμένα, ἀφαμένη τοῦ καλάμου καὶ ὑπογράφουσα διὰ τῆς τοῦ θεοφιλεστάτου ὑπομνηματογράφου χειρός †.

## DXLVII. (6908—1400) februario. ind. VIII.

*Patriarcha sententiam dicit in lite de dote.*

† Μαρία, ἡ τοῦ Στεφάνου θυγάτηρ, παραστᾶσα τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ, ἔγκλησιν ἐποιήσατο κατὰ Ἰακώβου τοῦ Σγουροπούλου, εἰποῦσα, ὡς τοῦ ἀνδρὸς αὐτῆς Γεωργίου ἀποθανόντος ἀπαιτεῖται αὕτη χρέος ἐκείνου . . . . . . . ἃ πρὸ καιροῦ ἐδανείσατο ἀπὸ τοῦ Σγουροπούλου, ὃς νῦν πειρᾶται λαβεῖν αὐτα ἀπὸ τῆς εὑρεθείσης ἐκείνῳ μόνης ἐνθήκης οὗ ἐκράτει κήπου. ἐζήτησεν οὖν κατὰ τοὺς φιλευσεβεῖς νόμους προτιμηθῆναι τὴν προῖκα αὐτῆς τοῦ τοιούτου χρέους, ποσουμένην εἰς ρμδ', ὡς ἔδειξε τοῦτο διὰ τοῦ γαμηλίου συμφώνου αὐτῆς. διαμηνυθεὶς δὲ καὶ ὁ Σγουρόπουλος καὶ παραστὰς καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπείς, ἐνεφάνισε γράμματα, βουλλαρικόν, διαλαμβάνον, ὡς παραιτεῖται ἡ ῥηθεῖσα Μαρία τὴν προῖκα αὐτῆς, καὶ στέργει, προτιμότερον αὐτῆς εἶναι τὸ χρέος τοῦ Σγουροπούλου, ὃ πολλαχόθεν ἀνεφάνη τὸ ἄκυρον ἔχειν καὶ ἀνατετραμμένον, ὅτι τε ἀποθνήσκοντος τοῦ ἀνδρὸς προέβη καὶ βίᾳ καὶ ἀνάγκῃ, ὡς ἔλεγε, καὶ ὅτι οὐδὲ ἐδιδάχθη τὸν βοηθοῦντα αὐτῇ νόμον ἐπὶ τῇ ἰδίᾳ προικὶ ἢ παρὰ τῶν καθολικῶν κριτῶν τοῦ βασιλικοῦ σεκρέτου ἢ διά τινος τῶν τιμιωτάτων ἐξωκατακήλων, προτροπῇ τῆς ἡμῶν μετριότητος, διὸ καὶ ἀνατετραμμένον εἶναι τὸ τοιοῦτο γράμμα καὶ ἄκυρον διεγνώσθη. εἶτα προεβάλετο, ὡς ἐπάνω τῆς ἐνθήκης τοῦ κήπου ἔδωκε τὰ ὑπέρπυρα αὐτοῦ, καὶ ἐκεῖ ἐξω-

διασθησαν, καὶ γνώριμά ἐστιν αὐτοῦ ταῦτα, ὅπερ συστῆσαι ἀπαιτηθεὶς οὔτε διὰ γράμματος ἴσχυσεν οὔτε διὰ μαρτυρίας, ὅθεν καὶ ἐπεὶ διεγνώσθη, ὡς εἴπερ βούλεται ἐγκρατὴς γενέσθαι τοῦ παντὸς βίου τοῦ ἀνδρὸς αὐτῆς, καὶ πρῶτον ἱκανῶσαι τὴν προῖκα αὐτῆς νομίμως κατὰ τὸ ἀκέραιον, εἶτα λαβεῖν καὶ τὸ ἴδιον χρέος, εἰ περιλειφθείη πράγματα, τότε μὲν αὐτὸ οὐκ ἐθέλησεν, ἐξησφαλίζετο γὰρ ἡ γυνή, μηδὲν αὐτῇ περιλειφθῆναι πλὴν τῆς ἐπικαρπίας τοῦ κήπου καὶ προικῴου αὐτῆς ξολοοικήματος. ἐζήτησε δὲ ὁ Σγουρόπουλος, συστῆσαι τὴν Μαρίαν συνοδικῶς, εἴπερ ἀληθές ἐστιν ὃ προκομίζει σύμφωνον. παρήχθησαν οὖν, αὐτοῦ παρόντος, ἀπὸ τῶν καταγεγραμμένων τῷ συμφώνῳ μαρτύρων, ὅ τε ἱερεὺς Μιχαὴλ ὁ Σγουρόπουλος καὶ ὁ .... καὶ Σαββατιανὸς ὁ Λαπαρδᾶς, οἳ καὶ ἐρωτηθέντες μετὰ βάρους φρικώδους ἀφορισμοῦ, ἀληθῆ εἶναι τὰ ἐν τῷ συμφώνῳ πάντα εἶπον, καὶ ἔμπροσθεν αὐτῶν δοθῆναι καὶ τιμηθῆναι. τούτων οὖν οὕτως ἀναφανέντων διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ἀνενόχλητον μένειν τὴν Μαρίαν ἀπὸ τοῦ ῥηθέντος Σγουροπούλου ὡς προτιμωμένην νομίμως ἱκανωθῆναι εἰς τὴν προῖκα αὐτῆς πρὸ παντὸς ἄλλου χρέους καὶ τότε λαμβάνειν αὐτόν τε καὶ τοὺς ἄλλους δανειστὰς ἐκείνου. τούτου γὰρ χάριν ἐγένετο αὐτῇ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ φευρουαρίῳ ἰνδ. η' †.

## DXLVIII. (6908—1400) februario. ind. VIII.

*Patriarchae litterae de archiepiscopo Anchiali.*

† Εὐλαβέστατοι κληρικοὶ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀγχιάλου, ἔτι τε ἱερωμένοι, μονάζοντες καὶ ὁ λοιπὸς χριστώνυμος τοῦ κυρίου λαός, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν ἅπασιν εἴη καὶ εἰρήνη ἀπὸ Χριστοῦ παντοκράτορος. ἡ ἔγγραφος ὑμῶν ἀναφορὰ διεκομίσθη εἰς τὴν ἡμῶν μετριότητα, καὶ ὑπανεγνώσθη, καὶ ἐγνωρίσαμεν ἐξ αὐτῆς περὶ ὧν ἐγράφετε καὶ ἀνεφέρετε. ἀπεδεξάμεθα οὖν ὑμᾶς, ὅτι οὐκ ἐθέλετε ἀποίμαντοι εἶναι ἐπὶ πολύ, ἀλλὰ δυσχεραίνετε ἐπὶ τῇ στερήσει τοῦ πνευματικοῦ ὑμῶν προστάτου καὶ διδασκάλου, ζητεῖτε δὲ ἕτερον παρὰ τῆς ἐκκλησίας Χριστοῦ, σύμβολον γάρ ἐστι τοῦτο τῆς προκοπῆς τῆς ὑμετέρας, ὅτι ποιμένος ἐφιέμενοί ἐστε καὶ προστάτου καὶ διδασκάλου, ἀπεδεξάμεθα οὖν ὑμᾶς διὰ ταῦτα.

ἔτι δὲ ἐνθυμίζετε καὶ περὶ τοῦ ἱερομονάχου κῦρ Ἰσιδώρου, ὃν ἔχετε αὐτόθι, καὶ ζητεῖτε πρὸ παντὸς ἄλλου τοῦτον, καὶ ἀξιοῖτε, ὅπως γένηται ὁρισμός μου, καὶ ἔλθῃ καὶ χειροτονηθῇ· περὶ μὲν τοῦ εἶναι αὐτὸν ἄνθρωπον καλὸν καὶ ἁρμόδιον καὶ ἱκανὸν πρὸς τὸ τῆς ἱερωσύνης ἀξίωμα, εὔχομαι καὶ αὐτὸς τοῦτο τῷ θεῷ, ἵνα οὕτως ἔχῃ, γνωστὸν γὰρ ἔστω ὑμῖν, ὅτι καὶ παρὰ θεοῦ καὶ παρ' ἡμῶν ὁ ἄξιος ζητεῖται καὶ εὑρίσκεται καὶ χειροτονεῖται· εἰ γοῦν καὶ οὗτος ἄξιος κριθείη πρὸς τοῦτο, ἀποδέχομαι αὐτὸ εἰς ὑπερβολήν, πλὴν περὶ αὐτοῦ οὐδὲν ἀλόγων μηνύσει ὑμῖν ἡ μετριότης ἡμῶν, ὅπως ἔλθῃ καὶ χειροτονηθῇ, παρὰ τὴν τάξιν γάρ ἐστι τοῦτο τῆς ἐκκλησίας Χριστοῦ καὶ παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας, οὐδὲ γὰρ γίνονται οὕτως αἱ τῶν ἀρχιερέων χειροτονίαι, ἵνα μηνύῃ ὁ πατριάρχης, καὶ γίνωνται, τότε γὰρ οὐ τὸ πνεῦμα τὸ ἅγιον ἐκλέγεται τούτους, οὐδὲ χειροτονεῖ, ἀλλ' ὑπὸ τῆς ἐξουσίας γίνονται τῆς πατριαρχικῆς, καὶ γίνεται παρὰ κανόνας. ὃ δὲ γίνεται κανονικῶς, οὕτω γίνεται· λέγει ὁ πατριάρχης πρὸς τοὺς ἀρχιερεῖς, ὅτι ἡ δεῖνα ἐκκλησία χηρεύει, δεῖ οὖν ἐκεῖσε χειροτονηθῆναι ἐπίσκοπον· καθίσαντες οὖν ψηφίσασθε περὶ τούτου, πρόσωπον δὲ αὐτοῖς οὐδὲ ἓν λέγει. οἱ δὲ ἀπελθόντες ἐν τῷ συνήθει τῶν ψήφων τόπῳ καὶ δοξολογίαν ποιήσαντες εἰς θεὸν καὶ ἐπικαλεσάμενοι τὴν χάριν τοῦ παναγίου πνεύματος, ἐκλέγονται πρόσωπα γ', καὶ φέρουσι ταῦτα ἐγγράφως τῷ πατριάρχῃ, ὁ δὲ ἀπὸ τῶν τριῶν προσώπων ἐκλέγεται ἕν, ὁποῖον βούλεται, καὶ χειροτονεῖ. οὕτω μὲν οὖν αἱ ψῆφοι γίνονται, καὶ ἔστι τοῦτο κανονικόν, καὶ ὁ χειροτονηθησόμενος οὕτως ἔσται κανονικὸς ἀρχιερεύς. εἰ οὖν ἐνταῦθα πρὸς τοὺς ἀρχιερεῖς οὐκ ἐνθυμίζομεν περὶ προσώπου τινός, ἵνα μὴ δόξῃ, ὅτι ὄρεξις ἡμῶν ἐγένετο, πολλῷ μᾶλλον οὐκ ὀφείλομεν μηνῦσαι τινί, ὅπως ἔλθῃ καὶ χειροτονηθῇ. οὐδὲν γοῦν ἔνι δυνατόν, ἵνα οὕτω γράφωμεν κατὰ πρόσωπον, ὅτι ἐλθέτω ὁ παπᾶς κῦρ Ἰσίδωρος, ὅπως χειροτονηθῇ, ἀλλ' εἴπερ ἐστὶν ὁ ἄνθρωπος ἁρμόδιος καὶ ἱκανὸς πρὸς τὴν τοιαύτην ὑπηρεσίαν, καὶ ἀποδέχεσθε τοῦτον, καὶ ζητεῖτε περὶ αὐτοῦ, γράψατε τοῦτο ἐνταῦθα πρός τε τὴν θείαν καὶ ἱερὰν σύνοδον καὶ πρὸς τὴν ἡμῶν μετριότητα, καὶ ὑπογράψατε πάντες οἱ κληρικοὶ τὴν μαρτυρίαν ταύτην καὶ τὴν ἀξίωσιν τὴν ὑπὲρ αὐτοῦ, καὶ ἐλθέτω αὐτὸς ὁ παπᾶς κῦρ Ἰσίδωρος διακομιστὴς τῶν γραμμάτων, ὡς ἂν ἴδωμεν αὐτόν, καὶ ἐξετάσωμεν τὰ περὶ αὐτοῦ, καὶ εἴπερ ἄξιος διακριθῇ παρὰ τῆς θείας

καὶ ἱερᾶς συνόδου, καὶ τεθῇ εἰς τὰς ψήφους ὡς ἁρμόδιος κατὰ τὴν μαρτυρίαν ὑμῶν, τότε πληροφορῶ ὑμᾶς, ὅτι γενήσεται οὗτος, καὶ οὐκ ἄλλος. γενέσθω τοίνυν οὕτω περὶ τούτου, τοῦτο γάρ ἐστι τὸ κανονικόν τε καὶ δίκαιον. εἰ δὲ οὐ διακριθῇ ὁ τοιοῦτος ἁρμόδιος καὶ ἱκανὸς, μέλλει γενέσθαι ἕτερος, ὃν ἂν ἐκλέξηται ἡ χάρις τοῦ παναγίου πνεύματος. ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ πάντων ὑμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ φεβρουαρίῳ ἰνδ. ηης †.

## DXLIX. (6906—1397) octobri. ind. VI.

*Patriarcha sententiam dicit in lite de hereditate.*

† Ὑπομονὴ μοναχὴ, ἡ τοῦ Καλοειδᾶ ἐκείνου γονὴ, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ γαμβροῦ αὐτῆς, Θεοδώρου τοῦ Βαρζάνη, εἰποῦσα, ὡς ἡ θυγάτηρ μὲν αὐτῆς, γυνὴ δὲ τοῦ Βαρζάνη ἀποθνήσκουσα διέθετο περὶ τῆς προικὸς αὐτῆς, ποσουμένης εἰς ὑπέρπυρα δισχίλια διακόσια, ὡς ἂν μερισθῇ εἰς τρία μέρη, καὶ τὸ μὲν ἓν ἐπαφῆκεν πρὸς τὸν ἄνδρα αὐτῆς, τὸ δὲ ἕτερον πρὸς τὰ παιδία αὐτῆς, ἐπίτροπον εἰς τὸ τῶν παίδων ποιήσασα τὸν ἄνδρα αὐτῆς, ἐπιτηρητὴν δὲ τὴν ἑαυτῆς μητέρα, τὸ δὲ λοιπὸν ἕτερον ἐπαφῆκε πρὸς αὐτὴν δὴ τὴν μητέρα αὐτῆς, ὡς ἂν ἐξοδιάσῃ τοῦτο, ὅπως ἄρα καὶ βούλοιτο, ὑπὲρ τῆς ψυχῆς αὐτῆς· ἐνεφάνισε δὲ καὶ τὴν ἐκείνης διαθήκην, ταῦτα ἀπαραλλάκτως διαλαμβάνουσαν. ἐζήτησεν οὖν κατὰ τὴν ἐκείνης γενέσθαι διαθήκην καὶ τηρηθῆναι αὐτὴν κατὰ πάντα. παρὼν δὲ καὶ ὁ Βαρζάνης καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς, περὶ μὲν τῆς διαθήκης οὐδὲν ἔχειν εἶπε προβαλέσθαι, ἀλλ᾽ οὕτω προβῆναι καὶ ἀληθῆ εἶναι ταύτην καὶ ἐμμάρτυρον καὶ αὐτὸς ὡμολόγησεν, προεβάλετο δὲ τὴν σύνοικον ἀπορίαν, καὶ ὡς πολλὰ μὲν εἶχε πράγματα καὶ αὐτὸς, κατηναλώθησαν δὲ πάντα ὑπὸ τῆς τοῦ καιροῦ ἀνωμαλίας καὶ συγχύσεως, καὶ πλὴν ὀλίγων τινῶν κτημάτων ἐναπελείφθη αὐτῷ οὐδέν· εἴ τι οὖν εἰς τοῦτο διακρίνομεν, προσκυνεῖν εἶπε καὶ στέργειν αὐτό. τούτων οὖν οὕτω ἀναφανέντων, ἐπεὶ ἡ τοῦ ἀνδρὸς περιουσία σιωπηρῶς ὑπόκειται κατὰ τοὺς φιλευσεβεῖς νόμους τῇ προικὶ τῆς γυναικὸς, διέγνωμεν καὶ ἀπεφηνάμεθα, ὡς ἐπιστατισθῇ ἀκριβῶς πᾶσα ἡ τῷ Βαρζάνῃ περιλειφθεῖσα περιουσία παρὰ τῶν τιμιωτάτων ἐξωκατακήλων τῆς καθ᾽ ἡμᾶς ἁγιω-

τάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, διακόνων τοῦ τε μεγάλου σακελλαρίου, κῦρ Δημητρίου τοῦ Βαλσαμῶν, τοῦ μεγάλου χαρτοφύλακος, κῦρ Ἰωάννου τοῦ Ὁλοβόλου, καὶ τοῦ σακελλαρίου, κῦρ Ἰωάννου τοῦ Συροπούλου, καὶ τιμηθῇ καὶ ποσωθῇ εἰς ὅσον ἂν ἀρκέσει ποσὸν, καὶ ἱκανωθῇ καὶ σταθῇ παρ' αὐτῶν κατὰ μὲν τὸ πρῶτον τὸ γ' μέρος τῶν παίδων, ὃ καὶ ὀφείλει κατέχειν μὲν ὁ πατὴρ, μέχρις ἂν ἡλικίας ἐντελοῦς ἐπιλάβωνται τὰ παιδία, ἐφορᾶσθαι δὲ τοῦτο παρὰ τῆς μάμης αὐτῶν, κατὰ τὴν διαθήκην, μή που τι ἐξ αὐτῶν διαφθαρῇ, εἶτα ἐκβληθῇ τὸ γ' μέρος τῆς ψυχῆς ἐκ τῆς περιουσίας, καὶ δοθῇ πρὸς τὴν μητέρα ἐκείνης, ὡς ἂν ποιήσῃ ὑπὲρ τῆς ψυχῆς ἐκείνης, ὡς βούλεται, κατὰ τὴν ἐκείνης ἐπιτελεύτιον βούλησιν. εἰ δὲ οὐκ ἀρκέσει ἡ περιουσία εἰς τὴν τοῦ τρίτου τῆς ψυχῆς ἀπόδοσιν, ὀφείλει ἐνέχεσθαι ὁ Βαρζάνης εἰς τὴν τούτου ἱκάνωσιν, ὅποτε εὐπορήσει. τὰ πλείω δὲ τούτων, εἰ περιλειφθῶσιν, ἕξει ὁ Βαρζάνης ὡς αὐτῷ ἀνήκοντα. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ϛ' †.

## DL. 6906 (1397) novembri. ind. VI.

***Patriarcha sententiam dicit in lite de hereditate.***

† Φθάνει μὲν ἡ μετριότης ἡμῶν ἀπόφασιν ἐξενεγκοῦσα κατὰ τοῦ Βαρζάνη, ἀντικριθέντος συνοδικῶς τῇ πενθερᾷ αὐτοῦ, τῇ Καλοειδίνῃ, περὶ τῶν δισχιλίων διακοσίων πεντήκοντα ὑπερπύρων τῆς προικὸς τῆς θυγατρὸς αὐτῆς, ἅπερ ἐκείνη ἀποθνήσκουσα διέθετο μερισθῆναι εἰς τρία μέρη, καὶ τὸ μὲν ἓν ἔχειν τὸν ἄνδρα αὐτῆς, τὸ δὲ ἕτερον τοὺς παῖδας αὐτῆς, τὸ δὲ λοιπὸν τρίτον ἐξοδιασθῆναι παρὰ τῆς μητρὸς αὐτῆς εἰς ἐπιμέλειαν τῆς ἰδίας ψυχῆς, ὡς ἂν ἀπὸ τῆς εὑρισκομένης νῦν τῷ Βαρζάνῃ περιουσίας ἱκανωθῶσι τό τε τῆς ψυχῆς μέρος καὶ τὸ τῶν παίδων δι' ἐπιστασίας τῶν τιμιωτάτων ἐξωκατακήλων τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, τοῦ τε μεγάλου σακελλαρίου, τοῦ Βαλσαμῶν, τοῦ μεγάλου χαρτοφύλακος, τοῦ Ὁλοβόλου, καὶ τοῦ σακελλαρίου, τοῦ Συροπούλου. ἐπεὶ δὲ οἱ δηλωθέντες τιμιώτατοι ἄρχοντες,

πρόνοιαν ἀκριβῆ ποιησάμενοι τῆς ἀληθοῦς ἐκτιμήσεως τῶν εἰδῶν τῶν εὑρισκομένων νῦν τῷ Βαρζάνῃ, καὶ γεωμέτρας προσεκαλέσαντο καὶ λεπτουργόν, τοὺς μὲν διὰ τὸ ἀμπέλιν, ὅπερ ἔχει ἐν τῇ κινστέρνῃ τοῦ τιμίου προφήτου προδρόμου (ὁ Μακρηνὸς ἦσαν οὗτοι καὶ ὁ Βασιλικός) τὸν δὲ λεπτουργὸν διὰ τὰ οἰκήματα (Μανουὴλ ἦν οὗτος ὁ τοῦ Φιλίππου) καὶ περιέστησαν μετ' αὐτῶν, τὸ μὲν ἀμπέλιν μουζουρίων εὑρεθὲν δεκαὲξ καὶ δίμοιρον, εἰς ὑπέρπυρα φ', καὶ τὸ ἐκεῖσε εὑρισκόμενον ὀσπήτιν μετὰ τῆς ἐν αὐτῷ ληνοῦ εἰς ὑπέρπυρα ις', ἀπὸ δὲ τῶν οἰκημάτων τὸ μὲν νεόκτιστον τρίκλινον μετὰ τῶν σὺν αὐτῷ κελλίων καὶ τῆς ἡμισείας αὐλῆς καὶ τοῦ ἡμίσεος περιβολίου εἰς ὑπέρπυρα σῃ', τὰ δὲ ἕτερα οἰκήματα τὰ ἐχέκολλα τοῦ μαγκιπείου εἰς ὑπέρπυρα σιη' μετὰ τῆς ἡμισείας αὐλῆς καὶ τοῦ ἡμίσεος περιβολίου, αὐτὸ δὲ τὸ μαγκιπεῖον εἰς ὑπέρπυρα ρι', ἔτι δὲ τὰ ἐργαστηριακὰ οἰκήματα εἰς ὑπέρπυρα σ'. ὡς δὲ καὶ τὰ προικῷα εἴδη καὶ εἴ τι ἄλλο ὃ παρακατεῖχεν ἡ Καλοειδίνα ἴδιον τοῦ Βαρζάνη, ἐξετιμήσαντο καὶ ταῦτα εἰς ὑπέρπυρα ρξγ', ἅπερ ὁμοῦ πάντα γίνονται ὑπέρπυρα χίλια πεντακόσια τρία, μετὰ τοῦ ἑτέρου ὀσπητοπουλίου, τιμηθέντος καὶ αὐτοῦ εἰς ὑπέρπυρα εἴκοσι τρία. καὶ ἦν πάντως ἀνάγκη κατὰ τὴν διάγνωσιν τῆς ἡμῶν μετριότητος μερισθῆναι ταῦτα καὶ ἱκανωθῆναι τὸ τρίτον τῆς ψυχῆς καὶ τὸ γ' τῶν παίδων· διὰ δὲ τὸ ζητεῖν τὸν Βαρζάνην, τὰ κρείττονα τῆς περιουσίας αὐτοῦ δοθῆναι εἰς τὸ τρίτον τῶν παίδων, ὡς ἂν καὶ αὐτὸς πορίζηταί τι ἐκ τῶν εἰσοδημάτων αὐτῶν, τὴν δὲ Καλοειδίναν πάλιν ἀντιποιεῖσθαι αὐτῶν διὰ τὸ ἀναγκάζεσθαι αὐτὴν ἐμποιήσασθαί τι ἀπὸ τούτων δι' ἐξόδου τῆς ψυχῆς, ἔτι δὲ διὰ τὸ ζητεῖν τὸν Βαρζάνην τὸ ἀνῆκον αὐτῷ ἀπὸ τῶν τελευτησάντων τριῶν παίδων αὐτοῦ, ἅπερ κρίσεως ἦσαν λόγοι καὶ διαγνώσεως, ἐδέησε τὰ περὶ τούτου λαληθῆναι ἐπὶ τῆς ἡμῶν μετριότητος καὶ τὸν μερισμὸν τῶν εἰδῶν ἐπ' αὐταῖς γενέσθαι. ἡ μετριότης ἡμῶν, τὰ περὶ τούτου διασκεψαμένη συνοδικῶς, οὔτε τοὺς παῖδας τὴν κρείττω περιουσίαν τοῦ πατρὸς αὐτῶν, τοῦ Βαρζάνη, διέγνω καὶ ἀπεφήνατο λαβεῖν εἰς τὸ ἴδιον μεριδικόν, οὔτε πάλιν τὴν Καλοειδίναν δίκαιον ἔχειν ἀντιποιεῖσθαι αὐτῶν, ἀνισότης γὰρ τοῦτο καὶ ἀδικία, οἱ δὲ νόμοι ἰσότητος μᾶλλον καὶ δικαιοσύνης εἰσὶν ἐρασταί, ἀλλ' ἐπί(σης) μερισθῆναι τὴν περιουσίαν ταύτην κατὰ τὸ ποιὸν εἴς τε τοὺς παῖδας καὶ τὴν ἀναδεξαμένην τὸ τρίτον τῆς ψυχῆς, ὅθεν καὶ ἐπεὶ τὸ τρίτον τῶν δισχιλίων διακοσίων πεντήκοντα ὑπερπύρων τῆς προικός εἰσιν ὑπέρπυρα

ἑπτακόσια πεντήκοντα, ἡ δὲ εὑρεθεῖσα τῷ Βαρζάνῃ περιουσία ἐξετιμήθη εἰς ὑπέρπυρα χίλια πεντακόσια τρία, ἀπὸ τούτων διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ἵνα λάβῃ ἡ Καλοειδίνα ἀντὶ τοῦ τρίτου τῆς ψυχῆς τῆς θυγατρὸς αὐτῆς, ὅπερ ἐστὶν ὑπέρπυρα φν΄, τὸ ἥμισυ τοῦ ἀμπελίου μετὰ τοῦ σὺν αὐτῷ ἡμίσεος μεριδικοῦ οὗ ἔχει ὁ Βαρζάνης εἰς τὸ ἐκεῖσε ὁσπήτιον, ἅπερ εἰσὶν ὑπέρπυρα σνη΄, τὸ νεόκτιστον τρίκλινον μετὰ τῶν σὺν αὐτῷ κελλίων καὶ τῆς ἡμισείας αὐλῆς καί, τοῦ περιβολίου, ἐκτιμηθέντα εἰς ὑπέρπυρα ση΄, τὰ ἐργαστηριακὰ οἰκήματα, ἅπερ ἐτιμήθησαν εἰς ὑπέρπυρα σ΄, καὶ τὰ ῥοῦχα καὶ εἴ τι ἄλλο προικῷον εὑρέθη παρὰ τῇ Καλοειδίνῃ καὶ παρ᾽ ἄλλοις δανεισταῖς, ἐκτιμηθέντα καὶ ταῦτα, ἀφαιρεθέντος πρότερον τοῦ χρέους εἰς ὑπέρπυρα ἑκατὸν ἑξηκοντατρία, ἅπερ ὁμοῦ πάντα γίνονται ὀκτακόσια εἴκοσι ἐννέα· ἀλλ᾽ ἐπεὶ ἑπτὰ παίδων ἐναπολειφθέντων τῷ Βαρζάνῃ ἀπέθανον τὰ τρία, ἅτινα κεῖνται ἔτι ἀμνημόνευτα, ἤρχοντο δὲ τοῖς παισὶ τούτοις ἀπὸ τῆς μητρικῆς περιουσίας τῶν φν΄ ὑπερπύρων ὑπέρπυρα τριακόσια εἴκοσι ἕν, διέγνω καὶ περὶ τούτων ἡ μετριότης ἡμῶν, ἐκβληθέντων ὑπὲρ τῆς ψυχῆς αὐτῶν ὑπερπύρων ἑκατὸν καὶ δοθέντων τῇ Καλοειδίνῃ δι᾽ ἐπιμέλειαν αὐτῶν, τὰ λοιπὰ μερισθῆναι εἴς τε τοὺς ἐναπολειφθέντας τέσσαρας παῖδας καὶ εἰς αὐτὸν τὸν Βαρζάνην, ἐπεὶ καὶ αὐτὸς κατὰ τοὺς φιλευσεβεῖς νόμους εἰς τὸ μέρος τῶν ἀποθανόντων παίδων αὐτοῦ συνεισέρχεται ὡς εἷς τῶν ἀδελφῶν ἐκείνων. ἐπεὶ γοῦν ἡ Καλοειδίνα ἃ μέλλει λαβεῖν ἀπὸ τῶν προρρηθέντων, εἰσὶν ὑπέρπυρα ὀκτακόσια εἴκοσι ἐννέα, λείπονται δὲ αὐτῇ εἴς τε τὸ γ΄ τῆς ψυχῆς τῆς θυγατρὸς αὐτῆς καὶ εἰς τὰ ἑκατὸν ὑπέρπυρα τὰ ὑπὲρ τῆς ψυχῆς τῶν παιδίων, καὶ ὑπέρπυρα εἴκοσι ἓν ὀφείλει ζητεῖν ἀπὸ ἑτέρου βίου τοῦ Βαρζάνη, εἴπερ αὐτῷ ἐστι βίος, καὶ ἱκανοῦσθαι ἐξ αὐτοῦ, καὶ ἐπεὶ οὐκ ἄλλο τι νῦν φαίνεται παρὰ τῷ Βαρζάνῃ εἰ μὴ ὀσπητόπουλον, ὅπερ ἔχει ἀπὸ λεγάτου τοῦ πενθεροῦ αὐτοῦ, ἀνεφάνη δὲ ἐπὶ τῆς ἡμῶν μετριότητος, ὅτι ὀφείλει τῇ πενθερᾷ αὐτοῦ καὶ ἕτερα ὑπέρπυρα τριάκοντα ἕν, ἅπερ ἐδανείσατο ἀπὸ τοῦ Ἁγιοπετρίτου αὐτή, καὶ δέδωκε τῷ Βαρζάνῃ ἐπὶ τῷ δοῦναι τῷ Ἁγιοπετρίτῃ οἴνου πρόχρεω, ὁ δὲ οὐκ ἔδωκεν, ὀφείλει κατέχειν ἡ Καλοειδίνα καὶ τὸ ὀσπήτιον τοῦτο, καὶ εἴ τι ἄλλο ἀναφανῇ παρὰ τῷ Βαρζάνῃ εἰς ἱκάνωσιν τῶν καθόλου πεντηκονταδύο ὑπερπύρων· ἐπεὶ δὲ ἀπὸ τῶν ἑπτακοσίων πεντήκοντα ὑπερπύρων τοῦ μεριδικοῦ τῶν παίδων ἀφῃρέθησαν, ὡς

εἴρηται, τὰ ἑκατὸν ὑπέρπυρα ὑπὲρ τῆς ψυχῆς τῶν ἀποθανόντων παίδων, ἔλαχε δὲ καὶ τῷ Βαρζάνῃ ἀπὸ κληρονομίας ἐκείνων ὑπέρπυρα μδ', τὰ λοιπὰ ἑξακόσια ἓξ ὑπέρπυρα ὀφείλουσιν ἐκβληθῆναι ἀπὸ τῆς ἐναπολειφθείσης περιουσίας τοῦ Βαρζάνη. ἐπεὶ γοῦν ἐναπελείφθη τὸ ἥμισυ ἀμπέλιον μετὰ τοῦ σὺν αὐτῷ μέρους τοῦ οἰκήματος, ὃ ἔχει ὁ Βαρζάνης, τιμηθὲν εἰς ὑπέρπυρα διακόσια πεντήκοντα ὀκτώ, τὰ σύνεγγυς τοῦ μαγκιπείου μεγάλου ὀσπητίου τιμηθέντα μετὰ τῆς ἡμισείας αὐλῆς καὶ τοῦ περιβολίου εἰς ὑπέρπυρα σιη', τὸ μαγκιπεῖον τιμηθὲν εἰς ὑπέρπυρα ρι', καὶ τὸ ἕτερον μικρὸν ὀσπητόπουλον τιμηθὲν καὶ αὐτὸ εἰς ὑπέρπυρα εἰκοσιτρία, ἅπερ ὁμοῦ πάντα γίνονται ὑπέρπυρα ἑξακόσια ἐννέα, ὀφείλει ὁ Βαρζάνης κατέχειν ταῦτα ὡς μέρος τῶν παίδων καὶ κλῆρον μητρικὸν καὶ ἐπιμελεῖσθαι καὶ τοῦ ἀμπελίου καὶ τῶν οἰκημάτων, μέχρις ἂν χρεία γένηται μερισθῆναι αὐτὰ ἐπίσης εἰς τὰ τέσσαρα παιδία, ἄρρενά τε καὶ θήλεα, καὶ λαβεῖν ἕκαστον τὸ ἀνῆκον αὐτῷ, καὶ μήτε αὐτὸν τὸν Βαρζάνην δι' ὄχλου ποτὲ γενέσθαι τῇ Καλοειδίνῃ περὶ ὧν ἀνεδέξατο εἰδῶν, κἂν πλείονός εἰσιν ἄξια τιμῆς εἰς τὸ ἔμπροσθεν, καὶ γάρ τό γε νῦν ἔχον εἰδήμονες ἄνδρες ἐξετιμήσαντο ταῦτα, ὡς εἴρηται, κἂν αὐτὴ κατέχῃ ταῦτα, κἂν πρὸς ἕτερον διαπράσῃ πρόσωπον, αὐτοῦ μὴ βουληθέντος ἐξωνήσασθαι ταῦτα διὰ τοὺς παῖδας αὐτοῦ ὡς ἀνακοινωτάριος, κἂν εἰς προῖκα παραδῷ ταῦτα τῇ θυγατρὶ τούτου, κἂν εἴ τι ἄλλο ποιήσῃ ἐπ' αὐτοῖς, μήτε τινὰ τῶν παίδων αὐτοῦ παρελθόντων ἐνταῦθα καὶ ζητούντων ἢ πλείω τῶν καταλειφθέντων αὐτοῖς εἰδῶν ἤ τινα ἀπὸ τῶν δοθέντων τῇ Καλοειδίνῃ ὑπὲρ τοῦ τρίτου τῆς ψυχῆς τῆς μητρὸς αὐτῶν, ἐπειδὴ τὸ μὲν ἐποίησεν ἡ μήτηρ αὐτῶν ἢ πλέον οὐδὲν ὀφείλουσα αὐτοῖς, εἰ μὴ τὸ γ' τῆς προικὸς αὐτῆς, κατὰ τοὺς φιλευσεβεῖς νόμους, ἡ δέ γε τῶν εἰδῶν τούτων ἐκτίμησις καὶ ὁ μερισμὸς αὐτῶν, διακρίσει καὶ διαγνώμῃ τῆς ἡμῶν μετριότητος συνοδικῇ γέγονε καὶ ἐπιστασίᾳ τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων αὐτῆς, ὡς ἄνωθεν εἴρηται, διὸ καὶ παρὰ πάντων τὸ στέργον ὀφείλουσιν ἔχειν ταῦτα καὶ ἀκατάλυτον, μὴ ὅτι γε παρὰ τῶν παίδων αὐτῶν ἡλικιωθέντων καὶ ἀνακαλουμένων τὰ ἴδια, ἀλλὰ καὶ παρὰ τοῦ πατρὸς αὐτῶν, τοῦ Βαρζάνη, καὶ παντὸς ἄλλου συγγενικοῦ προσώπου αὐτῶν, ἐπειδὴ νομίμως ἅπαντα καὶ καλῶς ἐγένοντο, ὅθεν καὶ χρήσεται μὲν ἡ Καλοειδίνα τοῖς δοθεῖσιν αὐτῇ ὑπὲρ τοῦ τρίτου τῆς ψυχῆς τῆς θυγατρὸς αὐτῆς καὶ τῶν ἀποθανόντων τριῶν παίδων

αὐτῆς, ὡς βούλεται καὶ χρῄζει καὶ ἀποδέχεται κατὰ τὴν διάταξιν τῆς θυγατρὸς, ἀνενόχλητος διατηρουμένη ἀπὸ πάντων καὶ ἀνεπηρέαστος, καθέξει δὲ καὶ τὸ εὑρισκόμενον νῦν τῷ Βαρζάνῃ οἴκημα καὶ εἴ τι ἄλλο ἴδιον αὐτοῦ εὑρεθῇ, πρὸς ἱκάνωσιν τῶν εἴκοσι ἑνὸς ὑπερπύρων, τῆς λοιπάδος τῶν ὀκτακοσίων πεντήκοντα ὑπερπύρων, ἅ, ὡς ἄνωθεν εἴρηται, διεκρίθη λαβεῖν, καὶ ἔτι διὰ τὰ τριάκοντα ἓν ὑπέρπυρα τοῦ Ἁγιοπετρίτου, ἐπειδὴ αὐτὴ καθέλκεται ἀντὶ τοῦ Βαρζάνη ἀποδοῦναι αὐτά· ὁ δὲ Βαρζάνης πάλιν λήψεται τὰ δοθέντα τοῖς παισὶν εἴδη, καὶ ἐπιμεληθήσεται καὶ φυλάξει αὐτὰ τοῖς παισὶν αὐτοῦ, καρπιζόμενος καὶ αὐτὸς ἀπὸ τῶν εἰσοδημάτων αὐτῶν ὡς πατὴρ, ἄχρις ἂν γένηται χρεία μερισθῆναι ταῦτα καὶ δοθῆναι τοῖς παισὶ, ἐπιτηρούσης καὶ τῆς Καλοειδίνης τὰ εἴδη ταῦτα μετὰ τοῦ Βαρζάνη, κατὰ τὴν περίληψιν τῆς διαθήκης τῆς θυγατρὸς αὐτῆς. ὅθεν καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται, ἔτους ͵ς ϡ΄ ἕκτου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς γραφῆς τό· μηνὶ νοεβρίῳ ἰνδ. ἕκτης †.

## DLI. (6908—1400) februario. ind. VIII.

*Promissio monachi Ioachim.*

† Ἐγὼ, ὁ ἱερομόναχος Ἰωακείμ, τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, δι' ἧς καὶ λέγω, ὡς ἐπειδὴ ὡδηγήθη ἐκ θεοῦ, καὶ συνεπ(άθησέν μοι) εἰς τὴν ἱερωσύνην μου, ὡς ἂν ἀπὸ τῆς σήμερον τηρῶ ἐμαυτὸν πάσης ἀκαταστασίας ἐκτὸς, καὶ πολιτεύομαι, καθὰ προσήκει μοναχοῖς καὶ μάλιστα ἱερεῦσι, μηδέποτε φωραθεὶς ἢ ἔξω τῆς μονῆς μείνας ἢ μὴ εὑρεθῆναι ἐν αὐτῇ πρὸ δυσμῶν ἡλίου, ὑποτασσόμενος δὲ εὑρίσκομαι κατὰ πάντα διὰ παντὸς τοῖς εὑρισκομένοις ἐν αὐτῇ τιμιωτάτοις μοναχοῖς καὶ ἁγίοις μου πατράσιν, ἀπέχω τε πάσης ἀδιαφορίας καὶ ἀπρεποῦς ὁμιλίας· εἰ δέ ποτε εὑρεθῶ ἀθετήσας τὴν παροῦσάν μου ὑπόσχεσιν, ἵνα ἀνελεῶς καθαιρῶμαι χωρίς τινος οἴκτου καὶ συμπαθείας. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις δι' ἀσφάλειαν. μηνὶ φεβρουαρίῳ ἰνδ. ὀγδόης †.

† Ἰωακεὶμ ἱερομόναχος στέργων ὑπέγραφα †.

## DLII. 6908 (1400) ind. VIII.

*Patriarcha confirmat monachae Theognosiae constitutionem de ipsius adelphatis.*

† Διὰ τοῦ πρωτονοταρίου †.

† Ἐπεὶ ἡ προηγουμένη τῆς σεβασμίας μονῆς τοῦ ἁγίου ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει, κυρὰ Θεογνωσία μοναχή, εἶχεν ἐν τῇ τοιαύτῃ μονῇ ἀδελφάτα κατὰ τὴν πάλαι ἐπικρατήσασαν εἰς τὰ τοιαῦτα παράνομον συνήθειαν, ἀφ' ὧν δὴ ἀδελφάτων εἶχε συμφωνίαν τὸ ἓν παραπέμπειν μετὰ τὸν αὐτῆς θάνατον, ἀρτίως δὲ ἐδέξατο μὲν καὶ ἄλλην ψυχήν, καὶ πρὸς μοναχικὴν πολιτείαν προβιβάζει, ἠθέλησε δὲ ποιῆσαι εἰς τὸ μοναστήριον καὶ ἄλλην πληροφορίαν, ὡς ἂν μετὰ θάνατον αὐτῆς ἔχωσι εἰς τὸ μοναστήριον πληροφορίαν τὰ εὑρεθησόμενα ἐν αὐτῇ δύο πρόσωπα εἰς τὸ κελλίον αὐτῆς, ὃ δὴ καὶ ἀνέφερε μὲν καὶ πρὸς τὴν ἡμῶν μετριότητα, ἤκουσε δέ, μὴ δυνατὸν ἄλλως τοῦτο γενέσθαι, εἰ μὴ καὶ ἃ εἶχε πρότερον ἀδελφάτα καὶ ὃ βούλεται ἀρτίως ποιῆσαι, στέρξει ἀφιέρωσιν εἶναι εἰς τὸν ἅγιον καὶ τὰ εὑρεθησόμενα πρόσωπα εἰς τὸ κελλίον αὐτῆς ἀφιερωμένα εἶναι καὶ καλογραίας τῆς μονῆς καὶ μηδέποτε ἄδειαν ἔχειν ἐξελθεῖν τῆς μονῆς καὶ οὕτως ἔχειν κἀκείνας μετὰ τὸν θάνατον τῆς προηγουμένης πάν, ὅσονπερ καὶ αἱ λοιπαὶ ἀδελφαί, ἐξελθούσας δὲ τοῦ μοναστηρίου μηδὲ τὸ οἱονοῦν ἀπαιτεῖν ἢ λαμβάνειν ἀπὸ τοῦ μοναστηρίου, τά τε κελλία αὐτῆς καὶ τὰς ῥηθείσας δύο ἀφιερώσεις, οὕτως ἔχειν τὰς εὑρεθείσας ἐν τῷ θανάτῳ αὐτῆς εἰς τὸ κελλίον αὐτῆς, εἴπερ εὑρεθῶσι μετ' αὐτῆς δύο, εἰ δὲ εὑρεθῇ μία, ἐκείνην ἔχειν τά τε κελλία καὶ τὰς δύο πληροφορίας, ἐπεὶ πάντα ἔστερξε καὶ προσεκύνησε, καὶ γράμμα τοῦ μοναστηρίου ἐγένετο κατὰ τὴν ὑποτύπωσιν τῆς ἡμῶν μετριότητος τὴν εἰς τὰ τοιαῦτα ἐκτεθεῖσαν, ὃ δὴ γράμμα ταῦτα κατὰ μέρος διαλαμβάνει. πλείονος δὲ ἕνεκεν ἀσφαλείας αὐτῆς ἐδεήθη ἡ ῥηθεῖσα προηγουμένη καὶ γράμματος ἐπικυρωτικοῦ τυχεῖν παρὰ τῆς ἡμῶν μετριότητος, τὴν τοιαύτην πρᾶξιν ἐπιβεβαιοῦντος· αὕτη τὴν αἴτησιν αὐτῆς δεξαμένη, τὸ στέργον ἔχειν καὶ βέβαιον καὶ ἀκατάλυτον τὴν τοιαύτην πρᾶξιν διαγινώσκει καὶ ἀποφαίνεται καὶ καθέξειν τά τε κελλία τῆς ῥηθείσης προηγουμένης καὶ τὰς δύο ἀφιερώσεις καὶ πληροφορίας μετὰ θάνατον αὐτῆς τὰς εὑρεθησομένας δύο καλογραίας μετὰ θάνατον αὐτῆς ἔνδον τοῦ κελλίου αὐτῆς ἀφιερωμένας καὶ αὐτὰς οὔσας καὶ πολιτευομένας, καθὼς τὸ ῥηθὲν γράμμα τῆς ὑποτυπώσεως τοῦ μοναστηρίου διαλαμβάνει· εἰ

δὲ μία καλογραία εὑρεθῇ τότε μετ' αὐτῆς, ἐκείνη καθέξει τά τε κελλία αὐτῆς πάντα καὶ τὰς ῥηθείσας δύο πληροφορίας αὐτῆς. τούτου γὰρ χάριν ἀπολέλυται τῇ ῥηθείσῃ προηγουμένῃ, κυρᾷ Θεογνωσίᾳ τῇ Μαυριανῇ, καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἀπελύθη ἐν ἔτει ,ς, ♈ ὀγδόῳ †.

DLIII. (6908—1400) februario. ind. VIII.

*Patriarcha diiudicat litem monasterii Myrelaei.*

† Ἐπεὶ Ταρχανειώτης Ἰάκωβος, ὁ τοῦ Τριακονταφύλλου υἱός, ἐζήτησε πρὸ χρόνων δύο ἐκποιήσασθαι τὸ ἀνῆκον αὐτῷ μεριδικὸν ἀπὸ τοῦ πατρικοῦ αὐτοῦ ἀμπελίου καὶ τῆς αὐλῆς καὶ τῶν ἐν αὐτῷ οἰκημάτων, ὅπερ ἐδικαιώθη λαβεῖν διαγνώσει τῆς ἡμῶν μετριότητος, καὶ διὰ τὸ εἶναι αὐτὸν ἀφήλικα ἐπεστατήθη τὸ περὶ τούτου ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος παρά τε τοῦ τιμιωτάτου μεγάλου σακελλαρίου, διακόνου κυροῦ Δημητρίου τοῦ Βαλσαμών, καὶ τοῦ τιμιωτάτου σακελλίου, διακόνου κυροῦ Ἰωάννου τοῦ Συροπούλου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν αὐτῆς, καὶ εὑρέθη ἡ τιμὴ πᾶσα τοῦ ἀνήκοντος μεριδικοῦ τῷ Ταρχανειώτῃ, ὡς ὁ τότε καιρὸς τούτοις ἐπληροφόρησε καὶ ἡ γνῶσις καὶ ἡ συνείδησις, ὑπέρπυρα ἑκατόν, καὶ ἐξωνήσατο τὸ τοιοῦτον αὐτοῦ μέρος ἡ τοῦ Μυρελαίου μονὴ ὡς ἀνακοινωτάριος, δοῦσα αὐτῷ τὰ ἑκατὸν ὑπέρπυρα, εἰς ἃ αὐτὸ περιέστη τῷ τότε, ὁ δέ γε Ταρχανειώτης ἔλαβε μὲν αὐτὰ τότε, καὶ ἐχρήσατο τούτοις εἰς κυβέρνησιν αὐτοῦ, ἐξ ἐκείνου δὲ μέχρι τοῦ νῦν οὐκ ἔληξε βοῶν καὶ διατεινόμενος ὑπὲρ τὸ τριπλάσιον εἶναι τὴν τοῦ ἀνήκοντος τούτῳ μεριδικοῦ τιμήν, ἡ μετριότης ἡμῶν οὐκ ἔγνω δίκαιον, τοὺς λόγους τούτου καὶ τὰς φωνὰς περιιδεῖν, ἀλλὰ βέλτιον πάλιν διέγνω τὸ γεγονὸς διασκέψασθαι, ἐπειδὴ καὶ ἀφῆλιξ οὗτός ἐστιν, ὁ δὲ ἀφῆλιξ ἐπὶ τῷ μὴ ζημιωθῆναι ἀποκαθίσταται, διὸ καὶ πρῶτον μὲν ἀποκατέστη κουράτωρ εἰς τὸν νέον προτροπῇ τῆς ἡμῶν μετριότητος ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Ἀλέξιος ὁ Ἰαγούπης, ὡς ἂν ἐπιστασίᾳ αὐτοῦ διαπραχθῶσι τὰ τοῦ ἀφήλικος, ἔπειτα βάρος ἀφορισμοῦ ἐξεφωνήθη φρικώδους κατὰ τῶν ἐπιλεγέντων ἀρτίως ἐκτιμητῶν, ὡς ἂν ἐκτιμήσωσιν ἀπροσπαθῶς τοῦτο κατὰ τὸν ὄπισθεν χρόνον, καθ' ὃν δὴ ἐπράθη τὸ τοιοῦτον μεριδικόν, ἀπεστάλησαν δὲ καὶ οἱ προρρηθέντες τιμιώτατοι ἐξωκατάκηλοι εἰς τόπον τῆς ἡμῶν μετριότητος, ὡς ἂν καὶ αὖθις ἐπιστασίᾳ τούτων

γένηται ἡ ἀναμέτρησις τοῦ καθόλου κτήματος καὶ ἡ ἐκτίμησις αὐτοῦ· ἐπεὶ τοίνυν ἀπελθόντων ἁπάντων καὶ ἀναθεωρησάντων τὸ καθόλου κτῆμα τοῦ Ταρχανειώτου εὑρέθη ἀπὸ τῆς γεωμετρίας καὶ τῆς ἐκτιμήσεως τῶν ἐκτιμητῶν τιμῆς ὑπερπύρων τετρακοσίων τεσσαράκοντα, ἐκτιμηταὶ δὲ ἦσαν ὅ τε θεοφιλέστατος λογοθέτης ὁ Βαλσαμὼν, κῦρ Νικόλαος ὁ Μακρηνὸς, Δημήτριος ὁ Βλάσης καὶ Γεώργιος ὁ Βυζιώτης· ἀπὸ δὲ τῶν ὑπερπύρων τούτων ἀνήκουσι τῷ Ταρχανειώτῃ τὸ τρίτον αὐτῶν καὶ ἔτι τοῦ τρίτου τὸ τρίτον, ἅπερ ὁμοῦ πάντα γίνονται ἑκατὸν ἐννενηκονταπέντε, κεράτια η'. ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ὡς εἰ μὲν βούλεται ἡ τοῦ Μυρελαίου μονὴ κατέχειν τὸ τοιοῦτον μεριδικὸν τοῦ Ταρχανειώτου, ὅπερ πρὸ χρόνων β' ἐξωνήσατο εἰς ὑπέρπυρα ἑκατὸν, ὀφείλει νῦν ἀποδοῦναι αὐτῷ καὶ τὰ ἕτερα ἐννενηκονταπέντε, κεράτια η' καὶ οὕτω κατέχειν αὐτὸ, ἐπειδὴ ἀπὸ τῆς ἐκτιμήσεως τῶν εἰρημένων ἐκτιμητῶν αὕτη ἦν ἡ ἀξία τιμὴ κατὰ τὸν καιρὸν ἐκεῖνον, ὃ δὲ γέγονε τότε, λᾶθος ἦν καὶ συναρπαγὴ, ὃ καὶ ἐπὶ πολλῶν ἄλλων γίνεται· εἰ δὲ τὰ ὑπέρπυρα ταῦτα οὐ βούλεται ἀποδοῦναι, ἀλλ' ἐθέλει κατέχειν αὐτὰ εἰς τὰ προκαταβληθέντα ὑπέρπυρα ἑκατὸν, ὀφείλει ὁ Ταρχανειώτης μετὰ τὸ τριακονθήμερον, ὅπερ δοθήσεται νομίμως τῇ τοῦ Μυρελαίου μονῇ, ἀναζητεῖν καὶ εὑρίσκειν ἐξωνήτ.. τοῦ ἰδίου μεριδικοῦ καὶ πιπράσκειν τοῦτο πρὸς αὐτὸν, ἐὰν ἡ μονὴ τοῦ Μυρελαίου παρελθόντος τοῦ τριακονθημέρου τοῦτο οὐκ ἐξωνήσηται, καὶ ἀποδιδόναι πρὸς αὐτὴν τὰ ἑκατὸν ὑπέρπυρα, ἅπερ ἀνελάβετο, ὡς δεδήλωται, ὁ δέ γε τοῦτο ἐξωνησόμενος τότε τὸ ἀδιάσειστον ἕξει παρὰ πάντων καὶ ἀμετάτρεπτον, τῇ ἐμφανείᾳ τῆς παρούσης συνοδικῆς διαγνώσεως τῆς ἡμῶν μετριότητος, ἀπολυθείσης εἰς τὴν περὶ τούτου ἀσφάλειαν· εἰ δὲ ἡ μονὴ τοῦ Μυρελαίου θελήσει τὸ κτῆμα λαβεῖν, ὀφείλει ὁ Ταρχανειώτης ἀναλαβεῖν ἐξ αὐτῆς καὶ τὰς εὐλόγους ἐξόδους αὐτοῦ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ φεβρουαρίῳ ἰνδ. η' †.

## DLIV. Sine anno.

*De venditione aedium infantis.*

† Οἱ οἰκεῖοι τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, οἱ σὺρ Περίου τοῦ Λαμπαδηνοῦ υἱοὶ, ὅ τε κῦρ Μιχαὴλ ὁ Ῥαοὺλ, κῦρ Γαβριὴλ

ὁ Παλαιολόγος καὶ Ἰωάννης ὁ Παλαιολόγος, ἀναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἀνέφερον, ὡς ὑπὸ τοῦ καιροῦ καὶ τῶν πραγμάτων στενοχωρούμενοι βούλονται ἐκποιήσασθαι τὰ ἀπὸ γονικότητος περιελθόντα τούτοις οἰκήματα, πτῶσιν οὐ μικρὰν ἀπειλοῦντα, ὡσὰν ἀποδῶσι μὲν καὶ τὸ ἑαυτῶν χρέος, ὅπερ ὀφείλουσι, λάβῃ δὲ ἕκαστος αὐτῶν καὶ τὸ ἀνῆκον αὐτῷ μέρος ἐκ τούτων, καὶ χρήσηται εἰς ἰδίαν διατροφὴν καὶ κυβέρνησιν, καὶ ἐπειδὴ ὁ νεώτερος ἀδελφὸς ὁ Ἰωάννης ἀφῆλιξ ἐστιν, ἐζήτησαν, ἵνα τὸ γεγονὸς γένηται διὰ γνώμης τῆς ἡμῶν μετριότητος, εἴς τε τούτων ἀνενοχλησίαν καὶ δὴ καὶ ἀσφάλειαν τῶν ἐξωνησομένων αὐτά· δικαίας τοίνυν τῆς αἰτήσεως αὐτῶν καὶ εὐλόγου ἀναφανείσης, εἰσήχθησαν μὲν παρ' αὐτῶν καὶ ἄλλοι ἐκτιμηταί, ἀπεστάλη δὲ παρὰ τῆς ἡμῶν μετριότητος ὕστερον καὶ ὁ δευτερεύων τῶν διακόνων, διάκονος ὁ Κίναμος, ὡς ἂν μετὰ βάρους ἀφορισμοῦ ἡ ἀξία τούτων εὑρεθῇ τιμὴ τρόπῳ χαλαστικῆς, (οὐδὲ γαρ ἦν δυνατὸν αὐτὰ ἄλλως ἐκποιηθῆναι) οἳ καὶ ἀπελθόντες, πρότερον μὲν ἐκεῖνοι, οἱ παρὰ τῶν Παλαιολόγων εὑρεθέντες, ὕστερον δὲ καὶ ὁ δευτερεύων, ὡς εἴρηται, περιέστησαν τὰ καθόλου οἰκήματα εἰς ὑπέρπυρα τριακόσια τριάκοντα, ἤγουν τὸ μὲν καλούμενον χαμαιπάλατον εἰς ὑπέρπυρα ἑκατὸν εἴκοσιν, τὸ μαγκιπεῖον εἰς ὑπέρπυρα πεντήκοντα καὶ τὸ τρίκλινον μετὰ τοῦ ἀνώγ(εω) καὶ τοῦ δικάτου εἰς ὑπέρπυρα ἑκατὸν ἑξήκοντα, ὡς περιέρχεσθαι ἑκάστῳ τῶν ἀδελφῶν ἀνὰ ὑπέρπυρα ἑκατὸν δέκα. ἡ γοῦν μετριότης ἡμῶν, ἀναπολόγητον ποιοῦσα ἕκαστον τῶν Παλαιολόγων, διωρίσατο, ὡς εἴπερ ἐθέλει τις ἐξ αὐτῶν δέξασθαι ταῦτα εἰς τὴν δηλωθεῖσαν τιμήν, ἀποδότω τοῖς ἀδελφοῖς αὐτοῦ τὸ ἀνῆκον αὐτοῖς, εἰ δ' οὖν, λαβέτω ταῦτα ἐξωτερικός, καὶ μερισάτωσαν αὐτοὶ τὰ ὑπέρπυρα ἀνὰ ἑκατὸν δέκα. ὁ γοῦν κῦρ Γαβριήλ, καταμένων ὢν ἐν τοῖς οἰκήμασι τοῖς χαμαιπαλάτοις, ἃ ἐτιμήθησαν εἰς ὑπέρπυρα ἑκατὸν εἴκοσιν, ἐζήτησεν, ἵνα δέξηται ταῦτα καὶ ἀντιστρέψῃ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ ὑπέρπυρα δέκα· οὐκ ἤρεσκε δὲ τοῦτο καὶ τῷ ἀδελφῷ αὐτοῦ, τῷ Ῥαοὺλ, ἀντεποιεῖτο γὰρ καὶ αὐτὸς τῶνδε τῶν οἰκημάτων, διὸ καὶ φιλονεικίας συμβάσης ἐν αὐτοῖς, ἀνεβίβασε μὲν αὐτὰ ὁ Ῥαοὺλ εἰς ὑπέρπυρα ἑκατὸν πεντήκοντα, ὑπέκοψε δὲ καὶ ὁ κῦρ Γαβριὴλ αὐτὰ ἀποδοῦναι, ἦν δὲ ὁ λόγος περὶ τοῦ τίς προτιμᾶται τῶν ἀδελφῶν εἰς τὴν ἐκείνων κατάσχεσιν, ὅθεν καὶ προετιμήθη ὁ κῦρ Γαβριήλ, ὡς καταμένων ἐν αὐτοῖς, εἰ γὰρ καὶ πρώ-

τὸς ἀδελφός ἐστιν ὁ Ῥαοὺλ, ἀλλ' οἱ ἀδελφοὶ πάντες ἐπίσης εἰσὶ δεσπόται τῆς τῶν γονέων περιουσίας, ἔχει δὲ νῦν προτίμησιν ὁ κῦρ Γαβριὴλ, ὡς καταμένων ἐν αὐτοῖς, φασὶ γὰρ οἱ θεῖοι καὶ φιλευσεβεῖς νόμοι· ἐν ἴσῃ αἰτίᾳ κρείττων ἐστὶν ὁ . . . . . . όμενος. προετιμήθη τοίνυν οὗτος πρὸς κατάληψιν τῶνδε τῶν οἰκημάτων διὰ τὴν εἰρημένην αἰτίαν, πλὴν ἵνα ἀποδῷ τοῖς αὐταδέλφοις αὐτοῦ ὑπέρπυρα τριάκοντα, τὰ μὲν δέκα, ἅπερ ἦσαν πλείονα τοῦ ἰδίου μεριδικοῦ, ἤτοι τῶν ρι', τὰ δὲ εἴκοσιν, ἃ ἐπιβάλλουσιν αὐτοῖς ἀπὸ τῶν τριάκοντα ὑπερπύρων, ἃ ἐπηύξησεν ὁ Ῥαούλ. περὶ δέ γε τῶν ἑτέρων οἰκημάτων καὶ τοῦ μαγκιπείου διεκρίθη, ὡσὰν διαπωληθῶσι ταῦτα παρὰ τῶν ἑτέρων ἀδελφῶν αὐτοῦ, τοῦ τε Ῥαοὺλ καὶ τοῦ Ἰωάννου, καὶ διαμερίσωσιν εἰς ἑαυτοὺς τὴν τιμήν. ἐπειδὴ τοίνυν ἐξωνήσατο ὁ θεοσεβέστατος πρεσβύτερος, Μιχαὴλ ὁ Σγουρόπουλος, εἰς ὑπέρπυρα ἑκατὸν ἑξήκοντα τὸν τρίκλινον μετὰ τοῦ ἀνωγίου καὶ τοῦ διπάτου, εἰς ἃ αὐτὰ περιέστησαν τὴν ἀρχὴν, παρά τε τοῦ δευτερεύοντος καὶ τῶν ἄλλων καὶ κατελάβετο τὰ ὑπέρπυρα ταῦτα, καὶ ἔτι πρὸς τούτοις καὶ εἰς ἔξοδόν τινα καὶ ἕτερα ὑπέρπυρα τέσσαρα, ἅπερ ὁμοῦ γίνονται ὑπέρπυρα ρξδ', καὶ ἤρξατο καταχαλᾶν αὐτὰ, οὐκ ὀφείλει τις τῶν Παλαιολόγων δι' ὄχλου ποτὲ γενέσθαι τῷ πρεσβυτέρῳ ἢ τῷ κοινωνῷ αὐτοῦ πρὸς τὴν τοιαύτην χαλαστικὴν, οὔτε μὴν ὁ νεώτερος αὐτῶν ἀδελφὸς, ὁ Ἰωάννης, προβαλλόμεμενος ἀφηλικιότ(ητα) ἑαυτοῦ, πάντα γὰρ, ὅσα ἔδει γενέσθαι ὑπὲρ βοηθείας αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ ἐπὶ τοῖσδε τοῖς οἰκήμασιν, ἅπαντα γεγόνασιν, ἐνδόσει καὶ προτροπῇ καὶ ἀποστολῇ καὶ διακρίσει τῆς ἡμῶν μετριότητος, συνοδικῶς διασκεψαμένης τὰ περὶ τούτου, καὶ οὐδαμόθεν ὁ νέος φαίνεται ζημιούμενος, ὥστε ποτὲ χρήσασθαι ἀποκαταστάσει παρὰ τῶν φιλευσεβῶν νόμων ἐπ' ἀνατροπῇ τῶν γεγενημένων, οὔτε γὰρ ἦν δυνατὸν τὰ οἰκήματα ταῦτα συνίστασθαι πλέον ἐπὶ τοῦ αὐτοῦ σχήματος, ὥστε κατέχειν αὐτὸν ἐκ τούτων ἱστάμενον τὸ ἀνῆκον μέρος αὐτῷ, ὅπου γε καὶ τοῦτο, εἴπερ ἦν, ἀνάγκην ἔχει ὁ νέος τὰς πρὸς τὸ ζῆν ἀφορμὰς, ἃς οὐκ ἔχει ἄλλοθεν προσπορίσασθαι, εἰ μὴ ἀπὸ ἐκποιήσεως τούτου, τὸ δὲ οὐκ ἦν ἄλλως ἐκποιηθῆναι, εἰ μὴ τρόπῳ χαλαστικῆς, οὔτε πλείω τιμὴ τούτων εὑρέθη, ἵνα τις αὐτὴν ἀποδῷ, ἐπειδὴ καὶ αἵρεσις ἐδόθη τοῖς ἀδελφοῖς αὐτοῦ κἂν εἰς ταύτην καταδέξασθαι ταῦτα, οὐδεὶς μέντοι πρὸς τοῦτο ὑπέκυψεν, ἀλλ οὐδὲ ὑπεκρατήθη τι ἐκ τῶν ἐπερχομένων αὐτῷ ἀπὸ τῆς τοιαύτης

τιμῆς, ἀλλὰ καὶ ἡ τιμὴ πᾶσα κατεβλήθη, καὶ ἡ ἀνήκουσα αὐτῷ μερὶς ἐξ αὐτῆς ἐλήφθη καὶ φυλάσσεται δι' αὐτὸν, ἄχρις ἂν διαγνῷ καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ἐπὶ τὸ λυσιτελέστερον ἐξοικονομοῖντο τὰ τοῦ νέου καὶ διεξάγοιντο. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

## DLV. (6908—1400) martio. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Ἐπεὶ ἥ τε μοναχὴ Ὑπομονὴ Χρυσοκεφαλῖνα ἡ Καυκανίνα καὶ Ἰωάννης Ἀντιοχείτης ὁ Καλοειδᾶς συνεβιβάσθησαν καὶ διεπράσαντο πρὸς τὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Νικόλαον τὸν Σοφιανὸν, τὸ περὶ τὴν τοῦ Κυνηγοῦ πόλην μυρεψικὸν αὐτῶν ἐργαστήριον, συμβιβασθέντες ἐκ κοινῆς ἀρεσκείας καὶ συμφωνίας, εἰς ὑπέρπυρα διακόσια, οὗ δὴ ἐργαστηρίου τὸ μὲν τρίτον ἦν τῆς Καυκανίνης, περιελθὸν αὐτῇ ἀπὸ κληρονομίας τοῦ ἐγγόνου αὐτῆς, τὸ δίμοιρον δὲ τοῦ Καλοειδᾶ, ἐπεὶ εἰς ἀσφάλειαν αὐτοῦ ὁ Σοφιανὸς διὰ τὸν Καλοειδᾶν ἔτι ἀφήλικα εἶναι καὶ τὴν προῖκα ὀφείλειν τῆς γυναικὸς αὐτοῦ ἀνέδραμε πρὸς τὴν ἡμῶν μετριότητα, καὶ ἠξίωσε δι' αὐτῆς, ὡς δεῖ, προβῆναι τὴν πρᾶσιν, εὗρε δὲ ἡ μετριότης ἡμῶν, τὸν μὲν Καλοειδᾶν χρόνων ὄντα εἰκοσιτριῶν, ἀπὸ δὲ τῆς προικὸς τῆς αὐτοῦ γυναικὸς λείποντα τετρακόσια ὑπέρπυρα μόνα, τῷ μὲν Καλοειδᾷ συγγνώμην ἡλικίας δέδωκε, τῇ δὲ γυναικὶ αὐτοῦ πρῶτον ἀποκατασταθῆναι τὰ τετρακόσια ὑπέρπυρα ἀπὸ τῆς περιουσίας τοῦ Καλοειδᾶ καὶ τότε πωληθῆναι τὸ δίμοιρον τοῦ ἐργαστηρίου αὐτοῦ, εἰ περιλειφθείη ἐλεύθερον, διέκρινε, καὶ ἐπεὶ ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος δεδώκασι πρὸς τὴν γυναῖκα αὐτοῦ ὅ τε τιμιώτατος σακελλίου καὶ ὁ θεοφιλέστατος ὑπομνηματογράφος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διάκονοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης ὁ Σορόπουλος, καὶ κῦρ Ἀκίνδυνος ὁ Περδίκης, διὰ γράμματος αὐτῶν ἀντὶ τῶν λειπόντων αὐτῇ τετρακοσίων ὑπερπύρων τό τε ἀμπέλιον καὶ τὰ ἀνώγεω κατώγαια αὐτοῦ, ἐπέκεινα ὄντα ἀμφότερα τιμῆς ὑπερπύρων ἑξακ(οσίων), ἀπέμεινε δὲ τὸ ῥηθὲν ἐργαστήριον αὐτοῦ ἐλεύθερος βίος αὐτοῦ, καὶ οὕτως ἐνδόσει καὶ διακρίσει ἡμετέρᾳ συγγνώμην ἡλικίας λαβὼν ἐπώλησεν αὐτὸ πρὸς τὸν Σοφιανὸν, τὸ στέργον ἔχειν καὶ βέ-

βαιον καὶ πάντη ἐρρωμένον τὴν τοιαύτην πρᾶσιν τοῦ ἐργαστηρίου καὶ ἀκατάλυτον διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ὅθεν καὶ καθέξει ὁ Σοφιανὸς τὸ καθόλου ἐργαστήριον, τό τε τρίτον τῆς Καυκανίνης καὶ τὸ δίμοιρον τοῦ Καλοειδᾶ, ὡς ἐλεύθερον εὑρεθὲν κτῆμα αὐτοῦ καὶ μὴ ὑποκείμενον τῇ προικὶ τῆς αὐτοῦ γυναικός, ὅθεν καί, ἐπεὶ τὴν πᾶσαν τιμὴν αὐτοῦ κατεβάλετο, τὰ διακόσια δηλονότι ὑπέρπυρα, καθέξει τὸ ῥηθὲν ἐργαστήριον ὁ Σοφιανὸς κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα, παραπέμψει τε τοῦτο πρὸς οὓς βούλεται, κληρονόμους δηλονότι καὶ διαδόχους αὐτοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαρτίῳ ἰνδ. η' †.

## DLVI. Sine anno.

*Patriarcha a metropolita Kioviae auxilium petit.*

† Ἱερώτατε μητροπολῖτα Κυέβου καὶ πάσης Ῥωσίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. οἶδεν ἡ σὴ ἱερότης, ὡς ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ, ὁ κῦρ Μανουήλ, καὶ ἡ μετριότης ἡμῶν ἐγράψαμεν καὶ ἀποκρισιαρίους ἀπεστείλαμεν πρὸ καιροῦ πρὸς τὴν σὴν ἱερότητα καὶ πρὸς τὸν εὐγενέστατον υἱόν μου, τὸν ἐνδοξότατον μέγαν ῥῆγαν πάσης Ῥωσίας, καὶ τοὺς λοιποὺς ῥηγάδας, ἵνα καθὼς ἐβοηθήσατε ἡμῖν ἀφ' ὧν ἐπέμψατε πρὸ ὀλίγου καιροῦ, καὶ εὑρέθη ἐκεῖνο εἰς παραμυθίαν τῆς πόλεως καὶ βοήθειαν τῶν χριστιανῶν καὶ τῆς μεγάλης ἐκκλησίας, οὕτω πάλιν πέμψητε καὶ ἀφ' ἑαυτῶν καὶ ἀπὸ συνεισφορᾶς ἑτέρων χριστιανῶν, καὶ βοηθήσητε ἡμῖν ἀναγκαζομένοις ὑπὸ τῆς ἀποκλείσεως καὶ τῆς μάχης τῶν ἐπικειμένων ἡμῖν ἐχθρῶν. ἐπεὶ δὲ μετὰ παραδρομὴν καιροῦ ἱκανοῦ τὸ ἐξελθεῖν αὐτοὺς τῶν ἐνταῦθα, συνάρσει καὶ βοηθείᾳ τοῦ εἰρηνοποιήσαντος τὰ πάντα Χριστοῦ τοῦ θεοῦ ἡμῶν, εἰρήνευσαν οἱ βασιλεῖς οἱ ἅγιοι πρὸς ἀλλήλους,

. . οὕτο ἤργησε
. . εν μεταφρά-
. . η δὲ καὶ ἐγρά-
. . ησαν ἄλλα
. . τι τούτων καὶ
. . στάλησαν ὡς κό-
. . ν ἀποκρισιάρι-
. . ὁ Βηθλεὲμ
. . αουλ καὶ ὁ Καν-
. . ακουζηνός.

*) Quae minutis litteris hic et pagina sequenti descripta sunt, codex in margine habet.

καὶ ἡνώθησαν ὥσπερ πατὴρ καὶ υἱὸς, καὶ ἐγνώρισεν ἡ φύσις ἑαυτήν, καὶ πλέον ἐν αὐτοῖς οὐκ ἔστι διάστασις, οὐδὲ φιλονεικία, οὐδὲ μάχη, καὶ ὁ μὲν βασιλεὺς ὁ ἅγιος, ὁ κῦρ Μανουὴλ, ἀπῆλθεν εἰς τὰ μέρη τῆς Φραγγίας διὰ βοήθειαν καὶ συμμαχίαν τῆς πόλεως καὶ τῶν χριστιανῶν, ὁ δὲ βασιλεὺς ὁ ἅγιος, ὁ κῦρ Ἰωάννης, ὁ ἀνεψιὸς αὐτοῦ, ἐπανῆλθεν ἐνταῦθα ἀπὸ τῆς Σηλυβρίας μετὰ τῆς κρατίστης καὶ ἁγίας δεσποίνης, τῆς μητρὸς αὐτοῦ, καὶ τῶν ἀρχόντων αὐτοῦ πάντων, καὶ ἀνεδέξατο τὴν βασιλείαν ἀπὸ τῶν χειρῶν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τοῦ θείου αὐτοῦ, καὶ ἔστιν αὐθέντης καὶ βασιλεὺς τῶν χριστιανῶν, θεοῦ χάριτι, καὶ τὴν μάχην ἀνεδέξατο τὴν κατὰ τῶν ἀσεβῶν, καὶ πάντα πράττει ὑπὲρ φυλακῆς καὶ σωτηρίας τῆς πόλεως καὶ τῶν χριστιανῶν, μήποτε ἄλλως ἀκουσθῶσιν αὐτόθι τὰ πράγματα, παρὸ ἐνταῦθα ἐγένοντο, ἔδοξε καλὸν ἡμῖν, ἵνα καὶ δι᾽ ἡμετέρων καλῶν ἀνθρώπων καὶ διὰ γραμμάτων ἡμῶν πληροφορήσωμεν εἰς ὑμᾶς ἅπαντα τὰ γενόμενα· ἐμέλλομεν οὖν πιττακοφόρον ἀποστεῖλαι πρὸς πληροφορίαν μόνον τῶν γεγονότων, οὐδὲ γὰρ ἄλλους ἔχομεν λόγους οὐδὲ μηνύματα παρὰ τούτους, οὓς ἐγράφαμεν ὑμῖν μετὰ τῶν προελθόντων ἀποκρισιαρίων ἡμῶν, διὰ δὲ τιμὴν ὑμετέραν πλείονα ἐξελεξάμεθα καὶ ἀποστέλλομεν ὡς ἀποκρισιάριον τὸν ἱερώτατον ἀρχιεπίσκοπον Βηθλεέμ, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργὸν, ὡς γνώριμον εἰς τὸν αὐτόθι τόπον καὶ φίλον τῆς σῆς ἱερότητος, ὅπως συνδράμῃ καὶ αὐτὸς, ὅσον δύναται, ἐφ᾽ ᾧ νὰ παραλάβωσιν οἱ ἀποκρισιάριοι ἡμῶν, οἱ προαποσταλέντες, εἴ τι ἔδωκεν ὁ θεὸς καὶ συνήχθη ὑπὲρ τῶν χριστιανῶν, καὶ ἑνωθῇ καὶ οὗτος μετ᾽ αὐτῶν, καὶ φέρωσι τοῦτο ἐνταῦθα τὸ συντομώτερον, εἰς μεγάλην γὰρ ἀνάγκην ἐσμέν· ὁ γὰρ ἐχθρὸς ἡμῶν οὗτος καὶ πολέμιος, ἀκούσας τὴν ἕνωσιν τῶν βασιλέων τῶν ἁγίων, καὶ ὅτι ὁ κράτιστος καὶ ἅγιός μου βασιλεὺς, ὁ κῦρ Μανουὴλ, ὁπλίζεται ἀπὸ τῶν μερῶν τῆς Φραγγίας ὑπὲρ φυλακῆς τῆς πόλεως, μαίνεται καὶ διεγείρεται καθ᾽ ἡμῶν· χρεία οὖν ἡμῖν ἐξόδου καὶ ἀναλωμάτων πολλῶν πρὸς φυλακὴν ἡμετέραν, καὶ πολλῷ πλέον νῦν παρὸ πρότερον, καὶ ἐλπίζομεν μὲν καὶ ἀπὸ τῶν μερῶν ἐκείνων πολλὰ καὶ μεγάλα, οὐκ ἄμοιρον δὲ τῶν καλῶν βουλόμεθα εἶναι καὶ τὴν σὴν ἱεράτητα, διὰ τοῦτο νὰ ἔχῃς τὰς εὐχὰς τῶν ἁγίων πατέρων, ἀδελφὲ

. . τῳ γὰρ ἔδοξεν
. . τοῖς καλὸν ἀπὸ
. . μφώνου καὶ
. . γένετο

ἀγαπητέ, εἴπερ ἄλλοτε ἠγωνίσω, ὡς φιλορρώμαιος ἄνθρωπος, ἀγωνίσθητι νῦν καὶ δίδαξον καὶ παραίνεσον καὶ συμβούλευσον ἅπασιν, ἵνα ποιήσωσι, καθὼς εἰσηγούμεθα καὶ ἀξιοῦμεν, καὶ πληροφόρησον αὐτούς, ὅτι τὸ ὑπὲρ φυλακῆς τῆς πόλεως τῆς ἁγίας διδόμενον μεῖζόν ἐστι παρὰ λειτουργίας καὶ ἐλεημοσύνης εἰς τοὺς πένητας καὶ ἐλευθερίας εἰς αἰχμαλώτους, καὶ παρὰ τῷ θεῷ μείζονα μισθὸν εὑρήσει ὁ τοῦτο διαπραξάμενος ἢ ὁ ναὸν ἀνεγείρας καὶ μοναστήρια ἢ ὁ ἀναθήματα τούτοις ἀφιερώσας· τὸ γὰρ καύχημα τῶν ἁπανταχοῦ τῆς οἰκουμένης χριστιανῶν, τὸ στήριγμα, ὁ ἁγιασμὸς καὶ ἡ δόξα ἡ πόλις ἐστὶν αὕτη ἡ ἁγία, καὶ πόσα ἂν τις κτίσειε μοναστήρια ἢ πόσους αἰχμαλώτους ἐλευθερώσει, ὥστε νὰ ἐξισώσει τοῖς μοναστηρίοις τῆς πόλεως ἢ τοῖς κατοικοῦσιν ἐν αὐτῇ; ὧν πάντων κτήτωρ καὶ ἐλευθερωτής ἐστιν, ὃς ἂν ὁδηγηθῇ ἀπὸ θεοῦ καὶ ποιήσῃ ἐλεημοσύνην καὶ εἰσφορὰν ὑπὲρ βοηθείας τῆς πόλεως καὶ τῶν χριστιανῶν. τούτων δὲ πάλιν αἴτιος ἔσται ἡ σὴ ἱερότης ἡ παρακινήσασα τούτους εἰς αὐτό.

## DLVII. 6908 (1400). ind. VIII.

*Patriarcha sententiam dicit de venditione fundi.*

† Διὰ τοῦ πρωτονοταρίου †.

† Ἡ περιπόθητος θεία τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰ Ἄννα Ἀσανίνα ἡ Παλαιολογίνα, συνοδικῶς παραγενομένη, ἔχουσα καὶ ἐντολέα τὸν θεοφιλέστατον ὑπομνηματογράφον τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κύρην Ἀκίνδυνον τὸν Περδίκην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κυροῦ Γεωργίου τοῦ Γουδέλη, περὶ τοῦ πρὸ χρόνων ἑπτὰ πωληθέντος αὐτῷ ἀμπελίου περὶ τὴν ἐνορίαν τοῦ ἁγίου Ῥωμανοῦ ἔνδον τῆς βασιλίδος ταύτης τῶν πόλεων διακειμένου, ὅπερ ἀνδρῷον μὲν εἶναι κτῆμα ἡ Ἀσανίνα διωμολόγει, ὑποκεῖσθαι δ' αὐτῇ διετείνετο ἀντὶ τῆς καταφθαρείσης προικὸς αὐτῆς πολλῆς οὔσης· διαμηνυθέντος δὲ κἀκείνου καὶ συνοδικῶς ἀπαντήσαντος μετὰ καὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κυροῦ Ἰωάννου τοῦ Γουδέλη, ᾧ καὶ εἰς προῖκα τὸ τοιοῦτον ἀμπέλιον δέδωκεν, ἀρξάμενος ὁ ὑπομνηματογράφος

εἶπεν· ὡς ἡ Ἀσανίνα λέγει δι' ἐμοῦ ὡς δι' ὑπομνηστικοῦ, ὅτι τῆς ἐμῆς προικὸς πολλῆς οὔσης καὶ πάσης καταναλωθείσης οὐδὲν ἕτερον περιελείφθη μοι ἢ μόνον τὸ ἀμπέλιον τοῦτο, ὅπερ ἦν ἐμοὶ ὑποτεθειμένον ἀντὶ τῆς καταφθαρείσης προικός μου, ὅπερ ἠγόρασεν ὁ αὐθέντης μου, ὁ ἀδελφός μου ὁ Γουδέλης, βίᾳ καὶ μεγάλῃ ἀνάγκῃ τῇ ῥηθησομένῃ, τοῦ γὰρ αὐθέντου μου, τοῦ ἀνδρός μου, τὸ τῆς . . . . κεφαλατίκιον ἀγοράσαντος καὶ ζημιωθέντος ἐν τούτῳ ὑπέρπυρα . . . . καὶ ἀπαιτουμένου βιαίως αὐτὰ παρὰ τοῦ βασιλέως τοῦ ἁγίου καὶ κινδυνεύοντος καὶ εἰς φυλακὴν ἐκβληθῆναι, ἠναγκάσθη καὶ ἐπώλησε τὸ ῥηθὲν ἀμπέλιον, ἐμοῦ μηδόλως συναινεσάσης, ἀλλὰ καὶ πλεῖστα ἀντιλεγούσης καὶ διατεινομένης, ὡς ἡμέτερόν ἐστι τὸ ἀμπέλιον, καὶ οὐδόλως ἐνδίδωμι πωληθῆναι αὐτό. ἠρωτήθη τοίνυν ἡ Ἀσανίνα παρὰ τῆς ἡμῶν μετριότητος, τίνα ὑποθήκην λέγει ἔχειν εἰς τὸ ἀμπέλιον τὴν παρὰ τῶν νόμων σιωπηρὰν ὡς εἰς ἀνδρῷον κτῆμα αὐτῆς ἢ καὶ ἐν ἔργῳ προβᾶσαν διὰ γράμματος, εἴτε καὶ διὰ μαρτύρων ἀξιοπίστων. ἡ δὲ ὑποθήκην μὲν ἔφησε προβῆναι ἐν ἔργῳ τοῦ αὐθέντου μου, τοῦ ἀνδρός μου, δόντος μοι τοῦτο ὡς ἴδιον ἀντὶ τῆς καταφθαρείσης προικός μου. οὐκ ἴσχυσε δὲ τοῦτο συστῆσαι διὰ γράμματος ἢ διά τινος μαρτυρίας, ὅθεν καὶ κατὰ μόνην τὴν κατὰ νόμους σιωπηρὰν ὑποθήκην ἔδοξε δίκαιον ἔχειν κοινῇ. ἐπεὶ δὲ ἀπολογίζεσθαι πρὸς ταῦτα προετράπη καὶ τῷ Γουδέλῃ, ἀρξάμενος εἶπεν, ὡς πρὸ χρόνων πολλῶν καὶ μίαν καὶ δύο καὶ τρεῖς ἐπετίθετό μοι ὁ αὐθέντης μου, ὁ ἀδελφός μου, ὁ Παλαιολόγος καὶ δι' ἑαυτοῦ καὶ διὰ τοῦ Ἀστρᾶ καὶ δι' ἑτέρων, ἵνα ἀγοράσω αὐτό, ἐγὼ δὲ πάντοτε πρὸς αὐτοὺς οὐδόλως βούλεσθαι διετεινόμην ἀγοράσαι αὐτό, ἀλλὰ μᾶλλον πρὸς ὃν ὁ Παλαιολόγος βούλεται, πωλησάτω αὐτό. οἱ δέ μοι πολλάκις ἐπετίθεντο περὶ τούτου, καὶ αὐτὸς δὲ δι' ἑαυτοῦ ὁ Παλαιολόγος· ἀδελφέ, εἶπεν, ἀγόρασον τοῦτο, καὶ εἴ τι βούλει, ἀπόδος μοι. ἐγὼ δ' αὖθις καὶ πρὸς ἐκεῖνον εἶπον τὰ ὅμοια, ὥστε πρὸς ὃν βούλεται, τοῦτο ἀπεμπωλῆσαι, οὐδὲ γὰρ δύνασθαι εἶπον χερσάμπελον ἀγοράσαι ἠρημωμένην παντάπασι καὶ τὸ μὲν αὐτοῦ πεφυσιωμένον ἀγροκαλάμῃ τε καὶ ἀγρίᾳ, τὸ δὲ λίμνῃ μονίμῳ προσεοικός, ἐπιτήδειον πρὸς κυνηγεσίαν ἀμφιβίων, ὀρνίθων, αἳ καὶ πολλάκις ἐκεῖσε ἠγρεύθησαν. μέχρι μὲν οὖν τινος τούτοις ἀπεωθούμην τοὺς ἐνοχλοῦντάς μοι περὶ τούτου. εἶτα σφοδρότερον ἐπιτεθέντος μοι τοῦ Ἀστρᾶ καὶ τὴν ἔνδειαν τοῦ Παλαιολόγου

γνωρίσαντος καὶ χάριν ἅμα καὶ δωρεὰν τὸ δοθησόμενον τῷ Παλαιολόγῳ διατεινομένου καὶ τοιούτοις τισὶν ἐπαγωγοῖς εἰς πειθὼ χρησαμένου, τέλος ἐστήσαμεν τὸ τούτου τίμημα ἐκ κοινῆς συμφωνίας ὑπέρπυρα ἑξακόσια μετὰ τῆς τρύγης ἐκείνου τοῦ χρόνου, ἐπεὶ ἐγγὺς ἦν, ὃ τρυγηθὲν ὕστερον ὑπ' ἐμοῦ ἐγεώργησε μὲν μόνα μέτρα λς', οὕτως ἦν καλλιεργημένον. εὐθὺς τοίνυν ἀνέδραμον εἰς τὸν ἁγιώτατον ἐκεῖνον καὶ ἀοίδιμον πατριάρχην, κύρην Ἀντώνιον, καὶ ἠξίωσα ἐξετάσει καὶ διακρίσει ἐκείνου προβῆναι τὴν τοιαύτην πρᾶσιν· ὁ δὲ εὐθὺς ἐνετείλατο τῷ τιμιωτάτῳ μεγάλῳ σακελλαρίῳ, πρωτεκδίκῳ τηνικαῦτα τυγχάνοντι, πᾶσαν ποιῆσαι ἀσφάλειαν περὶ τὴν τοιαύτην πρᾶσιν. ἐν τούτῳ δέ τινων ἡμερῶν παρελθουσῶν ἦλθε πρός με ἡ τιμιωτάτη ἐν μοναχαῖς, κυρὰ Φερονίκη ἡ Ἀσπιέτισα, ἀξιοῦσα μηδεμίαν συμβίβασιν ποιῆσαι μετὰ τοῦ Παλαιολόγου, ὡς τοῦ ἀμπελίου αὐτῆς τυγχάνοντος, ὅπερ εὐθέως ἔδειξα τῷ μεγάλῳ σακελλαρίῳ, καὶ ἠξίωσα αὐτὸν μηδὲν ὅλως ἐπιχειρῆσαι ποιῆσαι, ἅτε καὶ εὐθὺς ἐν ἀρχῇ ὀχλήσεως ἐπιφυομένης. ὁ δὲ εἶπεν, ὡς ἐλαλήθη καὶ τοῦτο ἔμπροσθεν αὐτοῦ, καὶ ἐλύθη, συμβιβασθέντος τοῦ Παλαιολόγου μετὰ τῆς μοναχῆς, τῆς τε γυναικὸς τοῦ Παλαιολόγου εὐκόλου οὔσης διδαχθῆναι τὸν βοηθοῦντα αὐτῇ νόμον καὶ παραιτουμένης τὴν ὑποθηκαρίαν ἀγωγὴν καὶ ὃ ἔχει δίκαιον εἰς τὸ ἀμπέλιον, ὡς ὑποτεθειμένον αὐτῇ ἀντὶ τῆς καταφθαρείσης προικὸς αὐτῆς, ἑτοίμου τε οὔσης ὑπογράψαι τῷ πρατηρίῳ. τούτοις οὖν ἀρκεσθεὶς ἔδωκα αὐτῇ τὰ ὑπέρπυρα, ἐπειπὼν, ὡς ἅπαν, ὃ ἐνδέχεται εἰς ἀσφάλειαν γενέσθαι, ἐπιμελῶς τοῦτο ποιῆσαι καὶ μηδὲν ἐλλειφθῆναι, ὁ δ', ὡς εἶπέ μοι, αὐτῇ τῇ Ἀσανίνῃ ἐνεχείρισε τὰ ὑπέρπυρα, διδάξας αὐτὴν πρότερον τὸν βοηθοῦντα αὐτῇ νόμον, παρόντος καὶ τοῦ ἀπὸ τῆς σεβασμίας μονῆς τῆς χώρας ἱερομονάχου, κυροῦ Κορνηλίου, καὶ οὕτως ὑπέγραψε μὲν καὶ αὕτη οἰκειοχείρως ἅμα τῷ Παλαιολόγῳ, ἐπεκύρωσε δὲ καὶ ὁ πατριάρχης ὁ ἅγιος τὴν τοιαύτην πρᾶσιν, ἅτε καὶ προτροπῇ ἐκείνου προβᾶσάν τε τὴν ἀρχὴν καὶ τὸ τέλος λαβοῦσαν, ἀπῃτήθη τοιγαροῦν τό τε πρατήριον καὶ τὴν προτρεπτικὴν ἅμα καὶ ἐπικυρωτικὴν πατριαρχικὴν γραφὴν, ὧν ὑπαναγνωσθέντων εὑρέθη οὕτως ἀπαραλλάκτως, ὡς ὁ Γουδέλης διηγήσατο, ἥ τε γὰρ πατριαρχικὴ διαλαμβάνει γραφὴ, ὡς ἐνδόσει καὶ προτροπῇ τοῦ ἁγιωτάτου ἐκείνου καὶ ἀοιδίμου πατριάρχου γέγονεν ἡ τοῦ νόμου διδασκαλία πρὸς τὴν Ἀσανίναν παρὰ τοῦ τιμιωτάτου πρωτεκδίκου, τό τε

πρατήριον λεπτομερῶς διελάμβανε τὴν ὑπόθεσιν, πῶς ἐπωλήθη τὸ ἀμπέλιον παρά τε τοῦ Παλαιολόγου καὶ τῆς Ἀσανίνης καὶ τῆς ῥηθείσης μοναχῆς, ὅπως τε ἐδιδάχθη ἡ Ἀσανίνα τὸν βοηθοῦντα αὐτῇ νόμον, παρόντος καὶ τοῦ ῥηθέντος ἱερομονάχου, καὶ παρῃτήσατο τὴν ἀπὸ τούτου παντοίαν βοήθειαν, καὶ τέλος οἰκειοχείρως ὑπογραφὴ ἦν αὐτῆς ἐν αὐτῷ. ἐρωτηθεῖσα οὖν, πῶς ὑπέγραφε ἐν τῷ τοιαῦτα διαλαμβάνοντι πρατηρίῳ, τὴν μὲν διδασκαλίαν ἠρνεῖτο τοῦ νόμου, καὶ ἐρωτηθῆναι περὶ τούτου τὸν μέγαν σακελλάριον ἔλεγεν, ὡς στέρξουσα πᾶν, εἴ τι ἐκεῖνος εἴποι, τὴν δὲ ὑπογραφὴν οἰκείαν μὲν εἶναι διωμολόγησε, πλὴν εἶπεν, ὡς ἔλεγεν, ὅτε ὑπέγραφεν, ὅτι διὰ τὸ θέλημα τοῦ αὐθέντου μου, τοῦ ἀνδρός μου, ὑπογράφω, τὸ δὲ ἀμπέλιόν μου οὐδὲν παραιτοῦμαι, ἀλλ' ὡς ἴδιον πάντοτε μέλλω ζητεῖν αὐτό. ἐρωτηθεῖσα οὖν, εἴπερ ἔχει τινὰς μάρτυρας τοὺς εἰδότας, ὅτι ἔλεγε τοιαῦτα ῥήματα, ὅτε ὑπέγραφεν, οὐδένα ἔχειν εἶπε πλὴν τοῦ ἀνδρὸς αὐτῆς τοῦ Παλαιολόγου καὶ τοῦ μεγάλου σακελλαρίου· ἐπεὶ δὲ τὸν μὲν Παλαιολόγον μὴ δύνασθαι ἤκουσεν εἰς τὴν τοιαύτην ὑπόθεσιν μαρτυρῆσαι, ὡς ὑπὲρ ἑαυτοῦ λέγοντα, ὁ δὲ μέγας σακελλάριος ἀπὼν ἔτυχε δι' ἣν εἶχε περιοδικὴν νόσον, ἀνηρτήθη μὲν τηνικαῦτα τὰ τῆς ὑποθέσεως.ʳ ἐν ἑτέρᾳ δὲ συνόδῳ παρόντος καὶ τοῦ μεγάλου σακελλαρίου καὶ τῶν μερῶν ἀμφοτέρων, ἀλλὰ δὴ σὺν τῇ Παλαιολογίνῃ καὶ τοῦ ἀνδρὸς αὐτῆς, τοῦ Παλαιολόγου, ὁ ὑπομνηματογράφος ἤρξατο πάλιν, ὡς ἡ Ἀσανίνα καὶ αὐτὴν ἀρνεῖται τὴν ὑπογραφήν, μὴ εἶναι οἰκείαν λέγουσα, ὥσπερ ἐπιλαθόμενος ὧν εἶπεν ἡ Ἀσανίνα ἐν τῇ προτέρᾳ συνόδῳ, ὡς λόγοις ἀντέτεινεν ὑπογράφουσα, ὃ τῶν τότε παρατυχόντων διατεινομένων ἡ Ἀσανίνα κρατῆσαι μὲν διωμολόγησε τὸ κονδήλιον, τὰ δὲ γράμματα μὴ εἶναι οἰκειόχειρα ἔλεγεν. ἐπεὶ δὲ καὶ οὕτως οἰκείαν εἶναι τὴν ὑπογραφὴν ἤκουσε, καίτοι καὶ τοῦτο τῶν ἀπόρων, πῶς αὐτὴ μὲν μόνον κρατῆσαι διετείνετο τὸ κονδήλιον, τὰ δὲ γράμματα γυναικεῖα τυγχάνουσιν, οὐδὲ γὰρ ἄλλη ἐκεῖ ἦν ὑπογράφουσα ἀντ' αὐτῆς. ἐπεὶ οὖν ἀπῃτεῖτο συστῆσαι, ὡς ἀντιτείνουσα ὑπέγραφε, καὶ μάρτυρας ἐζητεῖτο παραγαγεῖν τῶν ῥημάτων ὧν εἶπεν, ὡς ἔλεγεν ὑπογράφουσα, ἡ δὲ πλὴν τοῦ μεγάλου σακελλαρίου οὐδένα ἔλεγεν ἔχειν, ὃν καὶ ἐρωτηθῆναι ἠξίου, ἀλλὰ δὴ καὶ δι' ἑαυτῆς περὶ πάντων ἠρώτα, ἐκεῖνος πάντα μᾶλλον εἶπε τἀναντία αὐτῇ, ὅτι τε ἐδιδάχθη παρ' αὐτοῦ τὴν τοῦ νόμου βοήθειαν καὶ τοῦ ἱερομονάχου παρόντος,

καὶ οὐ μόνον οὐδὲν ἀντεῖπεν, ἀλλὰ καὶ ἔστερξε, καὶ τὴν πρᾶσιν αὐτὴ δι' ἑαυτῆς ἐποίησε, καὶ τὰ ὑπέρπυρα αὐτὴ εἰς τὰς χεῖρας αὐτῆς ἐδέξατο, καὶ τὴν ὑπογραφὴν αὐτῆς οἰκειόχειρον εἶναι. ἐπεὶ δὲ καὶ περὶ τῆς βίας, ἣν εἶχεν ὁ Παλαιολόγος, ἠρώτα μαθεῖν ἡ Ἀσανίνα, ἤκουσεν, ὡς εἰ μὲν τὴν τοιαύτην βίαν ὁ Γουδέλης ἐπῆγεν αὐτῷ, δίκαιόν ἐστιν αὐτὸν ἀφαιρεθῆναι τὸ ἀμπέλιον, ὡς βιαίως τοῦτο κτησάμενον· εἰ δ' οὐ, παρὰ τὴν αἰτίαν τοῦ Γουδέλη ἡ βία τῷ Παλαιολόγῳ, τί τοῦτο πρὸς τὴν πρᾶσιν; πάντες γὰρ οἱ πιπράσκοντες βίᾳ τινὶ ἢ χρέεσι κατεχόμενοι πιπράσκουσιν, ἀλλ' οὐδὲ ἐφ' ἑνὶ δήπου βίαν δίκαιον αἰτιᾶσθαι, εἰ μήπου, ὡς εἴρηται, ἡ τῆς βίας αἰτία παρὰ τοῦ ἀγοραστοῦ συμβᾶσα ἀποδειχθῇ. τούτων τοιγαροῦν οὕτως ἀναφανέντων διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, τὸ βέβαιον ἔχειν καὶ πάντῃ ἐρρωμένον καὶ ἀκατάλυτον τὴν τοιαύτην πρᾶσιν, ἅτε καὶ νομίμως καί, ὡς ἔδει, προβᾶσαν, καὶ εἰ μέντοι ἔχει ἕτερον ἡ Ἀσανίνα προτεῖναι, τοῦτο κινῆσαι, ὡς ἀνισχύρων ἀποδειχθέντων ὧν προέτεινεν. ἐπεὶ δὲ ὁ Γουδέλης ηὐχαρίστησε μὲν ἐπὶ τῇ συνοδικῇ διαγνώσει καὶ ἀποφάσει τῆς ἡμῶν μετριότητος, συγκαταβάσεως δὲ λόγῳ εἶπε συνοδικῶς, ὡς εἴπερ βούλεται ἡ Ἀσανίνα τὸ ἴδιον κτῆμα ἀπολαβεῖν, ἀποδότω, ἃ ἔλαβε, καὶ τὰς ἡμισείας τῶν εὐλόγων ἐξόδων τῶν εἰς αὐτό, καὶ ἀξιώσει αὐτοῦ ἀφίησιν αὐτῇ ὁ υἱὸς αὐτοῦ τό τε ἀμπέλιον καὶ τὰς ἡμισείας ἐξόδους· τοῦτο μὲν οὐ δύνασθαι εἶπον ἥ τε Ἀσανίνα καὶ ὁ Παλαιολόγος, προεβάλοντο δέ, ὡς ὅτε ἠγόρασεν αὐτὸ ὁ Γουδέλης, ἦν ἡ τούτου τιμὴ ἐπὶ τὸ διπλάσιον τῆς καταβληθείσης, τοῦτο δὲ συνῆγον ἀφ' ἑτέρου ἀμπελίου πλησίον αὐτοῦ, κατὰ τὸν αὐτὸν καιρὸν πωληθέντος, τὸ δὲ ἑαυτῶν πωληθῆναι εἰς ὀλίγον ἀπὸ τοῦ μὴ θελῆσαι τὸν Γουδέλην ἔγγραφον δοῦναι τὴν ἰδίαν καταδοχήν, ἐπεὶ δὲ καὶ εἰς τοῦτο ἤκουσαν, ὡς οὐκ ὤφειλεν ὁ Γουδέλης δοῦναι καταδοχήν, οὐδ' ἠναγκάζετο τοῦτο ποιῆσαι, μηδενὸς ἔξωθεν εὑρεθέντος ἀγοραστοῦ, ἀπεκλείετο γὰρ ἂν τριακονθημέρου διωρίας δοθείσης αὐτῷ, ἀγοραστοῦ, ὡς εἴρηται, ἔξωθεν εὑρεθέντος, περὶ δέ γε τοῦ διπλάσιον εἶναι τὸ τίμημα οὐ πάντως ἀνάγκη, τοῦ πλησίον εἰς πολλὰ πωληθέντος, καὶ αὐτὸ τῆς αὐτῆς εἶναι τιμῆς, ἐνδέχεται γὰρ τὸ μὲν τυχεῖν καλλιεργημένον καὶ διὰ τοῦτο καὶ τιμῆς πλείονος, τὸ δὲ χέρσον καὶ ἔρημον καὶ ὀλίγης τιμῆς ἄξιον διὰ ταῦτα. εἶτα εἰ μὲν ἀντεποιεῖτο ὁ Γουδέλης τοῦ ἀμπελίου, καὶ ἔχειν αὐτὸ διετείνετο κατὰ πᾶσαν ἀνάγκην, εἶχεν ἄν τινα

λόγον ταῦτα κινεῖν τὸν Παλαιολόγον, καίτοι τοῦ βοηθοῦντος αὐτοῖς νόμου ἐπὶ τὸ διπλάσιον εἶναι τὸ τίμημα μετὰ διετείαν ἀργοῦντος, φησὶ γὰρ ἐπὶ λέξεως οὕτως· ἡ περὶ τῆς ἀναργυρίας παραγραφὴ καὶ τῆς εἰς τὸ διπλάσιον τιμῆς μετὰ δύο ἔτη συναπτὰ οὐκ ἀντιτίθεται, νῦν δὲ ἐπεὶ τὸ ἀμπέλιον πρὸς αὐτοὺς ἀντιστρέφει, καὶ μόνα, ἃ ἔδωκεν, ἀπαιτεῖ καὶ τὰ ἡμίση τῶν ἀναγκαίων ἐξόδων τῶν καταβληθεισῶν εἰς περιόρους τε καὶ καταφυτεύσεις, ἀνακαθάρσεις τε καὶ καλλιεργίας αὐτοῦ παρὰ τὰς συνήθεις, ὅσας ἂν δυνηθῇ ἀποδεῖξαι, εὔδηλον ὥσπερ εἶχε καὶ αὔξησιν εἰς τὴν τιμὴν αὐτοῦ, τοῦ Παλαιολόγου ἔσται. ὁ δὲ Παλαιολόγος, καὶ τίς, εἶπεν, ἠνάγκαζε τὸν Γουδέλην τηλικαύτας ἐξόδους εἰς τὸ ἀμπέλιον καταβαλεῖν; πρὸς ταῦτα ἤκουσεν, ὡς τὸ ἀμπέλιον αὐτὸ, εἰ μὲν γὰρ οἰκοδομὰς ἔκτισεν ἐν ἐκείνῳ λαμπρὰς καὶ πολυτελεῖς, εἶεν ἂν ἔξοδοι περισσαί, καίτοι γε ἐπὶ τοῦ καλῇ πίστει νεμομένου, οὐδὲ τοῦτο χωρεῖ, οὐδὲ γὰρ ἐπ' ἀλλοτρίοις ᾠκοδόμει ἄν, ἀλλ' ἐπ' οἰκείοις· ἔστω γε μὴν ὅμως. εἰ δὲ περιόρους καὶ ἀνακαθάρσεις καὶ φυτείας καὶ τράφους κατεβάλετο, καὶ τὴν κατ' ἔτος ἱσταμένην λίμνην ἐν τούτῳ ἐξήρανε, καὶ καλλιεργίας ἐποίει παρὰ τὰς συνήθεις διὰ τὴν τοῦ ἀμπελίου ἐρήμωσιν, αὐτὸ τὸ ἀμπέλιον ταῦτα αὐτὸν ἀπῄτει καὶ ἐπηνάγκαζεν. ἐπεὶ δὲ ταῦτα ἀκούσαντες, συνοδικῶς παρῃτήσαντο τοῦτο ὅ τε Παλαιολόγος καὶ ἡ Ἀσανίνα, καὶ μὴ δύνασθαι εἶπον ἀναλαβεῖν αὐτὸ, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται συνοδικῶς, κατέχειν τὸν Γουδέλην τὸ ῥηθὲν ἀμπέλιον κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα, καὶ μηδεμίαν διενόχλησιν ἢ ἐπήρειαν ὑποστῆναί ποτε παρὰ τοῦ Παλαιολόγου ἢ τῆς συμβίου αὐτοῦ, τῆς Ἀσανίνης, δικαίως γὰρ καί, ὡς ἔδει, τοῦτο ἠγόρασε, καὶ συνοδικῶς, ὡς δεδήλωται, ἀνεφάνη, ὅτι καὶ τὸν βοηθοῦντα αὐτῇ νόμον ἐδιδάχθη ἡ Ἀσανίνα, καὶ παρῃτήσατο τὴν ἀπὸ τούτου βοήθειαν καὶ τὴν ὑποθηκαρίαν ἀγωγήν, ἣν ἐπ' αὐτῷ εἶχε, καὶ τὸ τίμημα αὕτη ἀνέλαβε, κἂν τῷ πρατηρίῳ οἰκειοχείρως ὑπέγραφε, καὶ ὕστερον λόγῳ συγκαταβάσεως διδόμενον αὐτοῖς τὸ τοιοῦτον ἀμπέλιον οὔτε ἐδέξαντο, οὔτε ἀναλαβεῖν ἐδυνήθησαν, δι' ἅπερ ἅπαντα καθέξει ὁ Γουδέλης καὶ οἱ κληρονόμοι αὐτοῦ δικαίως τε καὶ νομίμως τὸ ῥηθὲν ἀμπέλιον κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίωσιν ἐγένετο καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἐν ἔτει ,ϛϡη' †.

DLVIII. (6908—1400) 17. martii. (ind. VIII).

*Patriarcha litem diiudicat.*

† Παρέστη τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ ὁ κύρης Γεώργιος Ἀληθινὸς ὁ Χρυσοβέργης, καὶ ἐποιήσατο ἔγκλησιν κατὰ Θεοδώρας, τῆς τοῦ Ἀστραπύρη ἐκείνου γυναικός, παρούσης καὶ αὐτῆς, εἰπών, ὡς πρὸ καιροῦ τινος ἐδάνεισε τῷ υἱῷ αὐτῆς ὑπέρπυρα νε', εἶτα τοῦ ἀνδρὸς αὐτῆς φυλακισθέντος εἰς τὸν Γαλατᾶν ὑπὸ Φράγκου τινός, ἀξιώσει πολλῇ καὶ παρακλήσει αὐτῆς, διδαχθείσης πρότερον τὸν βοηθοῦντα αὐτῇ νόμον ἐπὶ τῇ ἰδίᾳ προικὶ καὶ παραιτησαμένης αὐτήν, ἑτέρῳ λόγῳ νομίμῳ ἐπὶ ἐλευθερίᾳ τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ υἱοῦ αὐτῆς, καὶ οὕτω δεξαμένης μὲν τὰ νε' ὑπέρπυρα τὰ ὀφειλόμενα παρὰ τοῦ υἱοῦ αὐτῆς, δανεισαμένης δὲ καὶ ἕτερα ὑπέρπυρα λ', ὡς γενέσθαι ὁμοῦ πε' ὑπέρπυρα, ὑποσχεθείσης δοῦναι ταῦτα ἐντὸς μηνῶν ἓξ ἀνθ' ὧν ὑπέθηκεν εἰς ἐνέχυρον τήν τε περιουσίαν αὐτῆς πᾶσαν, καὶ ἰδίως τὸ περὶ τὸν Βλάγκα καπηλικὸν αὐτῆς ἐργαστήριον, ὡς ἂν ἐντὸς μηνῶν ἓξ ἀποδῷ ταῦτα πρὸς αὐτόν· νῦν δ' ἑπτὰ μηνῶν ἀντὶ τῶν ἓξ παρελθόντων οὐ δίδωσιν αὐτῷ ταῦτα, διὸ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτῇ. ἀπολογήσασθαι δὲ καὶ αὐτὴ προτραπεῖσα, ταῦτά γε πάντα οὕτως ἔχειν διωμολόγησε, τόν τε γὰρ νόμον ἐδιδάχθη, ὡς ἔδει, παρὰ τοῦ τιμιωτάτου σακελλίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας (καθὰ καὶ τὸ γράμμα διέξεισιν) ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, διακόνου κυρίου Ἰωάννου τοῦ Συροπούλου, τά τε νε' ὑπέρπυρα τοῦ υἱοῦ αὐτῆς ὡμολόγησεν ἀναδέξασθαι, καὶ τὰ τριάκοντα ἐδανείσατο, καὶ ἠλευθέρωσε δι' αὐτῶν τὸν ἄνδρα αὐτῆς φυλακισθέντα δι' ἐγγύην, εἰς ἣν ὑπέθηκε καὶ αὐτὸς ἑαυτὸν ὑπὲρ τοῦ υἱοῦ αὐτοῦ, ἠξίου δὲ μόνον δι' ὅλου τοῦ μαΐου δοθῆναι αὐτῇ διωρίαν, ὡς ἂν ἀποδῷ ταῦτα αὐτῷ δίχα λόγου τινός, ὑπανεγνώσθη δὲ καὶ ἡ ἔγγραφος αὐτῶν συμφωνία ταῦτα διαλαμβάνουσα ἀπαραλλάκτως, ὡς καὶ ἡ τοῦ Ἀστραπύρη γυνὴ ὡμολόγησε. τούτων τοίνυν οὕτω προβάντων διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ὡς εἰ μὲν δυνηθῇ ἡ Θεοδώρα καὶ ἀποδῷ τὰ πε' αὐτοῦ ὑπέρπυρα ἐντὸς ἧς ἐζήτησε διωρίας, ἤγουν δι' ὅλου τοῦ μαΐου μηνός, ἤδη καλόν, εἰ δὲ μὴ ἀποδῷ, ἐπεὶ ἀρτίως τοῦτο ἐλαλήθη ἐν τῇ κρίσει, δίδωσι δ' αὐτῇ διωρίαν ὁ νόμος διὰ τῆς κρίσεως καὶ πλείονα ἧς ἐζήτησεν, ἤγουν τετρά-

μηνον, λέγει καὶ διακρίνει ἡ μετριότης ἡμῶν, ἵνα αναμείνῃ τέσσαρας μῆνας ὁ Χρυσοβέργης, ἀρχομένους ἀπὸ τῆς σήμερον, τῆς ἑπτακαιδεκάτης τοῦ μαρτίου, ὧν παρελθόντων εἴπερ οὐκ ἀποδῷ ἡ Θεοδώρα τῷ Χρυσοβέργῃ τὰ πε' ὑπέρπυρα αὐτοῦ, τότε εὐθέως ἵνα τιμᾶται τὸ ῥηθὲν ἐργαστήριον, καὶ εἰ μὲν εὑρεθῇ συγγενὴς ἢ πλησιαστὴς, προτιμώμενος λαμβάνῃ ὁ Χρυσοβέργης τὰ ὑπέρπυρα αὐτοῦ, εἰ δὲ μὴ, ἵνα ἔχῃ τὸ ἐργαστήριον αὐτὸς, ἐπεὶ χρέος ἐξ ὑποστάσεως δίδοται· εἰ δὲ ἐλάττων τῶν πε' ὑπερπύρων ἔσται ἡ τιμὴ αὐτοῦ, ὀφείλει ὁ Χρυσοβέργης λαβεῖν καὶ τὰ πλείω ἀπὸ τῆς ἄλλης περιουσίας τῆς Θεοδώρας. εἰ δέ τι συμβῇ τυχηρὸν εἰς τὸ ἐργαστήριον τοῦ τετραμήνου παρερχομένου, ὀφείλει ἀφορᾷν εἰς τὴν Θεοδώραν, ὡς τοῦ ἐργαστηρίου δεσπότιν, καὶ ἱκανωθῆναι τὸν Χρυσοβέργην ἀπὸ τῆς ἄλλης περιουσίας αὐτῆς. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DLIX. (6908—1400) martio. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Ἐπεὶ ἡ κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος, κυρὰ Εἰρήνη ἡ Παλαιολογίνα, ἀντικριθεῖσα συνοδικῶς τῷ τε συμπενθερῷ αὐτῆς . . . . . . . ., τῷ Παπόλᾳ, καὶ τῷ υἱῷ μὲν αὐτῆς, γαμβρῷ δ' αὐτοῦ, κῦρ Ἀλεξίῳ τῷ Παλαιολόγῳ περὶ τοῦ ἐν ταῖς Ἐρημίαις εὑρισκομένου προικῴου κήπου αὐτῆς, οὗ δὴ κήπου τὸ μὲν ἠγοράσθη ἀπ' αὐτῆς δὴ τῆς Παλαιολογίνης ὑπὸ τοῦ υἱοῦ αὐτῆς τοῦ ῥηθέντος Παλαιολόγου, διὰ προικῴων αὐτοῦ ὑπερπύρων, τὸ δὲ συνεφωνήθη μὲν ἐν τῷ γαμηλίῳ συμφώνῳ αὐτοῦ, ὡς δίδοται δὴ τῷ ῥηθέντι Παλαιολόγῳ παρὰ τῆς μητρὸς αὐτοῦ μεθ' ὧν ἔδωκεν αὐτῷ ἄλλων λόγῳ προικὸς, οὐκ ἦν δὲ ὅλως ἀληθὲς, τῷ υἱῷ αὐτῆς, τοῦ Παλιολόγου, ἐγγράφως αὐτῇ συμφωνήσαντος, ἔχειν αὐτὴν ἀπὸ τοῦ κήπου ἀεὶ κατ' ἔτος εἰσόδημα εἴκοσι ὑπερπύρων καὶ βουληθεῖσα(ν) ἀπεμπωλῆσαι τοῦτο κωλῦσαι μηδέποτε αὐτὴν, ἀλλὰ ποιεῖν ἐπ' αὐτῷ πάντα τὰ δοκοῦντα αὐτῇ, ὃ δὴ γράμμα καὶ οἰκειόχειρον ἦν τοῦ Παλαιολόγου καὶ παρ' αὐτοῦ ὑπογεγραμμένων, δι' ὃ καὶ ἐδικαιώθη οὕτως ἔχειν ἄδειαν τὴν Παλαιολογίναν εἰς τὰ κατ' ἔτος ἀπὸ τοῦ κήπου εἴκοσιν ὑπέρπυρα αὐτῆς ποιεῖν τὰ δοκοῦντα, εἰ τῇ νύμφῃ αὐτῆς, τῇ γυναικὶ τοῦ Παλαιολόγου, περίεστιν ἀρτίως τὸ ἱκανὸν ἐπὶ τῇ ἰδίᾳ προικὶ ἀφ' ὧν ἐδω-

κεν ἄλλων πραγμάτων ἡ Παλαιολογίνα τῷ υἱῷ αὐτῆς, οὕτω γὰρ ἂν στερχθῆναι καὶ τὴν ἐν κρυφῇ γεγονυῖαν συμφωνίαν τοῦ Παλαιολόγου μετὰ τῆς μητρὸς αὐτοῦ· εἰ δὲ μὴ ἔχει τὸ ἱκανὸν ἡ νύμφη αὐτῆς, ἄκυρον εἶναι ταύτην, ὡς θαρρησάντων τῶν γονέων τῆς νύμφης τῇ ἐν τῷ γάμῳ φανερᾷ συμφωνίᾳ καὶ ζημιουμένης αὐτῆς τῇ νῦν ἀναφυομένῃ μυστικῇ συμφωνίᾳ. ἐπεὶ δ᾽ ὅ τε Πάπυλας καὶ ὁ γαμβρὸς αὐτοῦ, ὁ Παλαιολόγος, ὡμολόγησαν δύνασθαι τὰ δοθέντα τῷ Παλαιολόγῳ ἕτερα κτήματα ἱκανῶσαι καὶ ὑπὲρ τὸ διπλάσιον τὴν προῖκα τοῦ Παλαιολόγου, ἡ μετριότης ἡμῶν διέγνω καὶ ἀπεφήνατο συνοδικῶς, ὡς ἂν ἀναθεωρηθῇ ἡ δοθεῖσα προὶξ τῷ Παλαιολόγῳ διὰ τῶν τιμιωτάτων ἐξωκατακήλων τῆς καθ᾽ ἡμᾶς ἁγιωτάτης τοῦ θεου μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, διακόνων, τοῦ τε μεγάλου σακελλαρίου, κυροῦ Δημητρίου τοῦ Βαλσαμῶν, τοῦ μεγάλου σκευοφύλακος, κυροῦ Μιχαὴλ τοῦ Ἀσινάρη, καὶ τοῦ πρωτεκδίκου, κυροῦ Μιχαὴλ τοῦ Βαλσαμῶν, καὶ εἴ τι ἐλλείπει ἐξ αὐτῆς, ἀποκοπῇ ἀπὸ τῶν τοῦ Παλαιολόγου ἰσόποσον κτῆμα τῷ λείποντι, καὶ παραδοθῇ τῇ γυναικὶ τοῦ Παλαιολόγου καὶ τῷ πατρὶ αὐτῆς, τῷ Παπύλᾳ, ὃν καὶ κουράτορα καθιστᾷ εἰς τοῦτο ἡ μετριότης ἡμῶν, ὥστε φυλάσσειν ὡς προικῷον. ἡ δέ γε Παλαιολογίνα ὀφείλει εἰς τὰ κατ᾽ ἔτος εἴκοσιν ὑπέρπυρα αὐτῆς τὰ ἀπὸ τοῦ κήπου ποιῆσαι, ὡς βούλεται, ἐπεὶ ἴδια αὐτῆς εἰσι, καὶ παρυπεκράτησε ταῦτα, καὶ δέδεικται, ὡς οὐδένα ἐζημίωσε τῇ κεκρυμμένῃ συμφωνίᾳ, ἀλλ᾽ ἄδειαν εἶχε καὶ αὕτη τῷ ἰδίῳ υἱῷ ἀπυχαρίζεσθαι κἀκεῖνος τῇ ἰδίᾳ πάλιν μητρί, ὅθεν καί, εἴπερ βουληθείη ἐκποιήσασθαι πρός τινα ταῦτά τε τὰ κατ᾽ ἔτος εἴκοσιν ὑπέρπυρα ἀπὸ τοῦ κήπου καὶ τὰς συνήθεις μαγειρίας αὐτοῦ, ἄδειαν ἕξει, καὶ ὁ ταῦτα νομίμως ἐξωνησόμενος τὸ ἀνενόχλητον ἕξει ἐκ πάντων καὶ ἀνεπηρέαστον. εἰς γὰρ τὴν περὶ τούτων βεβαίωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι᾽ ἀσφάλειαν. †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαρτίῳ ἰνδ. ὀγδόης †.

## DLX. Sine anno.

*Patriarcha minuit tributum pendendum a monacho Methodio ecclesiae S. Euphemiae.*

† Ἐπεὶ ὁ μοναχὸς Μεθόδιος ἐδέξατο πρὸ χρόνων τόπον τινὰ καὶ περιβόλιον ὑποκείμενον τῷ πανσέπτῳ καὶ θείῳ ναῷ τῆς ἁγίας καὶ ἐνδόξου μεγαλομάρτυρος Εὐφημίας τῆς πανευφήμου, ἵνα κατέχῃ αὐτὸ ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, καὶ μετὰ τὸν αὐτοῦ θάνατον παραπέμπῃ αὐτὸ πρὸς ἓν πρόσωπον μόνον, καὶ μετ' ἐκεῖνο πάλιν ἐπανακύπτῃ εἰς τὸν ῥηθέντα θεῖον ναόν, συμφωνήσας κατ' ἔτος τελεῖν ὑπέρπυρα γ', ὃ δὴ καὶ ἀνεκάθηρέ τε καὶ καλλιέργησε, καὶ κελλίον σὺν αὐτῷ ἀνῳκοδόμησε, ἀρτίως δὲ διὰ τὴν ἔνδειαν καὶ στέρησιν τῶν πραγμάτων ἠξίωσε καὶ παρεκάλεσε πολλάκις καὶ τὴν ἡμῶν μετριότητα καὶ τελευταῖον τὴν κρατίστην καὶ ἁγίαν δέσποινάν μου, ἵνα τύχῃ συγκαταβάσεως ἐπὶ τῷ ῥηθέντι ἐπετείῳ τελέσματι· διὰ τὴν ἀξίωσιν αὐτῆς δὴ τῆς ἁγίας μου δεσποίνης διαγινώσκει ἡ μετριότης ἡμῶν λόγῳ συγκαταβάσεως, ἐπειδὴ οὐδὲ πρόσοδον ἀρκετὴν ἣν ἔχει τὸ περιβόλιον οἵαν πρότερον, ἵνα διδῷ ὁ ῥηθεὶς Μεθόδιος κατ' ἔτος ὑπὲρ τοῦ τοιούτου περιβολίου, μέχρις ἂν αὐτὸς ζῇ, ὑπέρπυρον ἕν, μετὰ δὲ τὸν αὐτοῦ θάνατον τὸ διαδεξόμενον τὸ ῥηθὲν περιβόλιον πρόσωπον ὀφείλει κατ' ἔτος τελεῖν ὑπέρπυρα δύο, μετὰ δὲ καὶ τὸν αὐτοῦ θάνατον ὀφείλει ἐπανακύπτειν εἰς τὸν ῥηθέντα θεῖον ναὸν τὸ περιβόλιον μετὰ τῶν ἐν αὐτῷ ἀνακτίσεων. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα δι' ἀσφάλειαν †.

## DLXI. Sine anno.

*Patriarcha metropolitam Amastridis monet, ut cum hieromonacho Callisto in gratiam redeat.*

† Ἱερώτατε μητροπολῖτα Ἀμάστριδος καὶ ὑπέρτιμε, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ὁ παρὼν ἱερομόναχος Κάλλιστος, ὑπολαμβάνων, ὅτι ἀδικεῖται καὶ ἀποστερεῖταί τι τῶν ἀνηκόντων αὐτῷ, ἀνέδραμεν εἰς τὴν ἡμῶν μετριότητα, διάκρισίν τινα ἐξαιτούμενος εἰς τὸ ζήτημα αὐτοῦ, ὅπερ κανονικόν τε καὶ δίκαιόν ἐστιν ἅπασι τοῖς κληρικοῖς τῶν ἁπανταχοῦ ἀρχιερέων, ἀνατρέχειν

εἰς τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην καὶ διάγνωσιν ζητεῖν τῶν ἀμφισβητουμένων αὐτοῖς, ὅμως καὶ ἡ μετριότης ἡμῶν τί ἕτερον συνεβούλευεν ἂν αὐτῷ, ἢ ὑπείκειν καὶ ὑποτάττεσθαι κατὰ πάντα τῇ σῇ ἱερότητι καὶ μετ' εἰρήνης ζητεῖν, ὅσον νομίζει, ὅτι ἀποστερεῖται; ὁ μὲν οὖν ἐποίησεν, ὅσον εἶχε δίκαιον ἀπὸ τῆς τῶν θείων κανόνων ἐνδόσεως, περιέπεσε δὲ πειρασμοῖς διὰ τοῦτο ἀπείροις καὶ θλίψεσι, πλέειν ἀναγκαζόμενος ἐν χειμερίῳ καιρῷ, ὅτε καὶ ναυαγίῳ τοῦ πλοίου διαλυθέντος ὑποβρύχιος μὲν τῷ βυθῷ παρεδόθη, σωθεὶς δὲ παρὰ πᾶσαν ἐλπίδα, πολλῶν ἀποθανόντων τῶν σὺν αὐτῷ, αἰχμάλωτος παρεδόθη τοῖς μουλσουμάνοις, ἠλευθερώθη δὲ καὶ ἀπὸ τῆς αἰχμαλωσίας συνάρσει καὶ βοηθείᾳ θεοῦ· καὶ ἐῶ λέγειν, ὅσα καὶ ἡ σὴ ἱερότης ἔπραξέ τε καὶ ἔγραφε κατ' αὐτοῦ μετὰ τὸ ἐλθεῖν τὸ πρῶτον ἐνταῦθα, ἅπερ ἅπαντα ἱκανὰ ἦσαν παρακινῆσαι καὶ αὐτόν, τοῦ πρέποντος ἐξαχθῆναι καί τι παρὰ τὸ εἰκὸς προαχθῆναι εἰπεῖν ἢ πρᾶξαι· ὁ δὲ ὁμοίως ἐν πᾶσι τὴν ὀφειλομένην καὶ πρέπουσαν αἰδῶ διετήρησε τῇ σῇ ἱερότητι, καὶ νῦν ἀνατίθησι τὰ περὶ τοῦ μονυδρίου καὶ τὰ περὶ ἑαυτοῦ εἰς τὴν σὴν ἱερότητα, καὶ ἔρχεται αὐτόθι, τὰ πάντα καταλιπὼν καὶ ἀναθείς, ὡς εἴρηται, εἰς τὴν σὴν ἱερότητα. εἰ μὲν οὖν μικροψυχίᾳ τινὶ καὶ ἀηδείᾳ προέβησαν, ὅσα προέβησαν, κατ' αὐτοῦ, διάλυσον, ἀξιοῦμεν, ταῦτα, καὶ εἰρήνευσον μετ' αὐτοῦ, καὶ ἀναδέξου, καὶ προμήθειαν ποίησον εἰς αὐτόν, ὡς ἰδικόν σου ἱερομόναχον, καὶ διάκρινον καὶ περὶ τοῦ μονυδρίου, ὅσον ἐστὶ καὶ δοκεῖ σοι δίκαιον, καὶ δός αὐτῷ τὴν ἱερωσύνην αὐτοῦ, εἰρηνεύσας καὶ μετὰ τοῦ πατρὸς αὐτοῦ καὶ αὐτοῦ· εἰ δὲ ἐνίστασαι καὶ διισχυρίζεσαι, ὅτι κανονικά ἐστιν ἐγκλήματα τὰ κατ' αὐτοῦ λαληθέντα, καὶ δύνασαι συστῆσαι ταῦτα, ἐπεὶ οὐδὲ καθῃρέθη αὐτόθι κανονικῶς, ὑπὸ ἓξ δηλαδὴ ἀρχιερέων, τοσοῦτοι γὰρ τὸν πρεσβύτερον καθαιροῦσιν, ὁ δὲ ἱερομόναχος οὐκ ἐφησυχάζει τῇ καταδίκῃ, ὅπου γε καὶ κανονικῶς καθαιρεθείς, εἴπερ ἐβούλετο, δίκαιον εἶχεν ἐνταῦθα ἀναδραμεῖν εἰς τὴν ἡμῶν μετριότητα καὶ συνοδικῶς ἔγκλητον ποιῆσαι καὶ ἀντικριθῆναι τῷ ἰδίῳ ἀρχιερεῖ, ἐκεῖ οὖν καὶ αὐτὸς ἀνέδραμε, καὶ ζητεῖ κανονικὴν κρίσιν τε καὶ ἐξέτασιν εἰς τὰ κατ' αὐτοῦ λαληθέντα, εἴπερ ἐνίσταται, ὡς εἴπομεν, ἡ σὴ ἱερότης ταῦτα ἀποδεῖξαι, ἔρχου ἀπαραιτήτως εἰς τὴν σύνοδον μετ' αὐτοῦ, ἔχων μετὰ σαυτοῦ τούς τε κατηγόρους αὐτοῦ καὶ τοὺς μάρτυρας τῶν ἐγκλημάτων, ὡς ἂν ἀποδείξῃς ταῦτα κανονικῶς, καὶ

συνοδικῶς καθαιρεθῇ, καὶ μηδὲ ἄλλον ἐνταῦθα στείλῃς ἀντί σου, οἶδε γὰρ ἡ σὴ ἱερότης, ὅτι τὰ κανονικὰ ἐγκλήματα οὐ κινοῦνται δι' ἐντολέως ἢ ἐξωτερικοῦ προσώπου, ἀλλὰ δι' αὐτοῦ τοῦ κινοῦντος αὐτὰ ἢ τοῦ καταδικάσαντος τὸν ἐγκαλούμενον. τέως δὲ τὸ πρῶτον συμβουλεύομεν, εἴπερ ἐκ μικροψυχίας τινὸς προέβησαν, ὅσα προέβησαν, ἢ καὶ περὶ τὰς ἀποδείξεις εἴπερ ἀδυνατεῖς ὅμως παρά σοι ἔστω, ὁποῖον ἐκ τῶν δύο βούλει ποιῆσαι. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

## DLXII. (6908—1400) martio. ind. VIII.

*Patriarcha litem diiudicat.*

† Φθάνει μὲν κῦρ Θωμᾶς ὁ Καλοκύρης, ἀντικριθεὶς Κωνσταντίνῳ τῷ Περδικάρῃ ἐπὶ τῆς ἡμῶν μετριότητος περὶ τῶν διακοσίων πεντήκοντα ὑπερπύρων ὧν ἀπολοιπάσθη αὐτῷ ὁ Περδικάρης ἀπὸ τῆς συντροφίας αὐτῶν, καὶ τῶν ἑτέρων διακοσίων πεντήκοντα ὑπερπύρων, ἃ ἔδωκε πάλιν αὐτῷ κατὰ τὴν ἐγγεγραμμένην ἐν τῷ γράμματι συμφωνίαν αὐτοῦ, ὃ ἐποιήσαντο ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος οἱ τιμιώτατοι αὐτῆς ἐκκλησιαστικοὶ ἐξωκατάκηλοι ἄρχοντες, ἀναδιδάξαντες πρότερον τὴν γυναῖκα αὐτοῦ τὸν βοηθοῦντα αὐτῇ νόμον καὶ εὑρόντες αὐτὴν τοῦτον ἀποβαλλομένην καὶ προτιμῶσαν τὸν Καλοκύρην ἐπὶ παντὶ τῷδε τῷ χρέει τῶν φ' ὑπερπύρων, ἂν μὴ ποιήσῃ ὁ ἀνὴρ αὐτῆς κατὰ τὴν ἰδίαν ὑπόσχεσιν, συμφωνούσης τὰ ὅμοια ταύτῃ καὶ τῆς ἰδίας μητρός, ὅτε καὶ ἐδικαιώθη ὁ Καλοκύρης ἀναλαβεῖν μὲν ἀπὸ τοῦ Περδικάρη ἅπαν τὸ ἑαυτοῦ χρέος κατὰ ἔγγραφον συμφωνίαν αὐτοῦ, δι' ἃ δὲ οὗτος προὐβάλετο νόσον δηλαδὴ ἑαυτοῦ καὶ ἀνωμαλίαν πραγμάτων, ἐδόθη διωρία αὐτῷ, ἵνα τὰ μὲν διακόσια πεντήκοντα ὑπέρπυρα, ἃ νῦν κατεβάλετο πρὸς αὐτὸν ὁ Καλοκύρης, ἀποδῷ μέχρι καὶ μηνῶν δύο καὶ ἀντὶ τῶν δύο τούτων μηνῶν ὑπέρπυρα εἴκοσιν εἰς ἀποκοπὴν τοῦ ἀπολοιπασθέντος αὐτῷ χρέους τῶν σν' ὑπερπύρων· οὕτω γὰρ ἦν ἡ συμφωνία αὐτῶν καὶ διὰ τὸ ἀποκόπτεσθαι οὕτω τὰ σν' ὑπέρπυρα . . . . . ἀρτίως τὰ ἕτερα σν' ὑπέρπυρα. εἰς μὲν οὖν ταῦτα οὕτως ἐτάχθη, εἰς δὲ τὰ λοιπά, ὅσα ἀναφανῶσι, διεκρίθη συνοδικῶς, ἵνα γένηται τῷ Περδικάρῃ ἡ προσήκουσα καὶ νόμιμος διωρία, ὅπως ἀναποδῷ καὶ αὐτὰ ἀπὸ πάσης τῆς περιουσίας αὐτοῦ καὶ τῆς γυναικὸς καὶ τῆς πενθερᾶς. οὕτω μὲν οὖν διεκρίθη τὸ περὶ τούτου, οἴκτου καὶ συμπαθείας τῆς πρὸς αὐτὸν ἕνεκα· ἐπεὶ δὲ ὁ

Περδικάρης τῶν δύο τούτων παρεληλυθότων μηνῶν καὶ ἑτέρου ἡμίσεος, βιασθεὶς παρὰ τῆς ἡμῶν μετριότητος, ἀπέδωκε τὰ σν' ὑπέρπυρα καὶ τὰ μηναῖα τῶν δυοῖν μηνῶν πρὸς τὸν Καλοκύρην, ἀπῃτεῖτο δὲ καὶ τὰ ἕτερα ὑπέρπυρα, ἅπερ ἐναπελείφθησαν ἀπὸ τῶν ἑτέρων διακοσίων πεντήκοντα ὑπερπύρων, ὁ δὲ διισχυρίζετο τόκους καταβαλέσθαι πρὸς τὸν Καλοκύρην καὶ χρυσάφιον καὶ μάλαγμα λευκὸν, καὶ ἠξίου καὶ ταῦτα λογαριασθῆναι καὶ διαβιβασθῆναι εἰς τὸ κεφάλαιον, ἡ μετριότης ἡμῶν οὐδὲ τοῦτο παριδεῖν διέγνω, ἀλλὰ πᾶν, εἴ τι τόκου χάριν ἢ ἄλλῃ τινὶ αἰτίᾳ ἀντιστρεπτικῇ ἀποδείξει ὁ Περδικάρης πρὸς τὸν Καλοκύρην καταβαλόμενος, τοῦτο εἰς τὸ κεφάλαιον παρεκελεύσατο διαβιβασθῆναι· ἐπεὶ τοίνυν καὶ τούτου συνοδικῶς ἐξετασθέντος οὐκ εἶχεν ὁ Περδικάρης ἅπαντα παραστῆσαι, ὅσα διισχυρίζετο, ἀλλ' ἐπέτρεψε τὸ περὶ τούτου εἰς τὴν συνείδησιν τοῦ Καλοκύρη, ὁ δὲ λαβὼν διὰ καταστίχου, ὅσα διετείνετο ὁ Περδικάρης, ἀπῆλθεν περισκεψόμενος ταῦτα προτροπῇ τῆς ἡμῶν μετριότητος, καὶ ἐπανελθὼν ἐξησφαλίσατο, εἴ τί τε ἔλαβεν ἐκ τοῦ Περδικάρη συνστροφικῶς, καὶ εἴ τι διὰ τόκον, καὶ πῶς εἰς τὰ μὲν διάλυσις γέγονε, εἰς τὰ δὲ οὔ, καὶ τί ἀπὸ τῶν διακοσίων πεντήκοντα ὑπερπύρων ὀφείλει πρὸς αὐτὸν, καὶ εὑρέθη τοῦ τόκου ἀφαιρουμένου καὶ τῶν ἄλλων εἰδῶν, ἃ ἔλαβεν ὁ Καλοκύρης ἀπὸ τοῦ Περδικάρη, διαβιβαζομένων, ὅτι ὀφείλονται αὐτῷ καὶ ὑπέρπυρα ἑκατὸν ἐννενηκονταπέντε, ἡ μετριότης ἡμῶν καὶ αὖθις ἐλέου καὶ συμπαθείας τῆς πρὸς αὐτὸν ἕνεκα τὸν Περδικάρην, διαγινώσκει, καὶ ἀποφαίνεται συνοδικῶς, ἵνα ἀντὶ τῶν ὑπερπύρων τούτων ἀποδῷ ὑπέρπυρα ρπ', εἰάθησαν γὰρ αὐτῷ τὰ ιε', ἀποδῷ δὲ αὐτὰ μέχρι καὶ διωρίας μηνῶν τεσσάρων, ἀρχομένων ἀπὸ τῆς πρώτης τοῦ παρόντος ἀπριλλίου μηνὸς, πλὴν ἐπειδὴ εἰς τὰ καθόλου ὑπέρπυρα ἡ περιουσία πᾶσα τοῦ Περδικάρη ἦν ὑποτεθειμένη καὶ τῆς αὐτοῦ γυναικὸς καὶ τῆς πενθερᾶς, νῦν δὲ ἀπέδωκεν ἐκ τῶν καθόλου τὰ πλείω, καὶ ὀφείλει μόνον τὰ εἰρημένα· εἰς περίθαλψιν καὶ τοῦτο ποιοῦσα τοῦ Περδικάρη, ἡ μετριότης ἡμῶν ὑποτίθησιν εἰς τὰ ρπ' ὑπέρπυρα ὡς ἐνέχυρον τὸ κτῆμα τοῦ Περδικάρη τὸ ἐν τῇ Χαρσοῦ πύλῃ, ὅσον καὶ οἷόν ἐστι, ὡσὰν ψυχῇ νέμηται καὶ κατέχῃ τοῦτο ὁ Καλοκύρης ἄχρι καὶ τῆς εἰρημένης διωρίας, καὶ εἰ μὲν ἀποδῷ αὐτῷ ὁ Περδικάρης τὸ χρέος αὐτοῦ, ὑπάρχῃ τοῦτο ἐλεύθερον ἀπ' αὐτοῦ· εἰ δ' οὖν, τιμᾶται τοῦτο, καὶ ἢ ὁ Καλοκύρης ἀντιστρέφῃ αὐτῷ τὰ πλείω τῆς τιμῆς, ἢ ὁ Περδικάρης

ἀναπληρώσῃ αὐτῷ ἄλλοθεν τὸ λεῖπον, ἐὰν ἐλάττονος ἄξιον εὑρεθῇ τιμῆς· εἰ δὲ τῆς διωρίας ταύτης παρελθούσης οὐχ οὕτω ποιήσει, ἀλλὰ καὶ αὖθις ὑπερήμερος γένηται, πρὸς εὑρεσιλογίαν χωρήσας, ὀφείλει καὶ τὰ ιε΄ ὑπέρπυρα ἀποδοῦναι, ἃ εἰλήφασιν αὐτῷ διὰ ἔλεος καὶ φιλανθρωπίαν καὶ συγκατάβασιν. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν. μ η ν ὶ μ αρ τ ί ῳ ἰ ν δ. η΄ †.

## DLXIII. Sine anno.

*Patriarcha controversiam dirimit.*

† Ἐπεὶ Μαρία ἡ Λιγαταραία, ἀντικριθεῖσα συνοδικῶς ἐπὶ τῆς ἡμῶν μετριότητος τῷ συμπενθέρῳ αὐτῆς Τζυμίδῃ τῷ Παφλαγόνι, ἀπέδειξε διὰ μαρτύρων ἀξιοπίστων, οὓς ἔστερξε καὶ ὁ Τζυμίδης, καὶ παρῆσαν ἐν τῷ γαμικῷ αὐτῆς συναλλάγματι, ὅτι οὔτε προικοανάδοχος ἐγένετο ἡ Λιγαταραία τῆς δοθείσης προικὸς παρὰ τοῦ Τζυμίδη τῇ θυγατρὶ μὲν αὐτοῦ, νύμφῃ δὲ τῆς Λιγαταραίας, οὔτε συνεφώνησεν εἰς προῖκα τῷ υἱῷ αὐτῆς ἡ Λιγαταραία τὸ εἰς τὴν αὐλὴν τοῦ Χρυσολωρᾶ μικρὸν ξυλοοίκημα αὐτῆς, ἀλλὰ παρωπεκράτησε τοῦτο δι' ἑαυτήν, ἔτι τε καὶ τὸ σύμφωνον μὴ εἶναι τὸ τότε γεγονὸς εἶπον, ἀλλ' ἕτερον πεπλασμένον καὶ ἄλλα διαλαμβάνον παρὰ τὰ τότε πραχθέντα, ἐπεὶ ταῦτα τοῦτον ἀνεφάνη τὸν τρόπον, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ἀνενόχλητον εἶναι τὴν ῥηθεῖσαν Λιγαταραίαν καὶ πάντη ἀνεπηρέαστον ἀπὸ τοῦ Τζυμίδη καὶ τοῦ μέρους αὐτῆς, ὡς μηδὲν ἐνεχομένην ἢ αὐτὴν ἢ τὸ μικρὸν ξυλοοίκημα αὐτῆς εἰς ἱκάνωσιν τῆς ῥηθείσης προικὸς τῆς θυγατρὸς τοῦ Τζυμίδη, οὔτε γὰρ εὑρέθη, ὡς προικοανάδοχος ἐγένετο αὕτη, οὔτε συνεφώνησε δοῦναι τῷ υἱῷ αὐτῆς τὸ ῥηθὲν ξυλοοίκημα, ὅθεν καὶ καθέξει αὐτὸ ἀνενοχλήτως καὶ ἀνεπηρεάστως ἀπὸ τοῦ Τζυμίδη καὶ τῆς θυγατρὸς αὐτοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ αὐτῇ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DLXIV. Sine anno.

*Patriarcha sententiam dicit in lite quadam.*

† Οἱ οἰκεῖοι τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱοὶ τῆς ἡμῶν μετριότητος, ὅ τε κύριος Ἀνδρέας ὁ Ἀργυρόπουλος καὶ ὁ κύριος Θεόδωρος ὁ Μαμάλης, εἰς τὴν ἡμῶν μετριότητα παρα-

γενόμενοι κοινῶς, ὁ μὲν Ἀργυρόπουλος εἶπεν, ὡς εἶχε μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Μαμάλη, τοῦ κυρίου Ἰωάννου τοῦ Μαμάλη ἐκείνου, καὶ . . . . . . . . συντροφίας καὶ κοινότητας, περὶ ὧν οὐκ ἔχειν εἶπε λέγειν ἐν τῷ παρόντι, τῶν ἐχόντων εἴδησιν εἰς ταῦτα καὶ μαρτυρῆσαι ἐπισταμένων ἔξω τῆς μεγαλοπόλεως εὑρισκομένων καὶ μὴ δυναμένων εἰσελθεῖν διὰ τὸν ἐκ τῆς μάχης ἀποκλεισμόν, δέδωκε δὲ αὐτῷ καὶ χάριν παρακαταθήκης πρὸ ὀλίγου καιροῦ τοῦ θανάτου αὐτοῦ γούνας βερβερίτζας ἀπὸ τῆς Βλαχίας, ἃ καὶ ὡς γνώριμα καὶ ἄλλα εἴδη καὶ ῥοῦχα αὐτοῦ ἐζήτει λαβεῖν ἀπὸ τοῦ αὐταδέλφου αὐτοῦ, ἐπεὶ καὶ μετὰ τὸν ἐκείνου θάνατον αὐτὸν ἤκουσε ταύτας δὴ τὰς γούνας δέξασθαι· ἀπολογήσασθαι δὲ πρὸς ταῦτα προτραπεὶς καὶ ὁ Μαμάλης εἶπεν, ὡς ἐδέξατο τὰς ῥηθείσας γούνας τοῦ Ἀργυροπούλου καὶ ἐπώλησε ταύτας, εἰς ὑπέρπυρα πολιτευόμενα πεντακόσια ὀγδοήκοντα ἑπτά, πλὴν ἠρώτησεν, εἴ τι δίκαιον ἔχει ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ, τοῦ ῥηθέντος κυρίου Ἰωάννου ἐκείνου, προτιμᾶσθαι εἰς ταῦτα χάριν προικὸς αὐτῆς· ἐπεὶ δὲ ἤκουσεν, ὡς εἰς τὰ πράγματα τοῦ ἀνδρὸς αὐτῆς φανερὰ ἢ ἡνωμένα μετὰ καὶ ἑτέρων ἀνθρωπίνων πραγμάτων καὶ ἀχώριστα προτιμᾶται, οὐ μὴν εἰς πράγματα ξένα καὶ γνώριμα ἑτέρων, ἐν οἷς οὐδεμίαν μετοχὴν ἢ κοινωνίαν εἶχεν ὁ ἀνὴρ αὐτῆς, ἐπεὶ καὶ τῇ τῶν λόγων ἀληθείᾳ κατεπείσθη καὶ ἔστερξεν ἀποδοῦναι τὰ ῥηθέντα πεντακόσια ὀγδοήκοντα ἑπτὰ ὑπέρπυρα τῷ Ἀργυροπούλῳ ὡς ῥοῦχα αὐτοῦ ἀφ' οὗ τε ἔχει ἐνταῦθα σιταρίου ἀρτίως καὶ ἀπὸ ἄλλων ὧν μέλλει στεῖλαι ἔξωθεν, εἰς δήλωσιν τούτων ἅμα καὶ βεβαίωσιν ἐγένετο τῷ Ἀργυροπούλῳ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, ὅθεν καὶ ὀφείλει ὁ ῥηθεὶς Ἀργυρόπουλος ἱκανωθῆναι ἀπὸ τῶν τοῦ κυρίου Θεοδώρου τοῦ Μαμάλη πραγμάτων, εἴ τι περ τυχηρὸν τῶν ἀνθρωπίνων συμβῇ αὐτῷ, ἐπεὶ ἔμπροσθεν, ὡς εἴρηται, τῆς ἡμῶν μετριότητος ἔστερξεν ἀποδοῦναι ταῦτα τῷ Ἀργυροπούλῳ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ Ἀργυροπούλῳ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

## DLXV. (6908—1400) aprili. ind. VIII.

*Patriarcha litem diiudicat.*

† Διενέξεως οὔσης μεταξὺ τῆς Παλαιολογίνης, κυρᾶς Εἰρήνης, καὶ τοῦ γνησίου υἱοῦ αὐτῆς, κῦρ Ἀλεξίου τοῦ Παλαιολόγου, περὶ τοῦ εἰς τὰς Ἐρημίας κήπου αὐτῆς, καὶ τοῦ μὲν προβαλλομένου, ὡς συνε-

φώνησε δοῦναι αὐτῷ εἰς προῖκα μεθ' ὧν ἔδωκεν ἄλλων καὶ τὸν τοιοῦτον καθόλου κῆπον, τῆς δὲ διατεινομένης, ὡς οὐδόλως ἐβούλετο δοῦναι αὐτῷ τὸν τοιοῦτον κῆπον, ἀλλ' ἠπατήθη ὑπ' αὐτοῦ, ἐγγράφως ὑποσχεθέντος ἔχειν αὐτὴν κατ' ἔτος ἀπὸ τοῦ τέλους τοῦ τοιούτου κήπου ὑπέρπυρα κ' καὶ ποιεῖν αὐτὴν ταῦτα, εἴ τι καὶ βούλεται, ὃ δὴ γράμμα καὶ συνοδικῶς ἐνεφώνησεν ἡ Παλαιολογίνα καὶ ὁ υἱὸς αὐτῆς, ὁ ῥηθεὶς Παλαιολόγος, ὡμολόγησεν οἰκειόχειρον εἶναι, δι' ὃ καὶ κατεδικάσθη, ὡς πλατύτερον ταῦτα διέξεισι τὸ παρὰ τῆς ἡμῶν μετριότητος περὶ τούτου προβὰν γράμμα. ὁ πενθερὸς τοῦ ῥηθέντος Παλαιολόγου, κῦρ Μανουὴλ ὁ Πάπολας, ἐζήτησε συνοδικῶς, ὡς ἐπεὶ κινητὰ πράγματα δέδωκε τῷ Παλαιολόγῳ εἰς προῖκα ποσότητος ὑπερπύρων χιλίων, ἀφ' ὧν ἐφθάρησαν μὲν τὰ διὰ χαράγματος, εἰκὸς δ' ἐστι καὶ τἄλλα τῇ τοῦ καιροῦ ἀνωμαλίᾳ τε καὶ ἐνδείᾳ φθαρῆναι, ἠξίωσεν, ἵνα ἀφ' ὧν ἔδωκεν ἡ Παλαιολογίνα ἀκινήτων τῷ ῥηθέντι υἱῷ μὲν αὐτῆς, γαμβρῷ δὲ αὐτοῦ, ἰσόποσα κτήματα τῶν τῆς προικὸς χιλίων ἀφαιρεθῶσι καὶ παραδοθῶσι ταῦτα τῇ θυγατρὶ μὲν αὐτοῦ, γυναικὶ δὲ τοῦ Παλαιολόγου, κυρᾷ Εἰρήνῃ τῇ Παλαιολογίνῃ, καὶ τότε ποιεῖν τὸν Παλαιολόγον καὶ εἰς τὰ ἐναπολειφθέντα προικῷα ἐγκόσμια αὐτοῦ, ὡς βούλεται· ὅθεν καί, ἐπεὶ δίκαιά τε καὶ εὔλογα λέγειν ἔδοξεν, ἀπεστάλησαν παρὰ τῆς ἡμῶν μετριότητος τοῦτο ποιῆσαι οἱ τιμιώτατοι ἐξωκατάκηλοι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, διάκονοι, ὅ τε μέγας σακελλάριος, κῦρ Δημήτριος ὁ Βαλσαμών, καὶ ὁ μέγας σκευοφύλαξ, κῦρ Μιχαὴλ ὁ Ἀσινάρης, καὶ ὁ πρωτέκδικος, κῦρ Μιχαὴλ ὁ Βαλσαμών, οἵτινες ἐπεὶ παρέδωκαν διὰ γράμματος αὐτῶν πρός τε τὸν Πάπυλαν καὶ τὴν θυγατέρα αὐτοῦ, τὴν τοῦ Παλαιολόγου γυναῖκα, ἀντὶ τῶν χιλίων ὑπερπύρων τῆς προικὸς αὐτῆς τὰ τοῦ ἀνδρὸς αὐτῆς κτήματα, ἃ δέδωκε τῷ Παλαιολόγῳ εἰς προῖκα ἡ ῥηθεῖσα μήτηρ αὐτοῦ, ἅπερ εἰσίν, ἀμπέλιον μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ τὰ ὀσπήτια μετὰ τῆς αὐλῆς καὶ τοῦ ἐν αὐτοῖς περι(κε)κλει(σ)μένου θείου ναοῦ καὶ τὸ μαγκιπικὸν ἐργαστήριον, ἅπερ καὶ πλείονος τιμῆς εἰσι τῶν χιλίων ὑπερπύρων, ἡ μετριότης ἡμῶν τὸ στέργον ἔχειν καὶ βέβαιον καὶ πάντη ἐρρωμένον καὶ ἀκατάλυτον τὴν τοιαύτην πρᾶξιν διαγινώσκει καὶ ἀποφαίνεται καὶ κατέχειν τὴν τοῦ ῥηθέντος Παλαιολόγου γυναῖκα, κυρὰν Εἰρήνην τὴν Παλαιολογίναν, τὰ ῥηθέντα πάντα,

τό τε ἀμπέλιον, τὴν αὐλήν, τὰ ὀσπήτια καὶ τὸ μαγκιπεῖον, κυρίως τε καὶ δεσποτικῶς, ὡς γνώριμα προικῷα αὐτῆς, ἐπεὶ εἰς αὐτὴν ὑπετέθησαν, μᾶλλον δ' αὐτῇ παρεδόθησαν ἀντὶ τῶν αὐτῆς, καὶ μήτε τὴν τοῦ Παλαιολόγου μητέρα, κυρὰν Εἰρήνην τὴν Παλαιολογίναν, ἄδειαν ἔχειν τὸ οἱονοῦν προβαλέσθαι ἢ εἰς τὰ ῥηθέντα κτήματα ἢ εἰς τὰ δοθέντα πάντα δι' αὐτῆς τῷ Παλαιολόγῳ, ἐπεὶ ἑκουσίως δέδωκε πάντα, καὶ νῦν συνοδικῶς ἐρωτηθεῖσα, εἴπερ ἀντιλέγει καὶ εἰς ἕτερόν τι τῶν δοθέντων τῷ υἱῷ αὐτῆς, οὐδὲν ἔχειν ὡμολόγησεν, οὐδὲ τὸ τυχόν ποτε περ τούτων ἐρεῖ, ἀλλ' ἑκουσίως τὰ πάντα δέδωκεν, ἃ καὶ καθέξει ὁ Παλαιολόγος ἀνενοχλήτως εἰς αἰῶνα τὸν ἅπαντα, οὔτε μὴν αὐτὸς ὁ Παλαιολόγος ἄδειαν ἕξει εἰς τὰ ῥηθέντα κτήματα τὸ τυχὸν διαπράξασθαι παρὰ γνώμην τῆς αὐτοῦ γυναικὸς ἢ παρὰ τὸ δόξαν εἶναι συμφέρον αὐτῇ, ἐπεὶ ἀπὸ τῆς σήμερον προικῷά εἰσί τε καὶ καταλογίζονται, καὶ ταῦτα ὀφείλουσιν ἱκανῶσαι τὰ προικῷα χίλια ὑπέρπυρα τῆς τοῦ Παλαιολόγου γυναικός, εἰς δὲ τὰ λοιπὰ κινητά τε καὶ ἀκίνητα πράγματα αὐτοῦ, ἐπεὶ ἐλεύθερά εἰσι καὶ ἀδούλωτα ἀπὸ τῆς προικὸς αὐτοῦ, ἄδειαν ἕξει ὁ Παλαιολόγος ὡς τέλειος οἰκοκύριος ποιεῖν τὰ δοκοῦντα αὐτῷ. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδικτιῶνος ὀγδόης. †.

## DLXVI. (6908—1400) aprili. ind. VIII.

*Patriarcha dirimit controversiam.*

† Τοῦ Κουμούση ἐκείνου ἀποθανόντος, ἡ γυνὴ αὐτοῦ, ἡ κυρὰ ....... ἡ Κουμουσῖνα, καὶ οἱ παῖδες, ἀναδραμόντες εἰς τὸν πρὸ ἡμῶν ἁγιώτατον πατριάρχην, κῦρ Ἀντώνιον, ἐζήτησαν, ὡς ἂν γένηται ἐν τοῖς πράγμασιν αὐτῶν ἡ ἐκ νόμων συνήθης καταγραφή, ὡς ἂν δήλων τούτων γενομένων λάβῃ ἕκαστος αὐτῶν τὸ ἀνῆκον αὐτῷ μέρος ἐξ αὐτῶν· τῆς τοίνυν αἰτήσεως νομίμου καὶ δικαίας δοξάσης, προτροπῇ τοῦ πατριάρχου ἀπῆλθον ἐν τῇ τοῦ Κουμούση οἰκίᾳ οἱ τιμιώτατοι ἐξωκατάκηλοι, ὅ τε μέγας σακελλάριος, ὁ Βαλσαμών, καὶ ὁ τότε μὲν μέγας χαρτοφύλαξ ὤν, ὁ Ὁλόβολος, νῦν δὲ ἱερώτατος μητροπολίτης Γοτθίας, οἳ πρῶτον μὲν ἐξεφώνησαν βάρος ἐπιτιμίου ὑπὲρ τοῦ μηδὲν τῶν πραγμάτων παρά τινος παρυποκρυβῆναι, ἔπειτα δὲ τὸν ἅπαντα

βίον τοῦ Κουμούση, κινητόν τε καὶ ἀκίνητον, ἐξετάσαντες εὗρον αὐτὸν ποσούμενον χιλιάδας ἑπτὰ καὶ τριάκοντα ὑπέρπυρα, χωρὶς τῶν ἐξοδιασθῆναι ἀποταχθέντων ὑπὲρ τῆς ψυχῆς ἐκείνου· ἐπεὶ δὲ ἦν ἀναγκαῖον, πρῶτον μὲν λαβεῖν τὴν γυναῖκα αὐτοῦ ἐξ αὐτῶν τὴν προῖκα αὐτῆς καὶ τὰ τρίτα, ἀλλὰ δὴ καὶ τὰ ἄλλα συνήθη, δεδώκασιν αὐτῇ ὑπὲρ πάντων χιλιάδας τρεῖς, δύο γὰρ χιλιάδες καὶ τριακόσια ὑπέρπυρα ἀνεφάνη οὖσα ἡ προὶξ αὐτῆς, τὰ δὲ λοιπὰ μέχρι καὶ τῶν τριῶν χιλιάδων εἴληφεν αὕτη ὑπὲρ τῶν τριῶν καὶ τῶν ἄλλων συνήθων, εἰ καὶ πλείονα ὤφειλε λαβεῖν, ἐναπελείφθησαν δὲ καὶ εἰς τοὺς παῖδας τοὺς ἓξ χιλιάδες δύο καὶ ὑπέρπυρα λ'· ἐξ αὐτῶν δὲ πάλιν ἐδόθη τῷ Σοφιανῷ χρέους ἕνεκα πατρικοῦ ὑπέρπυρα ἑκατόν, ἠφανίσθη ἀμπέλιον ὑπερπύρων ἐννακοσίων, ἀπώλοντο ἐκ τοῦ ἐργαστηρίου τζόχες, κλέπτων ταύτας εἰληφότων, ὑπερπύρων ἑπτακοσίων, ἐφθάρησαν καὶ εἰς ταξείδιον, ὅπερ ὁ πρῶτος τῶν υἱῶν ἐποιήσατο γνώμῃ κοινῇ, ὑπέρπυρα τριακόσια, ὁμοῦ ἐξ αὐτῶν ἐφθάρησαν δύο χιλιάδες καὶ ὑπέρπυρα λ', ἐναπέμειναν δὲ καὶ ἐν τοῖς ἓξ παισὶν ὑπερπύρων χιλιάδες δύο καὶ ὑπέρπυρα τριάκοντα, ὧν ἐν αὐτοῖς τοῖς ἓξ μεριζομένων ἀνήκει ἑκάστῳ τούτων ἐξ αὐτῶν ὑπέρπυρα τριακόσια τριάκοντα πέντε. ἐπεὶ δὲ οἱ δύο παῖδες ἀπέθανον, ἡ τούτων περιουσία κατὰ τὴν τῶν φιλευσεβῶν νόμων παρακέλευσιν διεμερίσθη εἴς τε τὰ ἐκείνων ψυχ(ικ)ὰ καὶ εἰς τὴν μητέρα καὶ εἰς τοὺς δ' παῖδας, ἥτις ἦν ὑπέρπυρα ἑξακόσια ἑβδομήκοντα· ἐξ αὐτῶν ὑπὲρ μὲν τῶν ψυχῶν ἐξωδιάσθησαν ὑπέρπυρα διακόσια εἴκοσι καὶ κεράτια η', τὰ δὲ λοιπὰ διεμερίσθησαν εἰς ε' μεριδικά, εἴς τε τὴν μητέρα καὶ εἰς τοὺς λοιποὺς δ' ἀδελφούς, ὥστε εἶναι ἑκάστου ἀδελφοῦ μεριδικὸν ἀπό τε κληρονομίας, ἀπό τε λεγάτων ὑπέρπυρα τετρακόσια ιδ'. ἐπεὶ οὖν ὁ πρῶτος τῶν παίδων, Ἀλέξιος ὁ Κουμούσης, τὸ ἴδιον μεριδικὸν σχεδὸν ἅπαν ἦν εἰληφώς, πλὴν ὀλίγου τινὸς μέρους, ἐζήτησε δὲ λαβεῖν καὶ αὐτό, ὁ ἀδελφὸς αὐτοῦ, Ἀνδρόνικος ὁ Κουμούσης, γνώμῃ τῆς μητρὸς αὐτῶν, ὡς τὸν ἅπαντα βίον κατεχούσης, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, παρεκάλεσεν, ὡς ἂν γένηται τὸ περὶ τούτου ἔμπροσθεν αὐτῆς εἰς ἀσφάλειαν ἑκατέρων τῶν μερῶν· ἐπεὶ οὖν ἔμπροσθεν αὐτῆς λεπτομερῶς ἐξητάσθη καὶ εὑρέθη τὸ τοῦ Ἀλεξίου μεριδικόν, ὡς εἴρηται, ὑπέρπυρα τετρακόσια ιδ', ὡμολόγησε δ' αὐτός, ὡς ἔλαβε μὲν αὐτὸς ἐξ αὐτῶν ὑπέρπυρα ἑκατὸν καὶ ὁ βασιλεὺς ὑπὲρ αὐτοῦ καὶ οἱ τοῦτο ἐξυπηρετήσαντες ἄρχοντες ὁμοῦ διακόσια καὶ πά-

λιν αὐτὸς ἐξ ἀποστολῆς αὐτῶν ὑπέρπυρα λζ', λείπονται δ' αὐτῷ καὶ εἰς ἱκάνωσιν τῶν τετρακοσίων ιδ' ὑπέρπυρα ἑβδομήκοντα ἑπτά, ἔλαβε δὲ νῦν ὑπέρπυρα ὀγδοήκοντα, ὀφείλει καὶ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ διατηρεῖσθαι ἀπ' αὐτοῦ ἀνενόχλητοι καὶ ἀνεπηρέαστοι χάριν τούτου, οὐκ ἔχοντος ἄδειαν τοῦ Ἀλεξίου προβαλέσθαι τι τῶν ἁπάντων ἢ ἀφηλικιότητα τυχὸν ἢ ἄλλο τι, ἐπεὶ ἅπαντα διευλυτώθησαν καὶ ἐξισάσθησαν ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, ὡς παρακελεύεται διὰ τῆς παρούσης διαγνώσεως, ἀπολυθείσης εἰς τὴν περὶ τούτων ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. η' †.

## DLXVII. (9608—1400) aprili. ind. VIII.

### *Confirmatio venditionis fundi monasterii Acatalyti.*

† Ἐπεὶ οἱ ἐνασκούμενοι τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ τοῦ Ἀκαταλύτου, ἀπαιτούμενοι καὶ καθελκόμενοι δοῦναι τὸ βουτζιατικὸν τῶν ἀμπελίων αὐτῶν τὸ ὑπὲρ τῆς σὺν θεῷ ἐλευσομένης ἐννάτης ἰνδικτιῶνος, ἀναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα ἀνέφερον τὸ περὶ τούτου, καὶ ὅπως ἡ κατ' αὐτοὺς σεβασμία μονὴ οὐ δύναται οὐδ' ὅλως ἀπὸ οἰκείας ἀπορίας δοῦναι, καὶ ἔχουσιν ἀνάγκην δανείσασθαι, ἡ μετριότης ἡμῶν, πρόνοιαν τὴν δυνατὴν ὑπὲρ συστάσεως τῆς μονῆς ἀνάγκην ἔχουσα ποιῆσαι, ἐπεὶ ἐξετάσασα εὗρεν, ὡς ἡ κατ' αὐτοὺς ῥηθεῖσα τοῦ Ἀκαταλύτου μονὴ κέκτηται μικρὸν τοπίδιον τὸ σύνεγγυς διακείμενον τοῦ ἀμπελίου Δούκα τοῦ Καυκαδηνοῦ, ὅπερ νῦν κέκτηται ὁ περιπόθητος ἐξάδελφος τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Μανουὴλ ὁ Φιλανθρωπηνός, ἀφ' οὗ πρόσοδον μὲν οὐδὲ ὀβολὸν ἕνα ἔχει ἡ μονή, ἔξοδον δὲ μᾶλλον, καὶ εἴπερ ἵσταται τοῦτο, ἀνάγκην ἔχουσιν οἱ μοναχοὶ δανείσασθαι καὶ ἐξόδους καὶ τόκους παρέχειν τοῖς δανεισταῖς, προέτρεψε καὶ παρεκελεύσατο, ὡς ἂν τιμηθῇ τὸ ῥηθὲν τοπίδιον, καὶ τὴν τούτου τιμὴν ἀποδῶσι τοῖς βουτζιατολόγοις, ὅθεν καὶ ἐπεὶ προτροπῇ καὶ παρακελεύσει τῆς ἡμῶν μετριότητος ἀπημπώλησαν τοῦτο οἱ μοναχοὶ πρὸς τὸν ῥηθέντα περιπόθητον ἐξάδελφον τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς ἡμῶν μετριότητος, κῦρ Μανουὴλ τὸν Φιλανθρωπηνόν, εἰς ὑπέρπυρα

τριάκοντα δύο, ποιήσαντες πρὸς αὐτὸν καὶ γράμμα πρατήριον, ὃ δὴ καὶ τῇ ἡμῶν ἐμφανισθὲν μετριότητι. ἐδέησε καὶ γράμμα αὐτῆς γενέσθαι ἐπ' αὐτῷ, πλείονος ἕνεκα ἀσφαλείας καὶ βεβαιώσεως, αὕτη τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ ἐν ἁγίῳ παρακελεύεται πνεύματι τὸ στέργον ἔχειν καὶ ἰσχυρὸν καὶ ἀκατάλυτον τὸ γεγονὸς πρὸς αὐτὸν πρατήριον γράμμα, ἐπεὶ δικαίως προέβη καὶ νομίμως προτροπῇ τῆς ἡμῶν μετριότητος καὶ κατὰ τὴν αὐτοῦ περίληψιν κατέχειν τοῦτο αὐτὸν κυρίως καὶ ἐξουσιωδῶς καὶ ἀναποσπάστως καὶ ποιεῖν ἐπ' αὐτῷ πανθ', ὅσα βούλεται, ὡς τέλειος δεσπότης αὐτοῦ, παρὰ μηδενὸς ὑφιστάμενος τὴν οἱανοῦν διενόχλησιν καὶ ἐπήρειαν ἕνεκεν τῆς διακατοχῆς καὶ νομῆς αὐτοῦ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ περιποθήτῳ θείῳ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, τῷ Φιλανθρωπηνῷ, καὶ παντὶ τῷ μέρει αὐτοῦ εἰς ἀνενοχλησίαν αὐτοῦ καὶ ἀσφάλειαν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς γραφῆς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. η' †.

## DLXVIII. 6908 (1400) ind. VIII.

*Patriarcha litem diiudicat.*

† Φθάνει πρό τινος ἤδη καιροῦ δανεισάμενος κύριος . . . . . . . . ὁ Πανόπουλος ἀπὸ κυρίου Θωμᾶ τοῦ Καλοκύρη ὑπέρπυρα τριακόσια ἐπὶ ἐνεχύρῳ τῷ ὀσπητίῳ αὐτοῦ, ὃ ἠγόρασε πρὸ καιροῦ ἀπὸ τῶν ἐνασκουμένων τῇ σεβασμίᾳ καὶ θείᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τῶν Ὁδηγῶν κατὰ ἀντικρὺ διακειμένου τοῦ λουτροῦ τοῦ Βαραγγοπούλου ἐκείνου, ὃ δὴ ὀσπήτιον ἀφιέρωσε μὲν πρὸ καιροῦ πρὸς τὴν ῥηθεῖσαν μονὴν αὐτῶν ἡ τοῦ Σανιάνου ἐκείνου γυνή, διεκρίθη δὲ συνοδικῶς ἐκποιηθῆναι τοῦτο πρὸς τὸν Πανόπουλον ἐπὶ συμφέροντι τοῦ μοναστηρίου παρὰ τοῦ ἁγιωτάτου ἐκείνου καὶ ἀοιδίμου πατριάρχου, κυρίου Ἀντωνίου, ὃ δὴ καὶ ὑπέθηκεν ἐπὶ τοιαύτῃ συμφωνίᾳ, ὡς ἄν, εἰ μὲν ἐντὸς ὁλοκλήρου χρόνου, ἀποδῷ τὰ ῥηθέντα τριακόσια ὑπέρπυρα πρὸς τὸν Καλοκύρην καὶ τόκου χάριν ὑπέρπυρα τεσσαράκοντα πέντε, ἀναλαμβάνῃ πάλιν αὐτὸς τὸ ῥηθὲν ὀσπήτιον αὐτοῦ, εἰ δὲ μὴ ἀποδῷ ταῦτα ἐντὸς τοῦ ῥηθέντος χρόνου τῆς συμφωνίας αὐτῶν, ἵνα ἔχῃ ὁ Καλοκύρης τὰ ὀσπήτια τοῦ Πανοπούλου

κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα, ἣν δὴ συμφωνίαν αὐτῶν ἐπεκύρωσαν καὶ οἱ σεκρετικοὶ κριταί, ἀξιώσαντος τοῦτο τοῦ Καλοκύρη· τῆς οὖν διωρίας αὐτῶν πρὸς τῷ τέλει οὔσης, ἀνέδραμεν ὁ Πανόπουλος εἰς τὴν ἡμῶν μετριότητα, ζητῶν ἀντικριθῆναι τῷ Καλοκύρῃ καὶ ἰσασθῆναι συνοδικῶς μετ' αὐτοῦ· διαμηνοθέντος δὲ καὶ τοῦ Καλοκύρη καὶ ὑποσχεθέντος μὲν συνοδικῶς ἀντικριθῆναι τῷ Πανοπούλῳ, ἀναδραμόντος δὲ πρὸς τὸν κράτιστον καὶ ἅγιόν μου αὐτοκράτορα καὶ προβαλομένου, εἰς τὸ σέκρετον ἀνακεῖσθαι τὰ τῆς ὑποθέσεως, ἅτε καὶ ἐπ' αὐτῇ σεκρετικοῦ γράμματος προβάντος, ἐπεὶ ταῦτ' ἐδηλώθη καὶ τῇ ἡμῶν μετριότητι διὰ βασιλικοῦ μηνύματος, ἐνέδωκεν αὕτη κατὰ τὴν περὶ ταῦτα συνήθειαν κριθῆναι ἐν τῷ σεκρέτῳ τὴν τοιαύτην ὑπόθεσιν. ἐζήτησεν οὖν ὁ Πανόπουλος παρὰ τῆς ἡμῶν μετριότητος τὴν συνήθη τοῖς ἀπόροις βοήθειαν παρὰ τῆς ἐκκλησίας Χριστοῦ ἐπὶ τῇ ἐκκοπῇ τῶν τόκων, οὗ δὴ καὶ συνήθως ἐπέτυχε, κριτῶν δὲ σεκρετικῶν μήπω ἀποκαταστάντων, κἂν τούτῳ τῆς διωρίας τῆς ἐν τῇ συμφωνίᾳ αὐτῶν τελεσθείσης, ἐπεὶ μετ' ὀλίγον καὶ κριταὶ σεκρετικοὶ ἀποκατέστησαν, καὶ ἀντικριθέντος ἐν αὐτοῖς τοῦ Καλοκύρη τῷ Πανοπούλῳ καὶ δικαιωθέντος παρ' αὐτῶν ὁπωσδήποτε τοῦ Καλοκύρη κατὰ τὴν συμφωνίαν, ὡς ἔλεγον, ἣν εἶχε μετὰ τοῦ Πανοπούλου, ἔχειν τὸ ὀσπήτιον αὐτοῦ κατὰ τελείαν δεσποτείαν εἰς μόνα τὰ τριακόσια ὑπέρπυρα καὶ δεφενδευθέντος αὐτοῦ καὶ κατασχόντος κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα, ἀπαιτηθέντος καὶ δόντος τοῦ Πανοπούλου καὶ τὰ τῆς δεκατείας ὑπέρπυρα πρὸς τὸ βασιλικὸν βεστιάριον, ἐπεὶ ἑώρα ἡ μετριότης ἡμῶν ἔνδον τῆς τοιαύτης συμφωνίας αὐτῶν εὑρισκόμενα καὶ τὰ τεσσαρακονταπέντε ὑπέρπυρα τοῦ τόκου, ἃ πάντως ἂν ἐδίδου ὁ Πανόπουλος κατὰ τὴν συμφωνίαν αὐτῶν, εἴ γε ἐδικαιοῦτο λαβεῖν τὰ ὀσπήτια αὐτοῦ, διεκρίθη δὲ συνοδικῶς, μᾶλλον δ' εὐαγγελικῶς καὶ συνήθως, μὴ λαβεῖν αὐτὰ τὸν Καλοκύρην, εἰ μὴ μόνα, ἃ ἔδωκε τριακόσια ὑπέρπυρα, διὸ καὶ παρῄνει καὶ εἰσηγεῖτο καὶ συνεβούλευε τῷ Καλοκύρῃ ἡ μετριότης ἡμῶν, ἢ τὰ ὀσπήτια ἀντιστρέψαι τῷ Πανοπούλῳ καὶ λαβεῖν μόνα, ἃ ἔδωκεν ὑπέρπυρα, ἢ τιμηθῆναι αὐτὰ νῦν, ὡς ἔχουσι, τιμῆς, καὶ ἀντιστρέψαι τῷ Πανοπούλῳ τὰ πλείω τοῦ ἀναφανησομένου τιμήματος, ἢ τό γε τρίτον ἀποδοῦναι τῷ Πανοπούλῳ, ἃ ἔδωκε τοῖς μοναχοῖς ὑπέρπυρα ὁ Πανόπουλος, πεντήκοντα κατ' ἐπέκεινα τῶν τριακοσίων, ἢ εἰ μηδὲν βούλοιτο τῶν τριῶν ἐνέχε-

σθαι αὐτὸν ἐκφωνηθέντα ἐγγράφως ἀφορισμὸν παρὰ τῆς ἡμῶν μετριότητος ἐπὶ τῇ τοῦ τόκου ἐκκοπῇ, ἐπεὶ μέχρι μέν τινος ἀντέβαινε πρὸς ταῦτα, ὕστερον δὲ κατεπείσθη ἀπολαβεῖν, ἃ ἔδωκε μόνα τριακόσια ὑπέρπυρα καὶ ἃ κατελάβετο εἰς ἀνακεράμωμα τοῦ ὀσπητίου ὑπέρπυρα ἐννέα κεράτια . . . ., ἃ δὴ καὶ παρέλαβεν ὁ ῥηθεὶς Καλοκύρης ἑκουσίως τε καὶ οἰκειοθελῶς ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, καὶ ἀντέστρεψε πρὸς τὸν Πανόπουλον τὸ ὀσπήτιον αὐτοῦ, ἀνενοχλήτως καὶ πάντη ἀνεπηρεάστως ἀπό τε τοῦ Καλοκύρη καὶ τοῦ μέρους αὐτοῦ καὶ παντὸς ἄλλου τοῦ ὑπὲρ αὐτοῦ δῆθεν ἐροῦντος διαγνώσκει καὶ ἀποφαίνεται, ἐπεὶ τὰ ὑπέρπυρα αὐτοῦ ὁ Καλοκύρης ἑκουσίως, ὡς εἴρηται, ἀνέλαβε, καὶ ἀπόδειξιν εἰς τοῦτο ἐποίησε, καὶ τελείως ἰσάσθη μετὰ τοῦ Πανοπούλου ἔμπροσθεν τῆς ἡμῶν μετριότητος· εἰ δέ τις ἐνοχλῆσαι τῷ Πανοπούλῳ περὶ τοῦ ῥηθέντος ὀσπητίου πειραθείη ἢ περὶ τῆς ῥηθείσης συμφωνίας καὶ ὑποθέσεως, κἂν ὁποίας ἄρα τάξεως εἴη, τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς καὶ ἀδιαιρέτου τριάδος βαρύτατον καὶ φρικώδη ἀφορισμὸν ἐκφωνεῖ κατ' αὐτοῦ ἡ μετριότης ἡμῶν. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐν ἔτει ͵ς ϡ η' †.

## DLXIX. 6908 (1400) aprili. ind. VIII.

*Patriarcha sententiam dicit in lite quadam.*

† Ἐπεὶ ὁ ἀπὸ τῶν ἀρχοντοπούλων τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Μιχαὴλ ὁ Παλαιολόγος, ἐδανείσατο πρὸ χρόνου ἑνὸς ἀπὸ κῦρ Μιχαὴλ Μαγίστρου τοῦ Πόθου ὑπέρπυρα οε' ἐπὶ ἐνεχύρῳ μέρει τινὶ τοῦ ἀμπελίου αὐτοῦ καὶ συμφωνίᾳ, ἵνα κατέχῃ αὐτὰ μέχρι καὶ τοῦ παρελθόντος σεπτεμβρίου μηνός, καὶ μετὰ ταῦτα, εἴπερ οὐ δυνηθῇ αὐτὰ ἀποδοῦναι, τιμᾶται τὸ ἀμπέλιον, καὶ λαμβάνει ὁ Παλαιολόγος καὶ τὰ πλείω τῆς τιμῆς αὐτοῦ, ἐζητήθη ἡ τοιαύτη συμφωνία καὶ πρᾶξις γενέσθαι ἐνδόσει καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος, ἅτε τοῦ μὲν Παλαιολόγου ἀφήλικος ὄντος, τοῦ δέ γε κτήματος σιωπηρῶς ὑποτεθειμένου τῇ προικὶ τῆς αὐτοῦ γυναικός, διὰ δὲ τὸ εἶναι καὶ αὐτὴν καὶ ἀφήλικα. διεγνώσθη τότε, τῷ μὲν Παλαιολόγῳ δοθῆναι συγγνώμην ἡλικίας νομίμως, τὸν γὰρ εἰκοστὸν ὑπερήλασε χρόνον, ὡς ἂν πράξῃ εἰς τὰ ἑαυτοῦ ὑπὲρ αὐτοῦ, πρότερον δὲ ἱκανωθῆναι τὴν γυναῖκα αὐτοῦ εἰς τὸ λοιπὸν τῆς προικὸς αὐτῆς ἀπὸ ἑτέρας οὐσίας

τοῦ Παλαιολόγου καὶ τότε συμβῆναι τὴν τοιαύτην συμφωνίαν, εἴπερ μέλλει ἕξειν τὸ ἀρραγές τε καὶ βέβαιον, ὃ δὴ καὶ γέγονεν, καὶ τῷ μὲν Παλαιολόγῳ συγγνώμη ἡλικίας ἐδόθη συνοδικῶς, τῇ δὲ γυναικὶ τοῦ Παλαιολόγου περιεγένετο τὸ ἱκανὸν ἐπὶ τῇ ἰδίᾳ προικὶ ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος δι' ἐπιστασίας καὶ γράμματος τοῦ τε νῦν μητροπολίτου Γοτθίας, μεγάλου χαρτοφύλακος ὄντος τότε, καὶ τοῦ τιμιωτάτου μεγάλου σκευοφύλακος, κῦρ Μιχαὴλ τοῦ Ἀσινάρη, καὶ οὕτω μετὰ ταῦτα προέβη ἡ ῥηθεῖσα πρᾶξις. τῆς δὲ διωρίας παραδραμούσης τῆς ἐν αὐτῇ, μᾶλλον δὲ καὶ ἑτέρας τοσαύτης, ὁ Παλαιολόγος μὴ εὐπορήσας ἄλλοθεν πρὸς ἀπόδοσιν τοῦ τοιούτου χρέους, εἰ μὴ ἀπὸ ἐκποιήσεως τοῦ ἐνεχυρασθέντος τότε κτήματος, διατιμήσεως ἐν αὐτῷ γενομένης, ἀναδραμὼν ὁ Παλαιολόγος καὶ αὖθις μετὰ τοῦ Πόθου εἰς τὴν ἡμῶν μετριότητα, ἐξητήσατο καὶ παρεκάλεσεν, ἵνα καὶ ἡ πρᾶσις ἐνδόσει καὶ προτροπῇ αὐτῆς γένηται δι' ἀσφάλειαν τοῦ Πόθου καὶ τῶν διαδόχων αὐτοῦ, ἡ μετριότης ἡμῶν, ὅπερ ἐν τῇ ἐνεχυράνσει διέγνω, τοῦτο καὶ νῦν ἐν τῇ τελείᾳ πράσει γενέσθαι διωρίσατο, ὡς ἂν ἐπιστατήσωσι τὰ περὶ τούτου καὶ ἱκανώσωσι πρότερον ἐκ τῆς περιουσίας τοῦ Παλαιολόγου τὴν προῖκα τῆς αὐτοῦ γυναικὸς οἱ τιμιώτατοι ἐξωκατάκηλοι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, διάκονοι, ὅ τε μέγας σακελλάριος, κῦρ Δημήτριος ὁ Βαλσαμὼν, καὶ ὁ μέγας σκευοφύλαξ, κῦρ Μιχαὴλ ὁ Ἀσινάρης, καὶ ὁ πρωτέκδικος, κῦρ Μιχαὴλ ὁ Βαλσαμὼν, καὶ τότε δῶσιν ἄδειαν, συγγνώμην ἡλικίας λαβόντι τῷ Παλαιολόγῳ, ὡς εἴρηται, εἰς τὸ ἐνεχυρασθὲν τῷ Πόθῳ ἀμπέλιον, εἰ περιλειφθείη ἐλεύθερον καὶ ἀδούλωτον ἀπὸ τῆς προικὸς αὐτοῦ, πρᾶξαι τὸ δόξαν συμφέρον αὐτῷ, οἳ καὶ ἀπελθόντες ἐκεῖ εὗρον περισωζόμενά τινα τῆς προικὸς αὐτῆς, τινὰ δὲ καὶ καταφθαρέντα, προνοούμενοι τῆς Παλαιολογίνης, γνώμῃ καὶ τοῦ ἀνδρὸς αὐτῆς τοῦ Παλαιολόγου, ἀπέκοψαν ἀπὸ τῆς κτηματικῆς περιουσίας αὐτοῦ τιμῆς ἄξιον ἀμπέλιον, οὐ πρὸς τὰ καταφθαρέντα μόνον προικῷα εἴδη, ἀλλὰ καὶ τῆς καθόλου προικὸς, εἰς δὲ τὰ λοιπὰ ἐνέδωκαν τῷ Παλαιολόγῳ ποιῆσαι τὸ κατὰ βούλησιν, ὁ δὲ Παλαιολόγος διέπρασε πρὸς τὸν Μάγιστρον τὸν Πόθον τὸ εἰρημένον ἀμπέλιον, τὸ εἰς ἐνέχυρον πρότερον ὑποτεθὲν αὐτῷ, γεωμετρηθὲν καὶ εὑρεθὲν μοδίων τῆς μέτρ . . δύο δέκατον καὶ τιμηθὲν εἰς ὑπέρπυρα πολιτευόμενα

ἐννενήκοντα τέσσαρα· διεβιβάσθησαν οὖν τὰ ἑβδομηκονταπέντε τοῦ προειρημένου χρέους, καὶ ἔλαβε καὶ τὰ πλείω εἰς ἱκάνωσιν παντελῆ τῆς τοῦ ῥηθέντος ἀμπελίου τιμῆς, καὶ πρατήριον γράμμα ἐποιήσατο πρὸς τὸν Πόθον, ἐπιστασίᾳ τῶν δηλωθέντων τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων, ὁ μὲν Πόθος ὀφείλει κατέχειν τὸ ἐξωνηθὲν αὐτῷ ἀμπέλιον κυρίως τε καὶ δεσποτικῶς, ἀνενοχλήτως καὶ ἀδιασείστως καὶ ποιεῖν ἐπ' αὐτῷ ἅπαν τὸ κατὰ βούλησιν, ἅτε τῆς πράσεως ταύτης προβάσης νομίμως καὶ καθαρῶς, ὡς δεδήλωται, καὶ ἐνδόσει καὶ διακρίσει καὶ προτροπῇ, ὡς εἴρηται, τῆς ἡμῶν μετριότητος, ἐπεὶ ὅ τε Παλαιολόγος συγγνώμην ἡλικίας ἔλαβε παρ' αὐτῆς, ἥ τε γυνὴ τοῦ Παλαιολόγου τὸ ἱκανὸν ἔχει τῆς καθόλου προικὸς αὐτῆς ἀπὸ τοῦ ἐναπολειφθέντος ἀμπελίου, τοῦ δοθέντος αὐτῇ διὰ γράμματος τῶν ῥηθέντων ἐκκλησιαστικῶν ἀρχόντων, ἡ καὶ ὀφείλει κατέχειν καὶ δεσπόζειν ἀπὸ τῆς σήμερον τὸ ἐκκοπὲν ἀμπέλιον ἀπὸ τῆς ἀνδρῴας περιουσίας αὐτῆς καὶ προστεθὲν εἰς ἱκανοποίησιν τῶν τε καταφθαρέντων εἰδῶν τῆς προικὸς αὐτῆς καὶ τῶν μετὰ ταῦτα ἴσως φθαρησομένων, ἐπέκεινα γάρ ἐστιν ἄξιον καὶ τῆς καθόλου προικός, καὶ μηδεμίαν ἔχειν ἄδειαν τὸν Παλαιολόγον μονομερῶς διαπράξασθαί τι ἐπὶ τούτῳ προικιμαίῳ ὄντι αὐτῆς δὴ τῆς αὐτοῦ γυναικὸς ἀπό γε τῆς σήμερον, ὃ δὴ ἀμπέλιον καὶ περιγράφεται οὕτως· ἄρχεται ἀπὸ τῆς γωνίας τοῦ ἀμπελίου Δούκα τοῦ Ἀπρηνοῦ, ἥτις ἐστὶ πλησίον τῆς ἐκεῖσε τροχαλαίας, καὶ διέρχεται τὴν τάφρον, ἥτις διαιρεῖ τὸ χωράφιον τοῦ ἀνδρὸς αὐτῆς καὶ τὸ τοιοῦτον ἀμπέλιον, καὶ καταλήγει κατ' εὐθὺ ἄχρι καὶ τῆς γωνίας τοῦ ξηροτροχάλου, ἐν ᾧ καὶ δημοσία ὁδός, ἐκεῖθεν ἀνέρχεται διὰ τοῦ ξηροτροχάλου εἰς τὴν ἀμπελικαίαν, καὶ περιλαμβάνει αὐτὴν ἔσω, καὶ διέρχεται τὴν δημοσίαν ὁδόν, καὶ καταντᾷ εἰς τὸ σύνορον Δούκα τοῦ Ἀπρηνοῦ, καὶ κατέρχεται δι' αὐτοῦ, καὶ λήγει εἰς τὴν ῥηθεῖσαν τροχαλαίαν, ὅθεν ἤρξατο. ὅθεν καὶ εἰς τὴν περὶ τούτων πάντων δήλωσιν καὶ ἀσφάλειαν τὸ παρὸν ἐκδοτήριον καὶ ἐπικυρωτικὸν γράμμα ἀπολέλυται τῆς ἡμῶν μετριότητος ἐπὶ τοῖς γεγενημένοις, ἀπολυθὲν ἐν ἔτει ,ςωη' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἀπριλλίῳ ἰνδ. η' †.

## DLXX. (6908—1400). maio. ind. III.

*De facultatibus infantis.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρις Ἰωάννης ὁ Σοφιανός, εἰς τὸ τῆς Ῥωσίας ταξείδιον βουλόμενος ἀπελθεῖν, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἀνέφερεν, ὡς τοῦ πρώτου συμφώνου αὐτοῦ τῷ χρόνῳ καὶ τῇ ἀμελείᾳ αὐτοῦ ἀφανισθέντος, ἐπεὶ καὶ παῖς αὐτῷ ἐξ ἐκείνου τοῦ πρώτου γάμου περιελείφθη, ἠξίωσε πρό τινος ἤδη καιροῦ τόν τε τιμιώτατον πρωτέκδικον τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διάκονον, κῦριν Μιχαὴλ τὸν Βαλσαμῶν, καὶ τὸν θεοφιλέστατον λογοθέτην, διάκονον, κῦριν Μανουὴλ τὸν Βαλσαμῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ὡς ἂν ἐρωτήσωσι τὴν πενθερὰν αὐτοῦ περὶ τοῦ ἐν τῷ μεγάλῳ ὑδραγωγῷ ἡμίσεως ὀσπητίου αὐτῆς, ὅπως ἔδωκεν αὐτῷ εἰς προῖκα τὸ τοιοῦτον ἥμισυν ὀσπήτιον, ὡς ἂν γραφῇ τοῦτο καὶ φυλάσσηται ὑπὲρ τοῦ παιδὸς αὐτοῦ· οὗ δὴ γενομένου καὶ ἐρωτηθείσης παρ' αὐτῶν τῆς Πεπαγωμένης, τῆς πενθερᾶς αὐτοῦ, παρόντος καὶ τοῦ Δημητρίου τοῦ Βλασίου, ἐπεὶ τοῦτο οὕτως ἔχειν ὡμολόγησε, καὶ γράμμα προέβη παρ' αὐτῶν, τοῦτο διαλαμβάνον, ὡς τὸ ἥμισυν ὀσπήτιον αὐτῆς ἐδόθη εἰς προῖκα τῷ ῥηθέντι Σοφιανῷ, τὸ δὲ ἥμισυν ὑπεντέθη πρὸς τὸν διερμηνευτὴν διὰ τὴν ἑτέραν θυγατέρα αὐτῆς, ὃ δὴ γράμμα ἐμφανίσας ὁ Σοφιανὸς τῇ ἡμῶν μετριότητι, ἠξίωσεν ἐπικυρωθῆναι παρ' αὐτῆς, ἐπειδὴ ὁ ῥηθεὶς Σοφιανὸς πρὸς δευτέρους ἐχώρησε γάμους, καὶ ἤδη τῶν ἐνδεχομένων ἐστὶ καὶ παῖδας ἐξ αὐτοῦ σχεῖν, δεῖν ἐνομίσαμεν, οὐ μόνον περὶ τοῦ ῥηθέντος ὀσπητίου φροντίσαι ὑπὲρ τοῦ Σοφιανοῦ παιδός, ἀλλὰ καὶ περὶ πάντων τῶν μητρικῶν πραγμάτων αὐτοῦ, πόσα ἦσαν, ὡς ἂν ἔχῃ ταῦτα ὁ παῖς ἀπὸ τοῦ πατρικοῦ βίου πρὸ τῶν ἴσως γενησομένων ἑτεροθαλῶν ἀδελφῶν αὐτοῦ· ἀπεστάλησαν οὖν παρὰ τῆς ἡμῶν μετριότητος οἱ θεοφιλέστατοι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, διάκονοι, ὅ τε πρωτονοτάριος, κῦρις Γεώργιος ὁ Εὐγενικός, καὶ ὁ λογοθέτης, κῦρις Μανουὴλ ὁ Βαλσαμῶν, καὶ ὁ ῥαιφερενδάριος, κῦρις Μανουὴλ ὁ Χρυσοκούκης, ὡς ἂν ἐρωτήσωσι αὐτὴν περὶ τῆς καθόλον ῥηθείσης προικὸς τῆς δοθείσης παρ' αὐτῆς τῆς Πεπαγωμένης τῇ θυγατρὶ αὐτῆς ἐκείνῃ τῇ τοῦ Σοφιανοῦ γυναικί, οἳ καὶ ἀπελθόντες ἐκεῖ ἠρώτησαν αὐτὴν

σὺν ἀκριβείᾳ πάσῃ, ὡμολόγησε δὲ, ὡς τὸ καθόλον τῆς προικὸς ἦσαν ὑπέρπυρα πεντακόσια, ἐξ ὧν τὰ μὲν διακόσια ἦσαν ἐπάνω διαβιβασθέντα τοῦ ἡμίσεως δσπητίου, ἣν δὲ καὶ ἀμπέλιον ὅσον ἐνθυμεῖσθαι ὑπερπόρων ἑκατὸν, ὅπερ ἐφθάρη ἔξω ὑπὸ τῆς τῶν πραγμάτων συγχύσεως, τὰ δὲ ἄλλα ἦσαν εἴδη καὶ ὑπέρπυρα καὶ ῥοῦχα διατετιμημένα. ἐπεὶ συνεφώνησεν εἰς ταῦτα καὶ ὁ Σοφιανὸς, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, πλὴν τοῦ ἀμπελίου, ὡς γνωρίμου ὄντος τοῦ παιδὸς καὶ φθαρέντος, τὰ λοιπὰ τετρακόσια ὀφείλεσθαι τῷ παιδὶ τοῦ Σοφιανοῦ, τὰ μὲν διακόσια ὑπέρπυρα ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ βίου αὐτοῦ πρὸ παντὸς ἄλλου χρέους, ὁμοίως κρατεῖσθαι καὶ τὰ ἡμίση τῶν ῥηθέντων ὀσπητίων, ὡς γνώριμα τοῦ παιδίου μητρικὰ πράγματα αὐτοῦ, καὶ μηδένα ποτὲ ποιῆσαι ἐπ' αὐτοῖς τὸ τυχὸν, εἰσί τε γὰρ καὶ ἔσονται καὶ εἰς τὸ ἑξῆς βίος τοῦ παιδὸς τοῦ Σοφιανοῦ. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ βεβαίωσιν ἐγένετο ὑπὲρ τοῦ παιδὸς καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. η' †.

## DLXXI. (6908—1400) maio. ind. VIII.

*Venditio aedium infantis.*

† Ὁ Πηγωνίτης ἐκεῖνος κῦρ Δημήτριος ἀποθνήσκων διεμέρισε δι' ἐγγράφων διαθηκῶν τὸν ἑαυτοῦ βίον, ἐν αἷς καὶ ἐπιτρόπους ἔταξεν εἶναι τοῦ τοιούτου μερισμοῦ, καὶ τὰ μὲν ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς διετάξατο ἐξοδιασθῆναι, τὰ δὲ τῇ υγναικὶ αὐτοῦ δοθῆναι, τὰ δὲ τῷ τούτου υἱῷ, Κωνσταντίνῳ τῷ Πηγωνίτῃ· ἐν γοῦν τοῦ ῥηθέντος Κωνσταντίνου μερίδι καὶ τὴν ἑαυτοῦ κατοικίαν πᾶσαν, τὴν περὶ τὴν γειτονίαν τοῦ Μουσταρῆ διακειμένην, παρέγραψεν, ὥσπερ καὶ ἐν τῇ τῆς γυναικὸς αὐτοῦ τὰ περὶ τὴν ἐνορίαν τῶν Χαλκοπρατείων οἰκήματα πάντα, ἔλαβεν οὖν ὁ Κωνσταντῖνος τὰ περιελθόντα πράγματα αὐτῷ εἰς κληρονομίαν, καὶ ἐχρήσατο τούτῳ, ὡς ἐβουλήθη· ἐπεὶ δ' ἐκείνων πάντων διαφθαρέντων πλὴν τῶν οἰκημάτων, ἀναγκασθεὶς πρὸς τὰ μέρη τοῦ Συμπόλου ἀπέπλευσε, λαβὼν δανειακῶς παρὰ τῆς μητρὸς αὐτοῦ ὑπέρπυρα λϛ', συμφωνήσας, ὡς ἅμα τὸ τοῦτον ἐπανελθεῖν ἀποδοῦναι αὐτῇ ταῦτα, ὁ δὲ ἐπανῆλθε μὲν, οὐδὲν δὲ ἀφ' ὧν εἴληφεν ἐνταῦθα διεκόμισεν, ἀλλ' ἢ μόνον σῶμα καὶ τοῦτο παντάπασι γεγυμνωμένον· ἐπεὶ οὖν ἀνάγκην εἶχε καὶ τὸ χρέος

ἀποδοῦναι καὶ ἑαυτὸν διατρέφειν, πρὸς τὰ ἑαυτοῦ οἰκήματα ἀπεῖδε, καὶ τὰ μὲν χαμαίγεα πάντα καταχαλάσας διέφθειρε, οὔτε δὲ τὸ χρέος ἀπέτισεν, ἀλλ' οὐδ' ἑαυτῷ ἢ ἐνδύμασιν ἢ ἄλλοις τισὶν ἀναγκαίοις ἐβοήθησεν, ὅθεν ἀναγκασθεὶς καὶ τὸ ἀνώγεων καταχαλᾶν καὶ διαφθείρειν ἤρξατο, ὅπερ ἰδοῦσα ἡ τούτου μήτηρ, καὶ τοῦτο μὲν ὑπὲρ τοῦ μνημοσύνου τοῦ ἀνδρὸς αὐτῆς λυπηθεῖσα, τοῦτο δὲ καὶ ὑπὲρ τοῦ δανείου αὐτῆς δείσασα, ἀγοράσαι τοῦτο ἠθέλησεν· ἐπεὶ οὖν τοῦ οἰκήματος τιμηθέντος ἄνευ τοῦ ἐδάφους παρὰ εἰδημόνων ἀνδρῶν εἰς ὑπέρπυρα π', ἡ τοῦ Κωνσταντίνου μήτηρ τὴν τούτου ἀφηλικιότητα φοβηθεῖσα παρεκάλεσεν, ὡς ἂν γένηται ἡ τοιαύτη ἐξώνησις τῶν οἰκημάτων ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, διακρίσει καὶ προτροπῇ αὐτῆς λαβόντος τοῦ Κωνσταντίνου συγγνώμην ἡλικίας, ἡ μετριότης ἡμῶν ἑκατέρων τοὺς λόγους ἀκούσασα, ἀλλὰ δὴ καὶ τὴν τοῦ Κωνσταντίνου ἀνάγκην ἰδοῦσα καὶ γύμνωσιν καὶ τὸ κατεπεῖγον χρέος, διέγνω καὶ ἀπεφήνατο, ἀνενόχλητον διατηρεῖσθαι τὸν βουληθησόμενον εἰσελθεῖν εἰς τὴν τῶν οἰκημάτων τοῦ Κωνσταντίνου ἐξώνησιν· ἐπεὶ οὖν ἐκ κοινῆς ἀρεσκείας καὶ συναινέσεως ἐδέξατο ταῦτα ἡ μήτηρ αὐτοῦ εἰς ὑπέρπυρα πε', διαβιβάσασα ὑπέρπυρα κ' καὶ μόνα τοῦ χρέους αὐτῆς, τὰ δὲ λοιπὰ ἀπεχαρίσατο πρὸς αὐτὸν παρακλήσει τινῶν, κατεβάλετο δὲ καὶ τὰ λοιπὰ νε' πρὸς αὐτόν, καθὼς καὶ ὁ Κωνσταντῖνος ἔμπροσθεν τῆς ἡμῶν μετριότητος ὡμολόγησεν, ὀφείλει ἀπὸ τῆς σήμερον ἡ τούτου μήτηρ κατέχειν τὸ ῥηθὲν οἴκημα τὸ ἀνώγεων τοῦ υἱοῦ αὐτῆς, τὸ γὰρ κατὰ χαμαίγεων τοῦ Κωνσταντίνου ἐστίν, ὁμοίως καὶ ὁ κάτω τόπος· ὀφείλει τοίνυν κατέχειν τὸ ῥηθὲν ἀνώγεων οἴκημα μετὰ τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ τοῦ ἐν αὐτῷ φρέατος κυρίως καὶ δεσποτικῶς καὶ ἀναποσπάστως, ὡς ἴδιον αὐτῆς, καὶ ποιεῖν ἐπ' αὐτῷ πάνθ', ὅσα βουληθείη, μὴ εὑρίσκουσα παρά τινος τὴν οἱανοῦν διενόχλησιν ἢ ἐπήρειαν, ἀλλὰ καὶ ὁ υἱὸς αὐτῆς εἴ ποτε θελήσῃ πρὸς ἀνατροπὴν χωρῆσαι τῆς παρούσης διαπράσεως, προβαλλόμενος τὴν τούτου ἀφηλικιότητα, ἀποδιώκεσθαι ὀφείλει, ἐπεὶ συγγνώμην λαβὼν παρὰ τῆς ἡμῶν μετριότητος, τοῦτο πεποίηκε δι' ἃς ἔγνω αὕτη ἀνάγκας καὶ πολλὰς ταλαιπωρίας αὐτοῦ. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. η' †.

## DLXXII. Sine anno.

*Venditio domus.*

† Μηνὶ μαΐῳ ἰνδ. η' ἀντεστράφη ἡ ἀγορὰ τοῦ ὀσπητίου τοῦ καταντικρὺ τῶν τοῦ Ἀγκῶνα ὀσπητίων διακειμένου, ὃ πρὸ καιροῦ ἠγόρασεν ὁ Βαρνειώτης Θεόδωρος πρὸς τὸν Γουδέλην κῦριν Ἰωάννην, ὡς ἀπὸ πλησιασμοῦ προτιμώμενον εἰς αὐτό, πλὴν δι' ἀσφάλειαν τοῦ Γουδέλη θείῳ πατριαρχικῷ ὁρισμῷ ἐδόθησαν πάντα τὰ ὑπέρπυρα πρὸς τὴν γυναῖκα ἐκείνου διὰ τῶν θεοφιλεστάτων ἐκκλησιαστικῶν ἀρχόντων, τοῦ τε πρωτονοταρίου, διακόνου, κυροῦ Γεωργίου τοῦ Εὐγενικοῦ, καὶ τοῦ ῥαιφερενδαρίου, διακόνου, κυροῦ Μανουὴλ τοῦ Χρυσοκόκκη, ἐδόθη δὲ παρὰ τῶν αὐτῶν καὶ τῷ Τορνίκῃ, πλησιασμοῦ δίκαιον ἔχοντι καὶ αὐτῷ, εἰς τὸ τοιοῦτον ὀσπήτιον ἡ νόμιμος διωρία τοῦ τριακονθημέρου ἀπὸ τῆς αὐτῆς πρώτης τοῦ μαΐου, ὡς ἂν ἀγοράσῃ αὐτὸ μόνος ἐντὸς ταύτης . . . . . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . . . . .

Reliqua desunt.

## DLXXIII. 6908 (1400) maio. ind. VIII.

*Ioanni Callicrinetae traditur monasterium Bassi.*

† Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Ἐπεὶ ὁ οἰκεῖος τῇ κρατίστῃ μου καὶ ἁγίᾳ δεσποίνῃ, κατὰ πνεῦμα ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἰωάννης ὁ Καλλικρινήτης ὁ εὐνοῦχος, ἠθέλησε ψυχικοῦ ἕνεκα μνημοσύνου αὐτοῦ καὶ ἐζήτησε καὶ παρεκάλεσεν ἀναδέξασθαι μίαν τῶν ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων θείων καὶ σεβασμίων μονῶν ἐπὶ τῷ συστῆσαι καὶ βελτιῶσαι αὐτὴν ἀπὸ τοῦ βίου καὶ τῆς περιουσίας αὐτοῦ, καθὼς καὶ πρὸς τὴν ἡμῶν μετριότητα πολλάκις ἐξεῖπεν, ὅτι βούλεται ἀφιερῶσαι τὸν βίον αὐτοῦ, εὑρέθη δὲ ἡ σεβασμία τοῦ Βάσσου μονή, ἀνεπιμέλητος οὖσα καὶ ἄπορος καὶ πολλῆς δεομένη τῆς βοηθείας κατά τε τὰ ψυχικὰ καὶ πρῶτα καὶ τὰ σωματικὰ ταῦτα καὶ δεύτερα ἀπὸ τῆς κοσμικῆς ταύτης διαφθορᾶς καὶ τοῦ κατακλεισμοῦ καὶ τοῦ διασεισμοῦ τῶν ἀνθρώπων, οὐδὲ γὰρ εὑρίσκεταί τις τῶν ἁρμοδίων καὶ ἱκανῶν μὴ ὅτι

γε πρὸς προστασίαν ψυχῶν, ἀλλ' οὐδὲ πρὸς πραγμάτων οἰκονομίαν, ταύτην βουλῇ καὶ γνώμῃ καὶ ἐπινεύσει καὶ εὐδοκίᾳ καὶ τῆς κρατίστης μου καὶ ἁγίας δεσποίνης (ἰδιαιτάτη γὰρ αὐτῆς ἐστιν αὕτη ἡ σεβασμία τοῦ Βάσσου μονὴ) παραδίδωσιν αὐτῷ διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος, ὡς ἂν κατέχῃ αὐτὴν ἐφ' ὅρῳ πάσης τῆς ἰδίας ζωῆς, καὶ φροντίζῃ καὶ ἐπιμελῆται τῆς συστάσεως αὐτῆς καὶ τῆς βελτιώσεως καὶ τῆς ἐπὶ τὸ κρεῖττον αὐξήσεως, ἐπιμελούμενος τῆς τε κτηματικῆς αὐτῆς ὑποστάσεως, εἴ τε κινητὰ εἶεν, εἴτε ἀκίνητα, καὶ τῆς ἄλλης εὐταξίας καὶ κοσμιότητος τοῦ μοναστηρίου, πρὸς δόξαν μὲν καὶ ὑμνῳδίαν θεοῦ, μνημόσυνον δὲ ἀνεξάλειπτον τῶν βασιλέων τῶν ἁγίων καὶ τῶν ἐξ ἀρχῆς ἀνεγειράντων αὐτὴν ὑπέρ τε τῶν κεκοιμημένων καὶ παντὸς ἄλλου πληρώματος χριστιανικοῦ· ὀφείλει τοίνυν ἐπιλαβέσθαι ἀπὸ τοῦ νῦν ὁ ῥηθεὶς κύριος Ἰωάννης τῆς ῥηθείσης σεβασμίας μονῆς καὶ κατέχειν καὶ ἐπιμελεῖσθαι αὐτῆς ὡς δύναμις κατὰ τὴν προθυμίαν αὐτοῦ καὶ τὰς ἐλπίδας, ἃς ἔδωκεν ἐπί τε τῆς κρατίστης μου ἁγίας δεσποίνης καὶ ἐπὶ τῆς ἡμῶν μετριότητος, ἐξεχόμενος πάντοθεν τῶν θείων διατυπώσεων τῶν ἐπὶ τῇ μοναχικῇ ἀκριβείᾳ καὶ καταστάσει, ἀνενόχλητος διατηρούμενος ἀπὸ πάντων καὶ ἀνεπηρέαστος, ἐφ' οἷς ἂν καλῶς τε καὶ προσηκόντως ὑπὲρ τοῦ μοναστηρίου ἀποπληροῖ, διατηρουμένης παρ' αὐτοῦ τῆς πνευματικῆς ἐπιμελείας καὶ ἐπισκέψεως καὶ ἀνακρίσεως τῷ κατὰ καιροὺς πατριάρχῃ κατὰ τὴν κανονικὴν ἀκρίβειαν καὶ παράδοσιν. τούτου γὰρ χάριν ἀπολέλυται τῷ δηλωθέντι κῦρ Ἰωάννῃ τῷ Καλλικρινήτῃ καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἔτους ‚ς Ϡ η' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. η' †.

## DLXXIV. 6908 (1400) maio. ind. VIII.

*Theophylacto, metropolitae Pergae et Attaliae, per adiunctionem confertur metropolis Sugdaeae et Phullorum.*

† Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Τῆς ἁγιωτάτης μητροπόλεως Σουγδαίας καὶ Φούλλων θανάτῳ τὸν οἰκεῖον ἀποβαλούσης ποιμένα τε καὶ διδάσκαλον, ἐπεὶ δίκαιον

τῇ ἐκκλησίᾳ Χριστοῦ, ἕτερον ἐπιστῆσαι ταύτῃ καὶ οἷάπερ νύμφην Χριστοῦ νυμφίον πνευματικὸν προμνησθεύσασθαι, εὑρέθη δὲ ὁ ἱερώτατος μητροπολίτης Πέργης καὶ Ἀτταλείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Παμφυλίας καὶ πρόεδρος Σίδης, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, κῦρ Θεοφύλακτος, ἐκ τῆς λαχούσης αὐτὸν ἐκκλησίας τὰ ἐνταῦθα καταλαβὼν διὰ τὴν ἐκεῖσε τῶν ἀρχόντων ἀσεβῶν ὄντων θηριωδίαν καὶ ἀγριότητα, ἡ μετριότης ἡμῶν, ὁμοῦ τούτου προνοουμένη σχεδὸν ὡς ἀπόλιδος, ὁμοῦ καὶ τὴν ἐκκλησίαν ταύτην πνευματικῶς ἐπισκεπτομένη πολυάνθρωπον οὖσαν θεοῦ χάριτι, παραδίδωσιν αὐτῷ ταύτην ἐπιδόσεως λόγῳ διὰ τοῦ παρόντος αὐτῆς σιγιλλιώδους γράμματος ἐπινεύσει καὶ εὐδοκίᾳ καὶ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ὃς δὴ καὶ ὀφείλει ἀπελθὼν ἐκεῖσε καὶ προσδεχθεὶς καὶ τῆς μητροπόλεως ταύτης ἐγκρατὴς γενόμενος, πάντα τὰ ἀνήκοντα καὶ τῷ γνησίῳ ἀρχιερεῖ διενεργεῖν ἀκολύτως, ἄνευ μόνης τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως, καὶ ἀναγνώστας σφραγίζειν ἐκ τῶν ἐν αὐτῇ, ὑποδιακόνους, διακόνους καὶ πρεσβυτέρους χειροτονεῖν τοὺς ἀξίους, πνευματικοὺς πατέρας ἐγκαθιστᾶν, θείους καὶ ἱεροὺς οἴκους καθιεροῦν, διδάσκειν τὸν ἐν αὐτῇ χριστώνυμον τοῦ κυρίου λαὸν τὰ ψυχωφελῆ καὶ σωτήρια καὶ ἐπὶ νομὰς σωτηρίους ποιμαίνειν τούτους καὶ διεξάγειν, ὡς λόγον ὀφείλων τῷ θεῷ περὶ αὐτῶν καὶ τῇ ἡμῶν μετριότητι, τὰ πάντα τοῖς πᾶσι γίνεσθαι, ἀποστολικῶς εἰπεῖν, ἵνα τοὺς πάντας κερδάνῃ ἢ τοὺς πλείονας κ. τ. λ. τούτου γὰρ χάριν ἀπολέλυται τῷ δηλωθέντι ἱερωτάτῳ μητροπολίτῃ Πέργης καὶ Ἀτταλείας, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Παμφυλίας καὶ προέδρῳ Σουγδαίας καὶ Φούλλων, καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἔτους ͵ς ϡ η' ἰνδ. η' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. η' †.

## DLXXV. (6908—1400) maio. ind. VIII.

*Pecunia infanti legata matri eius traditur.*

† Ἐπεὶ Δημήτριος ὁ Κυδώνης ἐκεῖνος ἀποθνήσκων ἐπαφῆκεν ἐνδιαθήκως πρὸς τὸν ἀνεψιὸν αὐτοῦ, Ἰωάννην, τὸν τῆς Πρωτομαϊστορίσσης υἱόν, ὑπέρπυρα πεντήκοντα χάριν λεγάτου, καὶ διὰ τὸ εἶναι τοῦτον τὸν Ἰωάννην ἀφήλικα, ἐζήτησαν οἱ ἐπίτροποι τῶν τοῦ Κυδώνη

πραγμάτων, ἵνα δοθῶσι ταῦτα ἐνδόσει καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος, ὅθεν καὶ ἀναδραμὼν εἰς ἐξ αὐτῶν τῶν ἐπιτρόπων (ὁ δὲ ἦν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Μιχαὴλ ὁ Γαβαλᾶς) ἐζήτησε τοῦτο, ὃ δὴ καὶ διεκρίθη γενέσθαι, ἵνα δοθῶσι τὰ πεντήκοντα ταῦτα ὑπέρπυρα διὰ λεγάτου τοῦ παιδίου εἰς τὴν μητέρα αὐτοῦ, ἥτις ἔχει νῦν αὐτὸ καὶ διατρέφει ἐκ τῶν ἰδίων αὐτῆς, ἅπερ δὴ καὶ παρεδόθησαν πρὸς αὐτὴν διὰ τῶν χειρῶν τοῦ τιμιωτάτου πρωτεκδίκου, διακόνου, κυροῦ Μιχαὴλ τοῦ Βαλσαμὼν, προτροπῇ τῆς ἡμῶν μετριότητος, ὑπὲρ ὧν καὶ γράμμα ἐζήτησεν ὁ Γαβαλᾶς ἀπολυθῆναι εἰς ἀσφάλειαν τούτου· ἡ μετριότης ἡμῶν τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται ἀνενόχλητον εἶναι τὸν Γαβαλᾶν καὶ τοὺς λοιποὺς συνεπιτρόπους αὐτοῦ ἕνεκα τοῦ λεγάτου τούτου, παρέδωκε γὰρ ταῦτα ὁ Γαβαλᾶς, διαγνώσει τῆς ἡμῶν μετριότητος, διὰ τῶν χειρῶν τοῦ τιμιωτάτου πρωτεκδίκου, καθὼς ἄνωθεν εἴρηται, ὅθεν ὀφείλουσιν οἱ ἐπίτροποι εὑρίσκεσθαι οὗτοι ἀνεπηρέαστοι, οὐ μόνον ἀπὸ τῶν τοῦ παιδίου εἰς τελείαν ἡλικίαν ἐλθόντος (ὑπὲρ διατροφῆς γὰρ αὐτοῦ καὶ βοηθείας ἐδόθησαν ταῦτα, πάνυ πτωχοῦ καὶ ἀπόρου τυγχάνοντος) ἀλλὰ δὴ καὶ ἀπὸ τῆς μητρὸς αὐτοῦ, ἀνελλιπῶς γὰρ ταῦτα παρεδόθησαν πρὸς αὐτὴν ἐνώπιον ἀξιοπίστων μαρτύρων. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. η' †.

## DLXXVI. (6908—1400) iunio. ind. VIII.

*De dominio monasterii S. Ioannis Baptistae.*

† Ἔφθασε μὲν ἱερεὺς, Θεόδωρος ὁ Σισίνιος ἐκεῖνος, ἀναδεξάμενος διὰ σεπτοῦ προστάγματος τοῦ μακαρίου καὶ ἀοιδίμου βασιλέως, κῦρ Ἰωάννου, τὸν πάνσεπτον καὶ θεῖον ναὸν τοῦ τιμίου μου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τὸν ἔξω τῆς βασιλίδος ταύτης τῶν πόλεων, περὶ τὸν αἰγιαλὸν τῆς βασιλικῆς πύλης, ὃν ἐκ βάθρων ἀνήγειρεν ὁ γυναικάδελφος αὐτοῦ τοῦ Σισινίου, πρεσβύτερος Νικόλαος ὁ Χρήσιμος ἐκεῖνος, ὡς ἂν κατέχῃ τοῦτον δεσποτικῶς καὶ τὰ δύο οἰκοτόπια τὰ περὶ τὴν ὁδὸν, τὰ προσκυρωθέντα παρὰ τοῦ Κάσπακος ἐκείνου, καὶ παραπέμπῃ καὶ εἰς τοὺς ἐξ αὐτοῦ γεννησομένους παῖδας καὶ κληρονόμους καὶ διαδόχους, ὁ δὲ τὸν βίον ἀπολιπὼν ἐπὶ

παισὶ δύο καταλιμπάνει τούτοις καὶ τὴν τοῦ ναοῦ δεσποτείαν, οἳ καὶ ἱερεῖς γεγονότες κατεῖχον ἐπ' ἴσης τόν τε ναὸν καὶ τὰς ἐξ αὐτοῦ προσόδους μερίζοντες ἑαυτοῖς, ὄνομα τῷ ἑνὶ Γεώργιος ὁ Μοσχόπουλος, τῷ δὲ ἑτέρῳ ὁ Γαβρᾶς, καὶ ὁ μὲν Μοσχόπουλος παῖδας ἐγέννησε δύο, Ἄνναν τὴν Τορναραίαν καὶ Μιχαὴλ τὸν Μοσχόπουλον, καταλιπὼν αὐτοῖς ἐπ' ἴσης τὸ ἴδιον δίκαιον, τὸν πρὸς τὸν ναόν, θῆλυ δὲ τοῦτο ἦν, ὃ μετὰ τῆς ἰδίας μητρὸς τῆς Γαβραίνης πιπράσκει τὸ ἴδιον μέρος πρὸς τὸν ναὸν πρὸς τὸν ῥηθέντα Μιχαὴλ τὸν Μοσχόπουλον δι' ἐπιστασίας τοῦ νῦν ἱερωτάτου μητροπολίτου Γοτθίας, μεγάλου χαρτοφύλακος ὄντος τότε, προτιμηθέντα εἰς τοῦτο, ὡς ἀνακοινωτάριον, καὶ λαμβάνει μὲν τὴν τούτου τιμήν, ἐξίσταται δὲ τῆς δεσποτείας ἧς εἶχε πρὸς τὸν ναόν, ἐπεὶ δὲ ὁ ῥηθεὶς Μιχαὴλ ὁ Μοσχόπουλος ἐγκρατὴς γενόμενος τριῶν μερίδων τοῦ ναοῦ, τῶν μὲν δύο ἐξαγοράσας, τῆς δὲ μιᾶς ἀπὸ κληρονομίας, ἀπέλιπε τὸν βίον ἐπὶ παιδί· ὁ Χαρσιανείτης κῦρ Ἰωάννης τῶν ὀρφανικῶν δικαίων τοῦ παιδὸς ἐπιμελούμενος καὶ αὐτοῦ τὸ δυνατὸν περιποιούμενος ἀπὸ τῶν ἑαυτοῦ, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα καὶ ἐμφανίσας αὐτῇ τὰ παλαιγενῆ δικαιώματα πάντα τῆς ἐκκλησίας καὶ τὰ ὑστερογενῆ ταῦτα, δι' ὧν φαίνεται ὁ ὀρφανὸς κληρονόμος ὢν τριῶν μερίδων τοῦ ναοῦ, ἐζήτησε καὶ παρεκάλεσεν, ἵνα παρουσίᾳ καὶ τοῦ ἐκεῖσε ψάλλοντος ἱερέως, Μανουὴλ τοῦ Ἀποκαύκου, εὑρεθῇ πᾶν, εἴ τι δίκαιον οὗτος ἔχει ἐν τῷ ναῷ, καὶ εἴ τι ὁ δηλωθεὶς ἱερεύς, ὡς ἂν τούτου ἀναφανέντος, γινώσκῃ μὲν ὁ πρεσβύτερος, τίνος ἐστὶν ὁ ναός, γινώσκῃ δὲ καὶ ὁ Χαρσιανείτης, εἴ τι τῷ ὀρφανῷ παιδὶ ἀνήκει ἐκ τοῦ ναοῦ· διαμηνυθέντος καὶ τοῦ πρεσβυτέρου καὶ παραγενομένου συνοδικῶς καὶ τῶν δικαιωμάτων πάντων ὑπαναγνωσθέντων, ἐπεὶ ὁ μὲν πρεσβύτερος ἀνεφάνη, μηδένα δεσποτείας λόγον ἔχων ἐν τῷ ναῷ, ἀλλ' ὡς ἱερατικῶς ἐξυπηρετούμενος διατελῶν ἐν αὐτῷ, τὸ δὲ παιδίον τοῦτο δεσπότης ὢν τριῶν μερίδων τῶν ναοῦ, τῶν μὲν δύο ἐξ ἀγορασίας τοῦ πατρὸς αὐτοῦ, τῆς δὲ μιᾶς ἀπὸ κληρονομίας πάλιν αὐτοῦ (τὴν γὰρ λοιπὴν μερίδα ἔχει ἡ πρὸς μητρὸς θεία αὐτοῦ) διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ὡς ἂν ὁ μὲν παῖς οὗτος κατέχῃ καὶ δεσπόζῃ, ὡς ἄνωθεν αὐτῷ διαφέροντα, τό τε ἥμισυ τοῦ ναοῦ καὶ ἔτι τοῦ ἡμίσεος τὸ ἥμισυ, καὶ ἐπειδὴ τῶν ἐνταῦθα ἀποδημεῖ ἡ θεία αὐτοῦ, ἡ Μοσχοπουλίνα, εἰ μὲν ἐπανέλθοι ἐνταῦθα, λήψεται τὴν οἰκείαν μερίδα, καὶ ποιήσει εἰς αὐτήν, ὡς βούλεται, ὡς δὲ

καὶ εἰ τελευτήσει ἐνδιαθήκως· εἰ δὲ ἀδιαθέτως, λήψεται καὶ τὸ ἐκείνης μέρος ὁ παῖς οὗτος, ὡς ἀδελφόπαις, κατὰ τοὺς φιλευσεβεῖς νόμους. ὁ δέ γε δηλωθεὶς ἱερεὺς ὀφείλει ἐξυπηρετεῖν ἱερατικῶς ἐν τῷ τοιούτῳ θείῳ ναῷ, μέχρι ἂν εἰρηνικὸς διατελῇ καὶ ἀνενόχλητος καὶ ἀσκανδάλιστος μετὰ τῶν ἐχόντων τὴν δεσποτείαν τοῦ ναοῦ, λαμβάνων καὶ ἀποφερόμενος ἐκ τοῦ ναοῦ ἢ τὴν ἀρκοῦσαν αὐτῷ ῥόγα ἢ τὸ εἰσόδημα ἅπαν τοῦ ναοῦ, εἰ καὶ τοῖς δεσπόταις ἀρέσει· εἰ δέ που εὑρεθείη ταραχοποιὸς καὶ ὀχλώδης, οὗτος μὲν ἀποστήσεται τοῦ ναοῦ, ὡς μηδένα δικαιώματος λόγον ἐν αὐτῷ κεκτημένος, οἱ δὲ δεσπόται τοῦ ναοῦ φροντίσουσι καὶ ἐπιμεληθήσονται, ἐνδόσει καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος, πῶς ἂν ἕτερος ἱερεὺς εὑρεθῇ καὶ εἰσαχθῇ ἐν αὐτῷ πρὸς δοξολογίαν καὶ ὕμνον θεοῦ. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXVII. (6908—1400) iunio. ind. VIII.

*Sententia de dote.*

† Ἐπεὶ Εἰρήνη ἡ Συναδηνή, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, ἀνήνεγκεν, ὡς ὁ ἀνὴρ αὐτῆς διέφθειρε τὴν προῖκα πᾶσαν αὐτῆς, καὶ οὐδὲν ἕτερον περιελείφθη αὐτῷ, εἰ μὴ τὸ ὀσπήτιον, ὅπερ περὶ τὰ Ψαθαρία ὁ ἀνὴρ αὐτῆς ἀπὸ γονικότητος κέκτηται, ὃ καὶ ἐζήτει κατέχειν αὐτὸ ἕνεκεν τῆς διαφθαρείσης προικὸς αὐτῆς, ἡ μετριότης ἡμῶν τὴν αὐτῆς αἴτησιν προσδεξαμένη, ὡς δικαίαν οὖσαν καὶ νόμιμον, τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται, ὡς ἂν κατέχῃ αὕτη ἡ ῥηθεῖσα Συναδηνὴ τὸ ὀσπήτιον τοῦτο τοῦ ἀνδρὸς αὐτῆς ὑπὲρ τῆς προικὸς αὐτῆς πάλαι διαφθαρείσης, καθὼς εἴρηται, ὅθεν οὐχ ἕξει ὁ ἀνὴρ αὐτῆς ἄδειαν πώποτε ἐξαργυρίσασθαι τοῦτο ἢ ἐνεχυριάσαι, ὡς ἴδιον δῆθεν αὐτοῦ, ἐπεὶ παρά τε τῶν θείων καὶ φιλευσεβῶν νόμων καὶ παρὰ τῆς συνοδικῆς ταύτης διαγνώσεως τῆς ἡμῶν μετριότητος παρεδόθη τοῦτο τῇ Συναδηνῇ, καὶ ὑπόκειται εἰς ἱκάνωσιν τῆς προικὸς αὐτῆς. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXVIII. (6908—1400) iunio. ind. VIII.

*Pia fundatio confirmatur.*

† Ἡ ἀοίδιμος καὶ μακαρῖτις ἐκείνη καὶ ἁγία μου βασιλίς, ἡ δέσποινα τῆς Ἀνατολῆς, κυρὰ Θεοδοσία μοναχὴ ἡ Κανταχουζηνή, εἰς τὴν τῆς Ἀνατολῆς ἀρχήν τε καὶ αὐθεντείαν ἔτι εὑρισκομένη, ὑπέρπυρά τινα καὶ ἔξοδον ἀπέστειλε πρὸς τὴν ἀοίδιμον ἐκείνην καὶ ἁγίαν μου δέσποιναν, τὴν αὐταδέλφην αὐτῆς, ὡς ἂν ἐξωνήσηται χάριν αὐτῆς κτήματά τινα, ἵνα χρήσηται τούτοις, ὡς βούλεται, ἀπὸ τῆς Ἀνατολῆς τε καὶ τῆς ταύτης ἀρχῆς εἰς τὴν μεγαλόπολιν ταύτην ἐπαναστρέψασα, οὗ δὴ καὶ κατὰ σκοπὸν ἐκείνης προβάντος, ἐπεὶ καὶ αὕτη μετ' οὐ πολὺ τῇ θεοφρουρήτῳ Κωνσταντινουπόλει ἐπανῆλθε, καὶ πρὸς τὸν ἀγγελικὸν εὐθὺς ἀπέκλινε βίον, καὶ βασιλείας καὶ δόξης προσκαίρου τὴν οὐράνιον ἀντηλλάξατο, ἔργον βασιλικὸν ὁμοῦ καὶ γενναῖον διανοηθεῖσά τε καὶ καταπραξαμένη, καὶ τὰ προσόντα αὐτῇ πάντα σχεδόν, τὰ μὲν εἰς ἀνοικοδομὴν ξενῶνος καὶ κτημάτων τε καὶ προσόδων τούτου καταναλώσασα, τὰ δὲ καὶ σεβασμίαις μοναῖς καὶ θείοις καὶ ἱεροῖς ναοῖς ἀναθεῖσά τε καὶ προσκυρώσασα, ἐπεὶ ἀπὸ τῶν κτημάτων ἐκείνων περιελείφθη ταύτῃ καὶ κῆπος περὶ τὸν Βλάγκαν ἔξω που καὶ σύνεγγυς τοῦ τείχους τῆς πόλεως, ἠξίωσαν ταύτην οἱ τιμιώτατοι ἐν μοναχοῖς, ὅ τε κῦρ Νεῖλος ὁ Κανάβης καὶ κυρὰ Μάρθα ἡ Καναβίνα, ἡ ποτὲ σύζυγος ἐκείνου, δι' ἣν εἶχον πρὸς ἐκείνην πίστιν τε καὶ ἀγάπην καὶ εὔνοιαν, ὡς ἂν διαπράσηται πρὸς αὐτοὺς τὸν ῥηθέντα κῆπον ἐπὶ συμφωνίᾳ τοιαύτῃ, ἵνα μετὰ καὶ τὴν ἀποβίωσιν ἀμφοτέρων ἐπανακάμπτῃ πάλιν ὁ κῆπος πρὸς ὃν αὕτη δὴ ἡ ἀοίδιμος βασιλὶς ξενῶνα ἐκ βάθρων ἀνήγειρεν, ὧν τῇ ἀξιώσει ἐκείνων εἴξασα ἔλαβε μὲν ἀπ' αὐτῶν τὸ τοῦ κήπου τίμημα, ὅπερ ἦν ὑπέρπυρα πολιτευόμενα διακόσια εἴκοσι, παρέδωκε δι' οἰκειοχείρου αὐτῆς γράμματος τὸν ῥηθέντα (κῆπον), ὃν δὴ καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἐνέμοντο καὶ τὸ κατ' ἔτος ὑπὲρ αὐτοῦ διδόμενον τέλος ἐλάμβανον ὅ τε ῥηθεὶς κῦρ Νεῖλος, μέχρις ἂν τῷδε τῷ βίῳ περιῆν, καὶ μετ' ἐκεῖνον ἕως τοῦ νῦν ἡ κυρὰ Μάρθα ἡ Καναβίνα, ἐπεὶ δ' αὕτη νῦν φιλοθέῳ γνώμῃ κινουμένη καὶ ἑαυτὴν ἐν τοῖς ἀγαθοῖς ἔργοις ἀεὶ ὑπερβάλλειν φιλονεικοῦσα, καὶ ὅπερ συνεφώνησεν ἐν τῷ τέλει τῆς αὐτῆς ζωῆς ἀνάθεμα γενέσθαι ἐν τῷ ξενῶνι, τοῦτο καὶ ζῶσα ἀναθεῖναί τε καὶ ἀφιερῶσαι ἀπὸ τῆς σήμερον σπουδάσασα, τὸν

μὲν κῆπον ἀπὸ τῆς σήμερον τοῖς τοῦ ξενῶνος συγκατηρίθμησε κτήμασι, καὶ τοῖς τὰ τοῦ ξενῶνος ἀπαιτοῦσι τέλη παρέδωκε, τὰ δ' ἐπ' αὐτὸν προβάντα οἰκειόχειρα γράμματα τῆς ἀοιδίμου βασιλίδος ἐκείνης διὰ τῆς ἡμῶν μετριότητος παρέδωκε τῷ θείῳ ξενῶνι, καὶ γράμμα παρ' αὐτῆς προβῆναι ταῦτα κατὰ μέρος διαλαμβάνον ἠξίωσε· τὴν ἀγαθὴν αὐτῆς καὶ φιλόθεον γνώμην ἀποδεξαμένη ἡ μετριότης ἡμῶν τὸ παρὸν ἀπολύει, καὶ ἀφιερωμένον ἀπὸ τῆς σήμερον εἶναι τὸν ῥηθέντα κῆπον τῷ ξενῶνι καὶ κειμήλιον καὶ ἀνάθεμα καὶ κτῆμα ἱερόν, ὡς καὶ τὰ ἄλλα τὰ προσκυρωθέντα αὐτῷ ἄνωθεν, διαγινώσκει καὶ ἀποφαίνεται καὶ κατέχεσθαι καὶ δεσπόζεσθαι παρ' αὐτοῦ καὶ μηδένα τῶν πάντων νοσφίσασθαι παρ' αὐτοῦ ἢ παρυποκρατῆσαι τὸ οἱονοῦν, εἴ γε μὴ μέλλοι τοῖς τῶν ἱεροσύλων ἐπιτιμίοις τε καὶ ἐγκλήμασιν ὑπεύθυνον ἑαυτὸν καταστῆσαι, ὡς τὰ τοῦ θεοῦ καὶ τὰ τῶν πενήτων, μᾶλλον δὲ τὰ τῶν ἀσθενῶν καὶ ξένων καὶ καταπαθῶν νοσφιζόμενος· οὐδεὶς τοίνυν τῶν ἁπάντων ἄδειαν ἕξει ἀφελέσθαι τὸν ῥηθέντα κῆπον ἢ ἑτέρῳ τινὶ ἀνταλλάξασθαι, τὰ γὰρ ἅπαξ ἀφιερωθέντα δι' οὐδενὸς τρόπου ἀμειφθῆναι δύνανται ἢ ἀποσπασθῆναι ἀφ' οὗ ἅπαξ ἀφιερώθησαν. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν δι' ἀσφάλειαν· εἰ δέ πως ἀποσπάσαι τὸν ῥηθέντα κῆπον ἢ τὸ τέλος αὐτοῦ ὁπωσδήποτε πειραθείη, τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος φρικώδη καὶ ἄλυτον ἀφορισμὸν ἐκφωνεῖ κατ' ἐκείνου ἡ μετριότης ἡμῶν ἀπολυθέντα εἰς τὴν περὶ τούτου ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXIX. 6908 (1400) iunio. ind. V.

*De dominio fundi ecclesiae.*

† Μοναχὴ Θεοδούλη ἡ Τζουρουληνή, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἀνέφερεν, ὡς τὸν πάνσεπτον καὶ θεῖον ναὸν τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος τὸν τῆς Γαβραίνης οὕτω πως ὀνομαζομένης, τὸν πλησίον τοῦ ἀμπελίου Καβαλλαρίου τοῦ Κοντοστεφάνου διακείμενον, ἀνεδέξατο αὕτη κεχαλασμένον πάντη τυγχάνοντα, ἀνεκτίσατό τε τοῦτον καὶ ἀνῳκοδόμησε, τὰ μὲν ἐξ οἰκείων ἐξόδων προσαναλώσασα, τὰ δὲ καὶ παρ' ἑτέρων προσερανισαμένη, εἶτα διά τινα χρείαν αὐτῆς ἔξω τῆς πόλεως ἀπελθούσης καὶ

ἀποκλεισθείσης ἐν τῷ τῆς μάχης καιρῷ χρόνους τινάς, ὁ ῥηθεὶς Κοντοστέφανος, πλησιαστὴς ὢν τοῦ τοιούτου θείου ναοῦ καὶ περιβόλιον ἔχων σύνεγγυς αὐτοῦ, εἰς ἀμπέλιον κατεφύτευσε τοῦτο, προλαβόμενος καὶ τὸν τόπον τοῦ ναοῦ, εἰς ὃν κατάχυμα ἔκειτο, καὶ νάρθηξ ἐτύγχανε, ἔτι τε καὶ ἕτερον τόπον τοῦ ναοῦ, ὅνπερ εἶχεν εἰς ταφεῖον ὁ ναὸς οὗτος, ἀνέσκαφε, καὶ κατεφύτευσεν αὐτοὺς τοὺς τόπους εἰς ἀμπέλιον, καὶ προσήνωσε τῷ λοιπῷ αὐτοῦ ἀμπελίῳ· ἀρτίως ταύτης ἐλθούσης καὶ τοῦτο θεασαμένης, δι' εὐσέβειαν καὶ ἀγάπην, ἣν ἔχει πρὸς τὸν ναόν, ἐζήτει ἀντικριθῆναι τῷ Κοντοστεφάνῳ ὑπὲρ τῶν δικαίων τοῦ ναοῦ. διαμηνυθέντος τοίνυν αὐτοῦ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις καὶ μὴ παραγενομένου, ἀλλὰ πρὸς ὑπέρθεσιν καὶ ὑπερημερίαν ἄλλα ἐπ' ἄλλοις προβαλλομένου, ἡ μετριότης ἡμῶν ἀνέθετο τὰ περὶ τούτου τῷ τε ἱερωτάτῳ μητροπολίτῃ Κυζίκου, ὑπερτίμῳ καὶ ἐξάρχῳ παντὸς Ἑλλησπόντου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κῦρ Θεογνώστῳ, καὶ τοῖς τιμιωτάτοις ἐξωκατακήλοις, ἄρχουσι, τῷ τε μεγάλῳ σακελλαρίῳ, διακόνῳ, κῦρ Μιχαὴλ τῷ Ἀσινάρῃ, καὶ τῷ μεγάλῳ χαρτοφύλακι, διακόνῳ, κῦρ Μιχαὴλ τῷ Βαλσαμῶν, ὡς ἂν ἀπέλθωσι τοπικῶς ἐν αὐτῷ τῷ εἰρημένῳ θείῳ ναῷ, καὶ πᾶν, ὅπερ ἂν εὕρωσιν, ἀναγγείλωσι τοῦτο τῇ ἡμῶν μετριότητι· οἳ καὶ ἀπελθόντες ἐκεῖσε καὶ τὰ περὶ τούτων ἀκριβῶς ἐξετάσαντες, συνόντος αὐτοῖς καὶ τοῦ Κοντοστεφάνου ἅμα μετὰ τῆς αὐτοῦ γυναικός, ἐπεὶ εὗρον ἀπὸ τῆς θέσεως τοῦ ναοῦ καὶ ἀπὸ τῆς θύρας, ἣν ὁ ναὸς εἶχεν ἠνεῳγμένην πρὸς τὸ τοῦ Κοντοστεφάνου ἀμπέλιον, ὤν τε ἔξω περὶ τὴν τοιαύτην θύραν ὁ ναὸς εἶχεν ἄνωθεν ἐκτυπωμάτων καὶ σφραγίδων ἁγίων, ἀφ' ὧν ἐδόκει φανερῶς, ὅτι κατάχυμα ἦν ἐν αὐτῷ, ὁμοίως ἰδόντες, ἅπερ ὁ Κοντοστέφανος κατεφύτευσε κλήματα, προσεγγίζοντα μέχρι καὶ αὐτῶν τῶν τοῦ ναοῦ θεμελίων, ἀπῄτησαν τὸν Κοντοστέφανον, ὡς ἐπὶ τίνι θαρρήσαντα δικαιώματι τοῦτο πεποιηκέναι, ὁ δέ, ἄμφω μετὰ τῆς αὐτοῦ γυναικὸς κυριότητα πρῶτον προυβάλλοντο τοῦ ναοῦ καὶ δεσποτείαν, κύριοι γὰρ εἶπον ὅτι εἰσὶ τούτου καὶ τοῦ αὐτοῦ παντὸς τόπου, διότι καὶ εἰσήρχοντο διὰ τῆς πύλης ταύτης ἐν τῷ ναῷ, καὶ νῦν τὸν τόπον τοῦτον ὡς δεσπόται αὐτοῦ κατεφύτευσαν εἰς ἀμπέλιον· ἐπεὶ δὲ τοῦτο οὐκ ἠδυνήθησαν ἀποδεῖξαι, παλαιὸς γὰρ πάνυ ἦν ὁ ναὸς καὶ μέρος ἄλλου παλαιοτέρου καὶ μείζονος ναοῦ, τὰ οἰκήματα δὲ τούτου κάτω περὶ τὸν βουνόν εἰσι

μακρόθεν ἀπὸ τούτου, καὶ ἐν τῇ αὐλῇ δὲ αὐτοῦ ἕτερον ἔχει ναόν, ὑφ' ὧν οὐδεμίαν εἰς τὸν ναὸν τοῦτον ἐφαίνετο κεκτημένος δεσποτείαν ἢ ἀπὸ γονικότητος αὐτοῦ ἢ τῆς γυναικὸς αὐτοῦ, οὕτω καταχαλασθέντα τοῦτον ἀνήγειρεν αὐτὸν καὶ ἀνῳκοδόμησε μετ' οἰκείων ἐξόδων, ταῦτα γὰρ ἅπαντα κατεφαίνοντο, τὰ μὲν ἀπὸ τοῦ ναοῦ, τὰ δὲ ἀπὸ τῆς ὁμολογίας αὐτοῦ, ὅπου γε εἰ καὶ δεσπότης ἦν τούτου, ἐπὶ τῷ συστῆσαι καὶ βελτιῶσαι τὰ τοῦ ναοῦ, οὐ μὴν ἐπὶ τῷ διαφθεῖραι καὶ καταχαλάσαι τούτῳ ἐνδέδοται. ὑπολαβόντες πάλιν εἶπον, ὡς ἐξ ἀγορασίας ἔχουσι τὸν τόπον τοῦτον, ὃν κατεφύτευσαν εἰς ἀμπέλιον, καθὼς ἔχουσι τοῦτο δεῖξαι διὰ γραμμάτων πάντοθεν ἰσχυρῶν, ἃ καὶ ὑπέσχοντο πρὸς αὐτοὺς ὅτι μετὰ τρεῖς ἡμέρας ἢ καὶ τέτταρας ἐμφανίσαι. ταῦτα πάντα ὡς ἐγένοντο παρὰ τῶν ἀποσταλέντων ἡ μετριότης ἡμῶν ἀκριβῶς γνωρίσασα, ἐπεὶ τὴν παραδρομὴν τῶν ἡμερῶν, ἣν ὁ Κοντοστέφανος εἶπεν, ἐπὶ τὸ τριπλάσιον διεβίβασε, διεμηνύσατο τοῦτον παραγενέσθαι συνοδικῶς, οὗ καὶ διαμηνυθέντος πάλιν δὶς καὶ τρὶς καὶ μὴ παραγενομένου, οἱ δηλωθέντες ἄρχοντες ἅμα μετὰ τοῦ ἱερωτάτου Κοζίκου ἐπιστάντες πάλιν τῷ τοιούτῳ θείῳ ναῷ, ἐκεῖσέ τε τὰ γράμματα, ἅπερ εἶπεν ὁ Κοντοστέφανος, ἀναγνόντες, τὸ μὲν ἓν γράμμα εὗρον ὅτι περιβολίου ἦν ἑνὸς τοῦ πρὸς νότου, περὶ οὗ λόγος οὐδεὶς ἦν, μακρόθεν τοῦ ναοῦ τούτου τυγχάνοντος, τὸ δὲ ἕτερον ἦν περιβολίου μὲν καὶ αὐτό, πρὸς βορρᾶν δὲ διακειμένου, εἰς ὅπερ δὴ γράμμα ἐγγέγραπτο ὁ τοῦ ναοῦ τόπος οὗτος, πλὴν δολερῶς, ἐξεσμένοι γὰρ ὄρδινοι τρεῖς ἦσαν ἐν τῷ γράμματι ἐκείνῳ, ἐν ἄλλῳ τε μέλανι καὶ ἑτέρῳ τύπῳ γραμμάτων, δι' ὧν ἐναργῶς ἀνεφαίνετο, ὅτι δολερὸν ἦν ἐκεῖνο καὶ πεπλασμένον. ἔτι δὲ πάλιν τοῦ Κοντοστεφάνου λέγοντος καὶ βοῶντος καὶ διατεινομένου, ὡς ἔχει τοῦτο δεῖξαι διὰ μαρτύρων, τοῦ τε Μακροδούκα κυροῦ . . . . . . . . . καὶ τοῦ . . . . . . . ., ὅτι ὁ τόπος οὗτος οὐκ ἔστι τοῦ ναοῦ, ἀλλ' αὐτοῦ, καὶ ὑποσχομένου συνοδικῶς τοῦτο δεῖξαι, ἀνηγγέλθησαν ταῦτα πάντα πάλιν τῇ ἡμῶν μετριότητι παρὰ τῶν δηλωθέντων ἀρχόντων· διεμηνύθησαν οὖν καὶ ἦλθον οἱ προρρηθέντες μάρτυρες, παρεγένετο καὶ ὁ Κοντοστέφανος, καὶ πρῶτος ὁ Μακροδοῦκας εἶπεν σὺν ἀσφαλείᾳ τῇ προσηκούσῃ, ὅτι οὐκ ἐναργῶς ἐπίσταται, ὡς ὁ τόπος οὗτος ὁ περὶ τὸν ναὸν δεδουλωμένος ἦν ἢ ἐλεύθερος, πλὴν μόνον εἶπεν εἰδέναι σαφῶς, ὅτι νάρθηξ ἦν εἰς τὸν τόπον τοῦτον, εἰς ὃν ἀνεῳγμένη ὁρᾶται ἡ τοῦ ναοῦ πύλη νῦν, καὶ πρόναον ἦν ἐκεῖσε, ἐν ᾧ καὶ

εἰσήρχοντο ἀρχοντίσσαι αἱ πλησίον οὖσαι αὐτῷ· ταῦτα δὲ τούτου εἰπόντος καὶ τοῦ ἑτέρου μάρτυρος τὸ τοῦ ἀφορισμοῦ βάρος ἀκούσαντος καὶ δειλιάσαντος ἴσως ἢ καὶ οὐκ ἐθέλοντος μαρτυρῆσαι ἢ οὐ γινώσκοντος καὶ ἔξωθεν ἀπελθόντος, ἐπεὶ ταῦτα οὕτως εὗρεν ἡ μετριότης ἡμῶν ἀπό τε τῆς ἐπιστασίας τῶν δηλωθέντων, τοῦ τε ἱερωτάτου μητροπολίτου Κυζίκου καὶ τῶν ἐκκλησιαστικῶν ἀρχόντων, ἀπό τε τῆς τοῦ ναοῦ ὑπανοίξεως καὶ τῶν ἔξω περὶ αὐτὴν ἐκτυπωμάτων τῶν ἁγίων καὶ ἔτι ἀπὸ τῶν μαρτύρων καὶ μάλιστα τοῦ Μακροδούκα, ὃν καὶ ὑπὲρ ἑαυτοῦ ὁ Κοντοστέφανος προσεκαλέσατο, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ἵνα ἐκβληθῇ ἀπὸ τοῦ τόπου τούτου, ὅνπερ ἔλαβεν ὁ Κοντοστέφανος καὶ ἐφύτευσεν εἰς ἀμπέλιον, τοσοῦτον, ὅσον ἂν διακρίνωσι τόπον εἰδήμονες λεπτουργοὶ ὅτι εἶχεν ὁ ναὸς ὑπὲρ καταχόματος αὐτοῦ, ἀφιερωμένον γὰρ ἔδαφός ἐστιν ὁ τόπος οὗτος τοῦ ναοῦ, καὶ δουλείαν οὐκ ὀφείλει τινί, κατὰ γὰρ τοῦ ἱεροῦ τόπου δουλεία οὐ συνίσταται, εἰ δὲ καὶ συστῇ, ἀποκαθίσταται· μετὰ δέ γε τὸν χωρισθέντα τόπον τοῦ καταχόματος τούτου ἵνα ἐκβληθῇ ἡ πορρωτέρα τούτου διάστασις ποδῶν δώδεκα, καὶ προστεθῇ καὶ αὐτὸς τῷ ναῷ, εἰ γὰρ ἐπὶ ἁπλῶς πλησιασμοῦ διάστασις ἡ προσήκουσα δίδοται παρὰ τῶν θείων καὶ φιλευσεβῶν νόμων, καὶ τοῦτο τηρεῖται παρὰ παντὸς ὡς συμφέρον ἅμα καὶ δίκαιον, πολλῷ μᾶλλον ἐπὶ τῶν ἱερῶν οἴκων καὶ εὐκτηρίων δεῖ τηρηθῆναι τοῦτο· ὅθεν ὀφείλει ὁ Κοντοστέφανος οὗτος καὶ ἡ γονὴ αὐτοῦ, ὡς ἄνθρωποι χριστιανοὶ καὶ νόμοις πειθόμενοι καὶ ναοὺς τιμῶντες καὶ σεβόμενοι, μὴ ἀντειπεῖν ὅλως ἢ ἀντιπρᾶξαι τὸ σύνολον, φοβηθέντες, μή ποτε καὶ οὗτοι τὸ τοῦ Ζὰν ἐκεῖνο, ὅπερ ἐν τῷ παλαιῷ γέγραπται πάθος· εἰ γὰρ ἐκεῖνος, μόνον ὡς τῆς κιβωτοῦ ἥψατο τῆς τοῦ θεοῦ, ἐπειράθη ὀργῆς, πολλῷ μᾶλλον οὗτοι, οἳ τὴν ἐκκλησίαν Χριστοῦ, μᾶλλον δὲ αὐτὸν τὸν Χριστὸν ἀποστερήσωσι τὸ ἅπαξ αὐτῷ ἀφιερωθέν, τὴν αὐτὴν ἐκείνῳ, μᾶλλον δὲ καὶ μείζω ὑποστήσονται καταδίκην, ὥστε δὴ ταῦτα τοῦτον γεγονότα τὸν τρόπον ἀμετάθετα καὶ ἀμεταποίητα καὶ ἀδιάσειστα εἶναι ἀπό τε τοῦ Κοντοστεφάνου καὶ τῆς γυναικὸς αὐτοῦ καὶ παντὸς ἄλλου συγγενικοῦ ἢ ἐξωτερικοῦ προσώπου αὐτοῦ, ὡς τῷ θεῷ εἶναι κείμενα, καὶ βάρος ἀφορισμοῦ φρικώδους ἐπανατείνεται ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος διὰ τοῦ παρόντος αὐτῆς γράμματος, καὶ ἀσυγχώρητον ἔχει ἀπὸ θεοῦ τὸν ὁπωσδήποτε ἀποσπάσοντα τὸν ἀφαιρεθέντα τόπον νῦν παρὰ τῆς ἡμῶν

μετριότητος καὶ προστεθέντα τῷ πανσέπτῳ ναῷ, τὸν μὲν ὡς τόπον τοῦ καταχύματος αὐτοῦ, τὸν δὲ ὡς δικαίαν καὶ νόμιμον ἀπόστασιν καὶ κανονικήν· ἐπεὶ δὲ ἡ ῥηθεῖσα μοναχὴ Θεοδούλη ἡ Τζουρουληνὴ καὶ πρότερον καὶ νῦν ἔτι πολλὴν ἐνδείκνυται φροντίδα καὶ ἐπιμέλειαν εἰς τὸν ῥηθέντα τοῦτον θεῖον ναὸν, ἀνατίθησιν εἰς τὸ ἑξῆς ταύτῃ ἡ μετριότης ἡμῶν τὴν ἐφορείαν τε καὶ κτητορείαν τοῦ τοιούτου θείου ναοῦ, ὡς ἂν κατέχῃ τοῦτον καὶ φροντίζῃ καὶ ἐπιμελῆται τὰ πρὸς σύστασιν καὶ βελτίωσίν καὶ λοχνοκαΐαν καὶ ἱεροτελεστίαν αὐτοῦ, ὧν διατηρουμένων παρ' αὐτῆς ὀφείλει κατέχειν τοῦτον ἐξουσιωδῶς καὶ κυρίως ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτῆς, ἀνενόχλητος διατηρουμένη ἀπὸ πάντων καὶ ἀνεπηρέαστος. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἔτους ἑξακισχιλιοστοῦ ϡ η'. ἰνδ. η' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXX. (6908—1400) iunio. ind. VIII.

*De vinea hypothecae danda.*

† Ἐπεὶ εἰς τὰ διὰ χαράγματος τετρακόσια ὑπέρπυρα, ἃ συνεφώνησεν ἡ Παλαιολογίνα κυρὰ Θεοδώρα δοῦναι χάριν προικὸς μετὰ καὶ ἄλλων εἰδῶν καὶ κτημάτων τε καὶ κοσμίων εἰς τὰ ῥηθέντα διὰ χαράγματος τετρακόσια, ἐπεὶ οὐκ εἶχεν αὐτὰ ἀρτίως δοῦναι πρὸς τὸν γαμβρὸν αὐτῆς κῦρ ....... τὸν Τριχᾶν, ἀλλ', ὡς ἔλεγεν, ἔχει ταῦτα εἰς πραγματείαν καὶ χρέα, διὸ καὶ συνεφώνησε μετὰ τοῦ ἀδελφοῦ αὐτῆς, κῦρ Πέτρου τοῦ Παλαιολόγου, καὶ δέδωκεν εἰς ἐνέχυρον τὸ ἐντὸς τῆς βασιλίδος τῶν πόλεων ἀμπέλιον αὐτοῦ, περὶ τὴν ἐνορίαν τοῦ ἁγίου Εὐδοκίμου διακείμενον, ὅσον καὶ οἷόν ἐστιν, ὡς ἂν τοῦ χρόνου πληρωθέντος, ὃν συνεφώνησε τρέφειν τὰ παιδία αὐτῆς, εἴπερ οὐκ ἀποδῷ τὰ τετρακόσια ὑπέρπυρα, ἱκανοποιῶνται τὰ παιδία αὐτῆς καὶ λαμβάνωσι ταῦτα ἀνελλιπῶς ἀπὸ πωλήσεως τοῦ ῥηθέντος ἀμπελίου τοῦ Παλαιολόγου, εἶχε δὲ ἀμφιβολίαν τὸ μέρος τοῦ γαμβροῦ αὐτῶν, τοῦ Τριχᾶ, μή ποτε ὀφείλει ὁ ῥηθεὶς κῦρ Πέτρος ὁ Παλαιολόγος τοῖς γνησίοις αὐτοῦ παισὶ μητρικὰ πράγματα αὐτῶν, καὶ προτιμῶνται εἰς τὸ τοιοῦτον ἀμπέλιον αὐτοῦ πρὸ τοῦ Τριχᾶ, διὸ καὶ αναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα, ἠξίωσαν ἔμπροσθεν αὐτῆς προ-

βῆναι τὴν τοιαύτην ἐνεχύρανσιν, ὡς ἂν ἔχῃ τὸ ἀσφαλές τε καὶ βέβαιον. προεκόμισε δὲ ὁ ῥηθεὶς Παλαιολόγος μάρτυρας συνοδικῶς, μηδὲν ὀφείλειν τοῖς ἑαυτοῦ παισί, τὸν θεῖον τῆς γυναικὸς αὐτοῦ ἐκείνης, κυρᾶς Ἄννης τῆς Παλαιολογίνης, τὸν περιπόθητον γαμβρὸν τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, κῦρ Μιχαὴλ τὸν Ἀστρᾶν, καὶ τὸν αὐτάδελφον αὐτῆς, κῦρ Ἀλέξιον τὸν Ἀσπιέτην, τοὺς καὶ δίκαιον ἔχοντας φροντίσαι καὶ ἐπιμεληθῆναι ὑπὲρ τοῦ δικαίου τῶν παιδίων τοῦ Παλαιολόγου, οἳ καὶ ἐρωτηθέντες συνοδικῶς παρὰ τῆς ἡμῶν μετριότητος, ὀλίγον εἶπον δοθῆναί τι τῷ Παλαιολόγῳ χάριν προικὸς καὶ ἀδιατίμητον, ὃ καὶ περισώζεται ἀρτίως, καὶ ἔχουσι μέχρι τοῦ νῦν οἱ παῖδες τοῦ Παλαιολόγου τὸ ἱκανὸν εἰς τὰ μητρικὰ αὐτῶν πράγματα, καὶ ἔστι τὸ ἀμπέλιον αὐτοῦ ἐλεύθερον ἀπὸ τῶν παίδων αὐτοῦ. ἐπεὶ ταῦτα τοῦτον ἀνεφάνη τὸν τρόπον, καὶ ἄδειαν ἔχει ὁ Παλαιολόγος ποιῆσαι εἰς τὸ ἑαυτοῦ, ὡς βούλεται, ὑπέθηκε δὲ αὐτὸ ἑκουσίως καὶ μηδενὸς ἀναγκάζοντος εἰς τὰ τετρακόσια ὑπέρπυρα συμφωνηθέντα παρὰ τῆς ἀδελφῆς αὐτοῦ τῇ θυγατρὶ αὐτῆς, ὀφείλει ἐνέχεσθαι τὸ τοιοῦτον ἀμπέλιον αὐτοῦ εἰς τὴν τῶν τοιούτων ὑπερπύρων ἱκάνωσιν, μετὰ τὴν παραδρομὴν τοῦ συμφωνηθέντος ἐνιαυτοῦ, ἐπεὶ καὶ τοῦτο ἐλεύθερον συνοδικῶς ἀνεφάνη ἀπὸ τῶν παίδων αὐτοῦ, καὶ ἔμπροσθεν τῆς ἡμῶν μετριότητος ὑπέθηκεν αὐτὸ εἰς ταῦτα τὰ ὑπέρπυρα. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXXI. (6908—1400) 15. iunii. ind. VIII.

*De dote oppignoranda.*

† Τῇ ιε' τοῦ ἰουνίου μηνὸς τῆς νῦν τρεχούσης η' ἰνδικτιῶνος ἀνέδραμε συνοδικῶς εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἡ τοῦ Ἀραμωνίτου γυνὴ . . . . . . . . ἡ Βατατζίνα, καὶ παρεκάλεσεν, ἵνα δανεισθῇ ὁ ἀνὴρ αὐτῆς ἀπὸ τοῦ Γουδέλη κυρίου Γεωργίου ὑπέρπυρα εἴκοσιν ἐπὶ τῷ ἀγοράσαι μετὰ καὶ ἄλλων ἰδίων ζευγάριον, ὡς ἂν διενεργῇ καὶ ζῶσιν ἀπὸ τούτου, καὶ ἀποδῷ ταῦτα ἐντὸς τριῶν μηνῶν· ἐδιδάχθη οὖν συνοδικῶς παρὰ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ τὸν βοηθοῦντα αὐτῇ νόμον ἐπὶ τῇ οἰκείᾳ προικὶ

καὶ παρῃτήσατο τὴν ἀπὸ τούτου βοήθειαν, καὶ ἔστερξε προτιμᾶσθαι εἰς τὸ τοιοῦτο χρέος τὸν Γουδέλην καὶ αὐτῆς τῆς προικὸς αὐτῆς εἰς πᾶσαν τὴν περιουσίαν τοῦ ἀνδρὸς αὐτῆς κινητήν τε καὶ ἀκίνητον. διὸ καὶ εἰς ἀσφάλειαν ἐνταῦθα παρεσημειώθη †.

## DLXXXII. 6908 (1400) iunio. ind. VIII.

*Synodus dirimit litem de matrimonio.*

† Πρεσβύτερος Μιχαὴλ ὁ Χοῦμνος, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἔγκλησιν ἐποιήσατο κατὰ Ἰωάννου τοῦ Ζαραχούνη, εἰπὼν, ὡς ἔχων οὗτος ὁ Ζαραχούνης γυναῖκα ἐν τῇ Σολυβρίᾳ ἐλθὼν ἐνταῦθα φυγὰς καὶ τὸν πρεσβύτερον ἀπατήσας ἔλαβε τὴν θυγατέρα τούτου γυναῖκα ἐπὶ προικὶ ὑπερπύρων ἑξακοσίων· εἰρήνης οὖν καὶ καταστάσεως γενομένης ἀρτίως μετὰ τῆς Συληβρίας καὶ τῆς προτέρας γυναικὸς τοῦ Ζαραχούνη ἐλθούσης ἐνταῦθα καὶ ζητούσης τὸν ἄνδρα αὐτῆς, φοβηθεὶς ὁ πρεσβύτερος ὑπέρ τε τῆς ἱερωσύνης αὐτοῦ, ἀλλὰ δὴ καὶ τῆς θυγατρὸς καὶ τῶν πραγμάτων, ἐζήτει ἀντικριθῆναι τῷ Ζαραχούνῃ ὑπὲρ τοῦ τοιούτου δόλου αὐτοῦ· διαμηνυθεὶς οὖν ὁ Ζαραχούνης καὶ παραγενόμενος καὶ ἀπολογήσασθαι προτραπεὶς ὡμολόγησε μὲν καὶ αὐτὸς, ὅτι γυναῖκα ἔσχεν ἐν τῇ Συληβρίᾳ, πλὴν εἶχεν αὐτὴν ἐκεῖσε πορνικῶς ἐπὶ χρόνῳ τινί· ὑπὸ τῆς κεφαλῆς οὖν τῆς πόλεως ἐκείνης, Βρυεννίου τοῦ Λεοντάρη, ἀναγκασθεὶς βίᾳ πολλῇ καὶ ἀνάγκῃ καὶ ὁρισμῷ τούτου ηὐλογήθη ταύτην, εἶτα μηδ' ὅλως μετ' αὐτῆς συνοικήσας φυγὰς ἦλθεν ἐνταῦθα, πολὺν δὲ διατρίψας ἐνταῦθα χρόνον λαμβάνει μετ' οἰκείας βουλῆς καὶ ὀρέξεως αὐτοῦ τὴν θυγατέρα τοῦ δηλωθέντος ἱερέως. ταῦτα τοῦ Ζαραχούνη δισχυριζομένου καὶ λέγοντος, ἡ μετριότης ἡμῶν μάρτυρας προαγαγεῖν καὶ συστῆσαι τοῦτο τὸν Ζαραχούνην ἀπήτησεν, ὁ δὲ τόν τε Βρυέννιον τοῦτον ἔλεγεν ἔχειν καὶ πάντας σχεδὸν τοὺς ἐν τῇ Συληβρίᾳ ἑτοίμους εἶναι εἰπεῖν, ὡς οὐκ ἐθελουσίως αὐτὴν, ἀλλ' ἀναγκαστικῶς ηὐλογήθη. παρόντος οὖν τοῦ Βρυεννίου ἐνταῦθα καὶ πολλῶν τῶν ἀπὸ τῆς Συληβρίας καὶ ἀκριβῶς περὶ τούτου καὶ μετὰ τῆς προσηκούσης ἀσφαλείας ἐρωτηθέντων καὶ οὐ κατὰ τὸν Ζαραχούνην εἰπόντων, ἀλλ' ὅτι μᾶλλον ἑκουσίως καὶ μετὰ πολλῆς τῆς ἐφέσεως τὸν γάμον γενέσθαι τοῦ Ζαραχούνη, καὶ ὅτι μετὰ ταῦτα εἰρηνικῶς συνῴκει μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ φιλίως ἐπὶ χρόνῳ καὶ καιρῷ ἱκανῷ, οὐ μὴν

ἀλλὰ καὶ τῆς προτέρας αὐτοῦ γυναικὸς παραγενομένης συνοδικῶς καὶ κατὰ πρόσωπον αὐτὸν ἐλεγχούσης, τὴν φιλίαν, ἣν ἐξ ἀρχῆς εἶχε μετ' αὐτῆς, τὴν θέλησιν τοῦ μετ' αὐτῆς γάμου, τὴν μετὰ τὸν γάμον ὁμόνοιαν καὶ τὴν παραδρομὴν τῆς ἀηδίας αὐτοῦ, ὅτι μετὰ μῆνας ἣν δέκα, τὸ γεννηθὲν αὐτῶν παιδίον ὅπως πολυτελῶς ἐβαπτίσθη καὶ φιλοτίμως, καὶ πάντα ταῦτα λεπτομερῶς καὶ κατὰ μέρος ἐνώπιον τούτου διηγουμένης καὶ ἐλεγχούσης, ὡς εἴρηται, καὶ τὰ μὲν συνομολογοῦντος, τὰ δὲ ἄλλως παραστῆσαι μὴ δυναμένου τοῦ Ζαραχούνη, ἡ μετριότης ἡμῶν διέγνω καὶ ἀπεφήνατο, ἵνα διεζευγμένος καὶ κεχωρισμένος ὑπάρχῃ οὗτος ἀπὸ τῆς θυγατρὸς τοῦ πρεσβυτέρου, παράνομος γάρ ἐστιν ὁ μετ' αὐτῆς γάμος καὶ κακὸς καὶ μοιχοζευξία κακίστη, ἔχῃ δὲ ὁ Ζαραχούνης τὴν προτέραν αὐτοῦ γυναῖκα, ἣν ἔλαβεν ἐν τῇ Σηλυβρίᾳ, καὶ οὐκ ἀποστήσεται ταύτης ἢ χωρισθήσονται, μέχρις ἂν αὐτὴν ἀποδείξῃ δικαίως κακήν, ἀποδῷ δὲ πρὸς τὸν πρεσβύτερον πρῶτον μὲν τὴν προῖκα πᾶσαν, ἣν ἔλαβεν ἐξ αὐτοῦ, δίχα τινὸς ὑφέσεως καὶ φθορᾶς, ἔτι τε καὶ κατεπέκεινα τούτων δι' ἣν ἐτόλμησε τόλμαν καὶ ὕβριν εἰς τὴν θυγατέρα τοῦ πρεσβυτέρου, ἵνα ἀποδῷ ἀπὸ πάσης αὐτοῦ τῆς περιουσίας κινητῆς τε καὶ ἀκινήτου πρὸς τὸ μέρος τοῦτο τοῦ πρεσβυτέρου ὑπέρπυρα τριακόσια, λάβῃ δὲ καὶ τὸ παιδίον, ὅπερ ἔχει μετὰ τῆς τούτου θυγατρὸς, ἅμα τῷ γεννηθῆναι. τούτων οὖν οὕτως παρὰ τῆς ἡμῶν μετριότητος ἀποφανθέντων καὶ τοῦ πρεσβυτέρου λοιπὸν ἀναγκασθέντος ἀποδεῖξαί τινα βίον τοῦ Ζαραχούνη, ἀφ' οὗ λάβῃ τὰ τριακόσια ταῦτα ὑπέρπυρα (τὴν γὰρ προῖκα, ἣν ἔδωκε τῇ θυγατρὶ αὐτοῦ, παρέλαβεν ἀνελλιπῶς ἀπὸ τῆς θείας τοῦ Ζαραχούνη, ὡς προικαναδόχου αὐτῆς οὔσης) σύμφωνον προεκόμισεν ὁ πρεσβύτερος τῆς προικὸς τῆς θυγατρὸς αὐτοῦ, ἐν ᾧ καὶ κληρονομία κάτω ἐγγέγραπτο καὶ ὑπέρπυρα τριακόσια τοῦ Ζαραχούνη, ἅπερ ἐτάχθησαν ἐν τῷ καιρῷ τῆς εὐλογήσεως αὐτοῦ παρὰ τῆς θείας τοῦ Ζαραχούνη, ὅπερ δὴ σύμφωνον ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα ἡ τοῦ Ζαραχούνη θεία, ψευδὲς ἔλεγεν εἶναι καὶ πεπλασμένον, οὐδὲ γὰρ ἔταξε τῷ ἀνεψιῷ αὐτῆς τὸ τυχὸν πλὴν κληρονόμον καὶ τοῦτο μετὰ τὸν θάνατον αὐτῆς· τοῦ γοῦν συμφώνου ἐναργεστέρως ἐμφανισθέντος καὶ ὅπερ ὁ πρεσβύτερος ἔλεγεν, οὐ συνημμένως μεθ' ὧν ἄνωθεν κατεγράφοντο, περιειλημμένου, ἀλλὰ κάτω περὶ τὸ τέλος ἰδίως καὶ κεχωρισμένως, ἐν ἑτέρῳ μέλανι μὲν οὔ, πλὴν δὲ κεχωρισμένως, ὁμοίως δὲ καὶ ἄνω περὶ τῆς κληρονομίας θεωρηθέντος

καὶ τὸ ἀπὸ τοῦ νῦν τῆς λέξεως ταύτης οὐ καθ' εἱρμὸν κειμένου, ὥσπερ καὶ τὰ λοιπά, ἀλλ' ἄνω ἐν τῷ στίχῳ, ἐν ἑτέρῳ μέλανι καὶ ξένῃ χειρί, ὑπογραφάς τε μαρτύρων οὐκ ἔχοντος τοῦ συμφώνου, ἀλλ' ἐν τῇ ἀρχῇ ὀνόματα μόνον καταγραφόμενα μαρτύρων, δεῖν ἔγνω ἡ μετριότης ἡμῶν, παραγενέσθαι τούτους συνοδικῶς καὶ μετὰ τῆς προσηκούσης ἀσφαλείας εἰπεῖν, τί σύνοιδεν ἕκαστος περὶ τῆς ὑποθέσεως ταύτης. ἐλθόντων οὖν τούτων (οἱ δὲ ἦσαν ὅ τε Παλαιολόγος κῦρ Δημήτριος Δούκας ὁ Ἀπρηνὸς καὶ Μιχαὴλ ὁ Σαρδηνός) καὶ μετὰ τῆς προσηκούσης ἀσφαλείας εἰπόντων, ὅτι κληρονομίαν καὶ μόνον ἔταξεν ἡ τοῦ Ζαραχούνη θεία καὶ οὐδὲν ἕτερον, διαγινώσκει καὶ ἀποφαίνεται καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ὡς ἂν ἐλευθέρα ὑπάρχῃ αὕτη ἡ τοῦ Ζαραχούνη θεία ....... ἡ Ζαραχουνίνα ἀπό τε τῆς ἀποδόσεως τῆς προικὸς (παρέδωκε γὰρ ταύτην ἀνελλιπῶς κατ' εἶδος ἐξ ἀποστολῆς τῆς ἡμῶν μετριότητος διὰ τῶν θεοφιλεστάτων ἀρχόντων, τοῦ τε λογοθέτου τοῦ Βαλσαμῶν, καὶ ῥαιφερενδαρίου, τοῦ Χρυσοκκόκη) ἀλλὰ δὴ καὶ ἀπὸ τῶν τριακοσίων τούτων ὑπερπύρων, ἐπεὶ κατὰ τὴν ἄνωθεν ὁμολογίαν τῶν εἰρημένον μαρτύρων καὶ τὸ ἀπατηλὸν τοῦ συμφώνου οὐκ ἔταξε τῷ Ζαραχούνῃ ἡ θεία αὐτοῦ, ἅπερ ἔλεγεν ὁ πρεσβύτερος, ὅθεν καὶ οὐκ ἐξ αὐτῆς, ἀλλ' ἀπὸ τῶν προσόντων τῷ Ζαραχούνῃ ἰδίως κτημάτων τε καὶ προσόδων αὐτοῦ λάβῃ τὰ τριακόσια ταῦτα ὑπέρπυρα, οὐ μόνον δὲ ταῦτα ὀφείλει λαβεῖν ἐξ αὐτοῦ, ἀλλὰ καὶ εἴπερ ἔχει κατατριβὴν καὶ ὕφεσιν ἡ προίξ, ἣν ἔδωκεν αὐτῷ ὁ πρεσβύτερος, ἔτι τε καὶ ἅπερ ἔδωκεν αὐτῷ χάριν ἀλλαξίας καὶ ἄλλης φιλοτιμίας, ὀφείλει λαβεῖν ὁ πρεσβύτερος καὶ ταῦτα ἀπὸ τοῦ Ζαραχούνη, ὁμοίως δὲ καὶ οὗτος ὀφείλει διαβιβάσαι εἰς τὰ τριακόσια ταῦτα ὑπέρπυρα, ἃ μέλλει δοῦναι τῇ θυγατρὶ τοῦ πρεσβυτέρου καὶ ἃ δέδωκεν αὐτῇ χάριν θεωρέτρων, οὐ δίκαιον γὰρ ἡγούμεθα ἀπὸ τοιούτου γάμου παρανόμου καὶ ἀθεμίτου ἀποκερδᾶναί τινα ἐξ αὐτῶν τὸ τυχόν, καὶ τὰ ὑπέρπυρα δέ, ἅπερ ἐξωδίασεν εἰς ἀνάκτησιν τοῦ ὀσπητίου τῆς θυγατρὸς τοῦ πρεσβυτέρου, ὀφείλει διαβιβάσαι καὶ αὐτά, ὅθεν καὶ διαβιβασθέντων τούτων εἴς τε τὰ τριακόσια ταῦτα ὑπέρπυρα καὶ εἰς τὴν ἄλλην ὕφεσιν τῆς προικός, ὀφείλει ὁ Ζαραχούνης ἀποδοῦναι τῷ πρεσβυτέρῳ ἀπὸ πάσης αὐτοῦ τῆς περιουσίας καὶ τὰ πλείω δίχα λόγου τινὸς καὶ κεχωρισμένος παντάπασιν ὑπάρχειν ἀπὸ τῆς θυγατρὸς τοῦ πρεσβυτέρου.

καὶ εἰς τὴν περὶ τούτου δήλωσιν καὶ ἀπόφασιν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν, ἔτους ,ςϡη' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουνίῳ ἰνδ. η' †.

## DLXXXIII. Sine anno.

*Synodus sententiam dicit de patronatu ecclesiae cuiusdam.*

† Φθάνει Θεοδώρα ἡ Ἀσπιέτισσα καὶ Σίμων ὁ Σύρος, ὁ ἀδελφὸς αὐτῆς, ἐκδεδωκότες πρός τινα ἱερέα Νικόλαον τὸν Ῥαδηνὸν κοινόν τινα τόπον ἐπὶ τῷ ἀνεγεῖραι ἐν αὐτῷ πάνσεπτον καὶ θεῖον ναὸν ἐπ' ὀνόματι τοῦ ἁγίου καὶ ἐνδόξου μεγαλομάρτυρος, μυροβλήτου καὶ θαυματουργοῦ Δημητρίου, καὶ ἔχειν αὐτὸν κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα καὶ παραπέμπειν αὐτὸν πρὸς ὃν ἂν ὁ ῥηθεὶς ἱερεὺς βούλοιτο, ὃς καὶ τὸν ναὸν ἀπαρτίσας καὶ τελειώσας, ἐπεὶ τῷ χρεὼν ἐλειτούργησεν ὁ παῖς αὐτοῦ, ἐπαφῆκε πάλιν αὐτὸν πρὸς τὴν Ἀσπιέτισσαν, ὁρῶν τὴν εἰς τὸν ναὸν αὐτῆς ἐπιμέλειαν, ἥτις δὴ καὶ αὐτὴ τὸ ζῆν ἐκμετρήσασα κατέλιπε τὸν ναὸν καὶ τὴν οἰκίαν αὐτῆς πρὸς τὴν θυγατέρα αὐτῆς Ἄνναν τὴν Ἀσπιέτισσαν, ἥτις ἐν κατοχῇ τοῦ τοιούτου θείου ναοῦ εὑρισκομένη ἠξίωσε καὶ τὸν ἐξάδελφον αὐτῆς, τὸν τοῦ Σύρου υἱόν, κὺρ Μανουὴλ τὸν Ταρωνείτην, ὡς αὐτὸς συνοδικῶς καὶ πολλῶν παρόντων διωμολόγησε, δοῦναι καὶ τὸ πρὸς νότον τοῦ ναοῦ καὶ ἡνωμένον τοπίον αὐτοῦ ἐπὶ τῷ ἀνακτίσαι κελλίον ἐν αὐτῷ καὶ εἰς ἀνάπαυσιν, ὡς ἂν φέρῃ εἰς τὸν ναὸν τὴν εἰκόνα τῆς παναγίας μου τῆς Μαγκουριωτίσσης, εἰς ὃ καὶ αὐτοῦ κατανεύσαντος καὶ μικρὸν ἀνώγεων ὀσπήτιον ἀνακτισάσης ἐν τούτῳ, γνώμῃ τοῦ Ταρωνείτου, ὡς εἴρηται, τὸ μὲν τῆς παναγίας μου προσκύνημα οὐ συνεβιβάσθη ἡ Ἀσπιέτισσα εἰς τὴν ἐκκλησίαν εἰσενεγκεῖν, ὁ δὲ Ταρωνείτης ἀποδημῶν ἦν μέχρι τοῦ νῦν διὰ τὰς συγχύσεις, ἐν δὲ τῷ μεταξὺ ἡ Ἀσπιέτισσα ἐγκρατὴς οὖσα τοῦ τε ναοῦ δεσποτικῶς καὶ τοῦ τοπίου τοῦ Ταρωνείτου, γνώμῃ ἐκείνου, ὡς εἴρηται, ἀνέθρεψε μὲν καὶ ἀνδρὶ συνέζευξε πνευματικὴν θυγατέρα, ᾗ καὶ εἰς προῖκα δέδωκε τήν τε αὐτῆς κατοικίαν καὶ τὸ εἰς τὸ τοῦ Ταρωνείτου τοπίον ἀνακτισθὲν μικρὸν ὀσπήτιον αὐτῆς· τοῦ δὲ Ταρωνείτου ἀρτίως ἐπανελθόντος μετὰ καὶ τὴν τῆς Ἀσπιετίσσης ἀποβίωσιν καὶ ἀντικρινομένου συνοδικῶς τῷ Παντολέοντι, τῷ γαμβρῷ ἐπὶ τῇ ῥηθείσῃ πνευματικῇ θυγατρὶ ἐκείνης, τῇ Ἄννῃ, ἐπεὶ διὰ γραμμάτων ἀνεφάνη

ἥ τε ῥηθεῖσα εἰς τὸν ἱερέα παράδοσις καὶ ἡ πρὸς τὴν Ἀσπιέτισσαν τοῦ ναοῦ ἐπανάκαμψις, περὶ δὲ του τοπίου τοῦ Ταρωνείτου, ἐπεὶ οὐδαμόθεν ἦν μαρτυρία ἢ γράμμα δηλοῦν τὴν τοῦ τοπίου πρὸς τὸν ναὸν παράδοσιν, ὁ δ' εἶπεν, ὡς αὐτὸς ἐδίδου τὸ τοπίον ἐφ' ᾧ τὸ προσκύνημα τῆς Μαγκουριωτίσσης τῷ ναῷ προσηλωθῆναι, οὗ μὴ γενομένου ἐζήτει μὲν καὶ αὐτὸς τὸ ἴδιον, πλὴν συνοδικῶς προσεκύρωσε τοῦτο τῷ ναῷ, μόνον εἰ τὴν αὐτοῦ κατάσχοι κτητορίαν, ἐπεὶ οὐδὲ ἡ ἐξαδέλφη αὐτοῦ, ἡ Ἀσπιέτισσα, τὴν τοῦ ναοῦ κτητορίαν ἀφῆκε πρός τινα, ὑπεσχέθη δὲ ὁ Ταρωνείτης τὴν πᾶσαν ἀπάρτησιν καὶ οἰκονομίαν τοῦ ναοῦ ἐκπληροῦν ἀφ' ἑαυτοῦ· τὴν μὲν τοῦ ναοῦ κτητορίαν αὐτῷ ἀνατίθεμεν δι' ἣν ὑπεσχέθη συνοδικῶς ἐν τῷ ναῷ ἔχειν ἐπιμέλειάν τε καὶ πρόνοιαν ἀδιάκοπον, οὕτω μέντοι ἐφ' ᾧ μηδέποτε παραπέμπειν αὐτὸν πρὸς ἕτερόν τινα τῶν ἁπάντων ἢ προικίζειν ἢ λεγατεύειν αὐτόν, ἀλλ' ἐλεύθερον καὶ ἀδούλωτον εὑρίσκεσθαι τὸν ναόν, ὥσπερ δῆτα καὶ ἀφῆκεν αὐτὸν ἡ κυρίως κτήτωρ καὶ δεσπότις αὐτοῦ, Ἄννα ἡ Ἀσπιέτισσα, τὸ δὲ γε εἰς τὸ τοῦ Ταρωνείτου τοπίον ανακτισθὲν οἴκημα παρὰ τῆς Ἀσπιετίσσης, ἐπεὶ γνώμῃ τοῦ Ταρωνείτου ἐκρατήθη, ὡς εἴρηται, παρὰ τῆς Ἀσπιετίσσης καὶ ἀνεκτίσθη, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν κρατεῖσθαι παρὰ τῆς πνευματικῆς θυγατρὸς αὐτῆς καὶ τοῦ γαμβροῦ αὐτῆς, τοῦ Παντολέοντος, ἐπεὶ δὲ ὁ τόπος, ἐν ᾧ κεῖται, τοῦ ναοῦ ἐστι, περὶ μὲν τῶν παρελθόντων χρόνων ἀνενοχλήτους αὐτοὺς ἀπὸ τοῦ Ταρωνείτου μὲν διαγινώσκομεν ἕνεκεν ἧς εἰς τὸν ναὸν ἐπεδείκνυντο πολυεξόδου ἐπιμελείας, ἢ τὸ κατ' ἔτος ἀπαιτῶν ὁ Ταρωνείτης ἀπ' αὐτῶν τέλος ἀποδώσει αὐτοῖς καὶ ὅσας εἰς ἐπιμέλειαν τοῦ ναοῦ ἐπετίους ἐξόδους κατεβάλοντο, εἰς δὲ τὸ ἑξῆς ἐπεὶ οὐ πλέον ἢ τρεῖς οὐργίας μῆκος τόπου κρατεῖ τὸ ὀσπήτιον, πλάτος δὲ δύο, διαγινώσκομεν, ἵνα κατ' ἔτος τελῇ πρὸς τὸν ῥηθέντα θεῖον ναὸν τὸ ῥηθὲν ὀσπήτιον κοκκία ἓξ καὶ οὕτω κατέχεσθαι παρὰ τῆς τοῦ Παντολέοντος γυναικὸς ἀνενοχλήτως εἰς αἰῶνα τὸν ἅπαντα, ἐπεὶ εἰς προῖκα δοθῆναι αὐτῇ τοῦτο καὶ ὁ Ταρωνείτης διωμολόγησε συνοδικῶς, πλὴν λαμβανούσῃ τὸν πρῶτον ἄνδρα αὐτῆς, τὰ δὲ ἅπαξ εἰς προῖκα δοθέντα τινὶ ἐκείνου εἰσὶ πάντοτε· ὥστε δὲ ταῦτα τοῦτον τηρηθῆναι τὸν τρόπον καὶ βάρος ἀφορισμοῦ φρικώδους ἐκφωνεῖ ἡ μετριότης ἡμῶν, ἀπολυθέντος εἰς τὴν περὶ τούτων βεβαίωσιν. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DLXXXIV. Sine anno.

*Sententia de facultatibus infantis.*

† Ὁ υἱὸς Τριχᾶ τοῦ Φύλακος ἐκείνου, Ἀνδρόνικος ὁ Τριχᾶς, πολλάκις καὶ διαφόρως ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἐζήτησε καὶ παρεκάλεσεν, ὡς ἀναλάβῃ τὸ ἀνῆκον αὐτῷ μέρος τῶν πατρικῶν αὐτοῦ πραγμάτων τὸ κρατούμενον παρὰ τοῦ πρὸς πατρὸς θείου αὐτοῦ, κῦρ Μανουὴλ τοῦ Τριχᾶ, ἐπιτρόπου γεγονότος ἐν αὐτῷ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ παρὰ τοῦ πατρὸς αὐτῶν, ἵνα χρώμενος αὐτοῖς ἐν πραγματείαις καὶ ἄλλαις τισὶ μεταχειρίσεσιν, ἑαυτῷ τὰ πρὸς χρείαν βοηθῇ· ἡ γοῦν μετριότης ἡμῶν τὸ νέον τούτου ὁρῶσα τῆς ἡλικίας (ὄπισθεν γὰρ ἥμισυ πρὸς τοῖς δύο ἔτη λαβεῖν ἐζητεῖτο) τὴν μὲν τούτου δέησιν παντάπασιν ἀπεσείσατο τότε, ζῆν δὲ αὐτὸν ἐνδεῶς ὡς καὶ ἄλλοι τῶν ὀρφανῶν παρεκελεύσατο καὶ μὴ τοὺς πλατυσμοὺς μεταδιώκειν καὶ τὸν πολυτελῆ καὶ ἄνετον βίον. διῆγεν οὖν μέχρι τοῦ νῦν καὶ ἄκων, ὡς ἐδύνατο, μηδὲν μεταχειριζόμενος, ἀρτίως δὲ ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα μετὰ πολλῆς τῆς περιωδυνίας καὶ οὐκ ἄλλως δύνασθαι ζῆσαι εἰπών, εἰ μὴ ταῦτα λαβὼν μεταχειρίζοιτο, εἰ δ' οὖν, ἀνάγκην ἕξει ἐκ τοῦ ὑποκειμένου διατρέφεσθαι, ἡ μετριότης ἡμῶν τὸ τοῦ νέου φρόνημα πρὸς μεταχείρισιν πραγμάτων ἱκανὸν εἶναι ἡγησαμένη, εἴπερ βουληθείη καλῶς καὶ εὐτάκτως πολιτεύεσθαι, διέκρινεν, ὧν ἂν λάβῃ ταῦτα καὶ μεταχειρίζηται, ὡς εἰ μὴ τοῦτο γένηται, ἐπεὶ ἀνάγκην ἔχει τοῦ τρέφεσθαι, οὐκ ἄλλοθεν δὲ εὐπορεῖ ἢ μόνον ἐξ αὐτῶν, ταῦτα δὲ κατὰ μικρὸν μέλλουσι διαφθαρῆναι, εἴπερ οὗτος ἐν ἀργίᾳ διάγει· διὰ ταύτην τοίνυν τὴν αἰτίαν διέγνω καὶ ἀπεφήνατο ταῦτα λαβεῖν, ὅθεν καὶ ἐπεὶ ἔλαβεν ἔμπροσθεν μὲν τῆς ἡμῶν μετριότητος ἀπὸ τοῦ ῥηθέντος Τριχᾶ διά τε τζοχῶν ὀλίγων καὶ ὑπερπύρων μετρητῶν ὑπέρπυρα τριακόσια τεσσαράκοντα . . . . . . ἑπτά, ὡμολόγησε δὲ καὶ ἔμπροσθεν αὐτῆς, ὡς ἔλαβε καὶ ἅπαντα τὰ εἴδη τὰ ἀνήκοντα αὐτῷ, ἃ καὶ κατ' εἶδός εἰσι ταῦτα· σπαθὶν ὑπερπύρων εἴκοσι, κοῦπαν, κοχλιάρια δύο, σέλα καὶ χαλινάριν ὁμοῦ ὑπερπύρων ιη', ἐφαπλῶμα, ζωνάριν, ἁγίαν εἰκόνα ἀναβατήν, πιλωτοπροσκεφάλαια δύο ὑπερπύρων δώδεκα, σάκτια τρία, σαμουντάνιν, μαστραπὰν, κρυεντήρια ἡμιτέταρτα δύο, κουμάνικα κασιτερίνα τέσσαρα καὶ πινάκια τέσσαρα, ἀνταγοῦν, χαλκοσκούτελα τέσσαρα, χοτζέα, κακά-

βιν, καρπέταν, πουγκὶν χρυσοῦν, κάπαν, συνία πέντε, τάβλαν καὶ κορτίναν, πάντα πάντα ἐπεὶ τὰ μὲν ὡμολόγησεν ὡς ἔλαβε, τὰ δὲ εἴληφεν ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, διακρίσει καὶ παρακελεύσει αὐτῆς, ὀφείλει ἀπὸ τῆς σήμερον ὁ Τριχᾶς κῦρ Μανουήλ, ὁ ἐπίτροπος αὐτοῦ, διατηρεῖσθαι ἀπ' αὐτοῦ τε καὶ ἀπὸ παντὸς τοῦ μέρους αὐτοῦ χάριν τοῦ μεριδικοῦ τοῦ Ἀνδρονίκου ἀνενόχλητος καὶ ἀνεπηρέαστος, καὶ οὐχ ἕξει ἄδειάν ποτε ὁ Ἀνδρόνικος τὴν οἱανοῦν διενόχλησιν ἢ ἐπήρειαν ἐπαγαγεῖν αὐτῷ, ἢ ἀφηλικιότητα δῆθεν προβαλλόμενος, ἢ ὡς δόλον εἰς αὐτὸν ὁ Τριχᾶς εἰργάσατο καὶ τῶν ἰδίων ἀπεστέρησε, τόν τε γὰρ τῆς ἀφηλικιότητος λόγον ἡ μετριότης ἡμῶν ὡς ἄδειαν ἔχουσα εἰς ταῦτα ἐφιλονόμησε, καὶ τὰ εἴδη αὐτοῦ πάντα αὐτὸς ὡμολόγησεν ἔμπροσθεν τῆς ἡμῶν μετριότητος ὡς ἀνελλιπῶς καὶ ἀνοστερήτως ἔλαβε, ὅθεν καὶ ὀφείλει ὁ πολλάκις ῥηθεὶς κύριος Μανουὴλ ὁ Τριχᾶς ἀνενόχλητος χάριν τῶν κινητῶν τοῦ Ἀνδρονίκου πάντων διατηρεῖσθαι καὶ ἀνεπηρέαστος· ἐπεὶ δὲ καὶ ἐν τοῖς οἰκήμασι τοῖς πατρικοῖς τὸ ἀνῆκον αὐτῷ μεριδικὸν φυλάσσεται, ὀφείλει καὶ τοῦτο λαβεῖν, ὅταν καὶ ὁ τούτων μερισμὸς γένηται. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν κα ἀσφάλειαν καὶ τὴν τοῦ Τριχᾶ ἀνενοχλησίαν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται.

## DLXXXV. Sine anno.

*Synodus dirimit controversiam.*

† Ἔφθασαν πρὸ χρόνων ἤδη πολλῶν ἐκ κοινῆς βουλῆς καὶ ἀρεσκείας καὶ ᾑρετήσαντο ὅ τε μοναχὸς κῦρ Ἰγνάτιος ὁ Θεολογίτης καὶ ἡ ποτὲ τούτου σύνευνος, μοναχὴ κυρὰ Μακρίνα, γενέσθαι κατὰ μοναχούς, τὴν ἐν κόσμῳ διαγωγὴν τύρβην ματαίαν καὶ κόλασιν ἀληθῶς οὖσαν ἡγησάμενοι. τοῦτον οὖν ἔχοντες τὸν λογισμὸν βέβαιον, οὐ συμφέρον αὐτοῖς καὶ λυσιτελὲς ἐφάνη εἰς ἀναβολάς τε καὶ ὑπερθέσεις χωρεῖν, ἀλλὰ καὶ πέρας ἕξειν τὸν τοῦτον σκοπὸν δεῖν ᾠήθησαν· ἔχων οὖν ὁ μοναχὸς εἰς χρήματα ἀπορίαν, πρῶτον μὲν ἱκάνωσε τὴν μοναχὴν εἰς τὴν προῖκα αὐτῆς, ἔπειτα δὲ βοηθῆσαι ταύτῃ θελήσας μονύδριον ὑπὲρ τοῦ ταύτην οἰκῆσαι καὶ τὸ λοιπὸν τῆς ζωῆς αὐτῆς θεοφιλῶς τε καὶ ὁσίως διανύσαι εὑρεῖν ἐσπούδασεν, ὁμοίως δὲ καὶ ὑπὲρ ἑαυτοῦ κάθισμα πρὸς μόνωσιν ἐπιτήδειον. εὗρε τοίνυν τὸ μονύδριον τὸ εἰς ὄνομα τιμώμενον τοῦ ἁγίου Παντελεήμονος, κεχαλασμέ-

νον πάντη καὶ διεφθαρμένον ὄν, ὅπερ πολλοῖς ἀναλώμασι καὶ λοιπαῖς ἐξόδοις τούτῳ βοηθήσας καὶ ἀνακτίσας καὶ εἰς καταμονὴν μοναζουσῶν ἐπιτήδειον εἶναι ἀπαρτίσας, ἐν τούτῳ κατοικῆσαι μὲν τὴν μοναχὴν Μακρίναν παρεσκεύασεν, αὐτὸς δὲ ἐν τῷ καθίσματι τοῦ ἠγαπημένου Θεολόγου, οὗ τὴν δεσποτείαν ἡ μονὴ τοῦ ἁγίου Σαμψὼν κέκτηται, κατῴκισε, δεδωκὼς καὶ τὰ περιλειφθέντα αὐτῷ πράγματα χάριν παρακαταθήκης πρὸς αὐτήν· διῆγον οὖν εἰρηνικῶς πρὸς ἀλλήλους χρόνους τινάς, βοηθοῦντες ἀλλήλοις τὰ πρὸς χρείαν ἐκ τῶν κοινῶν, μετὰ δέ τινων χρόνων παρέλευσιν τῆς τοῦ μοναχοῦ ἐν τῷ ῥηθέντι καθίσματι διατριβῆς, ὁ Ἀτταλειώτης κύριος Στέφανος ἐκεῖνος καὶ κύριος Ἀνδρόνικος ὁ Λαλουμάς, γνώριμοι καὶ φίλοι τούτῳ τυγχάνοντες, τὴν μετ' αὐτοῦ συνοίκησιν περὶ πολλοῦ ποιούμενοι, οἰκεῖον ἑαυτοῖς κάθισμα συστῆσαι σπουδὴν ἔθεντο, καὶ δὴ ἐξωνήσαντο κοινῶς ὅ τε Ἀτταλειώτης, ὁ Λαλουμὰς καὶ ὁ μοναχὸς τὸν τόπον, εἰς ὃν νῦν εὑρίσκεται τὸ κάθισμα τοῦ μοναχοῦ, καὶ ἀνεκτίσαντο ἐκ βάθρων καὶ οἷον ὁρᾶται νῦν, κατεσκεύασαν, εἰς δόξαν τῆς ἐν αὐτῷ τιμωμένης πανυπεράγνου δεσποίνης μου θεοτόκου, τῆς ἐλπίδος τῶν ἀπελπισμένων, ἐπὶ συμφωνίᾳ, ὡς ἂν κληρονομῇ ὁ εἰς τοὺς δύο καὶ τὸ ἀνάπαλιν οἱ δύο τὸν ἕνα, ὅπερ πρὸ ὀλίγων ἡμερῶν ἀποδειχθὲν ἔμπροσθεν τῆς ἡμῶν μετριότητος οὕτως ἔχον, διεκρίθη παρ' αὐτῆς, ὡς ἂν λάβῃ ὁ Λαλουμὰς τὸ ἥμισυ τοῦ κελλίου, καὶ ἔχῃ αὐτὸ κυρίως καὶ ἐξουσιωδῶς, καὶ ποιῇ ἐν αὐτῷ, ὡς ἂν ἐθέλοι, καθὼς τὸ προβὰν τότε γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μέρος διέξεισιν. ἐν τούτῳ τοίνυν τῷ κελλίῳ ὁ μοναχὸς εὑρισκόμενος, ἐξωνήσατο ἰδίως χωρὶς τῆς τῶν ἄλλων κοινότητος καὶ κήπους δύο, ἀφ' ὧν ὁ ἕτερος οὐ παρὰ δεσπότου διαπραθεὶς αὐτὸς μὲν ἐπανῆλθε νομίμῳ κρίσει πρὸς τὸν ἴδιον δεσπότην, ὁ δὲ μοναχὸς προσαπώλεσε καὶ τὴν τούτου τιμήν· ἦν οὖν καλὸν καὶ πλείστου ἄξιον ἐπαίνου, διανύσαι τούτους τὴν ἑαυτῶν ζωὴν εἰρηνικῶς καὶ χωρὶς σκανδάλων καὶ ὀχλήσεων, ἐπεὶ δὲ φθόνῳ τοῦ δαίμονος καὶ οὗτοι εἰς ταραχὰς καὶ ὀχλήσεις τὰς εἰς ἀλλήλους ἐνέπεσον καὶ τὸ βοηθεῖν ἀλλήλοις ἔπαυσεν, ἐντεῦθεν ἤρξατο ἡ μοναχὴ ἀμελεῖν τοῦ μοναχοῦ καὶ τὰ πρὸς χρείαν ἀμφοτέρων ἀποταχθέντα μόνη κατέχουσα, οὐδεμίαν πρόνοιαν ὑπὲρ αὐτοῦ ἐποιεῖτο· νόσῳ οὖν καὶ γήρᾳ καὶ πενίᾳ ἀναγκασθεὶς ὁ μοναχὸς τὴν συνέχουσαν αὐτὸν πενίαν διετραγῴδει εἰς τὴν ἡμῶν μετριότητα, καὶ ἀντικριθῆναι ταύτῃ ἐζήτησε περὶ τού-

του· οὗ γενομένου ἔμπροσθεν τῆς ἡμῶν μετριότητος. παρούσης καὶ τῆς μοναχῆς, ἐπεὶ ὁ μὲν μοναχὸς οὐδεμίαν ἀπόδειξιν ὧν ἔλεγε, προκομίσαι ἐδύνατο, τὸ δὲ πρᾶγμα ἀπῄτει ἀφορισμὸν μέσον αὐτῶν ἐκφωνηθῆναι εἰς ἀνεύρεσιν τῆς ἀληθείας, η μετριότης ἡμῶν, εἰς γῆρας ἰδοῦσα τούτους ἤδη νενευκότας καὶ πρὸς θάνατον ἤδη πεφθακότας, οὐ δίκαιον ἔκρινεν ἀφορισμῷ τούτους ὑποβαλεῖν, μήποτε κρύφαντες τὴν ἀλήθειαν κινδυνεύσωσι κατὰ ψυχήν, ἀλλ' ἐπεὶ δύο κελλία συνέστησαν ὁπωσδήποτε, καὶ θεῖοι ναοὶ ἐν αὐτοῖς εὑρίσκονται, οἳ συνίστασθαι δίκαιον, εὑρίσκοντο δ' ὁπωσδήποτε μέχρι τοῦ νῦν τὰ κελλία ἡνωμένα, νῦν δὲ ἀδύνατόν ἐστι ταῦτα εἰς ἕνωσιν ἐλθεῖν, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν μερισθῶσιν ἐπίσης ἅπαντα τὰ ἐν αὐτοῖς εὑρισκόμενα, κἂν ἀπὸ οἱουδήτινος τρόπου κέκτηνται αὐτά, καὶ τὴν μὲν μίαν μερίδα λάβῃ ὁ μοναχὸς καὶ τὸ κελλίον αὐτοῦ, καὶ ποιήσει ἐν αὐτοῖς, ὅπερ ἂν βουληθείη, πλὴν μόνης τηρουμένης τῆς τούτου συστήσεως καὶ τάξεως, ὡσαύτως καὶ ἡ μοναχὴ τὴν ἑτέραν μερίδα καὶ τὸ κελλίον αὐτῆς, καὶ ποιήσει καὶ αὕτη ἐν τούτοις, ὡς ἂν ἐθελήσει. ἐπεὶ τοίνυν προτροπῇ καὶ παρασκευάσει τῆς ἡμῶν μετριότητος ἀπῆλθον οἵ τε τιμιώτατοι ἐξωκατάκηλοι ἄρχοντες τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ὅ τε μέγας χαρτοφύλαξ, διάκονος, κῦρ Μιχαὴλ ὁ Βαλσαμών, ἀλλὰ δὴ καὶ ὁ θεοφιλέστατος ὑπομνηματογράφος, διάκονος, κῦρ Ἀκίνδυνος ὁ Περδίκης, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ αὐτῆς, οἳ καὶ ἐν ἀμφοτέροις τοῖς κελλίοις τὴν προσήκουσαν ἐπιμέλειαν καὶ ἐξέτασιν ποιησάμενοι εὗρον πράγματά τινα καὶ ἐμέρισαν ἐπίσης πρὸς αὐτούς, ὀφείλουσιν ἀπὸ τῆς σήμερον κατὰ τὴν περὶ τούτου διάγνωσιν καὶ ἀπόφασιν τῆς ἡμῶν μετριότητος ἀνενόχλητοι καὶ ἀνεπηρέαστοι διατηρεῖσθαι ἀπ' ἀλλήλων, καὶ μήτε τὸν μοναχὸν πλέον ἀπαιτεῖν τὸ τυχὸν ἀπ' αὐτῆς, μήτε πάλιν αὐτὴν ἀπ' αὐτοῦ, ἀλλ' ἔχειν ἑκάτερον τὸ κελλίον αὐτοῦ καὶ ποιεῖν τὰ δοκοῦντα αὐτῷ, μηδεμίαν ἀνάκρισιν ὑφιστάμενος παρὰ τοῦ ἑτέρου ἢ τὸν τυχόντα ἐμποδισμόν, παραπέμπειν τε, ὅπου ἂν ἐθέλοι, πλὴν μόνης τῆς τούτων τηρουμένης συστάσεώς τε καὶ τάξεως, καὶ πάντα ποιεῖν ἐν αὐτῷ, ὅσα τοῖς κυρίοις ἔξεστι ποιεῖν ἐν τοῖς τοιούτοις ἱεροῖς πράγμασιν· εἰ δέ τις αὐτῶν ἀπὸ τοῦ νῦν ἐπήρειαν θελήσει προξενῆσαι τῷ ἑτέρῳ καὶ εἰς κρίσεις καὶ ἀπαιτήσεις καθέλκειν, παρακελευόμεθα διὰ τῆς παρούσης ἡμῶν συνοδικῆς διαγνώσεως, ὡς ἂν ἀπρόσδεκτος ᾖ παντάπασι καὶ ἀπόβλητος

ὡς κακὸς καὶ ἐπηρεαστὴς ἄνθρωπος καὶ τὸ ψεῦδος καὶ τὴν ἀπάτην ἀντὶ τῆς ἀληθείας αἱρούμενος, ὅθεν καὶ ὀφείλουσι τὰ περὶ τούτου κατὰ τὴν ἀπόφασιν καὶ διάγνωσιν τῆς ἡμῶν μετριότητος ἀπολυθεῖσαν εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν †.

## DLXXXVI. 9608 (1400) iuliu. ind. VIII.

*Confirmatio piae fundationis monasterio Euuraniotissae factae.*

† Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Οἷς ἄρα διαυγὲς τὸ τῆς ψυχῆς ὄμμα καὶ φωτεινὸν ἔνεστι, τούτοις καὶ τὰ ἐκεῖθεν καλῶς καὶ τὰ νῦν ὡς ἔχουσι, κατοπτεύονται, κἀντεῦθεν ἐφίενται μὲν ἐκείνων πάσῃ δυνάμει, ὡς ἑστώτων καὶ ἀιδίων, ἀφίστανται δὲ τῶν παρόντων, ὡς φθειρομένων τε καὶ προσκαίρων, καὶ τούτων εἰσί τινες, οἳ τὴν ἀρχὴν ἔξω κόσμου καὶ τῆς ὕλης γενόμενοι, γυμνῇ τῇ ψυχῇ τῶν τοῦ βίου πραγμάτων, μόνοι τῷ μόνῳ προσλαλοῦσι θεῷ, μηδενὸς ἄλλου δεόμενοι, ἕτεροι δ' αὖ ἐν μέσῳ τῶν τοῦ βίου πραγμάτων συνωθισθέντες καὶ τὸ ἀνώμαλον καὶ ἄστατον τούτων καλῶς στοχασάμενοι, οὐ πρὸς φθορὰν τὴν ὕλην, ἀλλ' εἰς ἀθάνατον διαμονὴν λαμπρῶς μετεσκεύασαν, εἰς ἱεροὺς οἴκους καὶ μοναστήρια τὰς ὑπάρξεις καταλιπόντες, ἀνθ' ὧν καὶ αὐτοὶ τὸ τῆς ψυχῆς, ὡς εἴρηται, καθαρὸν ἔχοντες ὄμμα, διὰ τῆς ὕλης ταύτης τῆς ἀύλου καὶ μακαρίας ἐκείνης ἠξιώθησαν τάξεώς τε καὶ κληρουχίας· τούτων δὲ τῶν δευτέρων μιμητὴς γενέσθαι θελήσας καὶ ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιος ὁ Κουνάλης, καὶ σκοπὸν ἄνωθεν ἔχων θεοφιλῆ καὶ σωτήριον, ψυχὴν δ' αὖ τὰ τῇδε καλῶς καθορῶσαν, οἵας ἀπάτης εἰσὶ καὶ φθορᾶς, δεῖν ἔγνω καὶ οὗτος τὰ βιωτικῶς αὐτῷ προσόντα μὴ φθειρόμενα ταῦτα κατέχειν παρ' ἑαυτῷ ἐπὶ κεναῖς ταῖς ἐλπίσιν, ἀλλ' ὅπως ἂν ὦσιν αὐτὰ εἰς μόνιμόν τινα καὶ ἀθάνατον διαδοχὴν καὶ δόξαν μὲν τοῦ παρασχόντος αὐτῷ ταῦτα θεοῦ, μισθὸν δὲ τούτου καὶ μνήμην διηνεκῆ· καὶ δὴ τὸ μονύδριον τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος, τὸ εἰς ὄνομα τιμώμενον τῆς Εὐουρανιωτίσσης εὑρών, ἀκαλὲς πάντῃ καὶ σεσαθρωμένον καὶ ἄπορον, καὶ ἀναδραμὼν εἰς τὸν ἁγιώτατον καὶ ἀοί-

διμον πατριάρχην Νεῖλον ἐκεῖνον, τὸν τῆς οἰκουμένης φωστῆρά τε καὶ διδάσκαλον, ἠξίωσεν ἐπιτραπῆναι αὐτῷ τὴν τούτου ἀνάκτισίν τε καὶ ἐπιμέλειαν καὶ βελτίωσιν· θείᾳ τοιγαροῦν προτροπῇ καὶ διακρίσει τοῦ ἁγίου ἐκείνου ἀνέκτισέ τε τοῦτο καὶ ἀνεσκεύασε καὶ ναὸν περικαλλῆ, καὶ γύρωθεν τούτου κελλία καὶ αὐλὴν καὶ πύλην, καλῶς ἅπαντα δι' οἰκείων ἐξόδων τε καὶ κόπων κατεσκεύασε, καὶ μονύδριον κρεῖττον πεποίηκεν εἰς καταμονὴν καὶ οἴκησιν μοναζουσῶν, προσέτι δὲ καὶ τῆς τοῦ ναοῦ εὐκοσμίας φροντίσας, οὐχ ὅσα ζωγράφων χεὶρ οἶδε μόνον κοσμεῖν, ἀλλ' ὅσα καὶ ἄλλαι τέχναι τὸ ἡδὺ καὶ χαρίεν ἐπιφέρουσιν, ἱεραὶ γὰρ καὶ θεῖαι εἰκόνες ἐξ ἀργύρου τε καὶ κόσμου πολυτελοῦς ὑπ' αὐτοῦ φιλοτίμως κατεσκευάσθησαν, ἔπιπλά τε λαμπρὰ καὶ φιλότιμοι βίβλοι καὶ ἱερὰ κειμήλια καὶ εὐπρόσοδοι οἶκοι καὶ κτήματα τούτῳ δὴ τῷ μονυδρίῳ παρ' αὐτοῦ προσετέθησαν, ἃ δὴ πάντα κατὰ μέρος δι' οἰκείου γράμματος οὗτος δὴ καταγράψας καὶ τῷ μονυδρίῳ, μᾶλλον δὲ τῇ πανυπεράγνῳ μου δεσποίνῃ καὶ θεομήτορι καὶ δι' αὐτῆς τῷ θεῷ ἀναθεὶς καὶ ἀφιερώσας, οὐ μὴν ἀλλὰ καὶ τῇ ἡμῶν μετριότητι καὶ τῷ μεθ' ἡμᾶς κατὰ καιροὺς ἐλευσομένῳ οἰκουμενικῷ πατριάρχῃ τὴν τούτου κανονικὴν ἐπίσκεψιν καὶ φροντίδα ἐν αὐτῷ τῷ τούτου γράμματι παραδοὺς ἑαυτὸν καὶ ἅπαντα γνήσιον αὐτοῦ συγγενῆ ἀπηλλοτρίωσέ τε καὶ ἐξήγαγε τῆς αὐτοῦ δεσποτείας καὶ κατοχῆς· οὗ δὴ γράμματος ἐμφανισθέντος παρ' αὐτοῦ τῇ ἡμῶν μετριότητι ὑπὲρ τοῦ χορηγηθῆναι αὐτῷ σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος, διὰ πλείω τούτου βοήθειαν καὶ ἀσφάλειαν, ἡ μετριότης ἡμῶν τὴν αὐτοῦ ὑπεραποδεξαμένη θεοφιλῆ γνώμην καὶ προαίρεσιν καὶ τὴν αἴτησιν τούτου προσδεξαμένη, ὡς δικαίαν οὖσαν καὶ εὔλογον, τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται, ὡς ἂν ἀμετάτρεπτα καὶ ἀμεταποίητα ὦσιν, ὅσαπερ ὁ Κουνάλης οὗτος τῷ μονυδρίῳ τούτῳ ἀφιέρωσέ τε καὶ ἐγγράφως παρέδωκε, καὶ κατὰ τὴν ἰσχὺν καὶ περίληψιν τοῦ γεγονότος παρ' αὐτοῦ παραδοτικοῦ γράμματος διατηρῶνται ἅπαντα τὰ παρὰ τοῦ Κουνάλη προσηλωθέντα καὶ ἀφιερωθέντα τῷ μονυδρίῳ τούτῳ ἀναπόσπαστα καὶ ἀδούλωτα καὶ ἀμετάτρεπτα, οὐ μόνον παρὰ παντὸς ἐξωτερικοῦ προσώπου ἢ συγγενικοῦ αὐτοῦ, ἀλλὰ καὶ παρ' αὐτοῦ τοῦ Κουνάλη τοῦ καὶ ἀφιερώσαντος ταῦτα· ἕως μὲν γὰρ εἶχε ταῦτα παρ' ἑαυτῷ, εἰς τὴν ἄδειαν καὶ ἐξουσίαν ἦσαν αὐτοῦ καὶ μετασκευάζειν αὐτὰ καὶ μετατιθέναι καὶ δε-

σπόζειν αὐτῶν· ἐπεὶ δὲ τῷ θεῷ ἀνετέθησαν, οὐχ ἕξει ἄδειαν ὅλως ἀποσπάσαι ταῦτα ἢ σφετερίσασθαι, ἀλλ' ὡς ἱερὰ καὶ τοῦ θεοῦ, σέβεσθαι ταῦτα καὶ τιμᾶν, ἀφίστασθαι δὲ τῆς αὐτῶν δεσποτείας καὶ κατοχῆς, οὐδὲ γὰρ ἔξεστι τοῖς λαϊκοῖς, κἂν καὶ αὐτοὶ ὦσιν οἱ τὰ ἱερὰ προσενεγκόντες, μεταλαμβάνειν καὶ ἐσθίειν ἀπὸ τῶν ἱερῶν, ἀλλὰ μόνοις τοῖς ἀφιερωμένοις καὶ δουλεύουσι τῷ θεῷ ἐνδέδοται τοῦτο, ἵνα, κατὰ τὸν μακάριον Παῦλον, δουλεύοντες οὗτοι καὶ προσκαρτεροῦντες τῇ προσευχῇ, ἀπὸ τούτων ἔχωσι καὶ τὰ πρὸς ζωήν, ὅθεν κατά τε τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ κατὰ τοὺς θείους καὶ φιλευσεβεῖς νόμους ἀναπόσπαστα καὶ ἀμεταποίητα κείσονται ἅπαντα τὰ τοῦ μονυδρίου τούτου, εἴτε κτήματα, εἴτε ἱερὰ κειμήλια ὦσιν αὐτῶν, ἀλλ' ἀδούλωτα καὶ ἀμετάτρεπτα ἐς ἀεὶ κείσονται ταῦτα παρὰ παντὸς προσώπου· εἰ δέ ποὑ τις τῶν ἁπάντων ἢ καὶ τῶν προσγενῶν τούτου ἢ καὶ τῶν ἔξωθεν χεῖρα πλεονεκτικὴν ἐπιβάλλῃ καὶ ἅρπαγα, καὶ ἢ ἀπὸ τῶν ἀφιερωθέντων τῷ μονυδρίῳ τούτῳ νοσφίσηται, ἢ τούτῳ ληστρικῶς καὶ ἐπιβούλως καὶ παρὰ κανόνας ἐπιτεθῇ, τῷ τοιούτῳ ὡς ἱεροσύλῳ καὶ τῶν θείων αὐτοῦ κανόνων ἀθετητῇ καὶ ἡ μετριότης ἡμῶν τῷ βαρυτάτῳ καὶ φρικώδει καθυποβάλλει ἀφορισμῷ. ἐπὶ τούτοις γὰρ γεγονὸς καὶ τὸ παρὸν σιγιλλιῶδες γράμμα τῆς ἡμῶν μετριότητος προσετέθη τῷ ἱερῷ σκευοφυλακείῳ τοῦ εἰρημένου πανσέπτου καὶ θείου μονυδρίου τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένου τῆς Ἐυουρανωτίσσης εἰς μόνιμον καὶ διηνεκῆ ἀσφάλειαν †.

† Κατὰ μῆνα ἰούλιον τῆς η' ἰνδ. τοῦ ,ςϠη' ἔτους †.

## DLXXXVII. (6908—1400) iulio. ind. VIII.

*Synodus dirimit controversiam.*

† Ἐπεὶ Ἰωάννης ὁ Χρυσάφης, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἔγκλησιν ἐποιήσατο κατὰ πρεσβυτέρου Φωκᾶ, τοῦ γαμβροῦ αὐτοῦ, εἰπών, ὡς πρό τινος ἤδη καιροῦ ἀποθνήσκων ὁ πάππος αὐτοῦ, μοναχὸς Βλάσιος ὁ Τζάκαλις ἐκεῖνος, ἐπαφῆκε πρὸς αὐτὸν λεγάτου χάριν ὑπέρπυρα πεντήκοντα, ἃ καὶ ἀναδραμὼν ὁ πρεσβύτερος οὗτος καὶ ζητήσας ἔλαβε ταῦτα φυλακῆς ἕνεκα καὶ ἀσφαλείας διὰ τὸ τὸν Χρυσάφην εἶναι ἀφήλικα, ἀφ' ὧν δέδωκε

μὲν αὐτῷ ὑπέρπυρα δέκα καὶ μόνον, τὰ δὲ τεσσαράκοντα κατέχει, ἃ καὶ ἐζήτει λαβεῖν ἐξ αὐτοῦ, καὶ παρόντος τοῦ πρεσβυτέρου καὶ πρὸς ταῦτα μὴ ἀντειπεῖν δυνηθέντος, ἀλλὰ συνομολογοῦντος αὐτῷ, ὅτι ἔλαβε ταῦτα, πλὴν εἰπόντος, ὅτι ἐξωδίασε ταῦτα, καὶ οὐκ ἔχει νῦν ἀποδοῦναι, πενίαν προβαλομένου καὶ ἔνδειαν καὶ φθορὰν τῆς προικὸς τῆς γυναικὸς αὐτοῦ, ἡ μετριότης ἡμῶν διέγνω καὶ ἀπεφήνατο, ἵνα δίχα λόγου τινὸς ἢ τῆς τυχούσης προφάσεως, ἐπεὶ πενίαν καὶ ἔνδειαν ὁ πρεσβύτερος οὗτος προβάλλεται, ἵνα ἀποδῷ πρὸς τὸν Χρυσάφην ἐντὸς τῆς τοῦ τετραμήνου διωρίας τῆς νομίμως τοῖς ἀπόροις διδομένης τὰ τεσσαράκοντα ταῦτα ὑπέρπυρα, ἅπερ ὡμολόγησε καὶ αὐτὸς ὅτι ἔλαβεν φυλακῆς ἕνεκα καὶ ἀσφαλείας· εἰ δὲ ἐντὸς τῆς διωρίας ταύτης οὐκ ἀποδώσει ταῦτα πρὸς αὐτὸν, ἵνα κατέχῃ ὁ Χρυσάφης τὸ τοῦ πρεσβυτέρου ὀσπήτιον, καὶ ἱκανοῦται ἐξ αὐτοῦ εἰς ἅπερ ὀφείλονται αὐτῷ ὑπέρπυρα τεσσαράκοντα, τιμηθέντος πρότερον αὐτοῦ, καὶ εἴπερ ἔλαττον τῶν μ΄ ὑπερπύρων εἴη, ὀφείλει ὁ πρεσβύτερος καὶ ἡ γυνὴ αὐτοῦ (κοινῶς γὰρ τὴν παρακαταθήκην ταύτην ἔφθειραν καὶ ἀπώλεσαν) ἀποδοῦναι αὐτῷ καὶ τὰ πλείω ἀπὸ τῆς ἄλλης ἁπάσης περιουσίας αὐτοῦ, μηδένα λόγον ἐχούσης τῆς γυναικὸς αὐτοῦ προβαλέσθαι ὑπὲρ τῆς προικὸς δῆθεν αὐτῆς, οὐδὲ γὰρ δανειακῶς ἔλαβε ταῦτα καὶ ἁπλῶς, ἵν᾽ ᾖ προτιμοτέρα ἡ ταύτης προὶξ τῶν ὑπερπύρων τούτων, ἀλλ᾽ ἐνεχειρίσθησαν ταῦτα πρὸς φυλακὴν, ἀφήλικος ὄντος, καθὼς εἴρηται, τοῦ Χρυσάφη, ὅθεν οὐχ ἕξει ποτὲ τὴν οἱανδήτινα πρόφασιν προβαλέσθαι, ταῖς ἀπατωμέναις γὰρ ὁ νόμος καὶ οὐ ταῖς πανούργοις βοηθεῖ. ὀφείλουσιν οὖν ἀπροφασίστως καὶ δίχα λόγου τινὸς ἐντὸς τῆς δοθείσης αὐτοῖς διωρίας ἀποδοῦναι πρὸς τὸν Χρυσάφην τὰ μὲν ταῦτα ὑπέρπυρα, εἰ δ᾽ οὖν, ἵνα λάβῃ τὸ τοῦ πρεσβυτέρου ὀσπήτιον καὶ κατέχῃ τοῦτο εἰς ἣν περιστῇ παρ᾽ εἰδημόνων τιμὴν, κυρίως καὶ δεσποτικῶς, ἀναφαιρέτως καὶ ἀναποσπάστως, καὶ εἰ μὲν ἔλαττον εἴη τῶν μ΄ ὑπερπύρων, ζητεῖν ἀπὸ τοῦ πρεσβυτέρου καὶ τὰ πλείω, εἰ δ᾽ ὑπερβάλλει πάλιν τὸ τοῦ ὀσπητίου τίμημα τὰ μ΄ ταῦτα ὑπέρπυρα, ὀφείλει ὁ πρεσβύτερος ἀναλαβεῖν καὶ τὰ πλείω ἀπὸ τοῦ Χρυσάφη. ὅθεν καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν καὶ τὸ παρὸν ἀπολέλυται γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. η΄ †.

## DLXXXVIII. (6908—1400) iulio. ind. VIII.

*Georgius Cunales et uxor eius patroni monasterii Euuraniotissae constituuntur.*

† Ἐπεὶ κῦρ Γεώργιος ὁ Κουνάλης, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, πρὸ χρόνων τινῶν ἀναδραμὼν εἰς τὸν ἁγιώτατον καὶ ἀοίδιμον πατριάρχην Κωνσταντινουπόλεως, κῦρ Νεῖλον, ἀνήνεγκεν ἐπιτραπῆναι αὐτῷ, ὡς ἂν ἐπιλάβηται τοῦ μονυδρίου τοῦ εἰς ὄνομα τιμωμένου τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένου τῆς Εὐουρανιωτίσσης, καὶ ἀνακτίσῃ τοῦτο καὶ ἀνοικοδομήσῃ, παλαιοῦ πρότερον καὶ σεσαθρωμένου τυγχάνοντος, καὶ θείᾳ διακρίσει καὶ ὁρισμῷ ἐκείνου ἐδόθη τοῦτο πρὸς αὐτόν, ὃς καὶ ἀναδεξάμενος τοῦτο, τὸν μὲν πάνσεπτον καὶ θεῖον ναὸν ἐξ αὐτῶν κρηπίδων ἀνέκτισε τοῦτον καὶ ἀνῳκοδόμησε, τὴν δὲ αὐλὴν μετὰ κελλίων καὶ φραγμοῦ γύρωθεν κατεσκεύασεν εἰς καταμονὴν καὶ οἴκησιν μοναζουσῶν, πολλά τε ἐκ τῶν αὐτῷ προσόντων τὰ μὲν ἀφιέρωσε, τὰ δὲ ὑπὲρ αὐτοῦ προσανάλωσεν, εἶτα φέρων παραδέδωκε τοῦτο τῇ ἡμῶν μετριότητι καὶ τῷ κατὰ καιροὺς ἐλευσομένῳ οἰκουμενικῷ πατριάρχῃ διὰ γράμματος αὐτοῦ, ὡς ἂν ἔχῃ τοῦτο τὴν πᾶσαν ἐξέτασιν παρ' ἡμῶν καὶ κανονικὴν φροντίδα καὶ ἐπίσκεψιν· καὶ δὴ τὴν ἐπιμέλειαν τούτου καὶ τὴν φροντίδα ἀναδεξαμένη ἡ μετριότης ἡμῶν, ἐπεὶ χρεία ἦν ἐπιστῆσαι τῷ μονυδρίῳ τούτῳ ἔφορόν τινα καὶ διοικητὴν εἰς αὐτό, ὡς ἂν ἔχῃ τὴν φροντίδα τούτου καὶ τὴν πᾶσαν αὐτοῦ ἐπιμέλειαν οὗτος, καὶ πολλὰ διασκεψαμένη οὐχ εὗρεν ἕτερον κρείττω τοῦ εἰρημένου Κουνάλη, ὃς καὶ ἀγάπην καὶ ζῆλον εἶχε πρότερον θεϊκὸν εἰς αὐτό, καὶ νῦν ἔτι πολλὴν ἐνδείκνυται σπουδὴν καὶ ἐπιμέλειαν ὑπὲρ αὐτοῦ καὶ τῆς τούτου συστάσεώς τε καὶ βελτιώσεως, ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησι τῷ εἰρημένῳ κῦρ Γεωργίῳ τῷ Κουνάλῃ τὴν ἐφορίαν καὶ ἐπίσκεψιν καὶ ἐπιμέλειαν καὶ διοίκησιν τοῦ ἀνοικοδομηθέντος καὶ βελτιωθέντος ὑπ' αὐτοῦ μονυδρίου τοῦ εἰς ὄνομα τιμωμένου τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένου τῆς Εὐουρανιωτίσσης, ὡς ἂν ἔχῃ οὗτος τὴν πᾶσαν αὐτοῦ ἐπιμέλειαν καὶ φροντίδα καὶ διοίκησιν, καὶ ὡς κτήτωρ γὰρ αὐτοῦ καὶ ὡς ἀποταχθεὶς εἰς τοῦτο παρὰ τῆς ἡμῶν μετριότητος πολλὴν εὖ οἶδα καὶ ἔτι σπουδὴν ἐνδείξεται καὶ ἐπιμέλειαν εἰς αὐτό, ἔχῃ δὲ τὴν τοιαύτην ὑπηρεσίαν, μέχρις ἂν ζῇ, μετὰ

δὲ τὸν αὐτοῦ θάνατον εἴπερ ζῇ ἡ γονὴ αὐτοῦ, κορὰ ......, καὶ βουληθείη ἐλθεῖν καὶ κατοικῆσαι ἐν αὐτῷ, ἢ καὶ ζῶντος αὐτοῦ ἐὰν ἐκ κοινῆς συμφωνίας ἐθελήσει τοῦτο ποιῆσαι, ἵνα τὴν αὐτὴν καὶ αὕτη διοίκησιν καὶ ἐπιμέλειαν ἔχῃ εἰς τὸ μονύδριον τοῦτο, ἥνπερ καὶ οὗτος, τὴν αὐτὴν γὰρ καὶ ἄμφω γνώμην θεοφιλῆ πρὸς σύστασιν καὶ βελτίωσιν αὐτοῦ ἕξουσι, καὶ οὐκ ἐλάττω φανήσεταί τις ἐξ αὐτῶν, ἀλλὰ καὶ μείζω τὴν ἀγάπην καὶ τὴν εἰς τοῦτο προθυμίαν τὸ καταλειφθὲν μέλλει πρόσωπον ἐπιδείξεσθαι, οὐ σφετεριζόμενοι ὅσα προαφιερώθησαν παρ' αὐτῶν τῷ μονυδρίῳ τούτῳ, οὐδὲ ἀρχοντικῶς καὶ δεσποτικῶς διενεργοῦντες τὰ τοῦ μονυδρίου, ἀλλὰ μετὰ βουλῆς καὶ ἐνδόσεως τῆς ἡμῶν μετριότητος καὶ τοῦ κατὰ καιροὺς εὑρισκομένου οἰκουμενικοῦ πατριάρχου, καὶ κατὰ τὴν ὑποτυπωθεῖσαν ἐγγράφως καὶ ἐν τοῖς ἄλλοις ἅπασι μοναστηρίοις δοθεῖσαν κανονικὴν καὶ νόμιμον διάταξιν τῆς ἡμῶν μετριότητος, ἅπαντα τὰ τοῦ μονυδρίου τούτου πράξουσι, μετὰ δέ γε τὸν θάνατον τῆς εἰρημένης γυναικὸς αὐτοῦ, εἴπερ ἔχοι τινὰ τῶν προσγενῶν αὐτοῦ ἢ καὶ τῶν ἔξωθεν, τὴν αὐτὴν θεοφιλῆ γνώμην ἔχουσαν ἥνπερ καὶ οὗτοι, εὐλαβῆ τε οὖσαν αὐτήν, καὶ εἰς ἀποδοχὴν καὶ ἀνάπαυσιν τῶν μοναζουσῶν, ἵνα ἀναφέρηται τὰ περὶ ἐκείνης τότε τῇ ἡμῶν μετριότητι ἢ τῷ κατὰ καιροὺς εὑρισκομένῳ οἰκουμενικῷ πατριάρχῃ, καὶ εἴπερ ἁρμοδία καὶ ἱκανὴ φανείη πρὸς τοῦτο, τῇ ἐνδόσει καὶ προτροπῇ τότε τοῦ οἰκουμενικοῦ πατριάρχου ἵνα ἐπιλαμβάνηται κἀκείνη τοῦ μονυδρίου τούτου, τηρουμένης παρ αὐτῶν ἀκριβῶς κατὰ πάντα τῆς κανονικῆς καὶ νομίμου διαταγῆς καὶ παρακελεύσεως τῆς ἐν τοῖς ἱεροῖς καὶ θείοις ναοῖς τε καὶ μοναστηρίοις ἐντεταλμένης τε καὶ διωρισμένης, ὅθεν καὶ κατὰ τὴν τοιαύτην ἐκλογὴν καὶ ἔνδοσιν τῆς ἡμῶν μετριότητος ὀφείλει ὁ εἰρημένος κῦρ Γεώργιος ὁ Κουνάλης καὶ ἡ γονὴ αὐτοῦ ἵνα εὑρίσκωνται, μέχρις ἂν ζῶσιν, εἰς τὸ μονύδριον τοῦτο, κτήτορες, οἰκονόμοι, διοικηταὶ καὶ φροντισταὶ πάντων τῶν προσόντων τῷ μονυδρίῳ τούτῳ πραγμάτων τε καὶ κτημάτων, ἐπιμελούμενοι καὶ σπουδάζοντες πάσῃ δυνάμει, ὅσα πρὸς σύστασιν καὶ βελτίωσιν ἀφορῶσιν αὐτοῦ, τὸ ἀνενόχλητον ἔχοντες ἀπὸ πάντων καὶ ἀδιάσειστον. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. η' †.

## DLXXXIX. Sine anno.

*Synodi sententia de dote.*

† Θεοτόκης ὁ μάγκιψ, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ συγγάμβρου αὐτοῦ, τοῦ νομικοῦ, εἰπών, ὡς περιπατῶν διασπείρει πανταχοῦ, ὅτι τοῦ εἰς προῖκα δοθέντος αὐτῷ μαγκιπικοῦ ἐργαστηρίου τὸ ἥμισυ ἔχει αὐτός, καὶ ὡς κληρονόμος κοινὸς τῶν γονέων τῆς γυναικὸς αὐτοῦ καὶ ἀπὸ διαθήκης ἐκείνου τοῦ πενθεροῦ αὐτοῦ, τοῦ Κυδώνη, ἐν τῇ Ἀνατολῇ τελευτήσαντος· ἐζήτησεν οὖν ὁ Θεοτόκης συνοδικῶς αὐτὸν παραγενέσθαι καὶ ἀποδεῖξαι, εἴ τι δικαίωμα ἔχει εἰς τὸ μαγκιπεῖον τὸ εἰς προῖκα δοθὲν αὐτῷ δὴ τῷ Θεοτόκῃ. διαμηνυθεὶς δὲ καὶ ὁ νομικὸς καὶ συνοδικῶς παραγενόμενος, πρῶτον μὲν διωρίαν ἡμερῶν οὐκ ὀλίγων ἐζήτησεν, ἵνα ἀπολογήσηται εἰς ἃ ζητεῖ ὁ Θεοτόκης, ἧς παραδραμούσης πάλιν διαμηνυθεὶς ἐπεὶ μετὰ δύο καὶ τρία μηνόματα παρεγένετο, διαθήκην μὲν ἢ ἕτερόν τι δικαίωμα ἔγγραφον ἔχειν ἠρνήσατο εἰς τὸ μαγκιπεῖον, ἐπεὶ οὐδὲ εἶχεν, ἐζήτει δὲ μόνον ὡς κληρονόμα καὶ αὐτὸς τοῦ πενθεροῦ αὐτοῦ τὸ ἥμισυ τοῦ μαγκιπείου, καὶ μὴ δοθῆναι αὐτὸ τῷ Θεοτόκῃ εἰς προῖκα διισχυρίζετο, ὁ δὲ Θεοτόκης ἔδειξε γράμμα ἐμμάρτυρον τοῦ Κυδώνη ἐκείνου, τοῦ πενθεροῦ αὐτοῦ, ποιοῦντος ἐπίτροπον Ἀγάλλωνά τινα Γεώργιον, ἵνα ὑπανδρεύσῃ κοινῶς τὴν θυγατέρα αὐτοῦ μετὰ τῆς πενθερᾶς αὐτοῦ, τῆς μάμμης αὐτῆς Θεοδώρας, καὶ ἵνα δῷ πρὸς αὐτὴν τό τε μαγκιπεῖον καὶ ἄλλο εἴ τι ἔχει χρυσοῦν τε καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἔτι δὲ καὶ σύμφωνον δοθῆναι αὐτῷ ταῦτα διαλαμβάνον. πρὸς ταῦτα ὁ νομικὸς διισχυρίζετο, μὴ εἶναι τὸ γράμμα τοῦ πενθεροῦ αὐτοῦ τὸ ἐπιτροπικὸν ἀληθές, καὶ τοῦ Ἀγάλλων συνοδικῶς παραγενομένου καὶ μαρτυροῦντος ἀπὸ τοῦ Κυδώνη, τοῦ πενθεροῦ αὐτοῦ, δέξασθαι τὸ ἐμφανιζόμενον γράμμα καὶ ὑπανδρεῦσαι κοινῶς τὴν θυγατέρα ἐκείνου μετὰ τοῦ Θεοτόκη καὶ δοῦναι αὐτῷ εἰς προῖκα τό τε μαγκιπεῖον καὶ πάντα τὰ εὑρηθέντα εἰς τὸ ὁσπήτιον αὐτοῦ. πρὸς ταῦτα ὁ νομικός, μηδὲν ἰσχυρὸν ἔχων ἀντιθεῖναι, ἠξίωσε δοθῆναι αὐτῷ διωρίαν, ὡς ἂν εὕρῃ τὴν διαθήκην ἐκείνου, δι' ἧς πλαστὸν ἀποδείξει τὸ ἐμφανιζόμενον γράμμα. διέκρινεν οὖν ἡ μετριότης ἡμῶν, ὡς ἂν εἰ μὲν ἐντὸς τεσσάρων μηνῶν ἀρχομένων ἀπὸ τῆς εἰκοστῆς τοῦ παρόντος εὑρεῖν δυνηθείη διαθήκην,

ὡς λέγει, ἤ τινα μαρτυρίαν, δι' ἧς παρασαλεύσει τὸ ἐπιτροπικὸν γράμμα, τότε ὀφείλομεν πρὸς τὸ εὑρεθὲν διακρῖναι· εἰ δ' οὐ δυνηθῇ ἐντὸς τῆς ῥηθείσης διωρίας ἀποδεῖξαί τι τῶν ῥηθέντων, ὀφείλει ὁ Θεοτόκης ἔχειν τὰ ἑαυτοῦ ἀνενοχλήτως πάντῃ καὶ ἀνεπηρεάστως ἀπὸ τοῦ συγγάμβρου αὐτοῦ, τοῦ νομικοῦ, μηδεμίαν διενόχλησιν ἐπάξοντος αὐτῷ τὸ σύνολον περὶ τούτου ἢ εἰς δικαστήριον καθελκύσαντος, νικᾷ γὰρ ὁ Θεοτόκης, τοῦ νομικοῦ ἀποροῦντος συστῆσαι, ὃ λέγει, καὶ ὡς νεμόμενος καὶ κατὰ τὴν ἰσχὺν καὶ περίληψιν τῶν αὐτοῦ δικαιωμάτων. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν· δεκατρεῖς γὰρ χρόνους νεμομένου αὐτὸ μετὰ τὸν γάμον τοῦ Θεοτόκη, παρὼν καὶ ὁ νομικὸς οὐδεμίαν διενόχλησιν ἢ ἐπήρειαν αὐτῷ ἐπήγαγεν ἢ ὁ πενθερὸς αὐτοῦ, ὁ Κυδώνης ἐκεῖνος †.

## DXC. Sine anno.

*Synodus dirimit controversiam.*

† Γεώργιος ὁ Κοντοκρουθάρης, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ ἐπὶ θυγατρὶ γαμβροῦ αὐτοῦ, Γεωργίου τοῦ Εὐδοκίμου, εἰπών, ὡς τὴν νομὴν τὴν δοθεῖσαν αὐτῷ εἰς τὸ φρέαρ τὸ εἰς τὸ περιβόλιον αὐτοῦ ἐπὶ τῷ ἀντλεῖν ὕδωρ, πρότερον μὲν ἀπὸ τῆς πενθερᾶς γε αὐτοῦ, τῆς Ἀϊτανίνης ἐκείνης, διὰ μέσου τοῦ ὀσπητίου τοῦ δοθέντος ὕστερον εἰς λεγάτον παρ' ἐκείνης τῇ θυγατρὶ αὐτοῦ, ὕστερον δὲ διὰ τὸ πολλὰς ὀχλήσεις γενέσθαι ἀπὸ τοῦ διέρχεσθαι τὸν Κοντοκρουθάρην διὰ μέσου τοῦ ὀσπητίου τῆς θυγατρὸς αὐτοῦ καὶ ὕδωρ ἀντλεῖν ἐκ τοῦ περιβολίου, ἐπιστασίας ἀκριβοῦς γενομένης παρὰ τῶν τιμιωτάτων ἐξωκατακήλων, τοῦ τε μεγάλου χαρτοφύλακος, τοῦ νῦν ἱερωτάτου μητροπολίτου Γοτθίας, καὶ τοῦ μεγάλου σακελλαρίου, τοῦ Βαλσαμὼν ἐκείνου, πρωτεκδίκου τηνικαῦτα τυγχάνοντος, ἐξ ἀποστολῆς τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου ἐκείνου, κῦρ Ἀντωνίου, ἠμείφθη ἡ τοιαύτη νομὴ καὶ γέγονεν ἀπὸ τοῦ μικροῦ ἑτέρου οἰκήματος, ὃ ἐπροικίσθη ἐκ τῆς Ἀϊτανίνης ὁ Κοντοκρουθάρης, ὅπως πειρᾶται πάλιν ὁ Εὐδόκιμος ὁ γαμβρὸς αὐτοῦ καταλῦσαι, καὶ διὰ

ὀπάνοιξις ὥστε κρατεῖν μόνον τὸ περιβόλιον τοῦ γαμβροῦ αὐτοῦ τὸν Κοντοκρουθάρην, καὶ μὴ τὸ ὀσπήτιον αὐτοῦ καὶ τὸ περιβόλιον . . . . περ ἐγίνετο πρότερον μεγάλην καὶ σχεδὸν ἀφόρητον ἐπήρειαν ἐμποιοῦν τῷ γαμβρῷ αὐτοῦ, ταύτην οὖν τὴν διακριθεῖσαν τότε νομὴν τοῦ φρέατος οὕτως ἀνέφερεν ὁ Κοντοκρουθάρης.

τοῦτο καθέλκει αὐτὸν εἰς κριτήρια καὶ λίαν ἐνοχλεῖ αὐτῷ. ἡ γοῦν μετριότης ἡμῶν, ἐπεὶ εὗρε τὴν διάκρισιν τὴν γεγονυῖαν παρὰ τῶν ἐκκλησιαστικῶν ἀρχόντων προτροπῇ πατριαρχικῇ προβᾶσαν, δεῖν ἔκρινεν αὐτὴ πάλιν ἐπιστῆναι τῷ τόπῳ, καὶ ἕκαστα ὡς γέγονε καὶ προέβη ἀναθεωρῆσαι, ὅθεν καὶ ἐπεὶ σὺν πολλοῖς ἄλλοις ἐκεῖσε παραγενόμεθα, εὕρομεν τὴν μὲν προτέραν νομὴν τὴν δοθεῖσαν τῷ Κοντοχρυθάρῃ παρά γε τῆς Ἀϊτανίνης, τῆς κορίας τῶν οἰκημάτων, μεγάλην καὶ ἀφόρητον προξενοῦσαν ἐπήρειάν τε καὶ βλάβην τῷ Εὐδοκίμῳ (εἶχε γὰρ ἄδειαν πύλην ἔχειν καὶ δίοδον εἰς τὸ τοῦ γαμβροῦ αὐτοῦ οἴκημα καὶ οὕτω πατεῖν καὶ τὸ περιβόλιον αὐτοῦ μέχρι καὶ τοῦ φρέατος) τὴν δὲ διακριθεῖσαν παρὰ τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ ἀνοιχθεῖσαν ἀπό γε τοῦ μικροῦ πλαγηνοῦ οἰκήματος, ὅπερ ἐπροικίσθη ὁ Κοντοχρυθάρης, ὀλίγην προξενοῦσαν τῷ Εὐδοκίμῳ κατατριβήν, ἅτε καὶ μόνον διερχομένην τὸ περιβόλιον, δοθῆναι δέ γε παρὰ τῆς Ἀϊτανίνης τὴν πρώτην νομὴν τῷ Κοντοχρυθάρῃ, καὶ ἡ τοῦ Εὐδοκίμου γονὴ ὡμολόγησεν· ἐζήτησεν οὖν ἡ μετριότης ἡμῶν εὑρεθῆναι, εἴπερ δέδωκε τῇ θυγατρὶ τοῦ Κοντοχρυθάρη ἡ Ἀϊτανίνα τὸ ὀσπήτιον πρὸ τοῦ δοῦναι τῷ Κοντοχρυθάρῃ τὴν τοιαύτην νομήν· εἰ γὰρ εὑρίσκετο τοῦτο, οὐδόλως ἐγένετο δικαίως ἡ τοιαύτη δίοδος παρὰ τῆς Ἀϊτανίνης δι' ἀλλοτρίου οἰκήματος, ὃ προλαβοῦσα ἐκδέδωκεν· εὑρέθη τοίνυν καὶ τοῦτο ἀπὸ ὁμολογίας τῆς τοῦ Εὐδοκίμου γυναικός, ὡς ἡ τοῦ φρέατος νομὴ ἐδόθη τῷ πατρὶ αὐτῆς πρὸ τοῦ λεγατευθῆναι ταύτην τὸ οἴκημα. τούτων οὖν οὕτω φανερῶν γεγονότων διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, ἔχειν τὸν Κοντοχρυθάρην τὴν διακριθεῖσαν παρὰ τῶν ἐκκλησιαστικῶν ἀρχόντων νομὴν εἰς τὸ φρέαρ καὶ γεγονυῖαν ἀφ' οὗ εἰς προῖκα ἔλαβεν ὀσπητίου, ἀκώλυτον πάντῃ καὶ ὡς ἐλαφροτέραν εἰς τὸν Εὐδόκιμον, καὶ ὡς δοθεῖσαν αὐτῷ ἀπὸ τῆς κορίας τῶν οἰκημάτων, καὶ ὡς ἀπό γε τῶν νόμων βοηθούμενος, τριετίαν ὁριζόντων τὴν νομὴν τοῦ ὕδατος, ὁ δὲ ὑπὲρ τὰ ὀκτὼ ἔτη ἐνεμήθη ταύτην· πλὴν ὀφείλει ὁ Κοντοχρυθάρης ἀπό γε τῆς πύλης αὐτοῦ τοῖχον ἀνακτίσαι καὶ ῥομίδα ποιῆσαι τοῦ μὴ . . . . . . ἢ πατεῖν ἅπαν τὸ τοῦ Εὐδοκίμου περιβόλιον. τούτων γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

DXCI. (6908—1400) augusto. ind. VIII.

*Synodus sententiam dicit in lite de pignore.*

† Ἰωάννης, ὁ τοῦ Πουρῆ υἱός, παραστὰς τῇ ἡμῶν μετριότητι, συνοδικῶς προκαθημένῃ, ἔγκλησιν ἐποιήσατο κατὰ τῶν ἐπιτρόπων τοῦ Ἀνατολικοῦ ἐκείνου, εἰπών, ὡς ὁ πατὴρ αὐτοῦ ὁ Πουρῆς δέδωκεν αὐτῷ ἐν τῷ τῶν γάμων καιρῷ καὶ ζωνάριον φραγγικόν, τιμῆς ὑπερπύρων πεντήκοντα, ὅπερ πρὸ χρόνων ἦν τεθειμένον εἰς τὸν Ἀνατολικὸν ὡς ἐνέχυρον μετὰ δακτυλίου μαλαγματηνοῦ ἑνὸς χάριν κδ' ὑπερπύρων, τοῦ γοῦν Ἀνατολικοῦ ἀποθανόντος, ἐπεὶ τὸ ζωνάριον ἀπαιτῶν οὐχ εὕρισκεν, ἵνα καὶ τὸ χρέος ἀποδῷ, ἐζήτησεν, ὡς ἂν τυχὼν βοηθείας λάβῃ τὰ ἴδια. διαμηνυθεὶς τοίνυν ὁ ἐπὶ ἐγγόνῃ γαμβρὸς τοῦ Ἀνατολικοῦ, ὁ Γλυκύς, καὶ ἀπολογήσασθαι προτραπείς, αὐτὸς μὲν οὐδὲν ἐνέχεσθαι εἶπεν, εἰ μὴ τὸν περὶ τούτου λόγον τὸν πενθερὸν αὐτόν, τὸν Ῥουχᾶν, ὀφείλειν δοῦναι· παραστάντος τοίνυν τοῦ Ῥουχᾶ καὶ ἀπαιτηθέντος ἀπολογήσασθαι, διαθήκην μὲν ἔγγραφον τοῦ Ἀνατολικοῦ προεκόμισε, τό τε χρέος καὶ τὰ εἴδη καταγράφουσαν, ὡμολόγησε δέ, ὡς ἡνίκα ἠβούλετο ἀγαγέσθαι ἄνδρα τῇ θυγατρὶ αὐτοῦ, ἐν χρείᾳ γενόμενος ὑπερπύρων, ἀπεμπόλησε τοῦτο. τούτων οὖν οὕτως ἀναφανέντων ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, διέγνω καὶ ἀπεφήνατο αὕτη, ὡς ἐπεὶ τὸ ζωνάριον ἀμετόχως ἀπεμπόλησεν ὁ Ῥουχᾶς, ἵνα ἢ τὸ ζωνάριον ἀποδῷ πρὸς τὸν τοῦ Πουρῆ υἱόν, καὶ λάβῃ τὸ χρέος αὐτοῦ, τὰ κδ' ὑπέρπυρα, ἢ κατὰ πᾶσαν ἀνάγκην. τὴν ἀναφανεῖσαν ἀληθῶς τιμὴν τούτου, ὡσαύτως εἴπερ ἀποδείξει καὶ περὶ τοῦ δακτυλίου ὁ τοῦ Πουρῆ υἱός, ὡς κατέχει καὶ αὐτὸ ὁ Ῥουχᾶς, λάβῃ ἂν καὶ τοῦτο· εἰ δ' οὔ, γένηται καὶ ἐν αὐτῷ τὸ ἐκ τῶν νόμων δίκαιον. ἐπεὶ δὲ ὁ Ῥουχᾶς πενίαν προβαλλόμενος οὐ δύνασθαι ἀποδοῦναι ταῦτα εἶπεν, ἐδόθη αὐτῷ διωρία ἡ νόμιμος, ἡ τοῦ τετραμήνου, ὡς ἂν εἰ μὲν ἐντὸς ταύτης ἀποδῷ ταῦτα τὰ ἀναφανέντα ἢ κατὰ μικρὸν ἢ ὁμοῦ πάντα ταύτης πληρωθείσης, ἤδη καλόν· εἰ δ' οὔ, ἵνα ἐνέχηται ἅπας ὁ βίος αὐτοῦ, κινητός τε καὶ ἀκίνητος, εἰς τὴν ἀναφανησομένην τιμὴν τοῦ ζωναρίου ἱκανοποιεῖν αὐτὸν χωρίς τινος ἀναβολῆς καὶ ὑπερθέσεως, εἰ μήπως τινὰ τῶν πραγμάτων αὐτοῦ ἀποδειχθῶσιν ὑποτεθειμένα εἰς προγενέστερον χρέος, τότε γὰρ ἐξ ἐκείνων ὀφείλουσιν ἐκβληθῆναι τὰ προγενέστερα χρέα, εἴπερ δὲ περισσεύσῃ καὶ ἐξ αὐτῶν τι, ὀφείλει ἀποδο-

† Ἱερεὺς Χριστοφόρος ὁ Τενεδαῖος ὑπέγραφεν †.

## DXCV. 6908 (1400) augusto. ind. VIII.

*Synodus sententiam dicit in lite de dote.*

† Φθάνει πρό τινος ἤδη καιροῦ ἡ περιπόθητος θεία τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κυρὰ Ἄννα ἡ Παλαιολογίνη, ἀντικριθεῖσα συνοδικῶς μετὰ τῶν υἱῶν αὐτῆς τῶν Παλαιολόγων περὶ τῶν δύο ἀμπελίων, τοῦ τε Μολιάτου ἐκείνου καὶ τοῦ Τζυκανδήλου, ἃ οἱ μὲν υἱοὶ αὐτῆς οἱ Παλαιολόγοι ἀπῄτουν ὡς πατρικὰ αὐτῶν κτήματα, ἡ δὲ Παλαιολογίνη ἀπέδειξε διὰ πολλῶν λόγων καὶ ἀποδείξεων, ὡς τὰ προικῷα αὐτῆς οἰκήματα σὺν τῷ ἀμπελίῳ αὐτῆς ἐδόθησαν παρὰ τοῦ πατρὸς αὐτῶν τῇ θυγατρὶ αὐτοῦ, τῇ τούτων αὐταδέλφῃ, τῇ γυναικὶ τοῦ Ἀστρᾶ, ἀνθ' ὧν πλείονος τιμῆς ὄντων παρὰ τὰ ῥηθέντα δύο ἀμπέλια ἐκδέδωκε ταῦτα πρὸς τὴν ἑτέραν θυγατέρα αὐτῆς λόγῳ προικός, ὅτε πρὸς γάμον συνῆψε ταύτην τῷ οἰκείῳ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Φιλίππῳ τῷ Τζυκανδήλῃ, ὃ καὶ ἠξίου στερχθῆναι καὶ ἀντὶ τῶν προικῴων αὐτῆς δεφενδευθῆναι ταῦτα τῷ Τζυκανδήλῃ· ἐδικαιώθη μὲν οὖν τηνικαῦτα νομίμως ἡ Παλαιολογίνη, ἄδειαν ἔχειν ποιῆσαι εἰς τὰ ῥηθέντα ἀμπέλια, εἴ τι ἔδοξεν αὐτῇ, ὡς προτιμωμένη νομίμως εἰς τὴν προῖκα αὐτῆς, ὥστε λαβεῖν αὐτὴν ἀπὸ τῆς περιουσίας τοῦ ἀνδρὸς μὲν αὐτῆς, πατρὸς δὲ τῶν Παλαιολόγων, καὶ ὃ ἐποίησεν αὕτη εἰς ταῦτα, τὸ στέργον ἔχειν καὶ βέβαιον ἀπεφάνθη, καθὼς περὶ τούτων διαλαμβάνεται πλατύτερον ἐν τῇ τότε ἐκτεθείσῃ περὶ τούτων συνοδικῇ διαγνώσει καὶ ἀποφάσει τῆς ἡμῶν μετριότητος· ἀρτίως δὲ τῷ μέρει τῶν υἱῶν αὐτῆς προστεθεῖσα, ἀναδραμοῦσα συνοδικῶς εἰς τὴν ἡμῶν μετριότητα, παρόντος καὶ τοῦ Τζυκανδήλου, πάντα τἀναντία διηγήσατο ὧν εἶπε πρότερον, ὅτι τε τὰ προικῷα οἰκήματα καὶ τὸ ἀμπέλιον αὐτῇ ἐξέδοτο πρὸς τὴν θυγατέρα αὐτῆς, τὴν τοῦ Ἀστρᾶ ἐκείνου γυναῖκα, καὶ οὐχ ὁ ἀνὴρ αὐτῆς, καὶ παρῃτήσατο ταῦτα, καὶ ὅτι τὰ ῥηθέντα ἀμπέλια πατρικά εἰσι τῶν παίδων αὐτῆς, καὶ καταλῦσαι διετείνετο, ὃ ἐποίησε πρὸς τὸν Τζυκανδήλην, καὶ δοῦναι ταῦτα τοῖς υἱοῖς αὐτῆς· ἐκεῖ οὖν ἀπόδειξιν μὲν οὐδεμίαν εἶχεν ὧν εἶπε νῦν, προκομίσαι ἢ ἔγγραφον ἢ ἀπὸ μαρτυρίας, ὅτι παρῃτήσατο τὴν ἰδίαν προῖκα

εἰς τὸ τοῦ Ἀστρᾶ συνοικέσιον, προεβάλλοντο γὰρ τοῦτο καὶ οἱ Παλαιολόγοι πρότερον, οὐ μὲν συστῆσαι ἠδυνήθησαν, ζῶντος γὰρ τοῦ πατρὸς αὐτῶν καὶ παρόντος ἔλαβον γαμβρὸν τὸν Ἀστρᾶν, καὶ ἐκεῖνος ὤφειλε τὴν δοθεῖσαν τῷ Ἀστρᾷ προῖκα, καὶ ἐὰν καὶ ἡ γυνὴ αὐτοῦ συνεφώνει, ἐκεῖνος ἦν ὁ συμφωνῶν καὶ διδούς, καὶ μάλισθ' ὅτι παρῆν, καὶ οὐκ ἀντέλεγε, εἰ μή που δείξῃ ἡ Παλαιολογίνη, ὅτι ἐγγράφως παρῃτήσατο τὴν ἰδίαν προῖκα, ὅτε ἐδίδοντο τὰ κτήματα τῷ Ἀστρᾷ, ὅπερ οὔτε οἱ Παλαιολόγοι πρότερον, οὔτε ἀρτίως ἡ μήτηρ αὐτῶν συστῆσαι δεδύνηται, αὐτὴ δὲ πολλαχόθεν ἔχει τὸ ἀπρόσδεκτον, καὶ ὡς γυνὴ καὶ ὡς τἀναντία οἷς εἶπε πρότερον, λέγουσα. ὅθεν καὶ ἐπεὶ ἡ Παλαιολογίνη ἑκουσίως ἐκδέδωκε ταῦτα εἰς προῖκα τῷ ῥηθέντι κῦρ Φιλίππῳ τῷ Τζυκανδήλῃ ἡ τούτων κυρία, ὡς προτιμωμένη εἰς ταῦτα διὰ τὴν προῖκα αὐτῆς, καθέξει αὐτὰ ὁ ῥηθεὶς Τζυκανδήλης κυρίως τε καὶ δεσποτικῶς, ἀνενοχλήτως τε καὶ πάντη ἀνεπηρεάστως ἀπό τε τῆς ῥηθείσης Παλαιολογίνης καὶ τῶν υἱῶν αὐτῆς, τῶν Παλαιολόγων. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, ἀπολυθὲν ἐν ἔτει ‚ς 𐅻 η'. ὥστε δὲ ταῦτα τοῦτον τηρηθῆναι τὸν τρόπον, καὶ βάρος ἀφορισμοῦ φρικώδους ἐκφωνεῖ κατὰ τῶν ὅλως ἀντιτεῖναι πρὸς ταῦτα ἐπιχειρησόντων ἢ παρασαλεῦσαι ταῦτα ὁπωσδήποτε †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. η' †.

## DXCVI. (6908—1400) augusto. ind. VIII.

*Promissio sacerdotis Ioannis Phudulae.*

† Ἐγὼ ἱερεὺς Ἰωάννης ὁ Φουδούλης τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι, ὡς ἂν ἀπὸ τοῦ νῦν ὑπάρχω εἰρηνικὸς μετὰ πάντων, καὶ πολιτεύωμαι καλῶς καὶ εὐτάκτως, καθὼς ὁ μακάριος καὶ μέγας καὶ πρῶτος νομοθέτης ὁ ἅγιος Παῦλος νομοθετεῖ τοὺς διακόνους, καὶ μήτε οἴνῳ χρῶμαι, μήτ' ἄλλαις τισὶν ἀτασθαλίαις καὶ ἀπαιδευσίαις, μὴ αἰχροκερδής, μὴ πλήκτης εἶναι, μηδὲ ὁμιλίαις ἀτάκτοις σχολάζειν, ἀλλὰ πᾶσαν πρᾳότητα καὶ ταπείνωσιν καὶ εὐλάβειαν πρὸς πάντας ἐνδείκνυσθαι καὶ μόνης τῆς ἀνηκούσης τῷ ἐμῷ σχήματι ἀκολουθίας φροντίζειν καὶ εὐταξίας καὶ καταστάσεως. κἂν μὲν οὕτω πολι-

τεύωμαι, ἤδη καλόν· εἰ δέ τι τῶν γεγραμμένων ἀθετήσω ἢ παρασαλεύσω, ἵν' ἐκ τοῦ ἀπεντεῦθεν καθαιρέσει παντελεῖ ὑποπίπτω κατὰ τὴν περὶ τὰ τοιαῦτα τῶν κανόνων ἀκρίβειαν. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις. μηνὶ αὐγούστῳ ἰνδ. η' †.

† Ο ευτελης ιερευς Ιωαννης ο Φουδοόλης στέργων ὑπέγραφα †.

## DXCVII. 6908 (1400) augusto. ind. VIII.

*Synodus dirimit controversiam.*

† Φθάνει μὲν κυρὰ Ἄννα Λασκαρίνα ἡ Ταγαρίνα ἔγκλησιν ποιησαμένη κατὰ κὺρ Φιλίππου Δοῦκα τοῦ Ἀπρηνοῦ ἐπὶ τῷ βασιλικῷ σεκρέτῳ παραγενομένη, κριτῶν ὄντων τότε τοῦ μητροπολίτου Νικομηδείας, τοῦ Ἀλουσιάνου τοῦ Καβαλλαροπούλου, ἐκείνων, περὶ ὑπερπύρων ὧν ἐδανείσατο ὁ Ἀπρηνὸς τεσσαρακονταπέντε ἐξ αὐτῆς, ὅτι καὶ ἐδικαιώθη καὶ γράμμα γέγονε παρ' ἐκείνων, διαλαμβάνον, ὡς εἴπερ οὐκ ἀποδῷ ταῦτα πρὸς αὐτὴν ἐντὸς διωρίας χρόνων δύο, ἵνα κατέχῃ ἡ Λασκαρίνα τὸ ἀδελφάτον, ὅπερ ἔχει ἐν τῇ σεβασμίᾳ μονῇ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τοῦ Μαρούλη, ὅπερ δὴ καὶ δικαιωθεῖσα κατεῖχεν αὐτὸ ἐπὶ χρόνοις τισίν, ἐπεὶ τὰ ὑπέρπυρα οὐκ εὐπόρησε δοῦναι ὁ Ἀπρηνὸς τῆς δοθείσης αὐτῷ διωρίας παρελθούσης. τοῦ γοῦν τοιούτου γράμματος κατά τινα τύχην τὰ πλείω μέρη τῇ φθορᾷ παραδόντος, ἡ Λασκαρίνα πάλιν εἰς τὸ βασιλικὸν σέκρετον παραγενομένη καὶ τὸ καταλελομένον ἐκεῖνο ἐμφανίσασα γράμμα, οὐ τοῖς οὖσι τότε κριταῖς (ἐκεῖνοι γὰρ ἐτελεύτησαν ἐκ μακροῦ) ἀλλὰ τοῖς νῦν οὖσι, τῷ τε τιμιωτάτῳ μεγάλῳ χαρτοφύλακι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διακόνῳ, κῦρ Ἰωάννῃ τῷ Συροπούλῳ, καὶ τοῖς οἰκείοις τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, τῷ τε Χρυσοκεφάλῳ καὶ τῷ Οἰνεώτῃ, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῖς υἱοῖς τῆς ἡμῶν μετριότητος, ἐδεήθη πάλιν διάγνωσιν γενέσθαι παρ' αὐτῶν εἰς τοῦτο, ὡς ἢ λαβεῖν τὴν Λασκαρίναν ἀπὸ τοῦ Ἀπρηνοῦ τὰ τεσσαρακονταπέντε ὑπέρπυρα ἐκεῖνα νῦν, ἢ τὴν προτέραν καὶ αὐτοὺς ἐπιβεβαιῶσαι ψῆφόν τε καὶ ἀπόφασιν· οἳ καὶ τῆς Λασκαρίνης ἀκροασάμενοι, διαμηνυθέντος παρ' αὐτῶν καὶ τοῦ Ἀπρηνοῦ καὶ παραγενομένου καὶ μηδὲ ἐχόμενον λέγοντος, ἀλλὰ προβαλλομένου προφάσεις τινὰς καὶ εὑρεσιλογίας, σεκρετικὸν ἕτερον καὶ

οὗτοι ἐποιήσαντο γράμμα, ὁμοῦ τε τὸ πρῶτον ἐκεῖνο ἐπικυροῦν, καὶ ὅπως ὁ Ἀπρηνὸς ἤκουσε τὸ χρέος τοῦτο, καὶ οὐκ ἀντεῖπεν, ἀλλ' ὡμολόγησε, σαφῶς παραδηλοῦν. τούτων οὕτω προβάντων ἡ τοῦ Ἀπρηνοῦ θυγάτηρ, κυρὰ Ἰακωβίνα, ἐπιτρόπους διὰ γράμματος αὐτῆς ποιήσασα τόν τε θεοφιλέστατον ὑπομνηματογράφον τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διάκονον, κῦρ Ἀκίνδονον τὸν Περδίκην, καὶ τὸν ἐντιμότατον ὑπομιμνήσκοντα, διάκονον, κῦρ Θεόδωρον τὸν Τυχομενόν, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ἐζήτησεν, ὡς ἂν ἀντικριθῶσιν οὗτοι ἀντ' αὐτῆς εἰς τὴν ἡμῶν μετριότητα μετὰ τῆς εἰρημένης Λασκαρίνης ὑπὲρ τοῦ ἀδελφάτου αὐτῆς, λέγουσα, ὡς τὸ τοιοῦτον ἀδελφάτον πεκούλιον ἦν αὐτῆς, περιελθὸν αὐτῇ ἀπὸ λεγάτου τοῦ πρὸς πατρὸς πάππου αὐτῆς, καὶ ἀμετόχως ἐδόθη τοῦτο τῇ εἰρημένῃ Λασκαρίνῃ, ἧς καὶ διαμηνυθείσης καὶ παραγενομένης, οἱ δηλωθέντες ἄρχοντες εἶπον, παρόντος καὶ τοῦ Ἀπρηνοῦ, ὡς ἡμεῖς ἀποκαταστάντες ἐπίτροποι παρὰ τῆς τοῦ Ἀπρηνοῦ θυγατρὸς ἔγκλησιν ποιούμεθα κατὰ τῆς Λασκαρίνης, ζητοῦντες, ὅπερ ἔλαβεν ἀδελφάτον ἀπὸ τοῦ πατρὸς αὐτῆς, τοῦ Ἀπρηνοῦ, εἰς τὸ χρέος αὐτοῦ, οὐκ ἦν γὰρ ἐκείνου τὸ ἀδελφάτον, ἀλλὰ τῆς θυγατρὸς αὐτοῦ, περιελθὸν αὐτῇ ἀπὸ τοῦ πρὸς πατρὸς πάππου αὐτῆς, ἐφ' οἷς καὶ γράμμα προέτεινον, δικαιοῦν αὐτὴν ἔχειν ἀδελφάτον εἰς τὴν εἰρημένην μονήν, πρὸς τούτοις τε ἔλεγον, ὡς εἴπερ ὀφείλει ὁ Ἀπρηνὸς τῇ Λασκαρίνῃ, ἱκανωσάτω αὐτὴν ἀπὸ τῶν αὐτοῦ. ταῦτα τῶν δηλωθέντων ἀρχόντων εἰπόντων, ἡ Λασκαρίνα τὸ σεκρετικὸν ἐκεῖνο γράμμα τὸ ἐν μέρει καταλελομένον προῆγε, καὶ τὸ δεύτερον, ὅπερ ἐπικυρωτικὸν ἦν καὶ συστατικὸν ἐκείνου, ἀφ' ὧν ἀνεφαίνετο, ὡς τεσσαρακονταπέντε ὑπέρπυρά εἰσι τὰ ὀφειλόμενα τῇ Λασκαρίνῃ παρὰ τοῦ Ἀπρηνοῦ, καὶ ὅτι τὸ εἰρημένον ἀδελφάτον ἐδόθη μὲν κατ' ἀρχὰς πρὸς τὴν Λασκαρίναν ὡς ἐνέχυρον, εἶτα ἐδικαιώθη καὶ κατὰ τελείαν δεσποτείαν κατέχειν αὐτό, ἐπεὶ οὐκ ηὐπόρησεν ὁ Ἀπρηνὸς ἀποφλῆσαι τὰ εἰρημένα ὑπέρπυρα. τούτων οὖν οὕτως ἐχόντων, ἐπεὶ κατὰ τοὺς θείους καὶ φιλευσεβεῖς νόμους διαρρήδην ὁριζομένους καὶ λέγοντας περὶ τῶν ἰδιοκτήτων πεκουλίων καὶ τῶν παγανικῶν, ἤτοι τῶν ἀπ' ἰδίων κινδύνων προσελθόντων τε καὶ μόχθων καὶ τῶν ἀπὸ κληρονομίας καὶ χάριτος εὕρομεν, ὅτι τῶν μὲν μὴ ἔχειν ἄδειαν τοὺς τεκόντας καὶ ἐξουσίαν, τῶν δὲ παγανικῶν ἔχειν ἐξουσίαν, ὥστε λαμβάνειν αὐτὰ καὶ διδόναι

εἰς χρέη καὶ εἰς ἑτέρας ἀνάγκας αὐτῶν, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ὡς ἐπεὶ καὶ τὸ ἀδελφάτον τοῦτο οὐκ ἰδιόκτητον ἦν, ἐξ εὐεργεσίας δὲ μᾶλλον τοῦ πρὸς πατρὸς πάππου τῆς Ἰακωβίνης, ὑπέθηκε δὲ ὁ πατὴρ αὐτῆς εἰς τὸ χρέος αὐτοῦ, ὕστερον δὲ ἡ κρίσις τῶν δικαστῶν αὐτοῦ, μὴ εὐποροῦντος ἄλλοθεν ἱκανῶσαι τὸ χρέος αὐτοῦ, καὶ δεσποτικῶς παρέσχε τοῦτο τῇ Λασκαρίνῃ, ἣ λαβοῦσα κατέχει χρόνους ἱκανούς, καὶ οὐκ ηὐπόρησεν ὁ Ἀπρηνὸς ἐλευθερῶσαι αὐτό, ἀλλ' εἰς τοιαύτας χωρεῖ ἐπινοίας καὶ κρίσεις, μὴ ἔχειν ἄδειαν ὅλως ἢ αὐτὸν τὸν Ἀπρηνὸν ἢ τὴν θυγατέρα αὐτοῦ, τὴν εἰρημένην Ἰακωβίναν, ὡς πεκούλιον δῆθεν καὶ λεγάτον αὐτῆς ἀνακαλεῖσθαι τοῦτο καὶ ἀναζητεῖν ἀπὸ τῆς Λασκαρίνης, ἀλλὰ στέργειν μὲν τὸν Ἀπρηνὸν τὴν ἐπενεχθεῖσαν ἐκείνην πρώτην καὶ τὴν δευτέραν ψῆφον καὶ ἀπόφασιν τῶν κριτῶν, ὡς δικαίως καὶ νομίμως προβάσας, τὴν Ἰακωβίναν δὲ μὴ ἀντιλέγειν τούτοις ἢ ἀντιπράττειν, εἰ καὶ τὸ ἀδελφάτον τοῦτο αὐτῆς ἐστιν, ἐπεὶ παρὰ τῶν θείων καὶ φιλευσεβῶν νόμων δεδομένον ἐστὶ τοῦτο, τὸ τὰ τῶν παίδων πεκούλια τὰ ἀπὸ χάριτος καὶ δωρεᾶς περιελθόντα αὐτοῖς ἄδειαν ἔχειν τοὺς τεκόντας ὑπὲρ ἑαυτῶν χρῆσθαι, ὅθεν καὶ καθέξει κυρὰ Ἄννα Λασκαρίνα ἡ Ταγαρίνα τὸ εἰρημένον ἀδελφάτον καὶ τελείαν δεσποτείαν καὶ κυριότητα, καὶ ποιήσει ἐπ' αὐτῷ, ἔστ' ἂν ἐν τοῖς ζῶσιν ᾖ, ἅπαν, ὅπερ εἰς τὴν ἀποδοχὴν αὐτῆς ὑπάρχει καὶ βούλησιν, παρὰ τοῦ εἰρημένου κὺρ Φιλίππου Δούκα τοῦ Ἀπρηνοῦ ἢ τῆς δηλωθείσης θυγατρὸς αὐτοῦ ἀνενόχλητος διατηρουμένη καθάπαξ καὶ ἀνεπηρέαστος. τούτου γὰρ χάριν καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν. ἔτους ,ϛϡ η' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ αὐγούστῳ ἰνδ. η' †.

## DXCVIII. (6909—1400) septembri. ind. IX.

*Promissio sacerdotis Philippi Ducis.*

† Ἐγὼ ἱερεὺς Φίλιππος ὁ Δοὺξ τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι, ὡς ἂν ἀπὸ τῆς σήμερον ὑπάρχω εἰρηνικὸς μετὰ πάντων, ἀπέχω τε ἀπὸ τοῦ γίνεσθαι μερίτ . . . . καὶ συκοφαντεῖν καὶ ἄλλα πράττειν ἀπᾴδοντα τῷ ἐμῷ σχήματι, ἔτι δὲ εὐλαβὴς

εἰς τὰ θεῖα καὶ εἰς τὴν ὑπηρεσίαν μου, εὐτρεπίζω τε τὸν ἅγιον οἶκον, ὃν ψάλλω, ὡς δεῖ, καὶ μὴ τολμήσω ποτὲ εἰσάξαι ἐντὸς τοῦ ἁγίου θυσιαστηρίου ἕτερόν τι χωρὶς τῶν νενομισμένων· εἰ δ' ἄλλως πράξω, παρ' ὃ ὑπόσχομαι, ἵνα εὐθύνωμαι, καθὼς ὁρίσῃ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης. μηνὶ σεπτεβρίῳ ἰνδ. θ' †.

† Ἱερεὺς ὁ Φίλιππος στέργων ὑπέγραφα †.

## DCXIX. 6909 (1400—1401 ind. IX.).

*Synodus sententiam dicit in lite.*

† Φθάνει πρό τινος ἤδη καιροῦ ἐξωνησάμενος ὁ τιμιώτατος πρωτέκδικος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, διάκονος, κῦρ Γεώργιος ὁ Εὐγενικός, ἀπὸ Ἀσαννίνης, τῆς τοῦ ἐπὶ τῆς τραπέζης ἐκείνου γυναικός, περιβόλιον, ὅπερ σύνεγγύς ἐστι τοῦ περιβολίου αὐτοῦ, ὃ καὶ προλαβὼν ἐκράτει ἐπὶ ἐμφυτεύματι ἐπετείῳ τε καὶ ἀδιακόπῳ εἰς τὸ διηνεκές, διαδεξάμενος αὐτὸ ἀπὸ Μανουὴλ τοῦ Εὐγενικοῦ, λαβόντος αὐτοῦ διὰ γράμματος παρὰ τῆς Ἀσαννίνης, εἰς ὃ δὴ καὶ ἐζήτησε πλησιασμοῦ δίκαιον ἡ μοναχὴ Μάρθα, διὰ τὸ νομὴν ἔχειν αὐτὴν ἐν τῷ ἐν αὐτῷ φρέατι καὶ διέξοδον εἰς τὴν βασιλικὴν ὁδὸν ἀφ' οὗ διεδέξατο καθίσματος παρὰ τοῦ μοναχοῦ Γενναδίου ἐκείνου, οὗ δὴ περιβολίου καὶ ἔλαβε τὸ ἥμισυ τούτου, τοῦ πρωτεκδίκου ἐφησυχάσαντος, διὰ τὸ νομίζειν ἀνακοίνωσιν αὐτὴν καὶ δίκαιον ἔχειν ἀπὸ τοῦ προβαλέσθαι τοῦτο τὸ μέρος τῆς μοναχῆς διὰ τὴν ῥηθεῖσαν νομήν, καὶ παραδραμόντος αὐτὸς τοῦ τῆς ὁμοτελείας δικαίου καὶ τοῦ τῆς ἐμφυτεύσεως οὗ εἶχεν ἐν αὐτῷ, ἐξ ὧν προτιμᾶσθαι δίκαιον εἶχε κατὰ τοὺς νόμους εἰς τοῦτο. τοῦ χρόνου τοίνυν προϊόντος καὶ διετίας ὅλης παραδραμούσης, ἐπεὶ καὶ ὀχλήσεις μέσον αὐτῶν προέβησαν, ὅ τε πρωτέκδικος κριτής, ἄλλων προχειρισθεὶς ὑπὸ τῆς ἐκκλησίας Χριστοῦ καὶ ἀνάγκην σχὼν νόμοις ἐνασχολεῖσθαι καὶ τοιούτοις ζητήμασι καὶ ἐξετάζειν, τίνα νομίμως ἐν πράσει πρόσωπα προτιμῶνται, τὸ ἴδιον δίκαιον συνιδὼν καὶ ὡς προτιμᾶται εἰς τὴν τοῦ περιβολίου ἐξώνησιν μόνος αὐτὸς κατὰ δύο τρόπους νομίμως, ἀπό τε τοῦ ὁμοτελὴς εἶναι τῷ τοιούτῳ περιβολίῳ, ἀπό τε τοῦ ἐπὶ ἐμφυτεύματι ἐπετείῳ διηνεκῶς κατέχειν αὐτό, οὗ εἰς διάπρασιν τῶν ἄλλων πλησιαζόντων οὐδείς ποτε προτιμᾶται, τοῦ κατέχοντος ἐξωνήσασθαι βουλομένου. ἐπεὶ τοίνυν ταῦτ'

ἐσκέψατο, συνοδικῶς ἐκίνησε τὸ περὶ τούτου, καὶ ἐζήτησεν ἀντικριθῆναι τῇ μοναχῇ εἰς ἅπερ οὐκ ἐκίνησε τότε, ἐπεὶ καὶ ὁ χρόνος ὁ μεταξὺ παρελθὼν οὐκ ἀπέκλεισεν αὐτόν, εἴπερ τι κινῆσαι βούλεται δίκαιον, ὃ πρὶν οὐκ ἐκίνησεν· ἐπεὶ οὖν δίκαια λέγειν ἔδοξε, διαμηνυθείσης καὶ τῆς μοναχῆς καὶ παραστάσης συνοδικῶς, τὰς δύο ταύτας ἐκίνησεν ὁ πρωτέκδικος ἀγωγάς, τήν τε τῆς ὁμοτελείας, ἣν εἶχεν εἰς τὸ ῥηθὲν περιβόλιον, τήν τε τῆς ἐμφυτεύσεως, δι' ἧς κατεῖχεν αὐτὸ κυρίως τε καὶ δεσποτικῶς, ἔχων ἄδειαν παραπέμπειν αὐτὸ καὶ πρὸς τοὺς αὐτοῦ κληρονόμους, ἡ δὲ μοναχὴ οὐδὲν ἕτερον εἶχε κινεῖν ἢ μόνον τὸ τοῦ πλησιασμοῦ δίκαιον, ὃ εἶχεν ἀπὸ τῆς ῥηθείσης νομῆς, ὡς δὲ καὶ ἀκριβέστερον ἐξετασθῆναι τὰ περὶ τούτου ἡ μοναχὴ ἠξίωσε διὰ τοῦ τιμιωτάτου μεγάλου σκευοφύλακος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διακόνου, κῦρ Ἰωάννου τοῦ Συροπούλου, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, ἐπιτρόπου αὐτῆς καὶ φροντιστοῦ καταστάντος, ὡς αὐτὸς διηγήσατο. ἡ μετριότης ἡμῶν δέον ἔκρινεν ἐπιστῆναι τῷ περιβολίῳ καὶ ἐπιστατικῶς θεωρῆσαι, ὅσον ἔχει δίκαιον ἑκάτερον τῶν μερῶν· ἐν ᾧ δὴ καὶ γενόμενοι, τὸ τῆς ὁμοτελείας πρότερον διέγνωμεν κινηθῆναι, καὶ ὁ μὲν πρωτέκδικος ἀπέδειξεν, ὅτι ὑποτελῆ εἰσι τά τε ὀσπήτια καὶ τὸ περιβόλιον αὐτοῦ, δι' οὗ πλησιάζει τῷ ῥηθέντι περιβολίῳ, τῇ κυρίᾳ τοῦ περιβολίου, τῇ Ἀσαννίνῃ, ἡ δὲ μοναχὴ ἐλεύθερον ἔχει τὸ κάθισμα καὶ ἀτελές, ὁ δὲ μέγας σκευοφύλαξ προεβάλλετο, ὅτι τῶν αὐτῶν ἦσαν τό τε περιβόλιον καὶ τὸ κάθισμα, τῶν προγόνων τῆς Ἀσαννίνης, καὶ δίκαιον ἔχειν ἔλεγε προτιμᾶσθαι ὡς εἰς κτῆμα συγγενικόν, καὶ ὅτι νῦν ἐλεύθερον πωλεῖται περιβόλιον, καὶ ὡς κτῆμα ἐλεύθερον δίκαιον ἔχει καὶ ἡ μοναχὴ προτιμᾶσθαι, εἰ καὶ ἐλεύθερον ἔχει τὸ κάθισμα. πρὸς μὲν οὖν τὸ συγγενικὰ εἶναι τό τε κάθισμα καὶ τὸ περιβόλιον, ἀπεδείχθη, ὅτι εἰ καὶ ἦσάν ποτε, ἀλλὰ νῦν οὐκ εἰσίν, ἀπεκόπη γὰρ ἀπὸ τῶν γονέων τῆς Ἀσαννίνης τὸ κάθισμα παλαίποτε καὶ ἐξεδόθη πρὸς πρόσωπα ξένα, μοναχούς, οὓς διεδέξαντο ἄλλοι καὶ μετ' αὐτοὺς ἕτεροι. πρὸς δὲ τὸ ἐλεύθερον εἶναι τὸ περιβόλιον διεκρίθη, ὅτι ἄρτι μετὰ τὴν πρᾶσιν γίνεται ἐλεύθερον, πρὸ δὲ τῆς πράσεως ὑπὸ τὴν δεσποτείαν ἐτέλει τῆς Ἀσαννίνης, ὑφ' ἣν καὶ τὰ τοῦ πρωτεκδίκου ὀσπήτια καὶ τὸ περιβόλιον αὐτοῦ. εἰς γοῦν τὴν πρᾶσιν δίκαιον ἔχει νομίμως προτιμᾶσθαι ὡς ὁμοτελὴς καὶ ὑπὸ τὴν αὐτὴν

τελῶν Ἀσαννίναν, ἥτις καὶ τοῦ περιβολίου δεσπότις ὑπῆρχε. τούτων οὖν οὕτως ἀναφανέντων, διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν συνοδικῶς, τὸ μὲν περιβόλιον ἅπαν λαβεῖν τὸν πρωτέκδικον, ὡς νομίμως εἰς αὐτὸ προτιμώμενον τῆς μοναχῆς, τὴν δέ γε νομὴν τοῦ φρέατος καὶ τὴν διέξοδον κοινὴν εἶναι ἀμφοτέρων, τοῦ τε πρωτεκδίκου καὶ τοῦ καθίσματος, εἰ γὰρ ἀπὸ τῆς τοῦ χρόνου παρατάσεως μόνης ἐδικαιώθη ἡ μοναχὴ ἔχειν αὐτήν, πολλῷ μᾶλλον ὀφείλει κεκτῆσθαι αὐτὴν τὸ περιβόλιον τὸ ὑποστὰν τὴν δουλείαν. περὶ δὲ τῶν ὀσπητίων καὶ τοῦ περιβολίου τῆς Σγουροπουλίνης διεκρίθη, ἐπεὶ οὔτε ἀπὸ ὁμοτελείας, οὔτε τῆς ἐμφυτεύσεως δίκαιον ἔχει εἰς αὐτὸ ὁ πρωτέκδικος, εἰ μὴ μόνον τὸ τοῦ πλησιασμοῦ, ὁμοίως τῇ μοναχῇ, ἵνα λάβῃ ὁ πρωτέκδικος, ὡς πλείονα ἔχων πλησιασμὸν ἐν αὐτῷ, τὸ δίμοιρον καὶ ἡ μοναχὴ τὸ τρίτον. καὶ εἰ μὲν ἀρέσκει τοῦτο τῇ μοναχῇ, ἤδη καλόν, εἰ δ' οὖν, ὀφείλει ἀναθεωρηθῆναι παρ' ὧν ἂν διακρίνοι ἡ μετριότης ἡμῶν, καὶ λαβεῖν ἕκαστον, καθόσον μέρος πλησιάζει αὐτῷ, καὶ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ εἴ τις ἄλλος πλησιασμοῦ δίκαιον ἔχων εἰς αὐτὰ φανείη καὶ βουληθείη ἀγοράσαι ἐξ αὐτοῦ τὸ ἀνῆκον αὐτῷ. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἀπολέλυται καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος, καὶ ἐπεδόθη τῷ διαληφθέντι τιμιωτάτῳ πρωτεκδίκῳ τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, τῷ Εὐγενικῷ, καὶ παντὶ τῷ μέρει αὐτοῦ εἰς μόνιμον καὶ διηνεκῆ τὴν βεβαίωσιν. ἐν ἔτει ,ϛϠ ἐννάτῳ †.

## DC. (6909—1400) septembri. ind. IX.

*Patriarcha confirmat pactionem monasterii Pantocratoris.*

† Ἐπεὶ οἱ ἐνασκούμενοι μοναχοὶ τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπικεκλημένῃ τοῦ Παντοκράτορος ἠθέλησαν ἐκ κοινῆς ἀρεσκείας καὶ συμφωνίας, καὶ συνεβιβάσθησαν εἰδήσει καὶ τῆς ἡμῶν μετριότητος, καὶ παρέδωκαν τὸ ἐν τῷ Γαλατᾷ περὶ τὴν χώραν τοῦ Γερίου κάθισμα αὐτῶν, τὸ ἐπάνω τοῦ τείχους καὶ εἰς ὄνομα τιμώμενον τοῦ σωτῆρος Χριστοῦ καὶ ἐπικεκλημένον τοῦ Χαλκήτου, πρὸς τὸν ἐν ἱερομονάχοις πνευματικὸν πατέρα κύριον Μελέτιον, ἵνα κρατῇ αὐτὸ ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς, ἐπιμελούμενος τῆς αὐτοῦ συστάσεώς τε καὶ βελ-

τιώσεως, ὑποσχεθεὶς φυλάττειν αὐτό τε καὶ τὰ αὐτοῦ βιβλία καὶ ἱερά, ἔτι δὲ καὶ τὰ τέσσαρα κελλία αὐτοῦ, συμφωνήσας ἀνακτίσαι μετὰ τὸν ἐρχόμενον χειμῶνα ἐν αὐτῷ κελλίον πολυτελές τε καὶ πολυέξοδον, ἡνωμένον τῷ θείῳ ναῷ τοῦ τοιούτου καθίσματος εἰς καταμονὴν ἑαυτοῦ τε καὶ τῶν μετ' αὐτὸν διαδεξαμένων ἱερομονάχων καὶ πνευματικῶν πατέρων, ἔτι γε μὴν σκεπάσαι καὶ ἐπιμεληθῆναι καὶ ὡραΐσαι καὶ τὸν ὄπισθεν τοῦ προσκυνήματος τοῦ ἐν τῷ τοιούτῳ καθίσματι ὑψηλὸν τόπον καὶ μετὰ τὸν αὐτοῦ θάνατον εἶναι καὶ εὑρίσκεσθαι πάνθ', ὅσα ἂν ποιήσῃ, ὑπὸ τὴν δεσποτείαν καὶ κυριότητα τῆς μονῆς, ἐζήτησε δὲ πλείονος ἕνεκεν αὐτοῦ ἀσφαλείας καὶ γράμμα τῆς ἡμῶν μετριότητος· αὕτη διὰ τοῦ παρόντος τὸ στέργον ἔχειν καὶ βέβαιον τὴν τοιαύτην πρᾶξιν διαγινώσκει καὶ ἀποφαίνεται, καὶ κατέχειν τὸν ῥηθέντα πνευματικὸν πατέρα τὸ ῥηθὲν κάθισμα ἀνενοχλήτως πάντη καὶ ἀνεπηρεάστως ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς διαγινώσκει, μόνον εἴπερ ποιήσει, ὅσαπερ ὑπεσχέθη, κατὰ τὸ ἀκέραιον, καὶ εἴπερ διδῷ πρὸς τὴν μονὴν κατ' ἔτος κηρίον δύο ὑπερπύρων, ὡς καὶ αὐτὸ ὑπεσχέθη καὶ συνεφώνησεν, οὕτω γὰρ καὶ καθέξει τὸ ῥηθὲν κάθισμα τῆς μονῆς ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, ἀνενόχλητος ἐκ πάντων διατηρούμενος. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. θ' †.

## DCI. (6909—1400) octobri. ind. IX.

*Sententia synodi in lite de adelphato.*

† Δημήτριος Παλαιολόγος ὁ Κάλλιστος, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τῶν μοναζουσῶν τῶν ἐνασκουμένων τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ, τῇ εἰς ὄνομα τιμωμένῃ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τῆς Εὐεργέτιδος τῆς Σεβαστοκρατορίσσης, εἰπών, ὡς ὁ πατὴρ αὐτοῦ ζῶν καὶ κτητορικὰ δίκαια ἔχων ἐν τῇ μονῇ ἐποίησεν ἀδελφάτον εἰς αὐτὸν παραπεμπτόν, ἤγουν ἐπ' ἀδείας ἔχειν παραπέμπειν αὐτό, ὅπου καὶ βούλοιτο, ὃ δὴ ἀδελφάτον μετὰ τὸν ἐκείνου θάνατον ἐπώλησε πρὸς τὴν μονὴν ἡ μήτηρ αὐτοῦ ἀμετόχως, οὐδὲ γὰρ αὐτῇ τὸ ἀδελφάτον ἐπαφῆκεν ἐκεῖνος, ἐζήτησεν οὖν αὐτὸ ὡς κτῆμα

πατρῷον· παροῦσαι δὲ καὶ αἱ μοναχαὶ καὶ ἀπολογήσασθαι προτραπεῖσαι ἐζήτησαν αὐτὰ ἀποδεῖξαι, ὅσαπερ εἶπεν ὁ Παλαιολόγος, ὁ δὲ οὔτε γράμμα ἔχειν εἶπε τὸ τοῦ ἀδελφάτου, οὔτε μαρτυρίαν τινὰ τὴν τυχοῦσαν, ἢ μόνας τὰς μοναχάς, ἃς καὶ παρεκάλεσεν ἀφορισθῆναι, ὡς στέρξων πᾶν, εἴ τι ἂν αὗται μετὰ βάρους (ἀφορισμοῦ) ὁμολογήσωσιν. ἐπεὶ οὖν βάρος ἀφορισμοῦ ἐδέξαντο αἱ μοναχαί, εἶπον, ὡς ὅτε ἔφορος ἦν τῆς μονῆς αὐτῶν ὁ Παλαιολόγος, ἔνοχος εὑρισκόμενος κατὰ καιροὺς καὶ εἰς τὸ βουτζιατικόν, εἶπεν, ὡς ὀφείλει ἡ μονὴ πρὸς αὐτὸν εἰς βουτζιατικὸν ὑπέρπυρα ἀδελφάτου ἑνός, καὶ διὰ τοῦτο μόνον ἐλάμβανε καὶ αὐτός, μέχρις ἦν ἐν τοῖς ζῶσιν, ἀπὸ τῆς μονῆς ἀδελφάτον, καὶ ἀφῆκεν αὐτὸ καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ μετὰ τὸν αὐτοῦ θάνατον, ἥτις ἐλάμβανε καὶ αὐτὴ τοῦτο, μέχρις οὗ ἐπώλησε τοῦτο κοινῶς μετ' αὐτοῦ τοῦ νῦν ἐγκαλοῦντος αὐτὰς υἱοῦ αὐτῆς. τούτων οὖν οὕτω παρὰ τῶν μοναζουσῶν μετὰ βάρους λεχθέντων, διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν, μηδὲν δίκαιον ἔχειν τὸν Παλαιολόγον ἀπαιτεῖν ἀπὸ τῆς μονῆς τὸ τοιοῦτον ἀδελφάτον, ἐπεὶ οὔτε ὑπέρπυρα ὑπὲρ αὐτοῦ κατεβάλετο χειροδότως ὁ πατὴρ αὐτοῦ, καὶ εἰ ὑπέρπυρα ἐδίδου, ἀρκοῦν ἐστιν, ὅτι ἐκαρποῦτο αὐτὸ ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτοῦ, καὶ μετ' αὐτὸν ἀφῆκεν αὐτὸ τῇ γυναικὶ αὐτοῦ, ὡς αἱ μοναχαὶ μετὰ βάρους εἶπον, ἀδιακόπως δὲ παραπέμπεσθαι καὶ ταῦτα μετὰ τὸ πραθῆναι τῶν ἀδικωτάτων ἐστίν, οἴκτου δὲ χάριν καὶ συμπαθείας διὰ τὴν ἔνδειαν τοῦ Παλαιολόγου διεκρίθη ἀρτίως καὶ μόνον δοθῆναι αὐτῷ ἀπὸ τῆς μονῆς οἴνου μέτρα τρία καὶ μόνα καὶ οὕτω πάντοτε μένειν τὴν μονὴν ἀνενόχλητον ἀπ' αὐτοῦ, ᾗ καὶ τὸ παρὸν ἀπολύεται γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτοβρίῳ ἰνδ. θ' †.

## DCII. (6909—1400) octobri. ind. IX.

*Promissio hieromonachi Moysis.*

† Ἐπεὶ διὰ τινάς μου ῥᾳθυμίας καὶ μικροψυχίας ἐξῆλθον τῆς σεβασμίας καὶ θείας μονῆς, τῆς ἐμὲ δεξαμένης τὸ κατ' ἀρχάς, καὶ κατὰ μοναχοὺς ποιήσας καὶ πολλάκις καὶ διαφόρως παραινέσεις καὶ διδασκαλίας καὶ ὁρισμοὺς δεξάμενος τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὡς ἂν ἐπιστρέψω, οὐδόλω ς ἐπείσθην, καὶ διὰ

τοῦτο ἀργίᾳ καὶ ἀφορισμῷ καθυπεβλήθην ὑπ' αὐτοῦ, ὅθεν μὴ δυνηθεὶς τὴν τοσαύτην ἀγανάκτησιν καὶ ὀργὴν ὑπενεγκεῖν, παρεκάλεσα τὸν ἅγιόν ἡγούμενον καὶ τοὺς ἁγίους μου πατέρας, ἵνα με δέξωνται, οἱ δὲ οὐδόλως ἠνέσχοντό με παραδέξασθαι, εἰ μὴ πρότερον παραιτήσομαι πᾶν, εἴ τι ἔχω ἔξω τῆς μονῆς ἰδιόκτητον, ὑποσχεθῶ δὲ τοῦτο ποιῆσαι ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἤδη καὶ αὐτὸς ὑπόσχομαι ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὡς ἐπεὶ ἀφ' ἧς ἐξῆλθον σεβασμίας μονῆς κακῶς, εἰσάγομαι καλῶς νῦν, ἵνα πρῶτον μὲν ἐνδείξωμαι τοιαύτην ὑποταγήν, πολιτείαν τε καὶ εὐπείθειαν εἰς ἅπαντας τοὺς ἐμοὺς ἐν Χριστῷ ἀδελφούς, μάλιστα δὲ εἰς τὸν ἅγιον καλόγηρων καὶ ἀνάδοχόν μου, τὸν παναγιώτατον καθηγούμενόν μου, ἥτις γένηται ἱκανὴ τοῦ μεσιτεῦσαί με πρὸς αὐτὸν καὶ τὰς ὄπισθέν μου ῥᾳθυμίας ἀπαλεῖψαι, ἔπειτα δὲ ἵνα μηδὲν κέκτημαι ἔξωθεν τῆς μονῆς ἰδιόκτητον. νῦν γὰρ κατ' ἀλήθειαν ἀποτάσσομαι καὶ ὑποτάσσομαι καὶ προσέρχομαι τῇ θείᾳ μονῇ ὁλοψύχως, καὶ οὐδὲν παρυποκρατῶ ἐν ἐμαυτῷ ἀφ' ὧν εἶχον, οὐδέν, καὶ γὰρ τὸ ἡμέτερον ἀμπέλιον καὶ τὸ ὀσπήτιον παρέχω τῷ ἡμετέρῳ ἀδελφῷ, τῷ Ἀνδρονίκῳ, ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὡς ἂν ἔχῃ τοῦτο κυρίως καὶ ἐξουσιωδῶς, ἐμοῦ μηδεμίαν δεσποτείαν ἔχοντος ἐν αὐτοῖς. προσέρχομαι τοίνυν τῇ θείᾳ μονῇ, πᾶσάν μου τὴν ἐλπίδα ἐπιρρίπτων μετὰ θεὸν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, καὶ εἰς τὸν πανοσιώτατόν μου καὶ δεσπότην μου, τὸν καθηγούμενόν μου· ὁμολογῶ δὲ καὶ ταῦτα τηρῆσαι τὰ ὑπεσχημένα ὡς ἀπαιτηθέντα εὐλόγως καὶ δικαίως παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ τοῦ ἁγίου μου ἡγουμένου, ἅπερ εἴ ποτε παραβαίην, ἵνα εὐθύνωμαι εὐθύνην τὴν προσήκουσαν τοῖς τὰ τοιαῦτα τολμῶσι. καὶ δι' ἀσφάλειαν ὑπεγράφη καὶ παρ' ἐμοῦ. μηνὶ ὀκτωβρίῳ ἰνδ. θ' †.

† Ὁ εὐτελὴς Μωυσῆς ἱερομόναχος στέργων ὑπέγραφεν †.

## DCIII. (6909—1400) 17. octobris. ind. IX.

*Sacerdos Manuel Beniamin condemnatur.*

† Μηνὶ ὀκτωβρίῳ, ἰνδ. θ', ἡμέρᾳ τοῦ μηνὸς ιζ', πρώτῃ ὥρᾳ τῆς κυριακῆς ἡμέρας, προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, παρακαθημένων τῇ μεγάλῃ ἁγιωσύνῃ αὐτοῦ καὶ τιμιωτάτων ἐξωκατακήλων, τοῦ μεγάλου χαρτοφύλακος καὶ τοῦ πρωτεκδίκου, συνόντων καὶ θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, εἰσήχθη πρεσβύτερος ὁ Βενιαμήν, καὶ πεσὼν πρηνὴς εἰς τοὺς πόδας τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ κελευσθεὶς ἀναστῆναι καὶ ἀναστὰς ἐξεῖπε καὶ ὡμολόγησεν, ὅτι τὰς φρένας ὑπὸ οἴνου διασεισθείς, ὡς δὲ καὶ ἀπατηθεὶς εὐλόγησε τὰ συνοικέσια, ἃ ἠγκαλεῖτο ποιῆσαι, ἤγουν ἐπὶ τῆς πατριαρχίας τοῦ ἀοιδίμου πατριάρχου κῦρ Ἀντωνίου, εὐλόγησε τὸ τοῦ Πετροκοκκίνου καὶ τὸ τοῦ Κελλιώτου, ταῦτα δὲ ἐποίησε χωρὶς βουλήσεως, ζητεῖται δέ, εἰ καὶ μοιχοζευξίαι τυγχάνουσι. διὰ τοῦτο διέκρινεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ἀργὸν αὐτὸν εἶναι πάσης ἱερωσύνης, τὴν δὲ τελείαν περὶ τούτων κρίσιν τε καὶ ἀπόφασιν ταμιεύεσθαι ἐν καιρῷ τῷ προσήκοντι. διὰ γοῦν ἀσφάλειαν ἐσημειώθη τὸ περὶ τούτου ἐνταῦθα, ὑπογραφὲν καὶ παρὰ τοῦ πρεσβυτέρου Βενιαμὴν διὰ τὸ ἀδιάβλητον †.

† Ὁ εὐτελὴς ἱερεὺς Μανουὴλ ὁ Βενιαμήν †.

## DCIV. Sine anno.

*Patriarcha dirimit controversiam.*

† Ἐπεὶ κύριος ὁ Παχουμᾶς συνεβιβάσθη ἐν τῇ νήσῳ τῆς Πριγκίπου, ἵνα ἀπὸ τοῦ ὀφειλομένου αὐτῷ κρασίου ἐν τῇ τοιαύτῃ νήσῳ παρὰ τοῦ Νικολάου τῆς Παπαδίας διαβιβάσῃ τὸ μὲν ἥμισυ εἰς πρόχρεω, καθὼς εἶχε συμφωνίας, ἥτις ποσωθεῖσα εὑρέθη ἰσάζουσα εἰς τὴν τιμήν, εἰς ἣν ἐπωλεῖτο ἐπάνω εἰς τὸν πάτον, τὸ δὲ τίμημα τοῦ ἡμίσεος ἵνα δῷ ἀρτίως εἰς ἐλευθερίαν τοῦ ῥηθέντος Νικολάου πρὸς τὴν γυναῖκα αὐτοῦ, Εἰρήνην τὴν Κουρτεσίαν, ἐπεὶ ᾐχμαλωτίσθη ὁ Νικόλαος παρὰ τῶν Τούρκων, ἔλαβε δὲ ἀπ' αὐτῆς μέτρα διακόσια, ἀφ' ὧν τὰ μὲν ἑκατὸν ἔλαβεν εἰς τὴν συμφωνίαν αὐτοῦ, δέδωκε δὲ καὶ τὸ τίμημα τῶν ἑκατὸν μέτρων εἰς ἐλευθερίαν τοῦ Νικολάου ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, ἐναπελείφθησαν δὲ ὀφειλόμενα τῷ Πα-

χουμᾶ παρὰ τοῦ Νικολάου καὶ ὑπέρπυρα πολιτευόμενα τεσσαρακονταπέντε, ὀφείλει λαβεῖν αὐτὰ ὁ Παχουμᾶς ἀπὸ τῶν κτημάτων τοῦ Νικολάου καὶ πάσης τῆς περιουσίας αὐτοῦ πρὸ παντὸς ἄλλου χρεωφειλέτου κατὰ τὸν ἐρχόμενον σὺν θεῷ καιρὸν τῆς τρύγης τῆς δεκάτης ἰνδικτιῶνος, μετ' εὐχαριστίας τοῦ Νικολάου καὶ τῆς γυναικὸς αὐτοῦ, δίχα τινὸς λόγου καὶ τῆς τυχούσης προφάσεως, ἐπεὶ καλὸν πολὺ ἐποίησεν αὐτοὺς ὁ Παχουμᾶς, καὶ ἠλευθέρωσε τοῦτον ἀφ' ὧν ἀρτίως ἔμελλε λαβεῖν ὑπερπύρων. τούτου γὰρ χάριν ἐγένετο αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †

## DCV. (6909—1400) octobri. ind. IX.

*Sententia metropolitae thessalonicensis aboletur.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ τοῦ θεοῦ τῇ σῇ ἱερότητι. περὶ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Ναθαναὴλ, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, προεγράψαμεν τῇ σῇ ἱερότητι, ὡς ἂν εἰρηνεύσῃς μετ' αὐτοῦ, καὶ ἀναιρεθῇ ἐκ μέσου πᾶν σκάνδαλον καὶ πᾶσα μικροψυχία, καὶ εἰρηνεύσῃς μετ' αὐτοῦ, καὶ ἀνέλῃς ἐκ μέσου, ἃ ἠκούσαμεν ὅτι συνέβησαν καὶ ἐπεύχθησαν κατ' αὐτοῦ, καὶ ὅτι οὐδ' ἐπιστεύσαμεν ὅλως τὰ λαλούμενα κατ' αὐτοῦ ὅτι οὕτω ἐπράχθησαν, νῦν δὲ ἐπεὶ ἐπληροφορήθημεν καὶ ἀπὸ ἄλλων πολλῶν καὶ ἀπὸ τοῦ αὐτόθι ἐλθόντος ἐντιμοτάτου δομεστίκου, κῦρ Μιχαὴλ τοῦ Λυκούτζη, κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, ὅτι ἀληθῆ εἰσιν, ἅπερ ἐλαλήθησαν ὅτι ἐπράχθησαν κατ' αὐτοῦ, καὶ προέβη κατ' αὐτοῦ καθαίρεσις καὶ ἀνάθεμα παρὰ τῆς σῆς ἱερότητος, καὶ οὐ κατ' αὐτοῦ μόνου, ἀλλὰ καὶ κατὰ τῶν ἐνασκουμένων ἐν τῇ πατριαρχικῇ μονῇ τοῦ κῦρ Μαξίμου, οὓς καὶ ἤργησας καὶ ἠφόρισας καὶ ἔλαβες τό τε ἔνταλμα τοῦ ἑνὸς καὶ τὸ πατριαρχικὸν δικαίωμα, ὃ εἶχον εἰς τὸ κελλίον αὐτῶν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου ἐκείνου, κῦρ Ἀντωνίου. ἐπεὶ ταῦτα ἐπληροφορήθημεν, ἔδοξεν ἡμῖν βαρὺ καὶ παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ ὅλως παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ συνήθειαν· ὅπερ οὐδέποτέ τις ἐποίησε τῶν μητροπολιτῶν καὶ ὅλως πατριάρχης εἰς μητροπολίτην, τοῦτο ἐποίησεν ἡ σὴ ἱερότης εἰς ἡμᾶς, παρά τε τὴν ἐκκλησιαστικὴν συνήθειαν

καὶ παρὰ τὴν ὁμολογίαν, ἣν ἔδωκας εἰς τὸ μέσον τῆς ἐκκλησίας Χριστοῦ, προκαθημένης μὲν τῆς ἱερᾶς συνόδου, παρισταμένων δὲ τῶν θεοφιλεστάτων ἐκκλησιαστικῶν ἀρχόντων καὶ πάσης τῆς πολιτείας, καὶ τί λέγω, παρὰ τοὺς κανόνας καὶ παρὰ τὴν σὴν ὁμολογίαν; ὅπερ οὐδὲ οἰκουμενικὸς πατριάρχης ἐποίησέ ποτε εἰς τινὸς μητροπολίτου κληρικόν, τοῦτο ἐποίησας εἰς τοὺς ὑποκειμένους τῷ πατριαρχικῷ θρόνῳ, ὁ γὰρ κατὰ καιροὺς πατριάρχης ἄδειαν ἔχει ἀφ' οὗ ἂν θελήσει μητροπολίτου, κληρικοὺς λαβεῖν καὶ ἐπισκόπους ὡς οἰκουμενικός, πλὴν ἐπὶ προβιβασμῷ καὶ προκοπῇ καὶ τιμῇ μείζονι ἧς πρότερον εἶχον, ἐγκλήματα δὲ ἔχοντας καὶ κρίσει ὑποκειμένους, οὐκέτι ἔξεστιν ἀποσπᾶν ἀπὸ τοῦ ἰδίου μητροπολίτου καὶ καταδικάζειν ἢ ἀθῳοῦν, εἰ μήπω μετὰ τὴν κρίσιν ἔγκλησιν ποιήσασθαι βουληθείη ὁ καταδικασθεὶς εἰς τὸν οἰκουμενικὸν πατριάρχην ὡς εἰς μείζονα, τότε γὰρ ὀφείλει συνοδικῶς ὁ πατριάρχης δικάσαι τὸν ἐκκαλούμενον, πρὸ δὲ τῆς κρίσεως τοῦ ἰδίου μητροπολίτου οὐδὲ ἀκούσει αὐτοῦ τὸ παράπαν, ἡ δὲ σὴ ἱερότης, ὃ οὐδὲ τῷ οἰκουμενικῷ πατριάρχῃ ἐφεῖται, ἐποίησε, καὶ κληρικοὺς ἡμετέρους πρὸ τοῦ δικάσαι καὶ κρῖναι τὰ κατὰ τούτων λαλούμενα τὴν ἡμῶν μετριότητα, ἔκρινας αὐτὸς καὶ κατέκρινας, καὶ ἠφορίσας καὶ ἀνεθεμάτισας, οὐ μόνον δίς, ἀλλὰ τρὶς ἐκδικήσας ἐπὶ τῷ αὐτῷ. διὰ τοῦτο τὰ μὲν κατ' αὐτῶν γεγονότα ἔχομεν ἀργά τε καὶ ἄκυρα καὶ ὡς μηδὲ γεγονότα, αὐτοὺς δὲ ἐνεργοὺς καὶ ἱερᾶσθαι δικαίους, ὡς ἀδίκως τοῦτο ἀφαιρεθέντας, εἰ γὰρ καὶ τὰ κατ' αὐτῶν ἐγκλήματα ἀληθῆ τυγχάνουσιν, ἀλλὰ προκρίσει οὐδεὶς καταδικάζεται, ἡ δὲ κρίσις τοῦ τε τιμιωτάτου ἐν ἱερομονάχοις κῦρ Ναθαναὴλ καὶ τῶν τοῦ κῦρ Μαξίμου μοναχῶν τῇ συνόδῳ καὶ τῇ ἡμῶν μετριότητι ἀνήκει· τὰ δὲ αὐτόθι κατ' αὐτῶν προβάντα, ἐπεὶ παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας προέβησαν, οὐ μόνον ἀργὰ καὶ ἄκυρα ἔχομεν, ἀλλὰ καὶ εἰρήνης σταθερᾶς γενομένης, βοηθείᾳ θεοῦ, λόγον ἐνταῦθα συνοδικῶς μέλλετε δοῦναι, ὅσοι διεπράξασθε ταῦτα. ἕξουσι τοίνυν τὸ ἐνεργὸν εἰς ἱερωσύνην ἀκολύτως ὅ τε ῥηθεὶς κῦρ Ναθαναὴλ καὶ οἱ τοῦ κῦρ Μαξίμου, ὧν τὸν ἕνα καὶ πνευματικὸν πατέρα ἔχει ἡ μετριότης ἡμῶν, ἐπεὶ καὶ παρὰ τοῦ ἡμετέρου ἐξάρχου προεχειρίσθη εἰς τοῦτο, ὃς καὶ διενεργεῖν ὀφείλει τὸ λειτούργημα τῆς πνευματικῆς πατρότητος ἀκωλύτως πανταχοῦ, ἐπεὶ καὶ τοῦτο πατριαρχικόν ἐστι προνόμιον, τὸν' ὑπ' αὐτοῦ πνευματικὸν προχειρισθέντα πανταχοῦ αὐτὸ

ἐνεργεῖν ἀκωλύτως, τοὺς δὲ ὑπὸ μητροπολιτῶν ὡς ὑπὸ μερικῶν καὶ εἰς μόνην τὴν ἐνορίαν τοῦ προχειρίσαντος αὐτὸν τοῦτο διενεργεῖν, εἰ δέ τις ἔχει κατὰ τῆς ἱερωσύνης αὐτῶν ἐγκλήματα κινεῖν, ἀναδραμέτω εἰς τὴν σύνοδον, καὶ μετὰ τῆς προσηκούσης παρατηρήσεώς τε καὶ ἐγγραφῆς ἀκουσθήσεται, καὶ κινηθήσονται ταῦτα. περὶ δὲ τῶν λοιδοριῶν καὶ τῶν ὑβριστικῶν συγγραμμάτων τῶν κατὰ τοῦ κῦρ Ναθαναὴλ συγγραφέντων καὶ διαδοθέντων εἰς πᾶσαν τὴν πόλιν, δίκαιον ἦν ἐμποδισθῆναι ταῦτα καὶ ἀναχαιτίζεσθαι παρὰ τῆς σῆς ἱερότητος, ἅτε καὶ κατὰ τῆς ἱερωσύνης καὶ κατὰ τοῦ ἀγγελικοῦ σχήματος ὄντων καὶ εἰς ὕβριν αὐτοῦ τολμωμένων, καὶ ἡ μετριότης ἡμῶν ἔμελλε καὶ νῦν ὡς λοίδορον τὸν τολμητὴν τῶν τοιούτων ἀφορισμῷ καθυποβαλεῖν, κατὰ τὸν δοθέντα τύπον παρὰ τοῦ μακαρίου Παύλου, τοῦ κοινοῦ διδασκάλου τῆς ἐκκλησίας Χριστοῦ, φησὶ γάρ· „εἰ δέ τις ἀδελφὸς ὀνομαζόμενος ἐν ἡμῖν λοίδορος ἢ πλεονέκτης, τῷ τοιούτῳ μηδὲ συνεσθίειν“, πλὴν φιλανθρωπότερον δῆθεν ποιοῦντες, τὸ μὲν παρελθὸν συγγνώμης ἀξιοῦμεν, εἰ δὲ εἰς τὸ ἑξῆς ταῦτά τις ἐπιχειρήσει λέγειν καὶ θρόαμβον καὶ συστήματα καὶ λοιδορίας συνιστᾶν κατὰ τῶν ἱερομονάχων καὶ τῶν τῷ θεῷ ἀφιερωμένων, ἀφορισμῷ ὁ τοιοῦτος καθυποβληθήσεται π ρὰ τῆς ἡμῶν μετριότητος, ὡς ὑβριστής τε καὶ λοίδορος καὶ τῆς ἱερωσύνης καὶ τοῦ ἀγγελικοῦ καὶ θείου σχήματος. ἐχέτω οὖν ὅ τε παπᾶς κῦρ Ναθαναὴλ καὶ οἱ τοῦ κῦρ Μαξίμου τὸ ἐνεργὸν εἰς πᾶσαν ἱερωσύνην, κατὰ τὴν συνοδικὴν παρακέλευσιν τῆς ἡμῶν μετριότητος, μέχρις ἂν συνοδικῶς ἐξετασθῇ τὰ κατ' αὐτῶν παρὰ τῆς ἡμῶν μετριότητος· ὅτι δὲ πατριαρχικὸς κληρικός ἐστι καὶ ὁ παπᾶς κῦρ Ναθαναήλ, δῆλον ἀφ' ὧν ἐπιφέρεται πατριαρχικῶν γραφῶν τοῦ τε ἐν ἁγίοις πατρὸς ἡμῶν Νείλου πατριάρχου καὶ τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Ἀντωνίου, αἳ σαφῶς διορίζονται, πατριαρχικὸν εἶναι αὐτὸν καὶ μόνῳ τῷ πατριαρχικῷ αὐτὸν ὑποκεῖσθαι κριτηρίῳ. ἀπόδος δὲ καὶ τοῖς τοῦ κυρίου Μαξίμου τό τε δικαίωμα αὐτῶν, ὃ ἀφείλου ἐξ αὐτῶν, τοῦ κῦρ Ἀντωνίου καὶ τὸ τοῦ ἐξάρχου ἔνταλμα, ὃ ἐδόθη αὐτῶν τῷ πρώτῳ. παρά τινος ἱερέως ἀπαξιμαδῆ ἐμάθομεν, ὅτι ἐνοχλεῖται παρὰ τῆς σῆς ἱερότητος, διότι ἔνι ἀλικάρης· προβάλλεται γοῦν, ὅτι ἔχει τοῦτο γονικόθεν , καὶ ὅτι οὔτε ὁ κῦρ Δωρόθεος, οὔτε ὁ κῦρ Ἰσίδωρος, ὃς ἐποίησεν αὐτὸν καὶ παπᾶν, ἐνόχλησεν αὐτῷ περὶ τούτου, ἡ δὲ σὴ ἱερότης ἐνοχλεῖ αὐτῷ· οὔτε γοῦν τὸ τῆς γονικότητος δοκεῖ ἡμῖν ἰσχυ-

ρὸν, οὔτε διότι οὐκ ἐνώχλησαν αὐτῷ οἱ μητροπολῖται οἱ πρίν, ἀλλ' εἰ μὲν ἐμπορίας λόγῳ τὸ τοιοῦτον ἐπιτήδευμα διενεργεῖ, δικαίως ἐμποδίζεται παρὰ τῆς σῆς ἱερότητος· εἰ δὲ οὐ λόγῳ ἐμπορίας, ἀλλ' ὡς ἐπιτήδευμα καὶ τύχην καὶ ἐνέργειαν τοῦτο μεταχειρίζεται καὶ διενεργεῖ, καὶ οὐκ ἀγοράζει αὐτὸ καὶ μεταπωλεῖ, ἀλλ' αὐτὸς τοῦτο διενεργεῖ, οὐ δίκαιον τοῦτον κωλύεσθαι, κἂν ἄτιμον δοκῇ τὸ ἐπιτήδευμα. γενέσθω γοῦν καὶ τὸ περὶ τούτου, ὡς γράφομεν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς γραφῆς τό· μηνὶ ὀκτοβρίῳ ἰνδ. θ' †.

## DCVI. (6909—1400) octobri. ind. IX.

*Synodus sententiam dicit in lite.*

† Θεοδώρα ἡ ἀρχόντισσα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς δι' ἐντολέως τοῦ γαμβροῦ αὐτῆς, κῦρ Ἰωάννου τοῦ Σοφιανοῦ, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ ἑτέρου γαμβροῦ αὐτῆς, Δημητρίου τοῦ Σκουταριώτου, εἰποῦσα, ὡς ὀφείλει αὐτῇ διὰ γράμματος ἐμμαρτύρου καὶ κατησφαλισμένου ὑπέρπυρα πολιτευόμενα πεντακόσια καὶ ἕτερα ὑπέρπυρα σλ', ἃ ἦσαν καταγεγραμμένα εἰς κατάστιχον τῆς πενθερᾶς αὐτῆς, τῆς μάμμης τῶν παίδων, ἐλοιπάσθη καὶ εἰς σημάδια αὐτῆς, ἃ ἔθηκεν αὕτη μετὰ σημαδίων αὐτοῦ εἰς χρέος αὐτοῦ διὰ βοήθειαν αὐτοῦ, ὑπέρπυρα ρχβ', καὶ ἐζήτει τὰ πάντα ἀπ' αὐτοῦ. παρὼν δὲ καὶ ὁ Σκουταριώτης καὶ ἀπολογήσασθαι προτραπεὶς περὶ μὲν τῶν τοῦ γράμματος φ' οὐδὲν εἶχεν ἀντειπεῖν ὅλως, περὶ δὲ τῶν σλ' τῶν ἐν τῷ καταστίχῳ τῆς μάμμης τῶν παίδων ἔλεγε διαβιβασθῆναι ταῦτα εἰς τὴν λοιπάδα τῆς προικὸς τῆς συμφωνηθείσης αὐτῷ τῷ Σκουταριώτῃ, ἐπεὶ δὲ τὸ κατάστιχον διελάμβανεν, ὅτι καὶ τὴν λοιπάδα τῆς προικὸς αὐτοῦ ἔλαβεν ὁ Σκουταριώτης, καὶ κατεπέκεινα ὀφείλει καὶ τὰ σλ' ὑπέρπυρα, ὁ Σκουταριώτης τὸ κατάστιχον μὴ εἶναι ἔνδοσίν τε καὶ βούλησιν τῆς μάμμης τῶν παιδίων ἐβόα, καὶ περὶ τούτου ἠξίου ἐρωτηθῆναι τὴν πενθερὰν αὐτοῦ μετὰ βάρους ἀφορισμοῦ, ὡς στέρξων πᾶν, εἴ τι εἴποι ἐκείνη περὶ τούτου, καὶ ἀποδώσων, ὅσα διαλαμβάνει, εἴπερ ἡ ἀρχόντισσα δεξαμένη βάρος ἀφορισμοῦ εἴπῃ βούλησιν εἶναι τὰ ἐν τῷ καταστίχῳ τῆς πενθερᾶς αὐτῆς τῆς μάμμης τῶν

παίδων. κατὰ γοῦν τὴν τοῦ Σκουταριώτου αἴτησιν ἀπεστάλη παρὰ τῆς ἡμῶν μετριότητος ὁ τιμιώτατος μέγας χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, διάκονος, κῦρ Μιχαὴλ ὁ Βαλσαμών, ὅς πρότερον διδάξας αὐτὴν τὸ τοῦ ἀφορισμοῦ βάρος, ἐξεφώνησεν αὐτὸν κατ' αὐτῆς, ὡς ἂν εἴπῃ, εἴτε βούλησις ἦν τῆς πενθερᾶς αὐτῆς τὰ ἐν τῷ καταστίχῳ, εἴτε καὶ μή, ἡ δὲ δεξαμένη τὸ βάρος εἶπεν, ὡς ἑτέρας μὲν ἐστι τὰ γράμματα, βούλησις δὲ καὶ ἔνδοσις ἐκείνης, ἀσθενούσης μέν, ἐχούσης δὲ τὸ φρονεῖν ἐρρωμένον· ὅθεν καὶ κατεδικάσθη ὁ Σκουταριώτης κατὰ τὴν αὐτοῦ αἴτησιν, ὀφείλει καὶ ταῦτα δὴ τὰ σλ' ὑπέρπυρα, περὶ δὲ τῶν ρκβ' ὧν ἐλοιπάσθη εἰς τὰ ὑπὲρ αὐτοῦ τεθέντα σημάδια τῆς πενθερᾶς αὐτοῦ, ἐπεὶ ἔλεγεν, ὡς ἐζημιώθη διὰ τὸ πωληθῆναι τὰ σημάδια αὐτοῦ ἀπὸ τοῦ αὐτοῦ, καὶ παρὰ τιμὴν τὴν πρέπουσαν, συνεβιβάσθησαν δέ, καὶ ἀφῆκεν αὐτῷ ἡ ἀρχόντισσα ὑπὲρ τούτου ὑπέρπυρα μζ', ἀπέμειναν δε ἀπὸ τούτου τοῦ χρέους καὶ ὑπέρπυρα οε', ὡς γίνεσθαι τὰ πάντα ἀναφανέντα, ὡς ὀφείλει ὁ Σκουταριώτης ὑπέρπυρα ὀκτακόσια ε', ἀφ' ὧν τὰ μὲν ἑξακόσια ἐτάχθη πρὸς τοῖς πέντε ἵνα ὀφείλει τῇ πενθερᾷ αὐτοῦ, τὰ δὲ σ' ἵνα ὀφείλει τῇ γυναικαδέλφῃ αὐτοῦ, Μαρίᾳ τῇ Μεληδονίνῃ, ὀφείλει ταῦτα δοῦναι πρὸς αὐτάς, ὅταν εὐπορήσῃ καὶ ὁπόταν, χωρὶς τινος λόγου καὶ τῆς τυχούσης προφάσεως. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς ιὸ· μηνὶ ὀκτωβρίῳ ἰνδ. θ' †.

## DCVII. (6909—1400) 28. octobris. ind. IX.

*De dominio domus.*

† Μηνὶ ὀκτωβρίῳ, κη', ἰνδ. θ', ἡμέρᾳ πέμπτῃ τοῦ μηνός, ὥραν ἑσπερινοῦ, ἦλθεν ἡ μήτηρ τοῦ Περδικάρη ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, καὶ ὡμολόγησεν, ὡς οὐδεμίαν μετοχὴν ἔχει εἰς τὸ ὁσπήτιον αὔτη τὸ εὑρισκόμενον εἰς ὁ μέρος τοῦ Κοντοσκέλη, ἀλλὰ τὸ μὲν δίμοιρον ὑπάρχει τοῦ υἱοῦ αὐτῆς, τούτου δὴ τοῦ Περδικάρη, τὸ δὲ λοιπὸν τρίτον τοῦ ἑτέρου υἱοῦ αὐτῆς, τοῦ Ἰωάννου. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

## DCVIII. (6908—1400) octobri. ind. IX.

*Synodus dirimit controversiam.*

† Παρέστη τῇ ἡμῶν μετριότητι, προκαθημένῃ συνοδικῶς, Εἰρήνη ἡ Γάβραινα, καὶ ἔγκλησιν ἐποιήσατο κατὰ Μιχαὴλ Μονεμβασιώτου, τοῦ πενθεροῦ αὐτῆς, εἰποῦσα, ὡς πρὸ χρόνων ἑπτὰ ἀποθνήσκων ὁ ἀνὴρ μὲν αὐτῆς, υἱὸς δὲ τοῦ Μονεμβασιώτου, ἀφῆκεν ἐνδιαθήκως ἐπίτροπον αὐτὸν τὸν ἴδιον πατέρα, ἵνα ἰσάσῃ αὐτὴν εἰς τὴν προῖκα αὐτῆς καὶ εἰς τὰ παιδία αὐτῆς· ἐζήτει γοῦν, ἵνα ἰσάσῃ αὐτὴν εἰς τὴν προῖκα αὐτῆς, καὶ ὅτι ὤφειλε τῷ υἱῷ αὐτοῦ τὴν προῖκα τῆς μητρὸς αὐτοῦ, χιλίων ὑπερπύρων οὖσαν, ὡς ἐκεῖνος ἔλεγε· παρὼν δὲ καὶ ὁ πενθερὸς αὐτῆς καὶ δι' ἑαυτοῦ καὶ δι' ἐντολέως τοῦ ἐντιμοτάτου ἐπὶ τῶν γονάτων διακόνου, κῦρ Θεοδώρου τοῦ Ἀνθοπούλου, κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, περὶ μὲν τῆς ἐπιτροπίας ἀπολογήσατο, ὡς οὐδὲν οὔτε μικρὸν οὔτε μεῖζον εἰσῆλθεν εἰς τὰς χεῖρας αὐτοῦ ἀπὸ τοῦ βίου τοῦ υἱοῦ αὐτοῦ, ἀλλ' εἰς πάντα κυρία καὶ ἐγκρατὴς αὕτη ἦν, ἡ νύμφη δηλονότι αὐτοῦ· πῶς οὖν ἀπαιτεῖ ἐξ αὐτοῦ τὴν προῖκα αὐτῆς, μηδ' ὁτιοῦν λαβόντος; ὃ καὶ αὐτὴ ὡμολόγησε μέν, πλὴν ὡς ἀποταχθέντος ἐπιτρόπου παρὰ τοῦ ἀνδρὸς αὐτῆς, ἔλεγεν ἀπαιτεῖν ἐξ αὐτοῦ τὴν ἰδίαν προῖκα. διεκρίθη οὖν συνοδικῶς περὶ μὲν τῆς ἐπιτροπίας, μηδὲν αὐτὸν ἀπαιτεῖσθαι, ἅτε καὶ μηδὲν εἰληφότα εἰς τὰς χεῖρας αὐτοῦ, περὶ δὲ τῆς προικὸς τῆς μητρὸς ἐκείνου διεκρίθη, μηδὲ ταύτης ἕνεκεν καθέλκεσθαι αὐτόν, ἐνδέχεται γὰρ καὶ πλείω δεδωκέναι αὐτῷ τὸν πατέρα αὐτοῦ, δι' ἃ ἀρκεσθεὶς ἐκεῖνος ζῶν οὐκ ἐκίνησε τὸ περὶ τούτου, ὃ δὲ ἐκεῖνος παρῃτήσατο καὶ οὐκ ἐκίνησεν, οὐδὲ οἱ παῖδες ἐκείνου δίκαιον ἔχουσι κινεῖν· ἐπεὶ δὲ ἐζήτησεν ἡ Γάβραινα δοθῆναι αὐτῇ τὴν ἰδίαν προῖκα ἀπὸ τῆς ὑποστάσεως τοῦ ἀνδρὸς αὐτῆς καὶ μερισθῆναι τά τε ἑαυτῆς καὶ τὰ τῶν παίδων αὐτῆς, ὁ ἐπὶ τῶν γονάτων τότε ἔλεγε δεῖν ἀπαιτῆσαι αὐτὴν ἐγγὺς τοῦ θανάτου τοῦ ἀνδρὸς αὐτῆς. ὅτι μὲν οὖν τότ' ἔδει τὴν ἰδίαν προῖκα αὐτὴν ἀπαιτῆσαι, καὶ ἡ μετριότης ἡμῶν δίκαιον ἔκρινεν, οὐ μὴν διότι ἠγνόησε τοῦτο, ὀφείλει καταδικασθῆναι ζημιωθῆναί τι, ἐπεὶ νόμιμον μέν ἐστι, τὴν χηρεύσασαν παρευθὺ νόμιμον ποιεῖσθαι καταγραφήν, πλὴν δὲ πάνυ ὀλίγων αἱ πλείους τοῦτο οὐ ποιοῦσιν, ἀλλ' οὐδὲν ἐντεῦθεν ζημιοῦνται, γυνὴ γὰρ ἀγνοήσασα νόμον συγγινώσκεται, περὶ δὲ τῶν τροφείων αὐτῆς ἀλο-

γον ἔδοξε, τέσσαρα βρέφη ἐκτρέφουσαν, ὧν τὸ ἓν καὶ ἐθήλαζε, μὴ τρέφεσθαι καὶ αὐτὴν ἐκ τοῦ βίου τοῦ πατρὸς αὐτῶν, ἄλλως τε οὐδὲ ἀργὸς ἦν, ἀλλὰ πολλὰ μὲν οἶδεν ἐπιτηδεύματα, πολλὰ δὲ ἐργόχειρα μετεχειρίζετο, ἐξ ὧν οὐ μόνη τρέφεσθαι εἶχεν, ἀλλὰ καὶ τοῖς ἰδίοις ἐβοήθει παισίν. εἶτα ἐζήτησεν ὁ Μονεμβασιώτης ἀναλαβεῖν τὰ ὀσπήτια, ἃ ἔδωκε τῷ υἱῷ αὐτοῦ, ἐπεὶ ἠνώχλησεν αὐτῷ ἡ νύμφη αὐτοῦ· οὐκ ἔδοξεν οὖν δίκαια λέγειν, οὐδὲ γὰρ διὰ τὴν ὄχλησιν τῆς νύμφης αὐτοῦ δίκαιον ἔχει ἀποστερῆσαι τὰ παιδία τοῦ υἱοῦ αὐτοῦ τὸ πατρῷον αὐτῶν κτῆμα, ὅτι δὲ δέδωκεν αὐτά, δῆλον, ὅτι τε ὁ υἱὸς αὐτοῦ ἐδέσποζε ταῦτα, καὶ ἀνακτίσεις ἐποίησεν αὐτοῦ εἰδότος ἐν αὐτοῖς πολλάς, τὰ γὰρ πλείω τῶν ὀσπητίων ἀνακτίσεις ἐστὶν ἐκείνου· ἐπεὶ δὲ ἡ μὲν προὶξ αὐτῆς ἦν διατετιμημένη ὑπερπύρων διακοσίων, τὰ δὲ τρίτα τούτων εἰσὶν ὑπέρπυρα ἑκατόν, ἐξαπεστάλησαν προτροπῇ τῆς ἡμῶν μετριότητος οἱ τιμιώτατοι ἐξωκατάκηλοι, ὅ τε μέγας σακελλάριος, διάκονος, κῦρ Μιχαὴλ ὁ Ἀσινάρης, καὶ ὁ πρωτέκδικος, διάκονος, κῦρ Γεώργιος ὁ Εὐγενικός, ἐν ἁγίω πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, ἵνα ἰσάσωσι καὶ παραδῶσιν αὐτῇ τά τε προικῷα αὐτῆς τριακόσια ὑπέρπυρα καὶ τὰ ἑκατὸν τῶν τρίτων καὶ τὰ θεώρητρα αὐτῆς, εἶτα διαχωρίσωσι καὶ καθαρῶς ἀναφανῆναι ποιήσωσι, τί ἐναπολιμπάνονται καὶ βίος καθαρὸς τῶν παίδων, καὶ παραδῶσι ταῦτα τῇ μητρὶ τῶν παίδων φυλάττειν αὐτά· οἳ καὶ ἀπελθόντες καὶ βάρος ἀφορισμοῦ ἐκφωνήσαντες κατὰ τῆς Γαβραίνης καὶ νόμιμον καταγραφὴν ποιησάμενοι εὗρον ἔχουσαν τὴν Γάβραιναν ἀπὸ τῶν τριακοσίων ὑπερπύρων τῆς προικὸς αὐτῆς εἴδη ὑπερπύρων ἑβδομηκονταεπτά, παρέδωκαν δὲ αὐτῇ ἀντὶ τῶν λιπόντων τὸ καπηλικὸν μέγα ἐργαστήριον αὐτῶν, ὅπερ διετιμήθη μὲν παρὰ πρωτομαγίστρου τοῦ Θεοτόκη, δεξαμένου πρότερον βάρος ἐπιτιμίου, εἰς ὑπέρπυρα ἑκατὸν τριάκοντα, κατὰ τὸν καιρὸν καὶ τὰ πράγματα, ἡ δὲ Γάβραινα ἠθέλησεν ὑπὲρ βοηθείας τῶν παιδίων αὐτῆς, τοῦ μὴ ταῦτα ἄπορα πάντα γενέσθαι, καὶ ἐδέξατο τοῦτο εἰς ὑπέρπυρα διακόσια, ἅπερ ἔχρῃζεν εἰς καιρὸν ἀφθονίας, ἔτι δὲ παρέδωκαν αὐτῇ καὶ τὸ ἡνωμένον αὐτῇ ἀμπελόπουλον, ὃ καὶ αὐτὸ ἐτιμήθη παρὰ τοῦ αὐτοῦ εἰς ὑπέρπυρα τριάκοντα, ἔτι δὲ καὶ τὸ σαπωνικὸν μέγα κακάβιον καὶ πᾶσαν τὴν ὕλην, ἤγουν τὰ ἐργαλεῖα τοῦ σαπωναρίου εἰς ὑπέρπυρα ἑκατόν, ἅπερ ἅπαντα μετὰ τῶν ἑβδομηκονταεπτὰ ὧν εἶχε πρότερον ἀπὸ τῆς ἰδίας προικός, συγκεφαλαιούμενα γίνονται ὑπέρπυρα

τετρακόσια ἑπτά, ἀφ' ὧν τὰ μὲν τριακόσια ἐδόθησαν αὐτῇ ἀντὶ τῆς προικὸς αὐτῆς, τὰ δὲ ἑκατὸν ἀντὶ τῶν τρίτων αὐτῆς, τὰ δὲ ἑπτὰ καὶ κουρτζουτβάκιν κόκκινον ἀντὶ τῶν θεωρήτρων αὐτῆς, ὀλίγα ἀντὶ πολλῶν, ἃ δὴ καὶ ὀφείλει ἡ Γάβραινα, τό τε μέγα καπηλικὸν ἐργαστήριον σὺν τῷ καπηλείῳ καὶ πάντα τὰ ἐργαλεῖα τοῦ σαπωναρίου σὺν τῷ καχαβίῳ κατέχειν κυρίως τε καὶ δεσποτικῶς, ἀναφαιρέτως πάντη καὶ ἀναποσπάστως καὶ ποιεῖν ἐπ' αὐτῷ τὰ δοκοῦντα αὐτῇ, ὡς κυρία αὐτῶν καὶ δοθέντα αὐτῇ ἀντὶ τῆς καταφθαρείσης ἰδίας προικὸς καὶ γνώριμα προικῷα εἴδη αὐτῆς ἀπάρτι καὶ εἰς τὸ ἑξῆς καταστάντα· ἐπεὶ δὲ ἐναπελείφθησαν καὶ βίος καθαρὸς τῶν παίδων αὐτῆς, τό τε μικρὸν καπηλεῖον μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς αὐτοῦ καὶ τὸ μέσον ἐργαστήριον μετὰ τῆς νομῆς καὶ ῥομίδος αὐτοῦ, τὸ μικρὸν ἐργαστήριον τὸ ἡνωμένον τῷ σαπωναρίῳ καὶ αὐτὸ τὸ σαπωνάριον καὶ τὰ ῥηθέντα ὀσπήτια, ἐν οἷς καταμένουσιν, ἃ καὶ δέδωκεν ὁ τῶν παίδων πάππος τῷ πατρὶ αὐτῶν, καὶ βίος κινητός, ὅσος καταγράφεται ἐν τῷ τῶν ῥηθέντων ἐκκλησιαστικῶν ἀρχόντων γράμματι, ὃς καὶ παρεδόθη τῇ Γαβραίνῃ φυλάσσεσθαι ὑπὲρ τῶν παίδων αὐτῆς, ὀφείλει ἡ Γάβραινα ταῦτα φυλάσσειν ἀμείωτα, μέχρις ἂν μερισθῶσιν εἰς τὰ παιδία αὐτῆς. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ τὸ παρὸν ἀπολέλυται γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηὶ ὀκτωβρίῳ ἰνδ. θ' †.

## DCIX. Sine anno.

*Sententia de venditione domus.*

† Μανουὴλ Χρυσοβέργης ὁ μάγκιφ, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τῶν μοναζουσῶν τῶν ἐνασκουμένων ἐπὶ τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τῇ ἐπικεκλημένῃ τῆς κυρᾶς Μάρθας, εἰπών, ὡς ἠγόρασε πρὸ χρόνων τριῶν ἀπὸ τῶν αὐτῶν μοναζουσῶν οἴκημα διακείμενον ἔνδον τῆς αὐλῆς τῆς τοιαύτης μονῆς, πλησίον τοῦ ναοῦ τοῦ ἁγίου μου καὶ ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου, μετὰ ἐκτιμητῶν δεξαμένων παρά τε τῶν μοναζουσῶν καὶ παρ' αὐτοῦ καταδοχὰς εἰς ὑπέρπυρα πολιτευόμενα δεκατέσσαρα, εἰς ἃ περιέστη παρὰ τῶν ἐκτιμητῶν ἡ τούτου τιμή, συμφωνήσας κατ' ἔτος διδόναι

καὶ τὸ ὑπὲρ αὐτοῦ σύνηθες τέλος, καὶ μετὰ τὸν θάνατον αὐτοῦ τε καὶ τῆς αὐτοῦ γυναικός, εἰ μὲν εὑρεθείη τούτοις παιδίον, ἵνα ᾖ τὸ ὀσπήτιον ἐκείνου, εἰ δὲ μή, ἵνα τιμᾶται τὸ τοιοῦτον ὀσπήτιον, καὶ δέχωνται τοῦτο αἱ μοναχαί, τὸ δὲ τίμημα αὐτοῦ ἐξοδιάζωσιν ἅπαν ὑπὲρ τῶν ψυχῶν αὐτῶν εἰς κηδείας καὶ μνημόσυνα τὰ συνήθη, ἐνεφάνισε δὲ καὶ τὸ πρατήριον γράμμα, ταῦτα κατὰ μέρος ἀπαραλλάκτως διαλαμβάνον. ἐζήτησεν οὖν ὁ μάγκιφ τὸ τοιοῦτον ὀσπήτιον, εἰς ὃ καὶ πολλὰς ἀνακτίσεις καὶ ἐξόδους κατεβάλετο, ἐπεὶ ἀπορίᾳ ἐσχάτῃ συνελάθη διὰ τὴν ἐκ τῆς μάχης ἀνάγκην καὶ βίαν καὶ χρέεσι περιέπεσεν, οὐ μὴν ἀλλὰ καὶ τὰ προικῷα αὐτοῦ οἰκήματα καταχαλάσας εἰς αὐτὸ πᾶσαν τὴν ὕλην ἀνέκτισε καὶ ἐξωδίασεν, ὡς ἂν διακρίνωμεν, καὶ πωληθῇ, καὶ βοηθείας τύχῃ ἐξ αὐτοῦ, εἴς τε τὴν τῶν χρεῶν αὐτοῦ ἀπόδοσιν καὶ εἰς μερικὴν ζωάρκειαν ἑαυτοῦ. διαμηνυθεῖσαι οὖν καὶ αἱ μοναχαὶ καὶ στείλασαι περὶ τούτου τὸν εἰς ἔνοχον αὐτῶν εὑρισκόμενον τὸν τιμιώτατον ἐν μοναχοῖς, κῦριν Γαλακτίωνα, ἐπεὶ εἶπον δι' αὐτοῦ, ὡς οὐδὲν ἐμποδίζουσιν αὐτόν, ἀλλὰ τήν τε συμφωνίαν τοιαύτην εἶναι καὶ αὐτὸς ὡμολόγει, καὶ τὴν ἡμετέραν περὶ τούτου διάκρισιν στέργειν ἔλεγεν, ἡ μετριότης ἡμῶν, ἐπεὶ εὗρεν ἀπὸ ἀκριβοῦς ἐξετάσεως, ὡς οὔτε τοῦ δικαίου τιμήματος οὐδὲν μέρος ἀφείθη αὐτῷ διὰ τὴν τοιαύτην συμφωνίαν, οὔτε τοῦ κατ' ἔτος τέλους τὸ τυχὸν παρυπεκρατήθη, οὔτε μὴν ἀφιέρωσίς τις προέβη παρὰ τοῦ μάγκιπος, εἰ μὴ μόνον δουλεία καὶ ὑπερησία ὑπὲρ τῆς ψυχῆς αὐτοῦ δὴ καὶ τῆς αὐτοῦ γυναικὸς ἐξεδόθη εἰς τὸ μοναστήριον, πένεται δὲ ἀρτίως, καὶ βούλεται καταφαγεῖν καὶ ὃ ἔταξεν ἐξοδιασθῆναι μετὰ τὸν αὐτοῦ θάνατον, διαγινώσκει καὶ ἀποφαίνεται, ἄδειαν ἔχειν πωλῆσαι τὸ ῥηθὲν ὀσπήτιον πρὸς ὃν βούλεται, ὅθεν καὶ ὀφείλει ὁ τοῦτο ἐξωνησόμενος ἀπ' αὐτοῦ ἀνενόχλητος μένειν ἀπό τε τῶν μοναζουσῶν καὶ παντὸς ἄλλου προσώπου. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCX. (6909—1400) octobri. ind. IX.

*Monasterium Philanthropeni emit domum.*

† Οἱ παῖδες ἱερέως τοῦ Πεπαγωμένου ἐκείνου, ὅ τε ....... ὁ Χρυσοβέργης καὶ ...... ὁ Πεπαγωμένος, ἠθέλησαν ὑπὸ τῆς τοῦ καιροῦ ἐνδείας πιεζόμενοι ἐνεχυριάσαι τήν τε κατοικίαν καὶ τὸν πάνσεπτον καὶ θεῖον ναὸν ἑαυτῶν, τὸν ἐπ' ὀνόματι τιμώμενον τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου τοῦ Βλαχοπούλου, καὶ λαβεῖν ἐπάνω αὐτῶν ὑπέρπυρα πεντήκοντα, ὡς ἂν καὶ τοῖς ἑαυτῶν χρεοφελέταις παράσχωσι, καὶ ἑαυτοῖς τοῖς ἀναγκαίοις βοηθήσωσιν. εὗρον τοίνυν τοὺς ἐν τῷ σεπτῷ καθίσματι τοῦ φιλανθρώπου Χριστοῦ καὶ ἐπικεκλημένῳ τοῦ Φιλανθρωπηνοῦ εὑρισκομένους μοναχούς, καὶ μετ' αὐτῶν συμφωνίαν ποιήσαντες, ἅτε πλησίον τῆς ἑαυτῶν οἰκίας ὄντας καὶ πολλὴν πλησιότητα ἔχοντας καὶ εἰς τὸν θεῖον ναόν, καὶ λαβεῖν ἐξ αὐτῶν τὰ ὑπέρπυρα ζητοῦντες, οἱ μοναχοὶ δειλιώσαντες δοῦναι τὰ ὑπέρπυρα τοῖς παισὶ καὶ εἰς νοῦν τὴν τούτων ἀφηλικιότητα ἐνθέμενοι, εἰς τὴν ἡμῶν μετριότητα ἀναδραμόντες, παρεκάλεσαν, ὡς ἂν γένηται ἡ τοιαύτη πρᾶξίς τε καὶ συμφωνία ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, διὰ καὶ τὴν εἰς τὸ ἑξῆς τε τοῦ καθίσματος αὐτῶν ἀνενοχλησίαν τε καὶ ἀσφάλειαν. τῶν οὖν παίδων τῇ ἡμῶν μετριότητι, ἀλλὰ δὴ καὶ τοῦ μέρους τῶν μοναχῶν παραστάντων, παρακελεύσατο αὕτη τοῖς παισὶν ἐξειπεῖν, ἐφ' ᾗτινι πράξει τὰ ὑπέρπυρα λαμβάνουσι καὶ συμφωνίᾳ, εἶπεν οὖν ὁ Χρυσοβέργης, ὁ καὶ τὴν ἡλικίαν πρῶτος, ὡς συνεφώνησαν οὕτως, ὡς ἐπεὶ δύο εἰσὶν ἀδελφοὶ καὶ λαμβάνουσιν ἐπάνω τῆς κατοικίας αὐτῶν πάσης καὶ τοῦ θείου ναοῦ ὑπέρπυρα πεντήκοντα, εἰ μὲν δῷ ὁ θεός, καὶ ἐλεύσονται καὶ ἀμφότεροι ἐνταῦθα (νῦν γὰρ ἀπόδημοι γενέσθαι διανοοῦνται) ἵνα παρέχωσι τοῖς ἐν τῷ καθίσματι μοναχοῖς καὶ δεσπόταις οὖσιν αὐτοῦ τὰ πεντήκοντα ὑπέρπυρα, καὶ λαμβάνωσι τήν τε κατοικίαν αὐτῶν καὶ τὸν θεῖον ναόν, εἰ δ' αὐτὸς ἀποθάνῃ, λαμβάνῃ τὸ κάθισμα τὴν ἡμίση αὐτοῦ κατοικίαν καὶ τὸ ἥμισυ δίκαιον αὐτοῦ τὸ ἐν τῷ θείῳ ναῷ, καὶ μνημονεύσῃ αὐτοῦ, ἐγγράφῃ δὲ καὶ ἐν τῷ βρεβίῳ αὐτοῦ τὸ τούτου ὄνομα, εἰ δ' ἀποθάνῃ ὁ ἀδελφὸς αὐτοῦ, παρέχῃ τῷ καθίσματι ὑπέρπυρα πεντήκοντα, καὶ ὑπάρχει ἅπασα ἡ κατοικία αὐτοῦ· εἰ δ' αὐτοῦ ἀποθανόντος θελήσει ὁ ἀδελφὸς αὐτοῦ ὁ ὕστερος ἐξαγοράσαι καὶ τὴν μερίδα αὐτοῦ, προτιμᾶται

μὲν τοῦ καθίσματος, πλὴν τιμωμένης τῆς καθόλου κατοικίας καὶ τοῦ ἐν τῷ θείῳ ναῷ τούτῳ δικαίου, παρέχῃ τῷ καθίσματι τὴν ἡμίσειαν τοῦ καθόλου τιμήν, καὶ οὕτω δεσπόσῃ τῆς καθόλου κατοικίας καὶ τοῦ θείου ναοῦ ἐξ ὁλοκλήρως. ταῦτα εἰπόντες ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, ἐπεὶ διεκρίθη παρ' αὐτῆς, ὡς ἡ τοιαύτη πρᾶξις καὶ συμφωνία (ἐστὶν) ὑπὲρ τῆς αὐτῶν ἐπιβοηθείας καὶ ἐπισκέψεως, παρακελεύεται καὶ ἀποφαίνεται, ὡς παρακολουθησάσης τῆς τοιαύτης συμφωνίας, εἰς τὸ ἔμπροσθέν, ὡς ἄνωθεν εἴρηται, τὸ κῦρος ἔχειν αὐτὴν καὶ βέβαιον καὶ ἀκατάλυτον καὶ μηδεμίαν εὑρήσειν τὸ κάθισμα παρὰ τῶν παίδων διενόχλησιν καὶ ἐπήρειαν, προβαλομένων ἀφηλικιότητα δῆθεν εἰς περιγραφὴν αὐτῶν, ἐπεὶ καὶ ἔμπροσθεν τῆς ἡμῶν μετριότητος τὸ περὶ τούτου ἐπράχθη, καὶ ὑπὲρ κυβερνήσεως τῶν νέων καὶ βοηθείας αὐτῶν ἐγένετο. ἐπεὶ δὲ ἡ τοιαύτη κατοικία ἦν ὑποτεθειμένη εἰς ὑπέρπυρα εἰκοσιδύο εἰς τὸν ἱερομόναχον κῦρ Μακάριον, ἐπεὶ καὶ ταῦτα πρὸς αὐτὸν οἱ παῖδες ἀποδεδώκασιν ἔμπροσθεν τοῦ τιμιωτάτου πρωτεκδίκου καὶ τοῦ θεοφιλεστάτου ὑπομνηματογράφου, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, ἀποσταλέντων παρ' αὐτῆς εἰς τοῦτο, ἀλλὰ δὴ παρόντος καὶ κῦρ Δημητρίου τοῦ Γαυροῦ, ὀφείλει ἡ ῥηθεῖσα κατοικία, ἀλλὰ δὴ καὶ ὁ πάνσεπτος ναός, ἐλευθέρα μὲν διατηρεῖσθαι ἀπὸ τοῦ ἱερομονάχου κῦρ Μακαρίου, ὑποκεῖσθαι δὲ ἐν μόνῳ τῷ ῥηθέντι καθίσματι τοῦ Φιλανθρωπηνοῦ, κατὰ τὴν ἄνωθεν ῥηθεῖσαν συμφωνίαν, ἐπεὶ καὶ ἐν αὐτῷ ἐπαφῆκαν οἱ παῖδες ἅπαντα τὰ δικαιώματα, ἅπερ εἶχον ὑπέρ τε τοῦ ναοῦ καὶ τῆς κατοικίας αὐτῶν. καὶ εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἀπολέλυται τῷ ῥηθέντι καθίσματι τοῦ Φιλανθρωπηνοῦ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. θ' †.

## DCXI. (6909—1400) novembri. ind. IX.

*Sententia in lite quadam.*

† Ὁ ἱερώτατος μητροπολίτης Μηδείας, ὑπέρτιμος, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἀδελφὸς τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργός, ἐγκρατὴς ἤδη καταστὰς τοῦ ἡμίσεος κελλίου τοῦ Θεολογίτου, ἐκδόντος τοῦτο πρὸς αὐτὸν τοῦ Λαλουμᾶ κυροῦ Ἀνδρονίκου, δικαιωθέντος συνοδικῶς ποιῆσαι εἰς τὸ ἥμισυ κελλίον, ὡς βούλεται, ἐπεὶ εὗρεν ἐν αὐτῷ καὶ τὸν πάνσεπτον καὶ θεῖον ναόν, τὸν ἐπ' ὀνόματι τιμώμενον τῶν ἁγίων καὶ ἐνδόξων μεγάλων μαρτύρων Θεοδώρων, καταπεσεῖν κινδυνεύοντα, διάγνωσιν ἐζήτησε παρὰ τῆς ἡμῶν μετριότητος, πόθεν ἂν ὁ ναὸς ἀνακτισθείη· ἐπεὶ δέ γε χωράφιον ἴδιον εἶχεν ὁ τοιοῦτος θεῖος ναός, ὅπερ ἐκαρπίζετο μὲν ὁ Θεολογίτης χρόνους ἤδη πολλούς, τὸν δὲ ναὸν ἠμέλησε παντελῶς, διέκρινεν ἡ μετριότης ἡμῶν, ἀπὸ τῶν παρεληλυθυιῶν ἐπικαρπιῶν καταδικασθῆναι τὸν Θεολογίτην ζημιωθῆναι, ὅσην ἂν ὁ Μηδείας ἔξοδον εἰς ἀνάκτισιν τοῦ ναοῦ καταβάληται, ὃς δὴ καὶ ἐπεὶ ἀνέκτισε μὲν αὐτόν, ἐξωδίασε δὲ εἰς τοῦτο ὑπέρπυρα εἴκοσιν, ἐζήτησε ταῦτά τε καὶ ἅπερ εἰς ῥάσα τοῦ καλογήρου τοῦ εὑρισκομένου εἰς τὸ κελλίον τοῦ Θεολογίτου κατεβάλετο, ἔτι δὲ καὶ ἅπερ εἰς ἀνάκτισιν τῆς εἰς τὴν κινστέρναν ῥυμίδος αὐτοῦ εἰπόντος κατεβάλετο, ἡ δὴ ῥυμὶς ἐγένετο διὰ τὸ πολλὴν ἐπήρειαν εὑρίσκειν ἐκ τοῦ κεκλεισμένην εὑρίσκεσθαι τὴν κινστέρναν τό τε κελλίον τοῦ Θεολογίτου, ἀλλὰ δὴ μερικήν τινα βλάβην καὶ αὐτὸ τὸ τοῦ Μηδείας· παρὼν δὲ καὶ ὁ Θεολογίτης καὶ ἀπολογήσασθαι πρὸς ταῦτα προτραπεὶς ἄλλα ἐπ' ἄλλοις ἔλεγεν, ἀσυνάρτητα μέντοι καὶ μηδὲν ἰσχυρὸν ἔχοντα. διέγνω οὖν ἡ μετριότης ἡμῶν, ἵνα τὰ μὲν εἰς ἀνάκτισιν τοῦ ναοῦ καταβληθέντα εἴκοσιν ὑπέρπυρα παρὰ τοῦ μητροπολίτου ἀποδῷ ὁ Θεολογίτης ἀπὸ τῶν παρεληλυθυιῶν ἐπικαρπιῶν, ὡς διεγνώσθη καὶ πρότερον· τὰ δὲ εἰς τὴν ῥυμίδα καταβληθέντα εἴκοσιν ὑπέρπυρα, ἐπεὶ τὸ κελλίον κοινὸν γέγονε, κοινῶς καὶ ἐκβληθῆναι ταῦτα ἐκ τῶν τοῦ κελλίου εἰσοδημάτων· ὁμοίως καὶ ἅπερ εἰς τὰ τοῦ καλογήρου ῥάσα κατεβάλετο ὁ Μηδείας, ἐπεὶ τῷ κοινῷ κελλίῳ μέλλει ἐκδουλεύειν, ὀφείλουσι καὶ ταῦτα, ἅπερ εἰσὶν ὑπέρπυρα δεκαέξ, ἐκβληθῆναι ἀπὸ τῶν τοῦ κελλίου εἰσοδημάτων, μετὰ δὲ τὸ ταῦτα ἐκβληθῆναι ἐκ τῶν εἰσοδημάτων, τότε μερίζειν ἐξ ἴσου τοὺς δύο, τόν τε Μηδείας καὶ τὸν Θεολογίτην, τὰ

τοῦ κελλίου εἰσοδήματα, ὡς κυρίους αὐτοῦ. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ὀφείλει δὲ τὸ εἰσόδημα ἐκβαλεῖν τὰ ῥηθέντα καὶ καταμερίζεσθαι καὶ εἰς τοὺς δύο ἐπίσης, ἀφ' οὗ καιροῦ διεδέξατο ὁ Μηδείας τὸ ἥμισυ τοῦ κελλίου ἀπὸ τοῦ Λαλουμᾶ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. θ' †.

## DCXII. (6909—1400) novembri. ind. IX.

*Controversia dirimitur.*

† Ἰωαννίκιος μοναχὸς ὁ Κληματίδης, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ Μανουὴλ τοῦ Τουράτζου, εἰπών, ὡς ἡ ποτὲ σύμβιος αὐτοῦ, ἡ μοναχὴ Μακαρία, ἀποθνήσκουσα ἀφῆκε πρὸς τὸν Τουράτζον ὡς ἐπίτροπον αὐτῆς πράγματα πολλὰ καὶ ζωνάρια καὶ δακτυλίδια καὶ ἄλλα εἴδη, ἵνα δῷ αὐτὰ πρὸς αὐτὸν, καὶ ὑπέρπυρα, αὐτὸς δὲ παρυπεκράτησε ταῦτα, δι' ὃ καὶ ἔγκλησιν κεκίνηκε κατ' αὐτοῦ. παρὼν δὲ καὶ ὁ Τουράτζος καὶ ἀπολογήσασθαι πρὸς ταῦτα προτραπεὶς ἐνεφάνισε διαθήκην τῆς μοναχῆς, διαλαμβάνουσαν, δοῦναι τῷ μοναχῷ ὀλίγα τινὰ εἴδη, ἔτι δὲ ἐνεφάνισεν ἀποφλητικὴν ἀπόδειξιν αὐτοῦ τοῦ μοναχοῦ, εἶπέ τε, ὡς ἔδωκε τῷ μοναχῷ ὡς ὀχληρῷ καὶ κατεπέκεινα τῶν γραφέντων ἐν τῇ διαθήκῃ ὑπερπύρων ἑβδομήκοντα· ἀπῃτήθη οὖν ὁ Κληματίδης συστῆσαι, ὃ προεβάλλετο, ὡς ἀφῆκεν αὐτῷ ἡ μοναχὴ πράγματα καὶ πλείω τῶν δοθέντων αὐτῷ, ὁ δὲ ἀπόδειξιν ἢ μαρτυρίαν οὐδεμίαν εἶχε, ἠξίου δὲ μόνον βάρος ἀφορισμοῦ δέξασθαι τὸν Τουράτζον, ὡς στέρξων πᾶν, εἴ τι ἂν εἴποι μετὰ βάρους περὶ τούτου, ὅπερ εὔλογον μὲν οὐκ ἐδόκει, ἐγγράφου διαθήκης ἐμφανιζομένης καὶ μηδεμίας ἀποδείξεως οὔσης εἰς ἃ ὁ Κληματίδης ἀγράφως προέτεινεν ἀφορισθῆναι τὸν Τουράτζον, διότι δὲ ὁ Τουράτζος ἔδωκεν ἔξω τῆς διαθήκης τῷ μοναχῷ ὑπέρπυρα, ὡς λέγει, ἑβδομήκοντα, αὐτὸς δὲ καθ' ἑαυτοῦ δέδωκεν ὑποψίαν, μήποτε καὶ πλείω τῶν δοθέντων ἀφῆκεν ἡ μοναχὴ τῷ Κληματίδῃ· ἐπεὶ οὖν ὁ Τουράτζος, δεξάμενος συνοδικῶς διὰ ταύτην τὴν ὑποψίαν βάρος φρικώδους ἀφορισμοῦ, εἶπεν, ὡς οὐδὲν ἔξω τῆς διαθήκης ἀφῆκεν ἡ μοναχὴ τῷ Κληματίδῃ, ἀλλὰ ὡς ὀχληρῷ καὶ ὑπὲρ τῆς ψυχῆς ἐκείνης δέδωκεν αὐτῷ τὰ πλείω τῶν γραφέντων, ἡ μετριότης ἡμῶν ἀνενόχλη-

τον μένειν τὸν Τουράτζον εἰς τὸ ἑξῆς ἀπὸ τοῦ Κληματίδη διαγινώσκει καὶ ἀποφαίνεται. τούτου γὰρ χάριν ἐγένετο πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. θ' †.

DCXIII. (6909—1400) novembri. ind. IX.

*De venditione domuum infantis.*

† Νικόλαος ὁ τοῦ Ἐξωτρόχου ἐκείνου υἱός, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἀνέφερεν, ὡς οὐδὲν ἕτερον αὐτῷ περίεστιν, εἰ μὴ μόνα τὰ πατρικὰ ὁσπήτια αὐτοῦ, ἅπερ ἐδικαιώθη συνοδικῶς μόνα λαβεῖν μετὰ τὸν τοῦ πατρὸς αὐτοῦ θάνατον, ἀντικριθεὶς τῇ ἑτεροθαλεῖ ἀδελφῇ αὐτοῦ, καθὼς τὰ περὶ τούτου πλατύτερον διέξεισι τὸ συνοδικὸν γράμμα τῆς ἡμῶν μετριότητος, καὶ νῦν ἐνδείᾳ παντελεῖ καὶ στενοχωρίᾳ πιέζεται διὰ τὴν τοῦ καιροῦ ἀνωμαλίαν καὶ μάχην, καὶ οὔτε ἔχει, ὅθεν ἂν τραφείη, οὔθ' ὅτε διενεργῆσαι, δι' ἃ καὶ ἐζήτησε καὶ ἠξίωσε πωλῆσαι τὰ ῥηθέντα ὁσπήτια εἴς τε ζωάρκειαν αὐτοῦ καὶ προμήθειαν, ἵνα τι διενεργήσει. ἡ γοῦν μετριότης ἡμῶν διὰ τὸ ἀφήλικα εἶναι τὸν τοῦ Ἐξωτρόχου υἱόν, οὐκ ἐβούλετο τοῦτ' ἐπιτρέψαι· πάλιν δὲ τὴν ἀνάγκην αὐτοῦ κατιδοῦσα, καὶ ὡς οὐδεμίας ἡμέρας τροφὴν εὐπορεῖ, οὔτε μὴν ἐνδυμένειαν τὴν τυχοῦσαν, μόλις ἐνέδωκε, τοῦτο γενέσθαι, μήποτε καὶ τοῦ ἀκινήτου κτήματος τοῦ ἀφήλικος ἀντιποιουμένων ἡμῶν ἀπόλλυται ὁ ἀφῆλιξ, λιμῷ τε καὶ κρύει παλαίων, πλὴν τιμηθῆναι τοῦτο παρὰ εἰδήμονος ἀνθρώπου σὺν ἀφαλείᾳ τῇ προσηκούσῃ, ὅθεν καὶ ἐπεὶ προτροπῇ τῆς ἡμῶν μετριότητος ἐτιμήθησαν τὰ ῥηθέντα ὁσπήτια τοῦ Ἐξωτρόχου ὑπὸ Μιχαὴλ τοῦ Παλαιοφύλακος μετὰ τῆς προσηκούσης ἀσφαλείας πρὸς τὸν καιρὸν καὶ τὰ πράγματα εἰς ὑπέρπυρα διακόσια πεντήκοντα, οὐδεὶς δὲ εὑρέθη δοῦναι ταῦτα θελήσας, εἰ μήπου ἡ ἐξαδέλφη αὐτοῦ, κυρὰ Θεοδώρα ἡ Βαροπολίτισσα, δέδωκε διακόσια τεσσαράκοντα, τὰ μὲν τοιαῦτα ὑπέρπυρα διέκρινεν ἡ μετριότης ἡμῶν κεῖσθαι εἰς τὴν τοῦ παιδὸς θείαν, Μάρθαν μοναχὴν τὴν Βαροπολίτισσαν, ὡς ἂν λαμβάνῃ ταῦτα ὁ Ἐξώτροχος μετ' ἐνδόσεως ἡμετέρας, καὶ μὴ φθείρῃ ταῦτα κακῶς. ἡ δὲ ῥηθεῖσα κυρὰ Θεοδώρα ἡ Βαροπολίτισσα ὀφείλει ἀνενόχλητος μένειν καὶ πάντῃ ἀνεπηρέαστος ἀπὸ τοῦ ῥηθέντος Ἐξω-

τρόχου, ἐντελοῦς ἡλικίας ἐπιλαβομένου, ἕνεκεν τῆς δεσποτείας τῶν τοιούτων ὀσπητίων, ἐπεὶ καὶ ὑπὲρ αὐτοῦ ἐπωλήθησαν, καὶ τὴν ἀξίαν τιμὴν ἔλαβε πρὸς τὸν καιρὸν καὶ τὰ πράγματα. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. θ' †.

## DCXIV. (9609—1400) novembri. ind. IX.

*Controversia dirimitur.*

† Ὁ ἐξ ἐθνῶν Νικόλαος προσφυγὼν τῇ ἁγιωτάτῃ μεγάλῃ ἐκκλησίᾳ καὶ ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἀνέφερεν, ὡς λογαριασμοὺς ἔχων μετά τε τοῦ αὐθέντου καὶ πνευματικοῦ πατρὸς αὐτοῦ, κῦρ Γεωργίου τοῦ Ἀγκῶνα, καὶ μετὰ κῦρ Δημητρίου τοῦ Μυροπήτου, φοβεῖται, μήποτε καταδικασθεὶς καὶ ἐλεγχθεὶς ὀφείλων αὐτοῖς πολλά, βληθῇ παρ' αὐτῶν εἰς φυλακήν, μὴ δυνάμενος ἀποδοῦναι αὐτοῖς μηδὲ τὸ τυχόν, ἐζήτησε οὖν διὰ τοῦτο βοήθειαν τὴν διδομένην τοῖς ἀπόροις χρεώσταις παρὰ τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας. ἐπεὶ οὖν διαμηνυθέντες καὶ οἱ ῥηθέντες συνοδικῶς παρεγένοντο, καὶ ἠξίωσαν, ἵνα μόνον γένηται λογαριασμὸς μετὰ τοῦ Νικολάου ἐν τῷ Γαλατᾷ, διὰ τὸ εἶναι λατινικῶς γεγραμμένα τὰ κατάστιχα αὐτῶν, βαλόντων ἐκείνων ἕνα καὶ τοῦ Νικολάου ἕτερον, ὃν ἂν βούληται, ἵνα ἀναφανῇ, τί ὀφείλει αὐτοῖς, καὶ ὑπεσχέθησαν, ἵνα μήτε ἐν φυλακῇ βάλωσιν αὐτόν, μήτε μὴν ἕτερόν τι κακὸν εἰς αὐτὸν ἐνδείξωνται, ἀλλ' εἰ μὲν εὕρωσι περιουσίαν αὐτοῦ, ἱκανωθῶσιν ἐξ αὐτῆς, εἰ δὲ μή, ἵνα συμφωνήσῃ καὶ διδῷ ἀπὸ τῆς ἐνεργείας αὐτοῦ, ὑπεξαιρουμένων πρότερον τῶν πρὸς ζωάρκειαν αὐτοῦ τε καὶ τῆς γυναικὸς αὐτοῦ, ἡ μετριότης ἡμῶν ἐνέδωκε τοῦτο γενέσθαι, διαγινώσκει τε, ἵνα μηδὲν ἔχῃ τις ἐξ αὐτῶν ἄδειαν μετὰ τὸν λογαριασμὸν ἢ εἰς φυλακὴν αὐτὸν ἐμβαλεῖν ἢ βίαιόν τι καὶ κακωτικὸν εἰς αὐτὸν ἐνδείξασθαι ἢ εἰς ἕτερόν τινα δανειστὴν ἑαυτῶν παραδοῦναι τοῦτον, ἀλλ' εἰ μὲν εὕρωσι περιουσίαν αὐτοῦ, ἵνα κρατῶσι ταύτην καὶ ἱκανοποιῶνται ἐξ αὐτῆς, εἰ δὲ μὴ εὕρωσι περιουσίαν αὐτοῦ, ἵνα διατηρῆται ὁ ῥηθεὶς Νικόλαος ἀνενόχλητος ἀπ' αὐτῶν, καὶ διενεργῇ δουλείαν αὐτοῦ, καὶ πρῶτον μὲν ἐκβάλῃ τι πρὸς ζωάρκειαν αὐτοῦ τε καὶ τῆς αὐτοῦ γυναικός, εἶτα τὸ περισσεῦον ἀποδιδῷ εἰς τὸ χρέος αὐτῶν, ὅσον ἀνα-

φανείη. εἰ δὲ μετὰ τὸν λογαριασμὸν καὶ φανέρωσιν τοῦ χρέους αὐτῶν ἢ εἰς ἔξοδόν τινα τὴν τυχοῦσαν εἰς τὸν λογαριασμὸν αὐτῶν ἐμβάλουσιν, ἐπεὶ καὶ τοῦτο ὑπεσχέθησαν, ἀνέξοδον αὐτὸν πάντη διατηρῆσαι, ἢ εἰς φυλακὴν ἀποκλείσωσιν αὐτόν, ἢ εἰς δανειστὴν ἑαυτῶν παραδώσουσι τοῦτον, παρὰ τὴν συνοδικὴν αὐτῶν ὑπόσχεσιν, ὑπὸ βάρος φρικώδους ἀφορισμοῦ ἔχει αὐτούς, τόν τε ῥηθέντα Ἀγκῶνα καὶ τὸν Μυροπήτην, ἡ μετριότης ἡμῶν, ἧς καὶ τὸ παρὸν ἀπολέλυται γράμμα τῷ Νικολάῳ εἰς ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. θ' †.

## DCXV. 6909 (1400) decembri. ind. IX.

*Professio fidei Nicolai Contari.*

† Νικόλαος Κοντάρης ὑπέγραφα †.

† Πιστεύω εἰς ἕνα θεόν, πατέρα κ. τ. λ. ἀμήν. πρὸς τούτοις ἀποβάλλομαι τὴν παρὰ τῶν Λατίνων γενομένην προσθήκην ἐν τῷ ἁγίῳ συμβόλῳ τὴν λέγουσαν, ὅτι ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ, πιστεύω γάρ, ὅτι ἐκ μόνου τοῦ πατρός, ἀποβάλλομαι δὲ καὶ πάντα τὰ ἔθιμα αὐτῶν καὶ τὴν πολιτείαν καὶ διαγωγήν, ὅσα εἰσὶν ἔξω τῆς ἐκκλησίας τῆς ἀποστολικῆς καὶ καθολικῆς τῶν ἁγίων ἀποστόλων καὶ πατέρων, καὶ στέργω καὶ φρονῶ, ὅσα ἡ ἁγία ἐκκλησία Κωνσταντινουπόλεως, καὶ προσέρχομαι ὁλοψύχως τῷ παναγιωτάτῳ μου δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, τῷ κὺρ Ματθαίῳ, καὶ τῇ περὶ αὐτὸν θείᾳ καὶ ἱερᾷ συνόδῳ. μηνὶ δεκεβρίῳ ἰνδ. θ' τοῦ ϛ ϡ ἐννάτου ἔτους †.

## DCXVI. 6909 (1400) decembri. ind. IX.

*Theophanes, metropolita Heracleae, constituitur exarchus Thraciae et Macedoniae.*

I. † Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς γράμματος ἀνατίθησί σοι, τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἡρακλείας, προέδρῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, ἐξαρχικῷ λόγῳ τὴν οἰκονομίαν καὶ πνευματικὴν ἅμα καὶ ἐπισκοπικὴν διοίκησιν τῶν κατὰ τὴν Θρᾴκην τε καὶ Μακεδονίαν, ἔτι δὲ καὶ κατὰ τὴν Μαύρην Θάλασσαν χηρευουσῶν ἁγιωτάτων μητροπόλεων καὶ ἐκκλησιῶν,

διὰ τὸ μὴ ἐξεῖναι ἡμῖν κατὰ τὸ παρὸν γνησίους ἀρχιερεῖς ταύταις ἐγκαταστῆσαι, ὃς καὶ ὀφείλει πνευματικῶς ἐπισκέπτεσθαι ταύτας καὶ τὰ ἐν ταύταις ἐξετάζειν καὶ διενεργεῖν τῆς κανονικῆς ἐχόμενα ἀκριβείας καὶ διαταγῆς, ὡς γὰρ εἰς τοὺς ὑπό σε πρᾶος ὀφείλεις εἶναι καὶ θεραπευτικός, ἥμερος, εὐπρόσιτος, προσηνὴς καὶ πρὸς τοὺς ἁμαρτάνοντας ἅπαντας ἀναίδην ἐλεγκτικὸς (τὸν γὰρ ἁμαρτάνοντα ἐνώπιον πάντων, φησίν, ἔλεγχε) ὥσπερ οὖν εἰς τοὺς ὑπό σε ταῦτα τηρεῖν ὀφείλεις, ὥσπερ δῆτα, θεοῦ χάριτι, καὶ εἴ, τοῦτο γὰρ πάλαι πεπληροφορήμεθα, οὕτω καὶ πρὸς τὰς ἄρτι ἐμπεπιστευομένας σοι ἐκκλησίας παρὰ τῆς ἡμῶν μετριότητος καὶ τοὺς ἐν ταύταις κληρικοὺς ὀφείλεις πρᾶος εἶναι, ἀόργητος, ταπεινός, μακρόθυμος, εἰρηνικός, ἔστιν οὗ εἰς τὸ παραιτεῖσθαι τὰ ἀφορῶντα εἰς πρόσωπόν σου, καὶ αὐστηρὸς καὶ ἐλεγκτικός, ὅταν ἡ περιφρόνησις οὐκ εἰς σέ, ἀλλ' εἰς τὸν θεὸν ἀφορᾷ καὶ εἰς ὕβριν καὶ μῶμον τῆς ἐκκλησίας Χριστοῦ, χρημάτων καταφρονεῖν, ἐπεὶ ταῦτα καὶ μάλιστα τυφλοῖ τὸν λογισμὸν καὶ οὐκ ἐᾷ τὰ δέοντα, ὡς δεῖ, συνορᾶν τε καὶ διακρίνειν, ἐγκράτειαν, δικαιοσύνην, ἀσκεῖν ἐλεημοσύνην, γίνεσθε γάρ φησιν ἡ θεία γραφή. οἰκτίρμονες, ὅτι ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐστὶν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς, ὑπογραμμὸν καὶ τύπον πᾶσι τοῖς ἐμπεπιστευομένοις σοι εἶναι, προηγουμένως μὲν πάσης εὐλαβείας καὶ κοσμιότητος, τῆς περὶ τὰ θεῖα δὲ μάλιστα σπουδῆς τε καὶ προσοχῆς, τῶν συνάξεων μὴ ὀλιγωρεῖν καὶ τῆς ἀδιακόπου ἑπτάκις αἰνέσεως τοῦ κυρίου, διενεργεῖν δὲ τὰ ἐν ταύταις ἐκκλησιαστικὰ δίκαια ὀφείλεις πάντα, τάς τε χειροτονίας τῶν ἀναγνωστῶν, ὑποδιακόνων τε καὶ διακόνων καὶ πρεσβυτέρων, ἔτι δὲ καὶ τὰς καθιερώσεις τῶν θείων καὶ ἱερῶν ναῶν, ἄνευ τῆς οἱασοῦν ἀπαιτήσεως ἢ δόσεως, δωρεὰν γάρ φησιν, ἐλάβετε, δωρεὰν δότε, καὶ ὅτι οἱ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων ἀπαγορεύουσιν ὅλως τὸ ἐπὶ χρήμασιν ἢ χειροτονῆσαί τινα ἢ χειροτονηθῆναι. καὶ χαλεπῇ ὑπάγουσι καταδίκῃ τὸν τοῦτο τολμήσοντα, τὰς δὲ τῶν θείων καθιερώσεις ναῶν ὀφείλεις ποιεῖν ἐν αὐταῖς ἐπὶ σταυροπηγίῳ τῆς ἡμῶν μετριότητος, διὰ τὸ ἀνάγκην εἶναι ἐπ' ὀνόματι ἐπισκόπου καθιεροῦσθαι αὐτούς, γνησίου τοίνυν μὴ ὄντος ταύταις, ὀφείλεις ἐπὶ τῷ τοῦ οἰκουμενικοῦ ὀνόματι τούτους καθιεροῦν, οὕτω μέντοι, ὡς γνησίων ἀρχιερέων ἐν αὐταῖς χειροτονηθέντων, εὑρίσκεσθαι καὶ τοὺς ἀρτίως ἀνεγερθησομένους ναοὺς ὑπὸ τὴν αὐτῶν ἐφορίαν

καὶ πνευματικὴν ἀνάκρισιν καὶ διοίκησιν καὶ μνημονεύειν κἀκείνους ἐν αὐτοῖς, ὡς γνησίους ἐπισκόπους, ἄλογον γὰρ δοκεῖ τῇ ἡμῶν μετριότητι, διὰ τὸν καιρὸν ἐμποδισμοῦ ὄντος, γνησίους ἐν αὐτοῖς καταστῆσαι ἀρχιερεῖς, ἡμᾶς καταπραγματεύεσθαι καὶ παραιρεῖσθαι τὰς ἐνο ρίας αὐτῶν. ἔσονται τοίνυν καὶ αἱ νεουργηθησόμεναι ἐκκλησίαι ἐπ' ὀνόματι τῆς ἡμῶν μετριότητος διὰ τὴν ἀνάγκην, καὶ γνησίων ἀρχιερέων χειροτονηθέντων ἐν αὐταῖς ὑπ' αὐτοὺς ὡς καὶ αἱ πρότερον ὑπ' αὐτοὺς τελοῦσαι. ἀπὸ τῶν κρίσεων μηδὲν λαμβάνειν διακελευόμεθα, μήτε πρὸ τῶν κρίσεων, μήτε μετὰ τὰς κρίσεις, πόσα γὰρ ἐντεῦθεν κακὰ τίκτεται, παντὸς μᾶλλον οἶδεν ἡ σὴ ἱερότης. ἀπὸ δέ γε τῶν συνοικεσίων, ὅπερ ἕκαστος προαιρεῖται, τοῦτο ὀφείλεις λαμβάνειν ἀρκεῖσθαι, καὶ θεῷ γὰρ φίλον τὸ κατὰ δύναμιν. ἐπὶ τούτοις γὰρ γέγονε καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα, καὶ ἐπεδόθη σοι τῷ διαληφθέντι ἱερωτάτῳ μητροπολίτῃ Ἡρακλείας, προέδρῳ τῶν ὑπερτίμων καὶ ἐξάρχῳ πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κῦρ Θεοφάνει, εἰς ἀσφάλειαν ἐν ἔτει ,ς ϡ θ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρός τό· μηνὶ δεκεβρίῳ ἰνδ. θ' †.

---

II. † Ἱερώτατε μητροπολῖτα Ἡρακλείας, πρόεδρε τῶν ὑπερτίμων καὶ ἔξαρχε πάσης Θρᾴκης καὶ Μακεδονίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. τὰ γράμματα τῆς σῆς ἱερότητος διεκομίσθησαν τῇ ἡμῶν μετριότητι, καὶ ἐγνωρίσαμεν ἐξ αὐτῶν περὶ ὧν ἔγραφες, διεκρίναμεν οὖν, καὶ ἐγένετο ἐνταλτήριον γράμμα εἰς σὲ περὶ τῶν χηρευουσῶν ἐκκλησιῶν ἔν τε τῇ Θρᾴκῃ καὶ τῇ Μακεδονίᾳ πάσῃ καὶ ἔν τε τῷ ἄνω πόντῳ κατὰ τὴν δύσιν, ἵνα ἐπισκέψῃ ταύτας κανονικῶς, καὶ διενεργῇς πάντα τὰ ἀρχιερατικὰ ἐν αὐταῖς ἐξαρχικῶς, μέχρις ἄν, θεοῦ διδόντος, χειροτονηθῶσιν ἐν ταύταις γνήσιοι ἀρχιερεῖς. οἴδαμεν οὖν, ὅτι τὰ ἐν ταύταις θεοφιλῶς διοικήσεις τῇ ἐνούσῃ σοι ἀρετῇ καὶ θεοφιλεῖ πολιτείᾳ, πλὴν ἀξιοῦμεν, εἰς ἄκρον τὸ ἀπρόσκοπον τήρησον καὶ τὴν κανονικὴν εἰς πάντα ἀκρίβειαν, ὡς ἂν μᾶλλον καὶ

θεὸς δοξασθῇ διὰ σοῦ, καὶ ἡ μετριότης ἡμῶν ταῦτα πληροφορηθεῖσα ἀποδέξηταί σε τῆς καλῆς οἰκονομίας, καὶ εὔξηταί σοι παρὰ θεοῦ πᾶν ἀγαθὸν καὶ σωτήριον. τὰ δὲ ἡμέτερα ὅπως ἔχουσιν, οἶδας μᾶλλον πάντων· εἴ τι οὖν δύνασαι, βοήθει ἔργῳ τε καὶ εὐχαῖς. περὶ δὲ τοῦ ἡγουμένου τοῦ Ἁγίου Βασιλείου, εἴπερ ἐν χρείᾳ γένηται τούτου, ὡς γράφεις, ἀπολύομεν τοῦτον, καὶ ἐκχωροῦμέν σοι χρήσασθαι τούτῳ πρὸς ὅπερ ἂν δόξῃ σοι ἁρμόδιον. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. θ' †.

## DCXVII. Sine anno.

*Controversia dirimitur.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Νικόλαος ὁ Μακροδοῦκας, καὶ κῦρ Λουκᾶς ὁ Λινάρδος, κατὰ πνεῦμα υἱοὶ τῆς ἡμῶν μετριότητος, ἀναδραμόντες εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσαντο κατὰ Στυλιανοῦ τοῦ Χαλκεοπούλου, εἰπόντες, ὡς ὀφείλει αὐτοῖς ὑπέρπυρα πολιτευόμενα διὰ χαράγματος τριακόσια, ὑπὲρ ὧν καὶ ὑπέθηκεν εἰς αὐτοὺς εἰς ἐνέχυρον τὰ περὶ τὸν Κυνηγὸν καπηλικὰ ἐργαστήρια αὐτοῦ καὶ ἁπλῶς πάντα, ὅσα ἔχει ἐκεῖσε, συμφωνήσας, ὡς ἐντὸς διωρίας χρόνων γ' ἀποδῷ πάντα πρὸς αὐτούς· ἧς δὴ παραδραμούσης, ἐπεὶ καὶ μετ' ἐκείνην παρῆλθον ἤδη καὶ ἄλλοι τρεῖς χρόνοι, καὶ οὐκ ἔδωκε ταῦτα πρὸς αὐτούς, ἐζήτησαν καὶ ἠξίωσαν ἀντικριθῆναι συνοδικῶς αὐτῷ. παρὼν δὲ καὶ ὁ Χαλκεόπουλος καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπείς, ἀρνήσασθαι μὲν τὸ τοιοῦτον χρέος οὐκ ἠδυνήθη, ἐνεφάνισαν γὰρ τὸ τῆς συμφωνίας αὐτῶν γράμμα, διαλαμβάνον τὸ τοιοῦτον χρέος, εἰς ὃ καὶ ἡ γονὴ αὐτοῦ ἐδιδάχθη τὸν βοηθοῦντα αὐτῇ νόμον ἐπὶ τῇ ἰδίᾳ προικί, καὶ παρῃτήσατο πᾶν, εἴ τι εἶχεν εἰς ταῦτα δίκαιον, καὶ ἔστερξε προτιμᾶσθαι τὸ τοιοῦτον χρέος καὶ τῆς ἰδίας προικός. ἐπεὶ δὲ ἀνεφάνη συνοδικῶς, ὡς πρὸ τοῦ τοιούτου χρέους συνεφώνησε δοῦναι τῇ ἀνεψιᾷ αὐτοῦ ἀπὸ τῶν τοιούτων ὀσπητίων μέρος ὑπερπύρων ρ', οὐκ ἔφθασε δὲ δοῦναι αὐτῇ τοῦτο, διὸ καὶ ἐδικαιώθη ἡ ἀνεψιὰ αὐτοῦ λαβεῖν τὸ τῶν ἑκατὸν ὑπερπύρων μέρος πρὸ τῶν ῥηθέντων χρεωφειλετῶν αὐτοῦ, ἠξίωσαν οἱ ῥηθέντες χρεωφιλέται διατιμηθῆναι πάντα τὰ

ῥηθέντα ὀσπήτια τοῦ Χαλκεοπούλου, ὡς ἂν ἱκανωθῶσι καὶ αὐτοὶ ἐξ αὐτῶν μετὰ τὸ λαβεῖν τὴν ἀνεψιὰν αὐτοῦ τὸ τῶν ἑκατὸν ὑπερπύρων μέρος τὸ εἰς προῖκα συμφωνηθὲν αὐτῇ πρὸ τοῦ ὑποτεθῆναι εἰς τὸ χρέος αὐτῶν τὰ τοιαῦτα ὀσπήτια. διαγνώσει τοίνυν τῆς ἡμῶν μετριότητος ἐπέστησαν τοῖς τοιούτοις ἐργαστηρίοις οἱ τιμιώτατοι ἐξωκατάκηλοι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, διάκονοι, ὅ τε μέγας σακελλάριος ὁ Ἀσινάρης, καὶ ὁ μέγας χαρτοφύλαξ, ὁ Βαλσαμών, καὶ ὁ πρωτέκδικος, ὁ Εὐγενικός, οἳ καὶ βάρος ἀφορισμοῦ ἐκφωνήσαντες κατὰ τῶν προσκληθέντων ἐκτιμητῶν, ὑφ' ἑκατέρων τῶν μερῶν (οὗτοι δὲ ἦσαν ὁ παλατοφύλαξ ὁ Μακέδων καὶ ὁ Θεοχάριστος καὶ ὁ .....) εὗρον τὴν τιμὴν αὐτῶν ἀρκοῦσαν πρός τε ἀπόδοσιν τῶν τῆς ἀνεψιᾶς τοῦ Χαλκεοπούλῳ ἑκατὸν ὑπερπύρων καὶ ἱκάνωσιν καὶ τῶν τριακοσίων ὑπερπύρων τοῦ χρέους καὶ ἔτι περισσεύοντά τινα καὶ τῷ Χαλκεοπούλῳ. ὁ μὲν οὖν Χαλκεόπουλος ἠξίου, ὡς ἐπεὶ ἐτιμήθησαν τὰ ῥηθέντα ἐργαστήρια αὐτοῦ, δοθῆναι αὐτῷ διωρίαν, ὡς ἂν εἰ μὲν ἐντὸς ταύτης δυνηθῇ καὶ ἀποδῷ αὐτοῖς τὰ ῥηθέντα τριακόσια ὑπέρπυρα αὐτῶν, ἔχῃ αὐτὸς τὰ ἐργαστήρια αὐτοῦ· εἰ δὲ μή, ἔχωσιν αὐτοὶ ταῦτα κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα, ὃ καὶ οἱ ῥηθέντες ἔστερξαν χρεοφειλέται αὐτοῦ, μόνον εἴπερ ἐγκρατεῖς ἀπὸ τῆς σήμερον γένωνται τῶν διατιμηθέντων οἰκημάτων εἰς ποσότητα τῶν ὀφειλομένων αὐτοῖς ὑπερπύρων, ὅθεν καὶ ἐπεὶ ἐτιμήθησαν τὰ δύο μικρὰ ἐργαστήρια μετὰ καὶ τοῦ ἐν τῇ αὐλῇ καταχύματος καὶ τῆς σκεπαστῆς εἰς ὑπέρπυρα ἑξηκονταεννέα, τὸ δὲ μέγα καπηλικὸν ἐργαστήριον εἰς ὑπέρπυρα διακόσια εἰκοσιπέντε, ὡς γίνεσθαι ὁμοῦ ὑπέρπυρα διακόσια ἐνενηκοντατέσσαρα, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, κρατεῖσθαι μὲν ταῦτα ὑπὸ τῶν ῥηθέντων χρεωφειλετῶν τοῦ Χαλκεοπούλου καὶ ἐφορᾶσθαι τοῦ μηδὲν ἐργάσασθαι τὸν Χαλκεόπουλον εἰς αὐτά, ἄνευ τῆς γνώμης καὶ εἰδήσεως αὐτῶν, ἔχειν δὲ τὸν Χαλκεόπουλον ἄδειαν μέχρι παραδρομῆς μηνῶν ἓξ εἰ μὲν δυνηθῇ ἀποδοῦναι αὐτοῖς τὰ ῥηθέντα ὑπέρπυρα, ἅπερ ὀφείλει αὐτοῖς, ἔχειν τὰ ῥηθέντα ἐργαστήρια αὐτοῦ ἀνενοχλήτως ἀπ' αὐτῶν, ὁμοίως ἂν δυνηθῇ ἢ ἐνεχυράσαι ταῦτα ἢ πωλῆσαι πρὸς ἕτερόν τινα εἰς πλείονα τιμὴν ἢ ἐνυποθήκως ἀποδοῦναι ταῦτα πρός τινα, ἵνα δηλοποιῇ τοῦτο καὶ τοῖς ῥηθεῖσι, καὶ εἰ μὲν βούλονται, προτιμῶνται οὗτοι εἰς τὴν πρᾶξιν, ὁποία ποτ' ἂν ᾖ,

εἰ δὲ μή, ἵνα ποιῇ μὲν τὴν πρᾶξιν ὁ Χαλκεόπουλος, λαμβάνωσιν οὗτοι δὲ τὰ ὑπέρπυρα αὐτῶν· τῶν ἓξ δὲ μηνῶν παρελθόντων, εἴπερ οὐδὲν δυνηθῇ ὁ Χαλκεόπουλος ποιῆσαί τι τῶν ῥηθέντων, τότε ὀφείλουσιν ὅ τε Μακροδοῦκας καὶ ὁ Λινάρδος ἔχειν τὰ ἀνωτέρω ῥηθέντα ὀσπήτια ἀνενοχλήτως ἀπὸ τοῦ Χαλκεοπούλου κατὰ τελείαν δεσποτείαν καὶ κυριότητα. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν· ἀπελύθη τῇ κ' †.

## DCXVIII. (6909—1401) ianuario. ind. IX.

*Professio fidei Bartholomaei cuiusdam.*

† Ὁμολογία τοῦ ἀπὸ Λατίνων ἀνελθόντος Βαρθολομαίου †.

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. ἀμήν. καὶ ὁμολογῶ, ὅτι γνησίως καὶ ὁλοψύχως προσέρχομαι τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, καὶ ἀποβάλλομαι πᾶσαν τὴν δόξαν τῶν Λατίνων, τὴν προσθήκην τὴν εἰς τὸ ἅγιον σύμβολον τὴν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος τὴν λέγουσαν, ὅτι καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, πιστεύω γάρ, ὅτι ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, ἀποβάλλομαι δὲ καὶ πάντα τὰ ἄλλα ἔθιμα αὐτῶν, τά τε ἐκκλησιαστικὰ καὶ τὰ ἄλλα, στέργω δὲ καὶ φρονῶ πάντα, ὅσα φρονεῖ καὶ στέργει ἡ ἁγιωτάτη τῆς Κωνσταντινουπόλεως μεγάλη ἐκκλησία, ἧς νῦν προστάτης ὁ ἁγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ὁ κῦρ Ματθαῖος. καὶ εἰς τὴν περὶ τούτου ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσά μου ὁμολογία. μηνὶ ἰαννουαρίῳ ἰνδ. θ' †.

## DCXIX. (6909—1400) 6. ianuarii. ind. IX.

*Sententia de debito.*

† Μηνὶ ἰαννουαρίῳ ἰνδ. θ' ἀπεδείχθη ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ὤφελεν ὁ Μελησδόνης πρὸς τὸν κῦρ Μάρκον τὸν Συναδηνὸν ὑπέρπυρα τριακονταπέντε, δέδωκεν οὖν αὐτῷ πρὸ ὀλίγων ἡμερῶν ὑπέρπυρα δέκα, ἐτάχθη δέ, ἵνα δῷ αὐτῷ ἀρτίως καὶ ἕτερα ὑπέρπυρα δέκα, μετὰ δὲ παραδρομὴν μηνῶν πέντε, ἀρχομένων ἀπὸ τῆς σήμερον, ἥτις ἐστὶν ϛ' τοῦ ῥηθέντος μηνός, παρέχῃ αὐτῷ καθ' ἕκαστον μῆνα ὑπέρπυρα β', μέχρις ἂν ἀποφλήσοι αὐτὸν εἰς ἅπαν τὸ χρέος αὐτοῦ. εἰ μὲν οὖν ἐκπληροῖ ἅπαν,

ὅπερ ὑπεσχέθη ῥᾳδίως, εὖ ἂν ἔχοι, εἰ δ' οὖν, ἐτάχθη, μᾶλλον δὲ ὑπέθηκεν ἑαυτὸν εἰς τὸ τοιοῦτον χρέος ὁ ἐντιμότατος διδάσκαλος τοῦ Ἀποστόλου, ἵνα παρέχῃ αὐτὸ ἀφ' ἑαυτοῦ, εἴπερ ἀνυποστατήσει ὁ Μεληδόνης. καὶ διὰ τοῦτο ἐσημειώθη ἐνταῦθα †.

## DCXX. (6909—1401) februario. ind. IX.

*Sententia de debito.*

† Μηνὶ φεβρουαρίῳ ἰνδ. θ' ἐλθοῦσα ἡ μήτηρ Βρανᾶ τοῦ Γουνάρη ἔμπροσθεν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὑπέθηκε (τὸ τίμ)ημα αὐτῆς ὑπὲρ τοῦ υἱοῦ αὐτῆς χάριν ὧν αὐτὸς πρὸς τὸν Καταχαλὼν χρεωστεῖ ὑπερπύρων πεντήκοντα, καὶ ἐτάχθη, ὡς ἂν γράψῃ ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης τῷ ἱερωτάτῳ μητροπολίτῃ Ἡρακλείας περὶ τούτου, καὶ εἰ μὲν ἐξετάσας εὕροι ἐκεῖνος, ὡς δέδωκεν ὁ Βρανᾶς τῷ Καταχαλὼν τόκους χάριν αὐτῶν, ὅσους ἂν εὕροι, διαβιβασθῶσι μὲν εἰς τὸ κεφάλαιον, τὰ δὲ πλείω ἐνέχηται αὐτὰ ἀποδοῦναι ἐκ τῶν αὐτῆς εἰς χρόνον ὁλόκληρον διὰ τριῶν καταβολῶν τῷ μέρει τοῦ Καταχαλὼν, ἀλλ εἴπερ καὶ πάντα ἀποδειχθῇ ὀφείλων ὁ Βρανᾶς, καὶ τότε οὕτως ὠφείλει εἰς χρόνον ὁλόκληρον παρασχεῖν διὰ τριῶν καταβολῶν, εἰ δ' οὐ ποιήσει, καθὼς ὑπεσχέθη, ἵνα ἱκανοποιῆται ὁ Καταχαλὼν ἀπὸ τοῦ βίου τῆς μητρὸς τοῦ Βρανᾶ. καὶ δι' ἀσφάλειαν ἐσημειώθη †.

## DCXXI. (6909—1401) ianuario. ind. IX.

*De fundo ecclesiae Immaculatae in urbe Cpoli.*

† Ἡ κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος, κυρὰ Εἰρήνη ἡ Παλαιολογῖνα, περί τινων ὧν εἶχεν ἀναγκαίων ὑποθέσεων, συνοδικῶς ἀπαντήσασα ἐζήτησε θεραπείαν γενέσθαι καὶ τὴν προσήκουσαν διόρθωσιν παρὰ τῆς ἡμῶν μετριότητος εἰς τὸν ἀπὸ γονικότητος καὶ αὐτῇ διαφέροντα πάνσεπτον καὶ θεῖον ναὸν, τὸν ἐπ' ὀνόματι τιμώμενον τῆς παναγίας μου καὶ ἐπικεκλημένον τῆς Ἀμολύντου, οὗ δὴ θείου ναοῦ τὴν κτηματικὴν ὑπόστασιν, ἀρκοῦσαν πρός τε λυχναψίαν τε καὶ ἐπιμέλειαν τοῦ τοιούτου θείου ναοῦ καὶ πρὸς αὐτάρκειαν τοῦ ἐξυπηρετεῖσθαι μέλλοντος ἐν αὐτῷ ἱερέως, διεμερίσαντο οἱ συγγενεῖς καὶ κληρονόμοι αὐτῆς, τὸν ναὸν ἔρημον ἐπιμελείας πάσης καταλιπόντες· ἠξίωσεν οὖν διὰ ταῦτα τὴν προσήκουσαν διόρθωσιν ἐπινοήσασθαι

τὴν ἡμῶν μετριότητα, διεκρίθη μὲν οὖν τότε καὶ εὑρεθῆναι καθαρῶς καὶ ἐξετασθῆναι τὰ τῆς ἐκκλησίας κτήματα δι' ἐπιστασίας τοῦ τε τιμιωτάτου πρωτεκδίκου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διακόνου, κῦρ Γεωργίου τοῦ Εὐγενικοῦ, καὶ τοῦ θεοφιλεστάτου λογοθέτου, διακόνου, κῦρ Μανουὴλ τοῦ Βαλσαμῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, οἳ καὶ ἐπιστάντες τῷ τοιούτῳ θείῳ ναῷ, εὗρον τὰ αὐτοῦ κτήματα ἀρκοῦντα πρὸς ὑπηρεσίαν τοῦ τοιούτου θείου ναοῦ. ἐπεὶ δὲ ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Ἀνδρόνικος ὁ Παλαιόλογος, καὶ ὁ θεῖος αὐτοῦ, ὁ ἐν μοναχοῖς κῦρ Δαυὶδ ὁ Παλαιολόγος, μόνοις αὐτοῖς διαφέρειν τὴν τοῦ ῥηθέντος ναοῦ κτητορείαν μετὰ τῶν αὐτοῦ κτημάτων διετείνοντο, καὶ μᾶλλον τὴν Παλαιολογίναν ἁρπάσαι τὴν τοῦ ναοῦ νομὴν καὶ εἰς ἀμπέλιον φυτεῦσαι αὐτὴν ἔλεγον καὶ τὴν εἴσοδον τοῦ ναοῦ ἀποκλεῖσαι, καὶ μηδὲν κτητορικὸν δίκαιον ἔχειν αὐτὴν ἐν τῷ τοιούτῳ ναῷ διεβεβαιοῦντο, ἡ μετριότης ἡμῶν συνοδικῶς διέκρινε, πάντα κινηθῆναι καὶ εὑρεθῆναι τά τε τοῦ ναοῦ ἅπαντα δίκαια, καὶ τίσιν ἀνήκει ἡ αὐτοῦ κτητορεία. παραγενομένων τοίνυν καὶ τῶν μερῶν ἀμφοτέρων, ἐνεφάνισεν ὁ Παλαιολόγος γράμμα, ὅπερ ἐποίησεν ὁ εὐνοῦχος ἐκεῖνος, ὁ Φιλιαλήτης, πρὸς τὴν περιπόθητον θείαν τοῦ βασιλέως τοῦ ἁγίου, τὴν πρωτοβεστιαρίαν ἐκείνην, ἐκδοῦσαν πρὸς αὐτὸν τὸν τόπον, ἐν ᾧ ἐκεῖνος ἀνήγειρε τὸν ῥηθέντα θεῖον ναόν, ὃ διελάμβανε, μετὰ τὸν ἐκείνου θάνατον ἐπανακάμπτειν τὸν τοιοῦτον θεῖον ναὸν πρὸς τοὺς κληρονόμους ἐκείνης, οὗ δὴ Φιλιαλήτου τὸ χρεὼν ἐκμετρήσαντος, ἐπεὶ δύο παῖδες εὑρέθησαν τῆς πρωτοβεστιαρίας ἐκείνης, ὅ τε προρρηθεὶς μοναχός, κῦρ Δαυὶδ ὁ Παλαιολόγος, καὶ ἡ τούτου ἀδελφή, κυρὰ Θεοδώρα ἡ Παλαιολογίνα, περιῆλθον εἰς τούτους τοὺς δύο ἡ τοῦ ναοῦ κτητορεία τε καὶ διοίκησις, ἧς καὶ αὐτῆς ἐκμετρησάσης τὸ ζῆν ἀδιαθέτου, ἀπέμεινε τὸ ἀνῆκον αὐτῇ κληρονομικὸν δίκαιον πρὸς τοὺς γνησίους παῖδας αὐτῆς, τόν τε Παλαιολόγον κῦρ Ἀνδρόνικον καὶ τὴν γνησίαν ἀδελφὴν αὐτοῦ, κυρὰν Εἰρήνην τὴν Παλαιολογίναν, ὡς εὑρίσκεσθαι αὐτὴν τεταρτημόριον κτητορείας ἐν τῷ ναῷ ἔχουσαν, τοῦ μοναχοῦ μὲν κυροῦ Δαυὶδ τὸ ἥμισυ ἔχοντος, ὡς υἱοῦ γνησίου τῆς πρωτοβεστιαρίας ἐκείνης, τοῦ δὲ τῆς αὐταδέλφης αὐτοῦ μέρους, κυρᾶς Θεοδώρας τῆς Παλαιολογίνης, διαιρεθέντος εἰς τοὺς δύο γνησίους αὐτῆς κληρονόμους,

τόν τε Παλαιολόγον κῦρ Ἀνδρόνικον καὶ τὴν Παλαιολογίναν κυρὰν Εἰρήνην, ἐπεὶ δὲ καὶ τὸ περὶ τῆς νομῆς τοῦ ναοῦ, ἣν καταφυτευθῆναι ὁ Παλαιολόγος ὑπὸ τῆς ἀδελφῆς αὐτοῦ διετείνετο, ἐπιστατηθῆναι ἔδει παρὰ τῆς ἡμῶν μετριότητος, ὡς ἂν διακριθείη τὸ περὶ τούτου κατὰ τὸ δέον, ἐπέστη καὶ αὕτη τῷ τοιούτῳ θείῳ ναῷ, καὶ εὗρε μὲν τὴν ῥηθεῖσαν νομὴν τοῦ ναοῦ καταφυτευθεῖσαν ὑπὸ τῆς Παλαιολογίνης, πλὴν προέλαβεν ἡ τῆς τοιαύτης νομῆς δίοδος πρὸς τὴν δημοσίαν ὁδὸν καταφραγεῖσα καὶ πρὸς ἀμπέλιον μετασκευασθεῖσα ὑπὸ τοῦ Πεπαγωμένου ἐκείνου, οὗ γενομένου συνέβαινε καὶ τὴν τῆς ἐκκλησίας νομὴν ἄχρηστον γίνεσθαι παντελῶς, μηδενὸς ἐκεῖθεν εἰσελθεῖν δυναμένου, διὰ τὸ ταύτην ὑπὸ τῆς ἐρημίας ἀχρειωθῆναι καὶ τοῦ Πεπαγωμένου. διέκρινεν οὖν ἡ μετριότης ἡμῶν, ἀντὶ τῆς τοιαύτης νομῆς ἀνοῖξαι τῷ τοιούτῳ θείῳ ναῷ νομὴν ἀπὸ τῆς αὐλῆς τῆς Παλαιολογίνης ἀντὶ τῆς ὑπ' αὐτῆς καταφυτευθείσης ἀχρήστου νομῆς, ἣν οὐδὲ αὐτὴν λόγῳ δυναστείας ἔλαβεν ἡ Παλαιολογίνα, ἀλλὰ τοῦ ῥηθέντος μοναχοῦ κῦρ Δαυὶδ τοῦ Παλαιολόγου πεπρακότος ταύτην αὐτῇ ἐπὶ ῥητῷ τιμήματι, εἰ καὶ ὁ δημώδης λόγος ἐπὶ τούτοις ἐτηρήθη, ὁ μὴ ἔχων ἐπὶ τούτοις ἐπώλει, καὶ ὁ μὴ φρονῶν ἠγόραζε. στερχθέντος τοιγαροῦν ὑπὸ τῆς ἡμῶν μετριότητος, ἔχειν τὴν Παλαιολογίναν τὴν καταφυτευθεῖσαν ἐκείνην ἄχρηστον νομὴν καὶ ἀνοῖξαι αὐτὴν ἄλλην δίοδον ἀπὸ τῆς αὐλῆς αὐτῆς, ὁ αὐτάδελφος αὐτῆς, ὁ Παλαιολόγος, ἠξίου τὴν τοιαύτην νομὴν ἀκώλυτον ἔχειν εἴς τε τὴν ἐκκλησίαν καὶ εἰς τὸ ἀμπέλιον αὐτοῦ, νομὴν ἔχων καὶ ὕδωρ ἀντλεῖν ἐκ τοῦ τῆς ἐκκλησίας φρέατος· διέγνω οὖν καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ἀκώλυτον μὲν ἔχειν τὴν εἰς τὴν ἐκκλησίαν εἴσοδον, ἱερᾶς λειτουργίας, ἔτι τε ὄρθρου καὶ ἑσπερινοῦ ὕμνου ἐν αὐτῇ τελουμένων, χάριν δὲ τοῦ ἀμπελίου αὐτοῦ ἢ τῶν εἰς χρείαν αὐτοῦ εἰσαγομένων τε καὶ ἐξαγομένων, μηδὲν ἐκ τῆς νομῆς τῆς ἐκκλησίας εἰσάγεσθαι καὶ ἐξάγεσθαι, ἀλλὰ ταῦτα διενεργεῖν ἐκ τῆς ὄπισθεν νομῆς τοῦ ἀμπελίου αὐτοῦ, τὴν δὲ τοῦ ὕδατος χρῆσιν ἔχειν αὐτὸν μόνον, ὅταν ἐργάτας ἔχῃ ἐν τῷ ἀμπελίῳ αὐτοῦ. ἐπεὶ δὲ ἡ Παλαιολογίνα ἰδιοποιεῖσθαι τὸν ναὸν τὸν ἀδελφὸν αὐτῆς, τὸν Παλαιολόγον, διετείνετο βούλεσθαι καὶ ὡς ἀμπελοικίαν τούτῳ χρῆσθαι, καὶ τὰ τοῦ ναοῦ κτήματα καταχρῆσθαι τόν τε θεῖον αὐτῆς ἔλεγε βούλεσθαι τὸν μοναχὸν κῦρ Δαυὶδ καὶ τὸν ῥηθέντα ἀδελφὸν αὐτῆς, ἐζήτει δέ, ὡς ἂν ἐκδοθῇ ὁ τοιοῦτος θεῖος

ναὸς πρὸς ἱερέα συνάμα τῷ ἐν τοῖς οἰκήμασιν αὐτῆς θείῳ ναῷ ἐπὶ τῷ ψάλλεσθαι καὶ ἀμφοτέρους ὑπ' αὐτοῦ καρπουμένους καὶ τὰ τῶν δύο ναῶν κτήματα, ὁ δὲ Παλαιολόγος ὁ μοναχὸς καὶ ὁ κῦρ Ἀνδρόνικος συνοδικῶς ὑπεσχέθησαν ἱερέα τε ἔχειν ἐν αὐτῷ ἀδιακόπως, μόνον εἰ διατηρηθείη ὁ τῆς Ἀμολύντου ναὸς κεχωρισμένος ἀπὸ τοῦ τῆς Παλαιολογίνης ἐκτός, ἡ μετριότης ἡμῶν ἐνέδωκε τοῦτο, ὀφειλόντων τοῦ τε μοναχοῦ καὶ τοῦ κυροῦ Ἀνδρονίκου ἀδιακόπως ἱερέα ἐν τῷ θείῳ ναῷ τῆς παναγίας μου τῆς Ἀμολύντου ἔχειν καὶ τὰς ὀρθρινὰς καὶ ἑσπερινάς, ἀλλὰ δὴ καὶ ἱερὰς θυσίας ἐπιτελεῖν ἐν πάσαις ταῖς κυριακαῖς καὶ ἑορταῖς τοῦ ὅλου ἐνιαυτοῦ καὶ μνημονεύειν ἐν αὐτῷ τούς τε κεκοιμημένους κτήτορας, ἀλλὰ δὴ καὶ τοὺς ζῶντας, τόν τε ῥηθέντα κῦρ Δαυὶδ καὶ τὸν Παλαιολόγον κῦρ Ἀνδρόνικον καὶ τὴν ἀδελφὴν αὐτοῦ, τὴν Παλαιολογίναν, καὶ τὸν αὐτῆς κληρονόμον Ἀλέξιον τὸν Παλαιολόγον, ὡς τέταρτον κτητορείας ἐν τῷ τοιούτῳ ναῷ δίκαιον ἔχοντα. εἰ δέ τις τῶν ῥηθέντων ἢ τὸν ναὸν ὡς ἰδιωτικὴν οἰκίαν χρήσαιτο ἢ ἀποθήκην ἢ παραφυλακὴν τῶν τοῦ ἀμπελίου αὐτοῦ χρειωδῶν ἢ κλημάτων, ἤ τι τῶν τῆς ἐκκλησίας εἰσοδημάτων νοσφίσαιτο, τὸν τοιοῦτον ἡ μετριότης ἡμῶν ἔχει ὑπὸ βαρύτατον καὶ φρικώδη ἀφορισμόν, ὡς τὰ τῆς ἐκκλησίας καὶ τοῦ θεοῦ νοσφιζόμενον. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐγένετο δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. θ' †.

## DCXXII. (6909—1401) ianuario. ind. IX.

*Sententia de monacha in saeculum reversa.*

† Φθάνουσι πρό τινος ἤδη καιροῦ ὁ μοναχὸς κῦρ Γερόντιος ὁ Πρώξιμος καὶ ἡ ποτε σύμβιος αὐτοῦ, κυρὰ μοναχὴ ἡ Πεπαγωμένη, τὸν μοναχικὸν ἐκ συμφώνου βίον ἀνελόμενοι καὶ κατὰ μοναχοὺς ἐν μοναστηρίῳ διάγειν ἑλόμενοι, ὅτε καὶ ἡ μετριότης ἡμῶν, τὸ τῶν γυναικῶν ἄστατον συνειδυῖα, ἐπεφωνήσατο ταύτῃ διὰ τοῦ μακαρίτου ἐκείνου μεγάλου σακελλαρίου, κῦρ Δημητρίου τοῦ Βαλσαμών, ὡς εἰ μὲν βούλοιτο ἀπεκδύσασθαι τὸ μοναχικὸν σχῆμα καὶ διάγειν ὡς κοσμική, παραχρῆμα τοῦτο ποιῆσαι, εἰ δὲ μὴ εὐθέως τοῦτο ποιήσει, οὐκ ἐξέσται μετὰ καιρόν τινα τοῦτο τολμῆσαι, δούσῃ συνταγάς τε καὶ συνθή-

κας διὰ τοῦ σταλέντος πρὸς αὐτὴν εἰς τὴν ἡμῶν μετριότητα, ἥτις δὴ καὶ ἐξησφαλίσατο, ὡς ἐνυμφεύθη τῷ Χριστῷ, καὶ οὐδέποθ' ἑκοῦσα τοῦ μοναχικοῦ σχήματος ἀποστήσεται. μετὰ οὖν παραδρομὴν μηνῶν . . . . . ., ὑπό τινων παραπεισθεῖσα, ὡς καὶ τὸ πέρας ἔδειξε καὶ αὐτὴ ἐξωμολογήσατο, ὅτι τοῦ μοναχικοῦ σχήματος ἀποστᾶσα παρακερδανεῖ ἐκ τῆς τοῦ Πρωξίμου περιουσίας τὸ τρίτον τῆς προικὸς αὐτῆς τὸ ἀντὶ ὑποβόλου διδόμενον αἰτίᾳ θανάτου τὸ μοναχικὸν ἐξεδύσατο σχῆμα, ὑποστρέψασα δὲ πρὸς τὸν κόσμον ἐγκλήσεις ἐκίνει καὶ ἀγωγὰς ἐπὶ τοῦ βασιλικοῦ σεκρέτου κατὰ τοῦ Πρωξίμου, ἀπατηθῆναι διατεινομένη ὑπ' αὐτοῦ, ὑποσχεθέντος καὶ συμφωνήσαντος μετ' αὐτῆς, ὡς ἂν ἐν τῇ εἰσελεύσει τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, κῦρ Ἰωάννου, προσδοκωμένῃ καθ' ἑκάστην, ἀμφότεροι τὸ μοναχικὸν ἀποδύσονται σχῆμα, καὶ συνοικήσουσιν ὡς τὸ πρίν, ἅπερ ὅτι ψεῦδος ἦν καὶ συκοφαντία καὶ τινῶν ὑποβολαί, ἔδειξεν ἥ τε τῆς γυναικὸς πρὸ μικροῦ ἐξομολόγησις, ἥ τε τοῦ βασιλέως τοῦ ἁγίου ἐνταῦθα ἐπιδημία, μοναχὸν καὶ ἔτι τηροῦσα τὸν Πρώξιμον καὶ μὴν καὶ διὰ βίου ἐσόμενον. ἀφορισμῷ μὲν οὖν διὰ ταῦτα φρικώδει καθυπεβλήθη ἡ μοναχὴ διὰ τῆς ἡμῶν μετριότητος, ὡς τὸ ἀγγελικὸν ἀποδυσαμένη σχῆμα καὶ τῶν συνταγῶν παραβάτις, ἃς διὰ τοῦ μεγάλου σακελλαρίου καὶ διὰ τῆς ἡμῶν μετριότητος δέδωκε τῷ Χριστῷ. ἐπεὶ δὲ καθείλκετο μὲν ὁ Πρώξιμος ὑπὸ τοῦ σεκρέτου εἰς τὴν τοῦ ὑποβόλου ἀπόδοσιν, ὡς δῆθεν τῷ κόσμῳ ἀποθανὼν καὶ ὀφείλων αὐτῇ, κοσμικῇ οὔσῃ, τοῦτο (ἡ γὰρ πᾶσα τέχνη τοῦτο ἐβούλετο) ἡ δὲ μετριότης ἡμῶν μηδὲν ὀφείλειν αὐτὸν διέκρινεν, ὡς συνθανούσης αὐτῷ καὶ αὐτῆς τῷ κόσμῳ καὶ ἐκ συμφώνου τὸν μοναχικὸν βίον ἀνῃρημένης, ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ προσέταξεν, ἐγγυητὴν δοῦναι ὑπὲρ τοῦ τοιούτου ὑποβόλου τὸν Πρώξιμον ἐπὶ τῆς ἡμῶν μετριότητος, μέχρις ἂν κοινώσηται τὸ περὶ τούτου τῇ ἡμῶν μετριότητι, καὶ πληροφορηθῇ, τίσι λόγοις τε καὶ ἀποδείξεσιν ἀναντιρρήτοις μοναχὴ στέργεταί τε καὶ ἔστιν ἡ τοῦ Πρωξίμου παρὰ τῇ ἡμῶν μετριότητι, οὗ δὴ ἀποδειχθέντος παρ' αὐτῆς, ἐπεὶ καὶ λόγους ἱκανοὺς εἴχομεν εἰς τοῦτο καὶ πληροφορίας, ἐλεύθερον εἶναι τὸν ἐγγυητήν, μὴ δειχθέντος δ' ἐνέχεσθαι τοῦτον εἰς τὴν τοῦ ὑποβόλου ἀπόδοσιν, ὃ δὴ καὶ πεποίηκεν ὁ Πρώξιμος, δοὺς εἰς τοῦτο ἐγγυητὴν τὸν οἰκεῖον τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Ἰωάννην τὸν Κριτήν, ἐπεὶ δ' ἐν τῷ μεταξὺ ἡ τῶν πραγμάτων ἀνω-

μαλία καὶ σύγχυσις καὶ ἡ ἀναγκαία ἀποδημία τοῦ βασιλέως τοῦ ἁγίου ἐνεπόδισεν ἡμᾶς περὶ τούτου διομιλῆσαι, καὶ μέχρι τούτου προβάντος τὸ περὶ τούτου, ὁ μὲν βασιλεὺς ὁ ἅγιος εἰς τὴν ὑπὲρ τῶν χριστιανῶν δουλείαν ἀπεδήμησεν, οὐδὲν δὲ περὶ τούτου ἐκοινώσατο τῇ ἡμῶν μετριότητι, ἡ ῥηθεῖσα μοναχή, ἡ τοῦ Πρωξίμου ποτὲ σύμβιος, καὶ ὑπὸ τοῦ συνειδότος·πληττομένη καὶ τῶν συνθηκῶν μνημονεύουσα ὧν εἰς θεὸν ἐποιήσατο, καὶ ταύτας παρέβη, πάλιν τὸ μοναχικὸν ἐνεδύσατο σχῆμα, καὶ ἀνέδραμεν εἰς τὴν ἡμῶν μετριότητα, καὶ ἐξωμολογήσατο, ὅτι καὶ καλογραία τῇ ἀληθείᾳ γέγονε, καὶ ὑπόσχεσιν καὶ συνταγὴν εἰς θεὸν δέδωκε, καὶ οὕτω πάλαι μετεμελήθη, καὶ προῄρεῖτο μένειν, ὑπὸ δὲ τῶν συγγενῶν καὶ τῆς μητρὸς αὐτῆς, ἀλλὰ δὴ καὶ τῶν καθολικῶν κριτῶν παραπεισθεῖσα, ἔστεργεν, ὅπερ παρηνόμησε, καὶ νῦν βούλεται μοναχὴ γεγονυῖα διάγειν ἐν μοναστηρίῳ κατὰ μοναχὰς καὶ αὐτὴ καὶ ἡ μήτηρ αὐτῆς. καὶ ταῦτα εἶπον καὶ διὰ πνευματικοῦ πατρὸς καὶ δι' ἑαυτῶν, καὶ οὕτω συγχωρήσεως μὲν ἔτυχον, εἰσήχθησαν δὲ καὶ εἰς τὸ μοναστήριον. ἐπεὶ τοῦτον ἀνεφάνη τὸν τρόπον, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ἐλεύθερον εἶναι καὶ τὸν κριτὴν ἀπὸ τῆς ἐγγύης, εἰς ἣν ὑπέθηκεν ἑαυτὸν ἕνεκεν τοῦ ὑποβόλου, ἐπεὶ καὶ ὃ ἐβούλετο ὁ βασιλεὺς ὁ ἅγιος πληροφορηθῆναι, νῦν φανερὸν καὶ δῆλον γέγονε πᾶσι τοῖς τε πράγμασι καὶ τῇ ἐξομολογήσει τῆς μοναχῆς, ὅτι μοναχὴ ἦν ἐξ ἐκείνου, ἐξ οὗ καὶ ὁ Πρώξιμος, καὶ ὡς ἐκ κοινῆς συμφωνίας γεγόνασι καὶ ἀμφότεροι μοναχοί, καὶ ὅτι ἐπὶ τῶν τοιούτων ἀζήμια καὶ ἀμφότερα τὰ μέρη διαλύονται. ἕξει τοίνυν ὁ ῥηθεὶς κριτὴς ἕνεκεν τῆς τοιαύτης ἐγγύης τὸ ἀνενόχλητον ἐκ πάντων καὶ ἀνεπηρέαστον, καὶ τὸ περὶ τούτου οἰκειόχειρον αὐτοῦ γράμμα ἀργὸν ἔσται καὶ ἄκυρον καὶ παντελῶς ἀνατετραμμένον, ὅπουπερ ἂν καὶ εὑρεθῇ. τούτου γὰρ χάριν ἐγένετο πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰανουαρίῳ ἰνδ. η' †.

## DCXXIII. (6909—1401) ianuario. ind. IX.

*Sententia de venditione domus.*

† Ἡ Χρυσοκεφαλίνα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ Προκοπίου τοῦ Ψιλιανοῦ, εἰποῦσα, ὅτι συνεβιβάσθη μετ' αὐτοῦ, βαλόντος αὐτοῦ τοὺς ἐκτιμητάς, καὶ ἐπώλησε πρὸς αὐτὸν τὸ περὶ τὴν Πλατεῖαν ὁσπήτιον αὐτῆς εἰς ὑπέρπυρα ἑξήκοντα ἐπὶ συμφωνίᾳ τοιαύτῃ, ὡς ἂν δῷ αὐτῇ τὰ ἡμίση ὑπέρπυρα ἀρτίως καὶ τὸν ἐρχόμενον μάρτιον ὑπέρπυρα δεκαπέντε, τὰ δὲ δεκαπέντε ἵνα δῷ αὐτῇ μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἐκ τοῦ ταξειδίου, καὶ οὕτως ἵνα ἐξέρχηται μὲν αὕτη τοῦ ὁσπητίου, παραλαμβάνῃ δ' αὐτὸ ὁ Προκόπιος τότε, ἣν συμφωνίαν αὐτῶν καταλῦσαι πειρᾶται νῦν ὁ Προκόπιος καὶ ἐκβαλεῖν αὐτὴν ἀρτίως ἐκ τοῦ οἰκήματος, διδοὺς τὸ τίμημα ἅπαν· ἐζήτησεν οὖν τήν τε συμφωνίαν αὐτῆς τηρηθῆναι καὶ τιμηθῆναι πάλιν ὡς ἐξ ἄλλης ἀρχῆς τὸ οἴκημα. παρὼν δὲ καὶ ὁ Προκόπιος καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς εἶπε, τὴν τοιαύτην συμφωνίαν ποιῆσαι, ὑπολαμβάνων, μὴ εὐπορῆσαι ἅπαν τὸ τίμημα, νῦν δ' ἐπεὶ τοῦτο εὐπόρησε δανεισάμενος, βούλεσθαι εἶπε κατασχεῖν τὸ ὁσπήτιον ἀπὸ τῆς σήμερον ἢ ἀναλαβεῖν ἃ δέδωκεν αὐτῇ τριακοντατέσσαρα ὑπέρπυρα. διέγνω οὖν ἡ μετριότης ἡμῶν, ὡς εἰ μὲν ἤρεσκε τοῦτο τῇ Χρυσοκεφαλίνῃ, οὐδὲν τὸ κωλῦον προβῆναι· ἐπεὶ δ' ἐνίσταται τὴν συμφωνίαν ζητοῦσα τηρηθῆναι, ὡς μᾶλλον ἀρέσκον αὐτῇ τὸ καταμένειν ἐν τῷ οἰκήματι, παρὰ τὸ λαβεῖν ἅπαν τὸ τίμημα, ὀφείλει τηρηθῆναι ἡ συμφωνία αὐτῶν καὶ μένειν ἐν τῷ οἰκήματι τὴν Χρυσοκεφαλίναν, μέχρις ἂν ὑποστρέψῃ ὁ Προκόπιος ἐκ τοῦ ταξειδίου, καὶ εἰ μὲν ἀναπαύεται, συνοικήσει αὐτῇ εἰς τὸ οἴκημα τὸ τοιοῦτον καὶ ἡ τοῦ Προκοπίου φαμηλία· εἰ δὲ μή, αὐτὸς ὁ Προκόπιος ἐξελεύσεται τοῦ οἰκήματος, μέχρις ἂν ὑποστρέψῃ τοῦ ταξειδίου. ἐπεὶ δὲ ὁ Προκόπιος εἶπεν, ὡς ἐνδέχεται, εἰρήνης ἐν τῷ μεταξὺ γενομένης, ἀμειφθῆναι καὶ τὸ τοῦ οἰκήματος τίμημα καὶ μὴ ἀρέσκειν τὴν πρᾶσιν αὐτῷ, διέκρινε καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ὡς ἂν εἰ μέν, βοηθείᾳ θεοῦ, εἰρήνη γένηται καὶ τὸ τοῦ οἰκήματος ἐκ τούτου τίμημα αὐξηθῇ, εἶναι παρὰ τῷ Προκοπίῳ, ἀγοράσαι αὐτό, εἴτε καὶ μή, μάχης δὲ τότε εὑρισκομένης ὡς καὶ νῦν, ἐπεὶ ἐν τοιούτῳ καιρῷ τὴν συμφωνίαν ἐποίησε, κατὰ πᾶσαν ἀνάγκην τιμηθῆναι τότε τὸ οἴκημα καὶ

λαμβάνειν αὐτὸ τὸν Προκόπιον τότε εἰς ἣν τιμὴν τιμηθῇ, διαβιβαζομένων εἰς τὸ τίμημα καὶ ὧν ἀρτίως δέδωκε τῇ Χρυσοκεφαλίνῃ τριακοντατεσσάρων ὑπερπύρων. τούτου γὰρ χάριν ἐγένετο (καὶ τὸ παρὸν γράμμα) τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰαννουαρίῳ ἰνδικτιῶνος ἐννάτης †.

## DCXXIV. (6909—1401) februario. ind. IX.

*Promissio Georgii Tebratze de serva fugitiva.*

† Ἐγὼ Γεώργιος ὁ Τεμπρατζὲ ὁμολογῶ διὰ τῆς παρούσης μου ὑποσχέσεως ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅτι ἐπεὶ ἀπέδρα ἡ δούλη μου καὶ κατέφυγεν εἰς τὴν ἁγιωτάτην τοῦ θεοῦ μεγάλην ἐκκλησίαν, ἐζήτησα δὲ αὐτὴν, καὶ οὐκ ἔλαβον, καὶ νῦν πάλιν ἐζήτησα αὐτὴν, καὶ διὰ τῶν ἀρχόντων τοῦ ποτεστάτου μετὰ μηνύματος αὐτοῦ, ἤγουν τοῦ τε Βαρθολομαίου Βηλανοῦτζου τοῦ τραγουμάνου καὶ τοῦ Ἰωάννου ταβουλαρίου τοῦ Μπριniαντέλω, καὶ λαμβάνω νῦν αὐτὴν, ἵνα μηδὲν ποιήσω πρὸς αὐτήν τι τῶν οὐ πρεπόντων, ἤγουν οὔτε ἀκρωτηριάσω αὐτὴν, οὔτε φονεύσω, οὔτε μὴν πωλήσω· εἰ δέ τι τοιοῦτον πρὸς αὐτὴν ποιήσω, ἵνα ἀφορίζωμαι καὶ παρὰ τῆς μεγίστης ἁγιωσύνης αὐτοῦ, εἰ ὀρθόδοξος εὑρίσκομαι, εἰ δὲ μή, ἵνα ἀφορίζωμαι παρὰ τοῦ πάπα. καὶ διὰ τὴν τούτου δήλωσιν καὶ βεβαίωσιν ἐγένετο ἡ παροῦσά μου ὑπόσχεσις ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ τῶν ἄνω ῥηθέντων ἀρχόντων Γενουιτῶν. μηνὶ φεβρουαρίῳ ἰνδ. θ' †.

† *Ego Bartholomaeus Vilannuccius notarius et interpres communis et . . . . . . . . peregrinorum testis . . . . . . . . et ad cautelam me subscripsi.*

† *Ego Iohannes de Brugnadello fui testis et ad cautelam me subscripsi et posui signum meum tale I. B.*

## DCXXV. (6909—1401) 23. martii. ind. IX.

*Promissio Gabrielis monachi.*

† Ἐπεὶ πολλοί τινες εἶπον κατ' ἐμοῦ εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, δι' ἃ καὶ ἔμελλε ψηφίσασθαι κατ' ἐμοῦ ἀργίαν παντελῆ τῆς ἱερωσύνης μου, ἀξιώσει δὲ τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων καὶ τοῦ αὐθέντου μου καὶ κτήτορός μου, τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ ἡμῶν αὐθέντῃ, τῷ βασιλεῖ, κῦρ Νικολάου τοῦ Σοφιανοῦ, συνεχώρησε καὶ συνεπάθησέ με, πλὴν μετὰ ὑποσχέσεως, ὑπόσχομαι ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, ὡς ἂν πρῶτον μὲν εὑρίσκωμαι εἰς τὸν ὁρισμὸν καὶ τὴν ὑποταγὴν τοῦ καθηγουμένου μου, καὶ οὐ μὴ ἐξέλθω τῆς μονῆς ἄνευ εἰδήσεως αὐτοῦ, ἀλλὰ μετὰ μετανοίας καὶ ἐξ ἀγγελίας ἀληθοῦς, ποῦ ἀπέρχομαι, ἔπειτα διατηρῶ ἐμαυτὸν ἐν σεμνῇ πολιτείᾳ καὶ καταστάσει, ἀπεχόμενος μέθης, καὶ ἐντὸς τοῦ μοναστηρίου καὶ ἐκτὸς, ἀπεχόμενος συγκαθισμοῦ, ὕβρεως καὶ πάσης ἄλλης ἀπροσεξίας· εἰ δέ τι τοιοῦτον φωραθῶ ποιήσας, ἢ ἀώρως ἐξέλθω τοῦ μοναστηρίου ἢ εἰσέλθω, ἵνα εὐθύνωμαι ἀνιλεῶς εἰς τὴν ἱερωσύνην μου. ἐγράφη ταῦτα καὶ ὑπεγράφη παρ' ἐμοῦ. μηνὶ μαρτίῳ κγ' ἰνδ. θ' †.

† Ὁ ἐν μοναχοῖς ἐλάχιστος Γαβριὴλ στέργων ὑπέγραψεν †.

## DCXXVI. Sine anno.

*Exhortatio ad Constantinopolitanos.*

† Διὰ τοῦ πρωτεκδίκου τοῦ Εὐγενικοῦ †.

† Οἱ τῆς πολιτείας ἅπαντες, ἄρχοντες, ἱερωμένοι τε καὶ ἱερομόναχοι καὶ μοναχοὶ καὶ ἅπας ὁ χριστώνυμος τοῦ κυρίου λαὸς, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις ὑμῖν ἅπασιν εἴη καὶ εἰρήνη. γνωστὸν ἅπασιν ὑμῖν εἶναι ὑπολαμβάνω, ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ διότι πάντες ἐξεκλίναμεν ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ, ἐξεκαύσαμεν καθ' ἡμῶν τὴν ὀργὴν τοῦ θεοῦ ἐπὶ τοσοῦτον, ὡς μέχρι σαρκῶν καὶ μυελῶν καὶ ὀστέων ἡμῶν ἅψασθαι καὶ συγχωρῆσαι τὴν τοσαύτην ἡμῖν θλίψιν καὶ κάκωσιν ἐπενεχθῆναι καὶ τὴν ἐρήμωσιν καὶ ἀμορφίαν πάσης σχεδὸν τῆς μεγαλοπόλεως ταύτης· ἰδοὺ γὰρ, ἓξ ἔτη πολιορκούμεθα λιμῷ καὶ πολέμοις ἀδιακόπως καὶ αἰχμαλωσίᾳ

τῶν φίλων καὶ συγγενῶν, φόνῳ τε καὶ κινδύνοις καθημερινοῖς καὶ πᾶσιν ἁπλῶς, οἷς ἡ τοῦ θεοῦ ῥομφαία στιλβοῦται κατὰ τῶν ἁμαρτωλῶν καὶ τῶν παροξυνόντων ἔργοις ἀτόποις τὸ πανάγιον αὐτοῦ ὄνομα· δέον οὖν ἐξετάσαι τὴν αἰτίαν τοῦ τοσούτου κακοῦ, δι' ἣν τὰ πρὶν ὡραῖα τῆς μεγαλοπόλεος ταύτης, παράδεισος ὄντα τρυφῆς, νῦν γέγονε πεδίον ἀφανισμοῦ καὶ εὑρεῖν, ὡς πλῆθος ἁμαρτιῶν τὴν ἄπειρον φιλανθρωπίαν καὶ ἀγαθότητα θεοῦ πρὸς ἀγανάκτησιν καὶ θυμὸν ἐβιάσαντο, καὶ οὕτως ἐπιστρέψαι καὶ κλαῦσαι ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς καὶ μετανοίᾳ καὶ ἐξομολογήσει τὰ πρὶν ἡμαρτημένα διορθώσασθαι καὶ οὕτως ἀφ' ἡμῶν ἐπιστρέψαι τὴν τοσαύτην καθ' ἡμῶν τοῦ θεοῦ ἀγανάκτησιν, ἡμεῖς τοῖς αὐτοῖς ἢ καὶ μείζοσιν ἁμαρτήμασι περιπειρόμεθα, ἀδικοῦντες καὶ ψευδόμενοι καὶ ἐπιορκοῦντες καὶ πᾶν εἶδος κακίας ἀπηρυθριασμένως μεταχειριζόμενοι, ταῖς συμφοραῖς τῶν ἀδελφῶν ἐπιτιθέμενοι, τὰ αὐτῶν ἐπιξαίνοντες πράγματα, ἕτοιμοι τῆς μερίδος αὐτῶν ἐπιβαίνειν καὶ καταπατεῖν καὶ κατεσθίειν τοὺς πένητας, φιλονεικοῦντες, οἷον ὑπερβαλέσθαι ἀλλήλους ἐν τῇ κακίᾳ· ὁ ἀνομῶν ἀνομεῖ, ὁ ἀδικῶν ἀδικεῖ, ὁ βλασφημῶν βλασφημεῖ, πορνεῖαι, μοιχεῖαι, ἐπιορκίαι, ἁρπαγαί, λῃστεῖαι, φόνοι παρ' ἡμῶν ἀναίδην καθ' ἑκάστην τολμῶνται τὴν ἡμέραν, οὐκ ἔστι φόβος θεοῦ, οὐκ ἔστιν ἐν ἡμῖν διόρθωσις μέχρι τοῦ νῦν, οὔτε μετανοίας ἴχνος οὐδ' ὁτιοῦν, καὶ τούτων σημεῖον ἡ τῆς ὀργῆς τοῦ θεοῦ καὶ τῆς μάστιγος ἐπίτασις· εἰ γάρ, ὡς ἔδει, μετενοοῦμεν, καὶ τῶν πονηρῶν μετὰ τῆς ἀποχῆς καὶ τῆς ἐξομολογήσεως καὶ μετανοίας τὴν τῶν σφαλμάτων διόρθωσιν ἐποιούμεθα, πάντως ἂν μετενόει καὶ ὁ θεὸς καὶ ἀπέστρεφε τὸν θυμὸν αὐτοῦ ἀφ' ἡμῶν, φιλάνθρωπος ὢν καὶ πρὸς τοῦτο φύσει ἔχων ἐπιρρεπῶς, φησὶ γὰρ διὰ τοῦ προφήτου· ἔτι σου λαλοῦντος, ἐρεῖ, ἰδού, πάρειμι, καὶ πάλιν· ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται, τὸ στόμα γὰρ κυρίου ἐλάλησε ταῦτα· ἐκεῖ οὖν καὶ ἡμᾶς οὐ μόνον μάχαιρα κατεσθίει, ἀλλὰ καὶ πολιορκία δεινὴ καὶ λιμὸς ἀπηνέστατος καὶ πόλεμοι καὶ καταποντισμὸς καὶ ἄλλων φυλῶν ἐπιδρομαὶ καὶ μυρία δεινά, δῆλον, ὅτι οὐ θέλομεν τὸ θέλημα τοῦ θεοῦ, οὐδὲ εἰσακούομεν τοῦ κυρίου, διὰ δὲ τοῦτο οὐ μόνον τῶν ἀγαθῶν τῆς γῆς στερούμεθα, ἀλλὰ καὶ ταῦτα πάντα πάσχομεν διὰ τὰς ἁμαρτίας ἡμῶν. πολλὰ μὲν οὖν τὰ καθ' ἑκάστην ἡμῖν τολμώμενα

θεομισῆ καὶ ὀλέθρια ἔργα, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, πρὸ πάντων δὲ, μᾶλλον δὲ, οἱονεὶ ἁπάντων ἀποτέλεσμα καὶ γέννημα, ὁ κατ' ἀλλήλων φθόνος καὶ ἡ βασκανία τε καὶ ἡ συκοφαντία καὶ ἡ τῆς ἀγάπης στέρησις καὶ λεῖψις καὶ ἔνδεια, ὅτι γὰρ ἁπάντων τῶν κακῶν οἱονεὶ πονηρὸν ἀπόγονόν ἐστιν ὁ φθόνος καὶ ἡ τῆς ἀγάπης ἔνδεια, ἐδήλωσεν ὁ κύριος ἡμῶν καὶ θεὸς, εἰπών· καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. καὶ ἐν ἡμῖν τοίνυν ἐπεὶ ἀγάπη ὅλως οὐ πολιτεύεται, δῆλον, ὡς ἐν ἡμῖν ἐπληθύνθη ἡ ἀνομία· ὅτι δὲ ἐν ἡμῖν ὅλως ἀγάπη οὐκ ἔστιν ἀληθὴς καὶ βεβαία, καὶ ὑμεῖς οἶδ' ὅτι συνομολογήσετε, ὅμως δὲ καὶ τῶν κατ' ἐμαυτὸν σημεῖον ὑμῖν ἐνθήσομαι ἐναργές· τέταρτον ἔτος ἤδη τοῦτό ἐστιν, ἀφ' οὗ κρίμασιν οἷς οἶδε θεὸς, εἰς τὸν οἰκουμενικὸν τοῦτον θρόνον ἀνήχθην καὶ τὴν τῶν ὑμετέρων ψυχῶν πρόνοιαν ἐνεχειρίσθην παρὰ θεοῦ, χάριτι τοίνυν αὐτοῦ καὶ ταῖς εὐχαῖς τῶν θείων μου πατέρων οὐδένα λυπῆσαι ἢ κακοποιῆσαι ἢ ὅλως ἐπηρεάσαι, ὅσον δυνάμεως εἶχον, ἐσπούδασα, ἀλλ' ὅμως πόσα συνεκοφαντήθην καὶ διεβλήθην ὑπὸ πολλῶν, οὐ λανθάνει τοὺς πολλοὺς ὑμῶν, ἔφερον δὲ πάντα γενναίως, πληροφορούμενος, ὡς οὐ μόνον οὐδὲν ἐβλαπτόμην ἐκ τούτων, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελούμην. μακάριοι γάρ φησιν ὁ Χριστὸς, ἐστὲ, ὅταν πᾶν πονηρὸν ῥῆμα εἴπωσι καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ· τοῦτο οὖν ἐνθυμούμενος, εὐχόμην καὶ εὔχομαι ἐκ ψυχῆς τοῖς συκοφαντοῦσί με· ἐπεὶ δὲ νῦν καὶ εἰς αὐτὸ τὸ κεφάλαιον τῆς εὐσεβείας μου τινὲς ἐχώρησαν, καὶ πρᾶγμα κατεῖπόν μου, καταστροφὴν μὲν τῇ τοῦ θεοῦ προξενοῦν ἐκκλησίᾳ, βλάβην δὲ κἀμοὶ, εἰ σιωπῇ τοῦτο παρέλθοιμι, δόξω γὰρ τῇ σιωπῇ τούτῳ συγκατατίθεσθαι, δεῖν ἔκρινα τοῦτ' ἐξειπεῖν καὶ πᾶσι δηλοποιῆσαι τὰ τῆς συκοφαντίας. τὸ δέ ἐστιν, ὡς ἐγὼ πέμψας τινὰ εἰς τὸν Ἀμηρᾶν, κατέστησα ἐμαυτὸν, εἴπερ ἁλωθείη ἡ μεγαλόπολις αὕτη, ἔχειν με εἰς τὰ ἴδιά μου ἀσφάλειαν ἀπ' αὐτοῦ, ὅπερ οὐδὲν ἕτερον κρίνω ἢ προδοσίαν φανερὰν αὐτοῦ τοῦ Χριστοῦ, εἰ γὰρ κατὰ τὸν μακάριον Παῦλον, λέγοντα· ὑμεῖς σῶμα Χριστοῦ ἐστε καὶ μέλη ἐκ μέρους, ἔλεγε δὲ τοῦτο πρὸς ὀλίγους τινὰς πιστοὺς, ὁ τὴν μεγαλόπολιν ταύτην προδιδοὺς τοῖς ἀσεβέσιν, ἔνθα πάντες οἱ χριστιανοὶ ἔχουσι τὸ θάρρος καὶ τὰς ἐλπίδας, οὐ μόνον οἱ ἔτι ἐλεύθεροι, ἀλλὰ καὶ οἱ εἰς δουλείαν, παραχωρήσει θεοῦ, ὑπαχθέντες, καὶ ἁπλῶς οὖσαν κεφαλήν τινα καὶ πηγὴν καὶ ῥίζαν τῆς ἡμῶν τῶν

χριστιανῶν πίστεως, ταύτην βουληθεὶς προδοῦναι, εὔδηλον, ὡς αὐτὸν προδοῦναι ἐσπούδακε τὸν Χριστόν, προδίδωσι δὲ ταύτην προδήλως ὁ τοῖς ἀσεβέσι μὲν θάρρος παρέχων, ὅτι καταλήψονται ταύτην, ἐκ τοῦ τὴν ἰδίαν ἀσφάλειαν ἐξ ἐκείνων ζητεῖν, τοῖς δὲ συμπολίταις παρέχων πᾶσαν ἀνελπιστίαν, καὶ οὕτως σαφῶς ἔχω τὸ τοιοῦτον προδοσίαν τῆς πόλεως, ὥστε καὶ κατὰ τῶν σταλέντων πρέσβεων πρότερον καὶ δεύτερον καὶ τρίτον, πρὸ ὀλίγου, βάρος ἀφορισμοῦ φρικώδους ἐξεφώνησα, μὴ τοιαῦτά ποτε αἰτῆσαι, ὡς ταῦτα μάλιστα καταστρέψαι τὴν πόλιν δυνάμενα. πόση γοῦν βλάβη τίκτεσθαι μέλλει ἐντεῦθεν, ὅταν ἐνσπείρηται τοιοῦτος λόγος εἰς τὰς τῶν ἀκουόντων ψυχάς, ὡς τὸν ἴδιον ἐπίσκοπον καὶ προστάτην προδότην ἔχουσι, καὶ οὐχὶ ποιμένα; πόση δὲ βλάβη κἀμοί, τοιαύτην αἰτίαν σιωπῇ παραδεξαμένῳ; λέγω τοίνυν καὶ ἐπαρῶμαι, ὡς εἴπερ ἐπιχείρησά ποτε τοιοῦτόν τι, ἢ ὅλως εἴπερ ἀνετύπωσε τοῦτο ἡ ἡμετέρα διάνοια, ἢ εἴπερ ἔστειλά τινα εἰς τὸν Ἀμηρᾶν τούτων χάριν, ἢ εἴ τινι ἐκεῖσε εὑρισκομένῳ ἀνέθηκα καταστῆσαί μοι ἀσφάλειαν παρὰ τοῦ ἀσεβοῦς, ἵνα ἐκπέσω τῆς κοινωνίας τοῦ Χριστοῦ ἐν τῷ μέλλοντι αἰῶνι, ὅ μοι βαρύτερον πάντων ἀνιαρῶν· εἰ δ' ἀδίκως τε καὶ συκοφαντικῶς συνέρραψάν τινες αὐτὰ κατ' ἐμοῦ ἐφ' ὕβρει μὲν ἡμετέρᾳ, καταστροφῇ δὲ τῆς ἐκκλησίας Χριστοῦ, τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς καὶ ἀδιαιρέτου τριάδος βαρύτατον καὶ φρικώδη καὶ ἄλυτον καὶ ἀσυγχώρητον ἀφορισμὸν ἐκφωνεῖ κατ' αὐτῶν ἡ μετριότης ἡμῶν, ὃν οὔτε ἱερεύς τις, οὔτε ἐπίσκοπος, οὔτε πνευματικός, οὔτε πατριάρχης ἄδειαν ἕξει συγχωρῆσαι, εἰ μὴ αὐτοὶ προσελθόντες τῇ ἡμῶν μετριότητι, ἣν καὶ συνεκοφάντησαν, ἐξομολογήσωνται τοῦτο, προσθέντες καὶ δι' ἥντινα τὴν αἰτίαν τοιαῦτα συνεσκευάσαντο. ὑμᾶς δὲ πάντας ἀξιῶ, τέκνα ἐν κυρίῳ ἀγαπητά, μετανοῆσαι καὶ ἀποστῆναι τῶν πονηρῶν ἔργων καὶ ἐπιτηδευμάτων καὶ ἐξομολογήσει καὶ δάκρυσι τὸν προσεισελθόντα ταῖς ψυχαῖς ἡμῶν ῥύπον ἀποκαθᾶραι καὶ οὕτω πρὸς ἔλεον ἐκκαλέσασθαι τὸν φιλάνθρωπον θεὸν ἡμῶν· δεῦτε οὖν πάντες, ἀδελφοί, προσπέσωμεν καὶ κλαύσωμεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς, κοινὸν νῦν στησώμεθα πένθος, ἡλικία πᾶσα καὶ φύσις, γένος ἅπαν καὶ ἐπιτήδευμα, κτησώμεθα τὰς ἑαυτῶν ψυχὰς ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων, ἐλέῳ τὸν ἔλεον ἐπισπασώμεθα, ἀποστήσωμεν τὴν δικαίαν τοῦ θεοῦ ὀργὴν ἀφ' ἡμῶν, βουληθῶμεν αὐτὸν ἰδεῖν, ὥσπερ ὠργισμένον, οὕτω καὶ διηλλαγμένον, καθά-

ρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἡμᾶς αὐτοὺς ἐλεήσωμεν, μιμησώμεθα τὴν τοῦ θεοῦ ἀγαθότητα, ὃς ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ὁμοίως πᾶσι, δικαίοις καὶ ἀδίκοις, χρηστοὶ γενώμεθα, εὔσπλαγχνοι, οἰκτίρμονες, ὅτι ὁ πατὴρ ἡμῶν οἰκτίρμων ἐστὶν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς, ταπεινωθῶμεν ἐναντίον κυρίου, θυσία γὰρ τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἂν οὕτω τὴν τῶν ἡμετέρων ψυχῶν διόρθωσίν τε καὶ πρόνοιαν ἐνδειξώμεθα †.

## DCXXVII. (6908—1399) decembri. ind. VIII.

*Hodegetrianus constituitur ephorus ecclesiae S. Michaëlis.*

† Ὁ τοῦ σχοινοπλόκου υἱός, ὁ Ὁδηγητριανός, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἠξίωσε καὶ παρεκάλεσεν, ἵνα εὐεργετηθῇ τὸν πάνσεπτον καὶ θεῖον ναόν, τὸν περὶ τὴν ἐνορίαν τοῦ Εὐγενίου, ἐπ' ὀνόματι τιμώμενον τοῦ παμμεγίστου ταξιάρχου τῶν ἄνω δυνάμεων Μιχαήλ, ὡς ἂν κατέχῃ αὐτὸν ἐφορίας λόγῳ καὶ τὰ αὐτῷ ἀνήκοντα δίκαια καὶ ἀντὶ κτήτορος ἐφ' ὅρῳ καὶ τῆς αὐτοῦ ζωῆς. ἀπῃτήθη γοῦν παρὰ τῆς ἡμῶν μετριότητος, τίνα ἐστίν, ἃ ὑπόσχεται ποιεῖν ἐν τῷ τοιούτῳ θείῳ ναῷ, καὶ δέδωκεν ἔγγραφον ὑπόσχεσιν συνοδικῶς ἀναγνωσθεῖσαν, ἔχουσαν ἐπὶ λέξεως οὕτως· ἐγὼ ὁ Ὁδηγητριανός, ὁ τοῦ σχοινοπλόκου υἱός, λέγω καὶ ὑπόσχομαι, ὡς ἐκεῖ ἠξίωσα τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ἵνα μοι εὐεργετήσῃ ἐφ' ὅρῳ τῆς ζωῆς μου τὸν περὶ τὴν ἐνορίαν τοῦ Εὐγενίου θεῖον ναόν, τὸν ἐπ' ὀνόματι τιμώμενον τοῦ παμμεγίστου ταξιάρχου τῶν ἄνω δυνάμεων Μιχαήλ, καὶ ὥρισεν, ἵνα ἐγγράφως ὑπόσχωμαι, ἃ λέγω καὶ συμφωνῶ ἵνα ποιήσω εἰς τὸν ναόν, λέγω καὶ ὑπόσχομαι, ἵνα κατὰ τὸ παρὸν ἀνακτίσω αὐτὸν εἰς τὸ ἥμισυν αὐτοῦ, ὃ ἐχάλασε καὶ ἐφθάρη παντελῶς, εἶτα ἐπιμελῶμαι τῆς αὐτοῦ συστάσεως καὶ βελτιώσεως, αὐτοῦ τε καὶ τῶν αὐτοῦ, καὶ λυχναφίας ἀδιακόπου ἐν αὐτῷ, καὶ δεύτερον τοῦ μηνὸς ποιῶ τὸ ἔλαττον ἱερουργεῖσθαι αὐτόν, καιροῦ δὲ εἰρήνης γενομένου καί τινος ἀνέσεως εἰς τὰ πράγματα ἵνα εἰσάγω καὶ ἔχω ἀδιακόπως ἱερέα ἐν αὐτῷ, καὶ οὕτως ἵνα κρατῶ αὐτὸν ἐφ' ὅρῳ τῆς ζωῆς μου· εἰ δέ τι τῶν ὑποσχεθέντων

ὑπ' ἐμοῦ παραβῶ, ἵν' ἀφαιροῦμαι τὸν τοιοῦτον θεῖον ναόν, ὡς καταλυτὴς τῆς παρούσης μου ὑποσχέσεως. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις δι' ἀσφάλειαν. ἐπεὶ οὖν τοιαύτην ὑπόσχεσιν ἔδωκε συνοδικῶς, ὀφείλει κατέχειν τὸν ῥηθέντα θεῖον ναὸν τοῦ ἀρχιστρατήγου καὶ πληροῦν εἰς ἄκρον τὰ ὑπεσχημένα καὶ οὕτως ἐφορεύειν αὐτόν τε καὶ τὰ αὐτοῦ ἐφ' ὅρῳ τῆς ἑαυτοῦ ζωῆς, ὀφείλων, εἰ παραβῇ τι ἀπὸ τῆς αὐτοῦ ὑποσχέσεως, ἀφαιρεῖσθαι τὸν τοιοῦτον θεῖον ναὸν κατὰ τὴν αὐτοῦ ἔγγραφον ῥηθεῖσαν ὑπόσχεσιν. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. η' †.

## DCXXVIII. Sine anno.

*Monasterium S. Panteleemonis traditur monachae Eleodorae.*

† Ἐπεὶ ἔτι ζώσης τῆς μοναχῆς κυρᾶς Μακρίνης τῆς Θεολογιτίσσης ἐκείνης συμφέρον καὶ δίκαιον τῇ ἡμῶν μετριότητι ἐκρίθη ὑπὲρ τῶν δύο μονυδρίων, τοῦ τε εἰς ὄνομα τιμωμένου τοῦ ἁγίου καὶ ἰαματικοῦ Παντελεήμονος, εἰς ὃ εὑρίσκεται αὕτη, καὶ τοῦ ἑτέρου, τοῦ ἐπ' ὀνόματι τῆς πανυπεράγνου δεσποίνης καὶ θεομήτορος, τῆς ἐλπίδος τῶν ἀπελπισμένων, εἰς ὃ νῦν εὑρίσκεται ὁ ποτὲ ἀνὴρ αὐτῆς, ὁ μοναχὸς Ιγνάτιος ὁ Θεολογίτης, χωρισθῆναι οὐ μόνον αὐτὼ ἀπ' ἀλλήλων, ἀλλὰ δὴ καὶ τὸν ἅπαντα βίον μερισθῆναι ἐπ' ἴσης, καὶ τὸν μὲν ἡμίση λαβεῖν τὴν μοναχὴν Μακρίναν καὶ τὸ μονύδριον αὐτῆς, ὡσαύτως καὶ τὸν μοναχὸν Ἰγνάτιον τὸν ἕτερον ἡμίση καὶ τὸ μονύδριον αὐτοῦ, καὶ ποιεῖν ἑκάτερον, ὡς ἂν ἐθέλοι, ἐν αὐτῷ καὶ μὴ ἐνοχλεῖσθαι τὸν ἕνα ὑπὸ τοῦ ἑτέρου, ὃ δὴ καὶ γεγονέναι ἁρμοδίως καὶ καλῶς συνέβη, καὶ ἐπ' ἴσης μερισθέντων ἔλαβε μὲν ἡ μοναχὴ τὸ κελλίον αὐτῆς, τὸ τοῦ ἁγίου Παντελεήμονος, καὶ τὰ ἐν αὐτῷ πάντα καὶ τὸν ἡμίση βίον, ὥσπερ καὶ ὁ μοναχός, καὶ τούτοις ἐχρῆτο, καὶ τοῖς ἐπὶ τὸ κρεῖττον συστάσεώς τε καὶ αὐξήσεως αὐτῶν ἐπεμελεῖτο, μηδεμίαν ὑφισταμένη παρά τινος διενόχλησιν ἢ ἐπήρειαν ἕνεκεν τῆς τούτου κατοχῆς καὶ δεσποτείας. ἐπεὶ τοίνυν ἀρτίως τὸ ζῆν ἐξεμέτρησεν ἡ μοναχή, καταλιποῦσα τὸ ἑαυτῆς μονύδριον ἔρημον πάσης κηδεμονίας, ἡ μετριότης ἡμῶν, πρόνοιαν ποιήσασθαι τούτου ἀνάγκην ἔχουσα, ὡς ἂν μὴ δια-

φθαρῇ, ἐπεὶ εὗρεν τὴν τιμιωτάτην ἐν μοναχαῖς, κυρὰν Ἐλεοδώραν τὴν Ταρχανειώτισσαν, καλήν τε (καὶ) ἐνάρετον οὖσαν καὶ δυναμένην ἀρκούντως καὶ ψυχῶν προστασίαν καὶ μονυδρίου προστῆναι, παραδίδωσι τοῦτο πρὸς αὐτὴν ἀπὸ τῆς σήμερον διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ὡς ἂν κατέχῃ τοῦτο ἐφ' ὅρῳ πάσης τῆς ζωῆς αὐτῆς, καὶ τῆς τούτου ἐπιμελῆται τάξεώς τε καὶ συστάσεως καὶ ἐπὶ τὸ κρεῖττον αὐξήσεως, εἰσάγῃ τε ἐν αὐτῷ, ἃς ἂν ἐθέλοι καὶ ἀποδέχεται, ἐξάγῃ τε αὐτὰς μὴ ἀρεσκούσας αὐτῇ, φροντίζῃ δὲ καὶ τοῦ ἁγίου θυσιαστηρίου, καθὼς δυνάμεώς τε καὶ εὐπορίας ἔχει. ὀφείλει τοίνυν, ἐπιλαβομένη τούτου, ἀνενόχλητος διατηρεῖσθαι ἀπὸ πάντων καὶ ἀνεπηρέαστος καὶ μάλισπα ἀπὸ τοῦ μοναχοῦ Ἰγνατίου· εἰ γάρ ποτε πειραθείη ἢ αὐτὸς ἢ ἄλλος τις τοῦ μέρους αὐτοῦ ζητεῖν κτητορίαν ἔχειν ἐν αὐτῷ, ὑπὸ ἀφορισμὸν φρικώδη καὶ βαρύτατον ἔχει τοῦτον ἡ μετριότης ἡμῶν, κἂν ὁποῖος ἄρα καὶ εἴη, ἑκάτερον γὰρ κελλίον διακρίσει τῆς ἡμῶν μετριότητος ἐλεύθερον γέγονε ἀπὸ τοῦ ἑτέρου, καθὼς καὶ τὸ περὶ τούτου τότε προβὰν γράμμα τῆς ἡμῶν μετριότητος κατὰ μέρος διέξεισι, μόνον δὲ παρὰ τῆς ἡμῶν μετριότητος ὀφείλει ἀνακρίνεσθαι αὕτη καὶ τοῦ κατὰ καιρὸν τοὺς πατριαρχικοὺς ἰθύνοντος οἴακας, μὴ μέντοι γε ὅλως ἔχειν αὐτὴν ἄδειαν παρακελευόμεθα παραπέμπειν τὸ ῥηθὲν μονύδριον ἢ ζῶσα ἢ ἀποθνήσκουσα πρὸς ἕτερον πρόσωπον, ἀλλ' αὐτὴ μὲν πρᾶξαι οὐκ ὀφείλει τοιοῦτόν τι ἐν αὐτῷ ποτὲ οὐδὲν, πᾶν δὲ τὸ γενησόμενον τοιοῦτον ....... πρᾶξαι ὀφείλει ὁ κατὰ καιροὺς εὑρισκόμενος πατριάρχης. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῇ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXIX. Sine anno.

*Patriarcha metropolitam Stauropoleos rogat, ut ecclesiam Cpoleos adiuvet, eumque vituperat, quod Moysem quemdam ordinaverat.*

† Ἱερώτατε μητροπολῖτα Σταυροπόλεως, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Καρίας,ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη ἀπὸ θεοῦ καὶ εἰρήνη τῇ σῇ ἱερότητι. πολὺς ἤδη παρῆλθε καιρὸς, καὶ οὐδὲν ἐμάθομεν περὶ τῶν ὑγειῶν τῆς σῆς ἱερότητος, ὃ καὶ χρῄζομεν καὶ ἀποδεχόμεθα ἵνα γίνηται παρ' ὑμῶν, τὰ δὲ καθ' ἡμᾶς οἴδαμεν ὡς οὐκ ἀγνοεῖ ἡ σὴ ἱερότης· ὑπὸ γὰρ τῆς πολλῆς ἐπιθέσεως τῶν ἀσεβῶν πάντα τὰ τῆς μεγίστης

πόλεως ὡραῖα ἠφανίσθη καὶ ἀπώλετο, ἐσμὲν οὖν καὶ ἐν μεγάλῃ περιστάσει καὶ ἐνδείᾳ καὶ μάλιστα τὸ μέρος τῆς μεγάλης ἐκκλησίας, πάντων τῶν προσόδων αὐτῆς ἔξω ἀποκλεισθέντων καὶ κρατηθέντων τῇ ἀμυθήτῳ καὶ μακρᾷ μάχῃ καὶ τῷ ἀνυπερβλήτῳ ἀποκλεισμῷ· διὰ τοῦτο συνελαθέντες τῇ πολλῇ ταλαιπωρίᾳ ἐξελεξάμεθα τὸν τιμιώτατον ἐν ἱερομονάχοις καὶ καθηγούμενον, ἀρχιμανδρίτην καὶ πρωτοσύγκελλον τῆς σεβασμίας βασιλικῆς καὶ πατριαρχικῆς μονῆς, τῆς εἰς ὄνομα τιμωμένης τοῦ ἁγίου μου ἐνδόξου μεγαλομάρτυρος καὶ τροπαιοφόρου Γεωργίου καὶ ἐπικεκλημένης τῶν Μαγγάνων, κῦρ Λουκᾶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν υἱὸν τῆς ἡμῶν μετριότητος, ὡς ἂν ἴδῃ τινὰς τῶν φιλοχρίστων, καὶ συμβουλεύσῃ καὶ παρακινήσῃ αὐτούς, ἵνα ποιήσωσι συγκρότησιν ὑπὲρ συστάσεως καὶ βοηθείας τῆς μεγάλης ἐκκλησίας τῆς μητροπόλεως, πασῶν τῶν ἐκκλησιῶν καὶ τοῦ καθόλου γένους τῶν χριστιανῶν καυχήματος. ἐπεὶ οὖν ἐστείλαμεν τοῦτον καὶ εἰς ἕτερα μέρη τῶν χριστιανῶν ὑπὲρ τῆς κοινωφελοῦς τοῦ πληρώματος τοῦ Χριστοῦ δουλείας, μέλλει δὲ καταλαβεῖν καὶ αὐτόθι εἰς τὴν σὴν ἱερότητα, τυχέτω καὶ παρ' αὐτῆς εὐνοίας, συνδρομῆς καὶ ἀναπαύσεως τῆς προσηκούσης, καὶ τῇ ἐνούσῃ σοι ἀρετῇ καὶ πνευματικῇ ἐπιστήμῃ ἰδὲ καὶ τινας τῶν αὐτόθι φιλοχρίστων, καὶ σύνδραμε εἰς τὸ, νὰ ποιήσουσιν εἰς τὴν μεγάλην ἐκκλησίαν συνεισφορὰν καὶ ἔρανον· πολλῶν γὰρ δεομένη ἀναλωμάτων εἴς τε τοὺς πενομένους τοῦ κλήρου καὶ εἰς περιποίησιν αὐτῆς καὶ λυχνοκαΐαν, οὐδὲ ὀλίγων εὐπορίαν ἔχει, διὰ τοῦτο χρεία πολλῆς συνδρομῆς καὶ ἐπιμελείας εἰς τοῦτο. οἴδαμεν δὲ, ὡς ἡ σὴ ἱερότης, καὶ μηδενὸς κινοῦντος, πρόθυμος αὐτομάτως εἰς ταῦτα τυγχάνῃ, διὰ τοῦτο καὶ θαρροῦντες οὐ πολλῶν λόγων δεόμεθα, ἡγούμενοι, καὶ τοὺς ῥηθέντας ἱκανὴν παρακίνησιν οὖσαν. περὶ τοῦ μοναχοῦ Μωυσέως τοῦ εὑρισκομένου ἐν τῷ κελλίῳ τοῦ ἁγιωτάτου πατριάρχου, κῦρ Καλλίστου, ἤκουσεν ἡ μετριότης ἡμῶν, ὡς ἐχειροτόνησας τοῦτον διάκονον· οὐδόλως οὖν παρεδέξατο τοῦτο ὡς ἀληθὲς, οὐδὲ γὰρ ἔμελλε τοῦτο γενέσθαι παρὰ τῆς σῆς ἱερότητος, ἅτε τῶν ἱερῶν κανόνων καὶ τῶν ἐκκλησιαστικῶν ἐθῶν πεῖραν οὐκ ὀλίγην ἐχούσης, πῶς γὰρ ἂν καὶ ὅλως προβῆναι τὸ τοιοῦτον ἔργον συνεχώρησας; ὅμως εἴπερ ἐποίησας τοῦτο, τίσι μαρτυρίαις χρησάμενος ὑπὲρ αὐτοῦ τοῦτον εἰς βαθμὸν ἱερατικὸν προβῆναι δεῖν ἔκρινας; εἰ μὲν τῶν Ῥοδίων τὴν μαρτυρίαν, ὡς τῆς αὐτῆς χώρας πολίτην, καὶ μὴν αὐτὸς τὸν χρόνον

τὸν τῆς ἀκμῆς σχεδὸν ἐν τῇ μεγάλῃ πόλει διεβίβασε, πῶς οὖν ἐμαρτύρησαν οἱ Ῥόδιοι ἄνθρωπον τὸν ἔξω τῆς χώρας αὐτῶν τοσοῦτον διατρίψαντα χρόνον; ἀλλ' οὐδὲ ἔχει ἡ σὴ ἱερότης εἰπεῖν, ὡς μαρτυρίας τῶν ἁγίων αὐτοῦ καλογήρων ἢ γράμμα τῆς ἡμῶν μετριότητος συστατικὸν ἐπεφέρετο, ὅπερ ἰδὼν ἐχειροτόνησας αὐτόν. εἴπερ οὖν ὅλως ἐποίησας τοῦτο, θαυμάζω, εἰς ποῖον πρᾶγμα ἐδραζόμενος καὶ ἀναπαύων τὴν συνείδησιν δίκαιον ἔκρινας τοῦτο· εἰ μὲν γὰρ ἠγνόεις τοὺς καλογήρους αὐτοῦ, καὶ ὡς ἦν ἡ προαίρεσις αὐτῶν, ἐγίνωσκες· ὅτι τοὺς ἑαυτῶν οὐκ ἐβούλοντο προβιβάζειν εἰς ἱερατικὸν βαθμόν, καὶ διὰ τοῦτο αὐτὸν εἴων μένειν ἐν τῇ τῶν ἰδιωτῶν τάξει, ἴσως καὶ τότε ψυχρά τις ἔμελλεν εἶναι ἀπολογία· ἐπεὶ δὲ ἐκεῖνοι πάντας τοὺς ἑαυτῶν ἤθελον προκόπτειν, δῆλον, ὡς τοῦτον οὐκ ἔκριναν ἱκανόν, διὰ τοῦτο καὶ εἴασαν μένειν ἐν τῇ τῶν ἰδιωτῶν τάξει. ὅμως ἡ μετριότης ἡμῶν οὐ παραδέχεται ὅλως τοῦτο ὅτι ἐπράχθη· εἰ δὲ ἐγένετο, παρόντος αὐτόθι καὶ τοῦ ἡμετέρου καλογήρου, ἡ προσήκουσα διόρθωσις γενέσθω παρὰ τῆς σῆς ἱερότητος, ὅπου γε καὶ ταύτης γενησομένης, ἡ σὴ ἱερότης οὐ διὰ τοῦτο ἀνέγκλητος· εἰ δὲ καὶ τῆς αἰτίας μενούσης καὶ τοῦ παρανόμου ἔργου ἀδιορθώτου, τί χρὴ νομίζειν περὶ τοῦ τοῦτο ἐργασαμένου; γινώσκω, ὡς ἀκριβῶς ἐπίσταται ἡ σὴ ἱερότης τὰς τῶν ἱερῶν κανόνων περὶ τῶν ποιούντων θείας ἀποφάσεις, διὰ τοῦτο χρεία διορθώσεως, εἴπερ ὅλως συνέβη τοιοῦτόν τι. ἐπιμελήθητι δέ, ὡς ἂν πληροφορηθῇ τοῦτο ἡ μετριότης ἡμῶν παρὰ τοῦ καλογήρου μου καὶ τῆς σῆς ἱερότητος, εἴπερ ὅλως ἐγένετο τοιοῦτόν τι, ὡς ἔλαβε τὴν προσήκουσαν κανονικὴν διόρθωσιν· εἰ δὲ τὸ μὲν παράνομον προέβη, ἡ κανονικὴ δὲ διόρθωσις οὐκ ἐπηκολούθησε, ἀνάγκην ἕξει ἡ μετριότης ἡμῶν, πέρας ἐπιθεῖναι τῷ πράγματι δίκαιον καὶ κανονικόν, τὴν δὲ τούτων τῶν πραγμάτων ἔκβασιν καὶ τίνων ἅπτεται, πάντως οὐκ ἀγνοεῖς, οὐδὲ γὰρ ὀλίγον ἐμέλησε τοῖς ἱεροῖς καὶ θείοις κανόσι περὶ τούτων, ἀλλὰ πρὸ πάντων περὶ τῆς τοῦ χειροτονουμένου ἀκριβείας καὶ ἐναρμοστίας καὶ καθαρότητος καὶ εἶπον καὶ διετάξαντο, καὶ ποινὰς προσηκούσας εἴς τε τὸν χειροτονοῦντα, εἴς τε τὸν χειροτονούμενον ἐπέθηκαν· οὐδὲ γὰρ εἰς χρήματα ἔνι ἡ ζημία, ἀλλὰ εἰς καταστροφὴν καὶ φθορὰν τοῦ πληρώματος τοῦ Χριστοῦ ὁ μὴ χειροτονηθεὶς ἀξίως καὶ κατὰ τὴν τάξιν τὴν κανονικὴν καὶ ἐκκλησιαστικήν. εἰ μὲν οὖν οὐκ ἐγένετο τοιοῦτόν τι, μηδὲ γενέσθω· εἰ δὲ προέβη, παυσάτω

τοῦτο ἡ σὴ ἱερότης τὸν τοιοῦτον τοῦ μὴ ἐνεργεῖν τι κανονικῶς, καὶ παντάπασιν ἄργησον καὶ κώλυσον αὐτὸν πάσης ἱερατικῆς ὑπηρεσίας. εἰ δὲ τὸ μὲν ἔργον ἐγένετο καὶ μένει ἀδιόρθωτον, καθὼς πληροφορηθῇ ἡ μετριότης ἡμῶν παρὰ τοῦ καλογήρου αὐτῆς, ἀλλὰ δὴ καὶ ἀπὸ τῆς σῆς ἱερότητος, μέλλει καὶ γράψαι καὶ πρᾶξαι τότε. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

## DCXXX. Sine anno.

*Controversia dirimitur.*

† Ὁ ἀπὸ τῆς πολιτείας ἀρχόντων κῦρ Ἀνδρέας ὁ Ἀργυρόπουλος, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, συνοδικῶς εἰς τὴν ἡμῶν ἀναδραμὼν μετριότητα, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ ἱερομονάχου κῦρ Μακαρίου, ὡς ἐπιτρόπου τοῦ Ἁπλοραύδη Μιχαὴλ ἐκείνου, εἰπὼν, ὡς ἐν τῇ Βιδρίνῃ εὑρισκομένων αὐτῶν καὶ διένεξιν ἔχοντος κῦρ Ἀργυροπούλου μετά τινος ἐκεῖθεν, ὀνόματι Μιχαὴλ τοῦ Λαχουμαρᾶ, τεθείκασιν ἄμφω ἐκ κοινῆς συμφωνίας εἰς τὸν Ἁπλοραύδην χάλκωμα τοῦ Λαχουμαρᾶ ὑπερπύρων ἑκατὸν εἴκοσιν, ὑποσχεθέντος δι' οἰκειοχείρου γράμματος τοῦ Ἁπλοραύδη, μηδενὶ δοῦναι τὸ χάλκωμα, πρὶν ἂν ἀμφότεροι παραγένωνται, καὶ καθαρῶς ἀναφανῇ τὸ χρέος τοῦ Ἀργυροπούλου, καὶ συμφωνήσουσι δοῦναι ταῦτα πρὸς αὐτόν· ὃ δὴ χάλκωμα προβάλλονται νῦν οἱ τοῦ Ἁπλοραύδη κληρονόμοι, ὅτι ἔλαβεν ὁ βασιλεὺς ὁ ἅγιος ἀπὸ τοῦ Ἁπλοραύδη, ὡς βίον τοῦ Λαχουμαρᾶ, διὸ καὶ ἐζήτησαν ἀντικριθῆναι τῷ ῥηθέντι ἐπιτρόπῳ ἐκείνου. διαμηνυθεὶς δὲ καὶ ὁ ἱερομόναχος καὶ παραγενόμενος καὶ τούτων ἀκροασάμενος καὶ ἀπολογήσασθαι προτραπεὶς, ἐνεφάνισε μὲν ἀπόδειξιν τῶν βεστιαρικῶν ἀρχόντων, ὅτι παρέλαβον καὶ εἰσεκόμισαν εἰς τὸ βασιλικὸν βεστιάριον ἀσήμιον κομμάτια, καὶ ὑπέρπυρα ....... τοῦ Λαχουμαρᾶ ἀπὸ τοῦ Ἁπλοραύδη, οὐ μὴν ὁρισμένως, ὅτι καὶ τὸ ὑποκείμενον εἰς τὸ χρέος τοῦ Ἀργυροπούλου ἔλαβον χάλκωμα, ἐπειδὴ τὰ ὑπέρπυρα εἶπεν ὁ ἱερομόναχος τίμημα εἶναι τοῦ χαλκώματος, ἐφαίνετο δὲ, ὡς οὔτε ἔνδοσιν εἶχεν ὁ Ἁπλοραύδης πωλῆσαι αὐτὸ καὶ ὑπέρπυρα ποιῆσαι, οὔτε ἡ ἀπόδειξις ἐμέμνητο ὅλως, ποσῶς ὑποκεῖσθαι τὰ ὑπέρπυρα εἰς χρέος τοῦ Ἀργυροπούλου, τίμημα ὄντα τοῦ χαλκώματος, ἀλλ' οὐδ' ὁ Ἁπλοραύδης ἐφαίνετο ταῦτ' ἀπαιτούμενος, τὸ τυχὸν μνησθεὶς περὶ τοῦ Ἀργυροπούλου ἢ πρός τινα ἐξειπὼν, ὡς ὑπόκεινται ταῦτ'

εἰς χρέος αὐτοῦ. ἐπεὶ ταῦθ᾽ οὕτως ἀνεφάνη συνοδικῶς, καὶ οὐδὲν εἶχεν ἰσχυρὸν ὁ ἱερομόναχος πρὸς ταῦτ᾽ ἀντειπεῖν, ἔστερξε καὶ ὑπεσχέθη συνοδικῶς ὁ ἱερομόναχος, ἵνα ὁπόταν, τοῦ Λαχουμαρᾶ ἐλθόντος, ἀποδειχθῇ καθαρῶς τὸ τοῦ Ἀργυροπούλου χρέος, ἐνέχηται αὐτὸς ἀντὶ τοῦ Ἁπλοραύδη, ὁθενδήποτε εἰς τὴν τούτου ἀπόδοσιν ποσουμένου εἰς ὑπέρπυρα ἑκατὸν εἴκοσιν ἢ καὶ ὀλιγότερα, πλείω δὲ δειχθέντος μὴ ἐνέχεσθαι αὐτὸν ἢ πλείω τῶν ἑκατὸν εἴκοσιν ἀπαιτεῖσθαι, ὅθεν ἐπεὶ τοῦτο καὶ ὁ Ἀργυρόπουλος ἔστερξε καὶ ἠρκέσθη, διέγνω τοῦτο καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, τοῦ χρέους ἀναφανέντος, ἐνέχεσθαι τὸν ἱερομόναχον εἰς ἑκατὸν εἴκοσιν ὑπερπύρων ἀπόδοσιν, ἢ εἴπερ ἀποδειχθῇ τὸ χρέος, καὶ ἐπ᾽ ἔλαττον, πλείω δὲ τῶν ἑκατὸν εἴκοσιν ὑπερπύρων μηδέποτε αὐτὸν ἀπαιτεῖσθαι, ὥσπερ καὶ συνοδικῶς ὑπεσχέθη καὶ ἔστερξεν ἑκουσίως. ὅθεν καὶ δι᾽ ἀσφάλειαν τοῦ Ἀργυροπούλου γέγονε πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

## DCXXXI. Sine anno.

*Lis diiudicatur.*

† Ὁ ἐξ ἐθνῶν Γεώργιος, ὁ τῆς τοῦ Κεχορτασμένου μητρὸς ἐκείνης ἀπελεύθερος, καὶ ἑτέραν ἔγκλησιν ἐκίνησε συνοδικῶς κατὰ τοῦ Πεπαγωμένου, τοῦ πατρῴου τοῦ τῆς Κεχορτασμένης ἐγγόνου τοῦ Ἰανούλου ἐκείνου, ὡς καταστάντος τοῦ Πεπαγωμένου κληρονόμου τοῦ προγόνου αὐτοῦ τοῦ Ἰανούλου ἀποθνήσκοντος, ἐζήτησε δέ, ὡς συντροφίαν ποιήσαντο τοῦ Ἰανούλου μετ᾽ αὐτοῦ εἰς τὸ μαγκιπεῖον αὐτοῦ, καὶ τοῦ μὲν Ἰανούλου βαλόντος τὸ ἄλογον αὐτοῦ καὶ τὸ ἐργαστήριον, τοῦ δὲ Γεωργίου εἰς τὴν τοῦ μαγκιπείου ἐνθήκην ὑπέρπυρα τριάκοντα, εἶτα διαλυσάντων τὴν συντροφίαν αὐτῶν, ὁ μὲν Ἰανοῦλος ἔλαβε τό τε ἄλογον αὐτοῦ καὶ τὸ μαγκιπεῖον, τὰ δέ γε τοῦ Γεωργίου ὑπέρπυρα ἐφθάρησαν, καὶ ὀφείλει αὐτῷ ταῦτα ὁ Ἰανοῦλος. παρὼν δὲ καὶ ὁ Πεπαγωμένος καὶ ἐρωτηθεὶς περὶ τούτου, κατὰ μὲν τὸ πρῶτον ἠρνεῖτο, καὶ οὐδὲν εἰς ἐνθήκην βαλεῖν τὸν Γεώργιον ἔλεγε, καὶ ἐζήτει ἀπόδειξιν ἀπὸ τοῦ Γεωργίου, ἔλεγε γὰρ δανείζεσθαι αὐτοὺς καὶ οὕτω κινεῖν τὸ μαγκιπεῖον, μηδὲν ἀφ᾽ ἑαυτοῦ καταβαλεῖν τὸν Γεώργιον. ἐπεὶ δὲ μάρτυρας παρήγαγε καὶ ἤδη διδαχθέντες τὸ τοῦ ἀφορισμοῦ βάρος καὶ τοῦτο δεξάμενοι λέγειν ἤρξαντο περὶ τούτου, ἐπεφωνήθη δὲ καὶ ὁ Πεπαγω-

μένος, ὡς εἴπερ γινώσκει τοῦτο καὶ ἑκουσίως καλύπτει ἐπηρεαστικῶς, ἀπαιτῶν μαρτυρίας καὶ ἀναγκάζων ἀφορίζεσθαι ἀνθρώπους, ἀφωρισμένος ἔσται αὐτός, καὶ δίκην προσαποτίσει καὶ ὑπὲρ τούτου, μεταβαλὼν ὁ Πεπαγωμένος ὡμολόγησεν, αὐτὸς πεποιηκέναι αὐτοῖς τὸν τῆς συντροφίας λογαριασμὸν καὶ εὑρεθῆναι ὀφειλόμενα τῷ Γεωργίῳ ἀπὸ τοῦ Ἰανούλου ὑπέρπυρα δεκαπέντε καὶ ὀφειλόμενα κατεπέκεινα τούτῳ καὶ τῷ Ἀληθινῷ ὑπὲρ σιταρίου μουζουρίων ὀκτὼ ὑπέρπυρα δέκα. ἐπεὶ δὲ καὶ εἰς μοχθηρὰ ἐζήτει ὁ Γεώργιος ἀπὸ τοῦ Πεπαγωμένου ὑπέρπυρα πέντε, ὁ δὲ Πεπαγωμένος ἔλεγε, αὐτῷ δοῦναι ταῦτα εἰς προσκεφαλοένδυσιν, ἀπῃτεῖτο δὲ βάρος ἀφορισμοῦ δέξασθαι, ὡς διὰ ταῦτα ἔδωκεν αὐτῷ τὴν προσκεφαλοένδυσιν, καὶ οὐ δι' ἕτερα ἑπτὰ ὑπέρπυρα, ἃ ἐχάωσεν ἡ γονὴ τοῦ Πεπαγωμένου, τοῦ Γεωργίου ὄντα· ἐπεὶ οὐκ ἠθέλησε δέξασθαι τοῦτο, κατεδικάσθη ὀφείλειν καὶ ταῦτα. διέγνω οὖν ἡ μετριότης ἡμῶν, τὰ μὲν πέντε ὑπέρπυρα δοῦναι ἀρτίως τῷ Γεωργίῳ τὸν Πεπαγωμένον, ὡς αὐτὸν ταῦτα λαβόντα, τὰ δὲ δεκαπέντε τοῦ Γεωργίου τῆς ἐνθήκης, καὶ τὰ δέκα τοῦ Χρυσοβέργη τοῦ Ἀληθινοῦ, τῆς δοθείσης τῷ Πεπαγωμένῳ διωρίας παρελθούσης, εἰ μὲν καταδέξεται ὁ Πεπαγωμένος τὴν τοῦ Ἰανούλου κληρονομίαν, ἀποδώσει καὶ ταῦτα παραυτίκα, ὡς καὶ τὰ ἄλλα χρέα ἐκείνου· εἰ δὲ παραιτήσεται τὴν κληρονομίαν, δεξάμενος ὅρκον ἀποκρυβῆς, καταθήσει πᾶσαν τὴν ἐκείνου περιουσίαν, καὶ δοθήσονται καὶ ταῦτα ἀναλόγως καὶ ἄλλα χρέα ἐκείνου, ὅσον ἂν ἐξαρκέσει ἡ ἐκείνου περιουσία. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXXII. Sine anno.

*Controversia dirimitur.*

† Ἀνέδραμεν εἰς τὴν ἡμῶν μετριότητα καὶ ὁ μικρὸς Ἰωάννης, καὶ ἔγκλησιν ἐκίνησε κατὰ τῆς τοῦ Τζελεβοῦ ἐκείνου γυναικὸς Μαρίας, τῆς ἀναδεξαμένης αὐτὸν ἀπὸ τοῦ ἁγίου βαπτίσματος, εἰπών, ὡς ἀποθανούσης τῆς μητρὸς αὐτοῦ καὶ καταλειφθέντος ὀρφανοῦ αὐτοῦ παντελῶς μετὰ καὶ μιᾶς τινος μικρᾶς ἀδελφῆς αὐτοῦ, ἀνεδέξατο αὐτοὺς ἡ τοῦ Τζελεβοῦ γονή, ὡς ἀνέτρεψε καὶ συνέζευξεν ἀνδρὶ τὴν ἀδελφὴν αὐτοῦ, ὥραν ἤδη γάμου λαβοῦσαν, ᾗ καὶ δέδωκεν εἰς προῖκα καὶ ἄλλα ἀφ' ἑαυτῆς, ἀλλὰ καὶ ἅπερ εὑρέθησαν ἐν τῷ θανάτῳ τῆς μητρὸς αὐτῶν, ἅπερ ἦσαν σχουλαρίκια

καὶ ὕλη τις ὁσπητικὴ καὶ ὑπέρπυρα ἀπὸ ἀνεμομόλωνος εἴκοσι καὶ ὀκτὼ ἀπὸ ὁσπητίου. τῆς οὖν ἀδελφῆς αὐτοῦ ἀποθανούσης ἀντέστράφησαν πάλιν πρὸς τὴν τοῦ Τζελεβοῦ τὰ δοθέντα ἐκείνῃ εἰς προῖκα, ἀφ' ὧν τὰ μὲν ἔδωκεν αὐτῷ, ἐζήτει δὲ καὶ τὰ πλείω, ἤγουν ὑπέρπυρα τὰ εἰκοσιοκτώ, κρυεντήριον, τὰ σχουλαρίκια καὶ ἄλλα βιωτικά τινα εἴδη. παροῦσα δὲ καὶ ἡ κυρὰ αὐτοῦ καὶ ἀπολογήσασθαι προτραπεῖσα, ὡμολόγησε, τά τε ὑπέρπυρα καὶ τὰ εἴδη δοθῆναι παρ' αὐτῆς τῇ ἀδελφῇ αὐτοῦ, καὶ ὅτι ἡ μήτηρ αὐτῶν ἀφῆκε ταῦτα ἐν τῷ θανάτῳ αὐτῆς, πλὴν ἀπὸ τῶν ὑπερπύρων εἶπεν ὡς ἐποίησε τῇ ἀδελφῇ αὐτοῦ ῥοῦχον τὰ ιδ' ὑπέρπυρα, ὃ καὶ ἐφόρει χρόνους ἑπτά, συνοικοῦσα τῷ ἀνδρὶ αὐτῆς, καὶ καταλυθὲν ἤδη ἀφῆκεν αὐτὸ ἐν τῷ θανάτῳ αὐτῆς μιᾷ τινι γυναικὶ καὶ γνωρίμῳ αὐτῆς· τὰ δὲ δεκατέσσαρα ὑπέρπυρα ἐξωδίασεν εἰς κηδείαν καὶ εἰς μνημόσυνα ἐκείνης, ἐξωδίασε δὲ καὶ ἄλλα πολλὰ ἀφ' ἑαυτῆς εἴς τε κηδείαν τῆς μητρὸς αὐτῶν καὶ τροφεῖα αὐτῶν· περὶ δὲ τῶν σχουλαρικίων εἶπεν, ὡς ἐχάωσε ταῦτα ἡ ἀδελφὴ αὐτοῦ ἔτι ζῶσα, ἐποίησε δ' ἐκείνη ἄλλα ἀντ' ἐκείνων αὕτη ἡ κυρὰ αὐτῆς ἡ τοῦ Τζελεβοῦ, ἃ καὶ δέδωκεν αὐτῷ νῦν· τὸ δὲ κρυεντήριον καὶ προσκεφαλοένδυσιν εἶπεν ἔχειν, καὶ ὡς δίδωσι ταῦτα ἀρτίως πρὸς αὐτόν. τούτων οὖν οὕτως ἀναφανέντων πάλιν ὁ Ἰωάννης μεταβαλὼν εἶπεν, ὡς ἀπὸ κόπου αὐτοῦ καὶ ἐνεργείας ἔλαβεν ὑπέρπυρα αὕτη δεκαπέντε, καὶ ἐζήτει καὶ ταῦτα· ἀπελογήθη οὖν καὶ περὶ τούτων ἡ κυρὰ αὐτοῦ, ὅτι συντροφίαν ἐποίησεν εἰς γάλα μετ' αὐτοῦ, καὶ ἔβαλεν αὕτη τὸ ἐργαστήριον καὶ κακάβια καὶ πάντα τὰ ἀγγεῖα καὶ ἐργαλεῖα, τάς τε χρείας πάσας τὰς εἰς τοῦτο, ὁ δὲ μικρὸς ἐδούλευε μόνον μετ' αὐτῆς· κέρδους οὖν εὑρεθέντος ἐν τῷ ἐργαστηρίῳ τριάκοντα ὑπερπύρων, ἔλαβεν αὕτη τὰ δεκαπέντε, καὶ αὐτὸς ὁ Ἰωάννης τὰ δεκαπέντε. ἐπεὶ οὖν καὶ εἰς ταῦτα οὐδὲν εἶχεν ἀντειπεῖν ὁ Ἰωάννης, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, λαβεῖν αὐτὸν τό τε κρυεντήριον καὶ τὴν προσκεφαλοένδυσιν καὶ οὕτως ἀδιάσειστον διατηρεῖν αὐτὴν τὴν κυρίαν αὐτοῦ Μαρίαν, τὴν τοῦ Τζελεβοῦ γυναῖκα, ἀνενόχλητόν τε καὶ ἀνεπηρέαστον καὶ μᾶλλον εὐχαριστεῖν αὐτῇ, ὅτι ἀνέθρεψε καὶ αὐτὸν καὶ τὴν ἀδελφὴν αὐτοῦ, πολὺ ἀγαθὸν ἐνεδείξατο εἰς αὐτούς. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXXIII. Sine anno.

*Lis diiudicatur.*

† Ὁ ἀπὸ τῶν πιστοτάτων βαράγκων, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κύριος Σίμων, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ γαμβροῦ αὐτοῦ, τοῦ Καππάδοκος Χαρσειανίτου, τοῦ ἰατροῦ, καὶ ἐζήτησεν, ὡς ἐπεὶ ἀποδημοῦντος αὐτοῦ ἀπέθανεν ἡ θυγάτηρ μὲν αὐτοῦ, γονὴ δὲ τοῦ Χαρσειανίτου, Εὐδοκία ἡ Ἐσκαματισμένη, ἀναλαβεῖν, εἴ τι περιέρχεται αὐτῷ δίκαιον, κατὰ νόμους ἀπό τε τῆς προικὸς αὐτῆς ἀφιέναι πρὸς τὸν πατέρα αὐτῆς μὴ ......., ἥτις ἐποσοῦτο εἰς ὑπέρπυρα ἑξακόσια, καὶ ἀπὸ ἄλλου βίου καὶ δικαίων αὐτῆς. παρὼν δὲ καὶ ὁ Καππάδοξ καὶ ἀπολογήσασθαι προτραπεὶς, διαθήκην ἐνεφάνισε τῆς Ἐσκαματισμένης, διαλαμβάνουσαν, μόνα τὰ τρίτα τῆς προικὸς αὐτῆς ἀφιέναι πρὸς τὸν πατέρα αὐτῆς, μὴ μέντοι ἀπὸ τῶν νυμφικῶν αὐτῆς ἢ τῶν θεωρέτρων, καὶ οὐδὲ ἐκείνης τὸ τρίτον ἐκ πάντων, ἀλλὰ τὰ μὲν ὑπέρπυρα διακόσια ὄντα ἠφίει πρὸς τὸν ἄνδρα αὐτῆς, τὰ δὲ ἄλλα εἴδη κατελίμπανεν, ἵνα λάβῃ τὸ ἀνῆκον αὐτῷ τρίτον τῆς προικὸς αὐτῆς ὁ κύριος Σίμων, ὁ πατὴρ αὐτῆς, καὶ εἰς τιμὴν, ἣν ἔλαβε ταῦτα ὁ ἀνὴρ αὐτῆς· ἅπερ παρὰ τὸ δίκαιον διεγνώσθη ποιῆσαι ἡ τοῦ κυρίου Σίμωνος θυγάτηρ, ἀπειπάσης γὰρ τῆς περιουσίας αὐτῆς ὤφειλε τὸ τρίτον τῷ πατρὶ αὐτῆς, κυρίῳ Σίμωνι, καὶ οὐ τὸ τρίτον μόνης τῆς προικὸς αὐτῆς, ὥσπερ καὶ ἡ προὶξ αὐτῆς. καὶ περὶ τῶν εἰδῶν δὲ διεγνώσθη, ὅτι τὴν διατίμησιν αὐτῶν ὠφείλει ὁ Καππάδοξ, καὶ οὐχὶ τὰ εἴδη ἢ τὴν τιμὴν, εἰς ἣν ἔλαβε ταῦτα· ἐπεὶ δὲ τὰ εἴδη τοιαῦτα εἶναι ......... διισχυρίσατο τὸ μέρος τοῦ Καππάδοκος, οἷα καὶ παρέλαβεν αὐτὰ, καὶ ὡς εἴπερ ἐλαττωθῶσι νῦν ἀφ' ἧς ἐδόθησαν τότε τιμῆς, οὐ διὰ τὸ κατατριβῆναι, ἀλλὰ διὰ τὸ κορυφωθῆναι αὐτὰ τότε συμβήσεται τοῦτο. διέγνω καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ὡς ἂν θεωρηθῶσι τὰ εἴδη, καὶ ὅσα μὲν ἐλαττώθησαν ἀπὸ κατατριβῆς τινος, τιμηθῆναι νῦν καὶ παραδοθῆναι τῷ κυρίῳ Σίμωνι, ὅσα μέντοι αὐτῶν ἄφικτα πάντη μεμενήκασι καὶ τοιαῦτα, οἷα παρεδόθησαν τῷ Χαρσειανίτῃ, ταῦτα δέξασθαι τὸν κύριον Σίμωνα εἰς τὴν πρώτην ἐκείνην τῆς ἐκτιμήσεως τῆς προικὸς τιμὴν, πλὴν ἵνα δοθῶσι τῷ κυρίῳ Σίμωνι καὶ τὰ τρίτα τῶν διακοσίων ὑπερπύρων, ἢ εἴπερ αὐτὰ μὴ περισώζονται, εἴδη διατιμηθέντα ὡς ἔχουσι νῦν τιμῆς, ἐπεὶ τὰ τοῦ χαράγματος

οὐδεμίαν ἐλάττωσιν ἔχουσι, ἄδικον γάρ ἐστι τὰ μὲν ἐλάττωσιν ἔχοντα εἴδη λαβεῖν πάντα τὸν κύριον Σίμωνα, τὰ δὲ τοῦ χαράγματος μηδεμίαν ἐλάττωσιν ἔχοντα, ταῦτα δέξασθαι τὸν Χαρσειανίτην, καὶ οὕτω γὰρ οὐ λαμβάνει τὸ τρίτον τῆς περιουσίας τῆς ἰδίας θυγατρὸς κατὰ νόμους· διέγνω τοίνυν καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, λαβεῖν τὸν κύριον Σίμωνα ἀπὸ τοῦ Χαρσειανίτου τὸ τρίτον τῆς καθόλου περιουσίας τῆς θυγατρὸς αὐτοῦ, ἤγουν τῶν θεωρέτρων τῶν νυμφικῶν αὐτῆς καὶ τῆς προικὸς καὶ ἀπὸ τοῦ χαράγματος ἢ τὰ γ' ὑπέρπυρα ἢ εἴδη, ὡς ἔχουσι νῦν τιμῆς. ἐπεὶ δὲ προεβάλετο ὁ Χαρσειανίτης, ὡς πρὸ δέκα μηνῶν δέδωκε ταῦτα πρὸς τὸν τιμιώτατον μέγαν σκευοφύλακα, διέγνωμεν, ὡς εἰ μὲν καταδοχῇ τοῦ κυρίου Σίμωνος ἔλαβεν αὐτὰ ὁ μέγας σκευοφύλαξ, ὀφείλει στέργειν αὐτὸ ὁ κύριος Σίμων· εἰ δὲ μόνος αὐτὸς ἔπραξεν, ὃ ἐποίησε, ζητεῖ δὲ νῦν ὁ κύριος Σίμων τὸ δίκαιον αὐτοῦ, . . . . . . . τιμηθήσονται, ὅτε ταῦτα παραλαμβάνει αὐτός. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXXIV. Sine anno.

*Exhortatio ad clerum insulae Cretae.*

† Οἱ κατὰ τὴν περιώνυμον καὶ εὐνομωτάτην νῆσον τῆς Κρήτης εὑρισκόμενοι ἱερομόναχοι καὶ μοναχοὶ καὶ πνευματικοὶ ἄνδρες καὶ ἁπλῶς πάντες ἱερωμένοι, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος· χάρις ὑμῖν ἅπασιν εἴη ἀπὸ θεοῦ καὶ εἰρήνη. ἡ μετριότης ἡμῶν ἐγνώρισε καὶ ἐπληροφορήθη παρὰ πολλῶν τῶν αὐτόθεν ἐρχομένων τὸ παρὰ τοὺς θείους νόμους τε καὶ κανόνας τῶν θείων πατέρων καὶ τὰς ἁγίας διατάξεις τῶν ἁγίων ἀποστόλων ἀναίδην αὐτόθι καὶ ἀπηρυθριασμένως τολμώμενον, ὅπως οἱ ἱερομόναχοι, οἱ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ πᾶσιν ἀποταξάμενοι πράγμασι καὶ σταυρώσαντες ἑαυτοὺς καὶ νεκρώσαντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς καὶ φῶς καὶ ὁδηγία πρὸς σωτηρίαν ταχθέντες εἶναι τῶν λαϊκῶν, ὑμεῖς πρόσκομμα σκανδάλου καὶ αἴτιοι καταστροφῆς καὶ ἀπωλείας αὐτοῖς γίνεσθε, συνοικοῦντες παραλόγως καὶ παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ νόμους μετὰ μοναζουσῶν, ὅπερ οἱ θεῖοι καὶ ἱεροὶ πατέρες παντελῶς ἀπηγόρευσαν, ὡς σκανδάλου μὲν πρόξενον τοῖς ἄλλοις, ἀπωλείας δ' αἴτιον καὶ γεέννης

καὶ κολάσεως αἰωνίου τοῖς τολμῶσι γινόμενον· τίς γὰρ κοινωνία μοναχῷ πρὸς μονάζουσαν; καὶ ὥσπερ τὸ πῦρ φρυγάνων δραξάμενον μεγάλην ἐξάπτει τὴν φλόγα, οὕτως μοναχὸς γυναικὶ πλησιάζων μεγάλην μὲν τῇ ἑαυτοῦ ψυχῇ τὴν τῆς ἐπιθυμίας καὶ τῶν παθῶν ἐξάπτει πυρκαϊὰν, καὶ παίγνιον γίνεται τῶν δαιμόνων· καὶ οὐ μόνον ὑπὲρ τῆς ἰδίας ἀπωλείας ἀθανάτους ὀφέξει κολάσεις καὶ τιμωρίας, ἀλλὰ καὶ ἕνεκα τοῦ σκανδάλου τῶν ἄλλων, ὅσοι βλέποντες αὐτοὺς μετιόντας τοιαῦτα ἐσκανδαλίζοντο· τίς γὰρ ὁρῶν ἱερομόναχον γυναικὶ συνοικοῦντα οὐ σκανδαλισθήσεται, τὴν φυσικὴν ἀνάγκην καὶ βίαν λογιζόμενος καὶ τὸν τοῦ διαβόλου ἄπαυστόν τε καὶ ἀδιάλλακτον καθ' ἡμῶν πόλεμον, καὶ ὅπως ἐπιβουλεύει ἡμῖν φανερῶς τε καὶ ἀφανῶς, νύκτα τε καὶ ἡμέραν; εἰ γὰρ ἐν τοῖς ἐρήμοις, ἔνθα οὔτε φωνὴ γυναικὸς, οὐθ' ὅλως ὄψις ἢ ὁμιλία αὐτῆς, ὅμως πολλοὺς δι' ἐπιθυμίας κατέσπασεν ὁ πολέμιος πρὸς τὸν ἔσχατον τῆς κακίας πυθμένα, πῶς ἀφέξεται τῶν γυναιξὶ συνοικούντων, ἢ τίσιν ὅπλοις ἢ μηχαναῖς οὗτοι τὸν τοιοῦτον καταλῦσαι δυνήσονται πόλεμον; ποίᾳ τέχνῃ κρατήσουσι καὶ νικήσουσι τὰς ἀεὶ πολεμούσας ἡμῖν ἀρχάς τε καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου καὶ τὰ πνευματικὰ πάθη τῆς πονηρίας; διὰ ταῦτα καὶ οἱ θεοφόροι πατέρες ἡμῶν οὐ μόνον τὴν τῶν ἄλλων γυναικῶν ὁμιλίαν καὶ ὄψιν κατεστρέφοντο, ἀλλὰ καὶ τῶν μητέρων αὐτῶν πολλοὶ διὰ τὸν φόβον τοῦ τοιούτου πολέμου κατεφρόνουν· ὁ γὰρ μακάριος ὄντως ἄνθρωπος τοῦ θεοῦ, ὁ ἀβᾶς Ποιμὴν, τὴν ἰδίαν μητέρα, πρὸς αὐτὸν ἐλθοῦσαν καὶ μετὰ δακρύων πικρῶν ἔξωθεν τῆς κέλλης ἱσταμένην καὶ ἰδεῖν αὐτὸν ἀξιοῦσαν, οὐ κατεδέξατο, ἀλλ' ἔνδοθεν, μήτηρ, ἔφη, ὧδε ὑμᾶς θέαν θεάσασθαι ἢ ἐν τῷ μέλλοντι αἰῶνι; ἡ δὲ μήτηρ τούτοις πεισθεῖσα ὑπέστρεφε, μὴ ἰδοῦσα ὅλως αὐτόν. ἕτερος δέ τις στάχυας θερίζων, συλλεγούσης ὄπισθεν αὐτῷ τῆς μητρὸς στάχυας, ἐπεὶ βαρβάρων ἔφοδος αὐτοῖς ἐμηνύθη, ἔφευγε μὲν ἐκεῖνος, συνέφυγε δὲ καὶ ἡ μήτηρ αὐτῷ, εἰς γέφυραν οὖν περαιούμενοι κινουμένην καὶ ὑπότρομον, τῆς γραὸς μὴ ἰσχυούσης μόνης περαιωθῆναι διὰ τὸ κλονεῖσθαι τὴν γέφυραν, τὸν υἱὸν παρεκάλει κρατῆσαι αὐτὴν τῆς χειρὸς καὶ οὕτω διαβιβάσαι τὴν γέφυραν· ὁ μέγας τοίνυν ἐκεῖνος καὶ βιαστὴς ὄντως τῆς τῶν οὐρανῶν βασιλείας μήτε τὸ παριδεῖν μητρὸς δάκρυα εὐσεβὲς νομίζων, πάλιν δὲ τὴν φύσιν ἐνθυμούμενος, ὅτι ἦν καὶ γυνὴ, εἰ καὶ μήτηρ, τί ποιεῖ; τὸ δρέπανον ἐγχειρίσας ἀπὸ τοῦ ξύ-

λου τῇ μητρὶ καὶ τὸ θέριστρον τῷ ἰδίῳ περιτολίξας μανδίᾳ καὶ οὕτω κρατῶν αὐτὸ, τὴν μητέρα τούτῳ τῷ τρόπῳ διεβίβασε τῆς γεφύρας, ὥστε μηδ' ὅλως χειρὶ μητρικῇ πλησιάσαι, οὗ καὶ ὁ μέγας τῆς μοναχικῆς πολιτείας νομοθέτης τε καὶ διδάσκαλος, Ἰωάννης, ὁ τὴν κλίμακα τῶν πνευματικῶν ἀναβάσεων συγγραφάμενος, μέμνηται, μέμνησο, λέγων, τοῦ συμπλέξαντος τῇ χειρὶ τὸ θέριστρον, καὶ ..... ἐπὶ φυσικῶν τε καὶ οὐ φυσικῶν. καὶ ὁ τῆς ἡσυχίας δὲ φωστὴρ, ὁ μέγας Ἀρσένιος, ὁ ἐπὶ γῆς ἄγγελος, ἐν τῇ κατ' Αἴγυπτον ἐρήμῳ τὸν ἡσύχιον διανύων βίον, ἐπεσπάσατο μετὰ τῶν ἄλλων τῇ μεγάλῃ φήμῃ αὐτοῦ καὶ μίαν γυναῖκα τῶν εὐγενῶν ἀπὸ Ῥώμης, ἥτις πολλῶν ἐξόδων καταφρονήσασα τὴν Ἀλεξάνδρειαν κατέλαβε, καὶ τῇ ἐρήμῳ ἑαυτὴν κατακρύψασα ἐν τῷ λεληθότι παριόντι ἐν αὐτῇ τῷ μεγάλῳ τοῖς ἐκείνου ποσὶν ἑαυτὴν καταβάλλει, εὐλογίαν ζητοῦσα παρ' αὐτοῦ, ὁ δὲ τῷ ἀθρόῳ τῆς ὄψεως διαταραχθεὶς, τί θέλει, ταύτην ἠρώτα· ἡ δὲ εὐχὴν ᾔτει καὶ εὐλογίαν, καὶ ὃς, ἐξαλείψει κύριος ὁ θεὸς, εἶπε, τὸ μνημόσυνόν σου ἐκ τῆς καρδίας μου, καὶ οὕτως ἀπέστη, οὐδὲν πλέον εἰρηκὼς πρὸς αὐτήν. οὕτως ἐποίουν οἱ ἅγιοι, αἱ βίαιοι διὰ Χριστὸν ψυχαὶ καὶ φιλόνεικοι· ὑμεῖς δὲ γυναιξὶ μηδὲν προσηκούσαις καθ' αἷμα συνοικεῖν ἀναισχύντως οὕτως οὐ φρίττετε, οὐδὲ τὸν ἀπαραλόγιστον ὀφθαλμὸν τοῦ θεοῦ φοβεῖσθε, ἀλλὰ καταφρονεῖτε, καὶ τὸ ἄσβεστον πῦρ καὶ τὸν ἀθάνατον σκώληκα καὶ τὸν βρυγμὸν τῶν ὀδόντων κατὰ τῶν ὑμετέρων ψυχῶν εὐτρεπίζετε, καὶ τύπτοντες τὴν συνείδησιν τῶν ἀδελφῶν εἰς Χριστὸν ἁμαρτάνετε, κατὰ τὸν ἀπόστολον, καὶ οὐ φρίττετε, οὔτε ἐπαισχύνεσθε, ἀλλὰ καὶ ἐξαγορευτὰς ἑαυτοὺς ἐπιφημίζετε καὶ τὰ τῶν ἄλλων ἁμαρτήματα λύοντες, καὶ τοῦτο παρανόμως καὶ χωρὶς πατριαρχικοῦ ἐντάλματος, τὴν γὰρ ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν οἱ Χριστοῦ ἀπόστολοι τοῖς ἐπισκόποις ἐνεχείρισαν καὶ οἷς κἀκεῖνοι τοῦτ' ἐνεχείρισαν, οἱ δὲ χωρὶς ἐντάλματος τῆς ἡμῶν μετριότητος τοῦτο αὐτόθι μεταχειριζόμενοι τὴν ἐσχάτην ὑφέξουσι δίκην. διὰ ταῦτα ἀλγεῖ καὶ ὀδυνᾶται ἡ μετριότης ἡμῶν, καὶ τὴν ὑμετέραν ἀπώλειαν πατρικῶς καὶ περιπαθῶς θεραπεύειν πειρᾶται, ὅτι γὰρ παντελῶς ἀπηγόρευται τὸ μοναχαῖς ἢ γυναιξὶν ὅλως συνοικεῖν τοὺς ἱερομονάχους καὶ μοναχοὺς, ἄκουε τῶν τοῖς ἁγίοις πεπονημένων πατράσι, φησὶ γὰρ ἡ δευτέρα διάταξις τοῦ πρώτου τίτλου τῶν νεαρῶν· οὐ μένουσι δὲ ἅμα μοναχοὶ καὶ μονάστριαι, ἀλλ' οἱ ἄνδρες εἰς ἑτέρους μεθίστανται τόπους καὶ

διαιροῦνται κατὰ πᾶσαν ἀνάγκην. καὶ ὁ μζʹ δὲ κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ϛʹ συνόδου φησίν· μήτε δὲ ἐν ἀνδρείῳ μοναστηρίῳ γυνή, μήτε ἐν γυναικείῳ ἀνὴρ καθευδέτω, παντὸς γὰρ προσκόμματος καὶ σκανδάλου ἔξω εἶναι δεῖ τοὺς πιστοὺς καὶ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ κυρίῳ τὸν ἑαυτὸν εὐθετίζειν βίον· εἰ δέ τις τοῦτο πράξει, εἴτε κληρικός, εἴτε λαϊκός, ἀφοριζέσθω. καὶ ὁ κʹ δὲ κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζʹ συνόδου φησίν· μὴ διαιτάσθωσαν ἐν ἑνὶ μοναστηρίῳ μοναχαὶ καὶ μοναχοί, μοιχεία γὰρ μεσολαβεῖ τὴν συνδιαίτησιν. μὴ ἐχέτω μοναχὸς παρρησίαν πρὸς μονάστριαν ἢ μονάστρια πρὸς μοναχὸν ἰδίᾳ προσομιλεῖν, μὴ κοιταζέσθω μοναχὸς ἐν γυναικείῳ μοναστηρίῳ, μηδὲ συνεσθιέτω μοναστρίᾳ κατὰ μόνας, καὶ ὅτε τὰ ἀναγκαῖα τοῦ βίου παρὰ τοῦ ἀνδρείου μέρους πρὸς τὰς κανονικὰς ἀποκομίζονται, ἔξωθεν τῆς πύλης ταῦτα λαμβανέτω ἡ ἡγουμένη τοῦ γυναικείου μοναστηρίου μετὰ γραός τινος μοναστρίας· εἰ δὲ συμβῇ καὶ συγγενῆ τινα θεάσασθαι ὁ μοναχός, ἐπὶ παρουσίᾳ τῆς ἡγουμένης ταύτῃ προσομιλείτω διὰ μικρῶν καὶ βραχέων λόγων, καὶ συντόμως ἐξ αὐτῆς ἀπαναχωρείτω. ταῦτα δὲ οὕτως ὡρίσαντο διὰ τὴν τοῦ σωτῆρος ἀπόφασιν, τήν, ὁ βλέψας, λέγουσαν, γυναικὶ εἰς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· ἐὰν οὖν ἡ περίεργος θέα μοιχείας αἰτία γίνεται, κατὰ τὸν τοῦ σωτῆρος λόγον, ὁ γυναικὶ συνοικῶν καὶ συνεσθίων καὶ ἀεὶ συναναστρεφόμενος πῶς τῆς μοιχείας ἀπαλλαγήσεται; διὰ τοῦτο πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί, διὰ ταῦτα ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, διὰ ταῦτα παρεδόθημεν εἰς αἰσχίστην δουλείαν, καὶ ἐπὶ πᾶν ἔθνος καὶ γῆν διεσπάρημεν, καὶ ὠλιγώθημεν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης, καὶ πρὸς γέλωτα καὶ χλεύην τῆς ἡμῶν πολιτείας ἐφελκόμεθα τοὺς ὁρῶντας, καὶ βλασφημεῖσθαι τὸ τοῦ θεοῦ παρασκευάζομεν ἅγιον ὄνομα. παραινῶ τοίνυν πᾶσιν ὑμῖν καὶ ἀξιῶ καὶ συμβουλεύω πατρικῶς, διαστῆναι τούς τε ἱερομονάχους καὶ τοὺς μοναχοὺς τῆς παρανόμου καὶ παρὰ κανόνας τῶν μοναζουσῶν συνοικήσεως· εἰ δέ τινες μετὰ τὴν παροῦσαν γραφὴν καταδέξονται τὴν μετὰ μοναζουσῶν ἢ ὅλως γυναικῶν συνοίκησιν, ἀκόλουθα τοῖς ῥηθεῖσι θείοις κανόσι τῶν θεοφόρων πατέρων ψηφιζομένη ἡ μετριότης ἡμῶν γυμνοὺς καὶ ἀλλοτρίους πάσης ἱεροσύνης ἔχει αὐτούς, εἰ δὲ πάλιν οὐ διορθοῖντο, ὑπὸ βαρύτατον ἔχει καὶ φρικώδη ἀφορισμόν, μέχρις ἂν

ἀποχὴν παντελῆ τῶν γυναικῶν ποιήσονται, ἀλλ' οὐδὲ ἐξομολόγησιν ἀνθρώπων πᾶς ἱερομόναχος ἀναδέξεται, εἰ μὴ οἷς δι' ἐντάλματος ἀνέθηκεν αὐτῷ ἡ μετριότης ἡμῶν, τὰ δὲ παρὰ ἄλλων ἐπισκόπων γεγονότα τισὶν ἐντάλματα ἀργὰ καὶ ἄκυρα ἔχει ἡ μετριότης ἡμῶν, διότι οὐδὲ ἄδειαν εἶχον. . . . . . . . ποιήσατε οὖν εἰς πάντα, ὅσα γράφομεν, τὴν προσήκουσαν διόρθωσιν, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ πάντων ἡμῶν †.

## DCXXXV. Sine anno.

*Lis diiudicatur.*

† Φθάνει ὁ ἐξ ἐθνῶν Γεώργιος, ὁ τῆς Κεχορτασμένης ἀπελεύθερος, ἀντικριθεὶς τῷ ἐπὶ τῇ νύμφῃ ἀνδρὶ ἐκείνης, τῷ Πεπαγωμένῳ, κληρονόμῳ ἀποκαταστάντι τοῦ προγόνου αὐτοῦ τοῦ Ἰανούλου ὑπ' ἐκείνου ἀποθνήσκοντος, καὶ δικαιωθεὶς ὁ Γεώργιος, λαβεῖν ἀπὸ τῆς τοῦ Ἰανούλου περιουσίας τριάκοντα ὑπέρπυρα, ἃ φυλακισθεὶς μετὰ πολλῆς ἀνάγκης καὶ βίας πρὸς χρεωφειλέτας ἐκείνου ἔδωκε, παραδοθεὶς ἀπὸ τοῦ Ἰανούλου, ὡς δῆθεν δοῦλος αὐτοῦ, ὃς ἀπεδείχθη καὶ ἐλεύθερος εἶναι καὶ μηδὲν ὀφείλειν τῷ Ἰανούλῳ, ἀλλὰ μᾶλλον ὁ Ἰανοῦλος ὀφείλει τῷ Γεωργίῳ λεγάτα, ἥμισυ ὀσπήτιον, ἐν ᾧ νῦν καὶ φοῦρνός ἐστι, καὶ ἀπὸ τοῦ ἀμπελίου τοῦ Καρφᾶ μέρος χιλιαδῶν ἓξ καὶ κρεβατοστρῶσιν, ἃ καὶ ἀφῆκε λεγάτον ἡ κυρία αὐτοῦ πρὸς αὐτὸν, ὅτε ἐλευθέρωσεν αὐτόν· κατεδικάσθη μὲν οὖν ὁ Πεπαγωμένος, δοῦναι τῷ Γεωργίῳ τά τε τριάκοντα ὑπέρπυρα, ἃ δέδωκεν ἀναιτίως εἰς χρέος τοῦ Ἰανούλου φυλακισθεὶς ἀπὸ τῆς ἐκείνου περιουσίας, καὶ τὸ κρεβατοστρώσιον μετὰ ἡμίσεως ὀσπητίου καὶ τοῦ ῥηθέντος ἀμπελίου· πάλιν οὖν ἐν ἑτέρᾳ συνόδῳ .ἔγκλησιν ἐκίνησεν ὁ αὐτὸς Γεώργιος κατὰ τοῦ Πεπαγωμένου περὶ λ' ὑπερπύρων ὧν ἔλεγε βαλεῖν αὐτὸς εἰς τὸ του Ἰανούλου μαγκιπεῖον, συντροφίαν ποιῶν μετ' αὐτοῦ· ὁ μὲν κῦρ Ἰανοῦλος ἔβαλε τό τε ἐργαστήριον αὐτοῦ καὶ ἄλογον, ὃ εἶχεν, ὁ δὲ Γεώργιος ἔλεγε βαλεῖν μετ' αὐτῶν εἰς τὴν συντροφίαν αὐτῶν ὑπέρπυρα λ'· ὁ μὲν οὖν Ἰανοῦλος, τῆς συντροφίας αὐτῶν διαλυθείσης, ἔλαβε τὰ εἴδη . . . . τό τε ἐργαστήριον αὐτοῦ καὶ τὸ ἄλογον, ὁ δὲ Γεώργιος ἐστερήθη τὰ ὑπέρπυρα αὐτοῦ, καὶ ὀφείλει οὖν αὐτῷ ταῦτα. πρὸς ἅπερ ἀντέλεγε μὲν μέχρι τινὸς ὁ Πεπαγωμένος, εἶτα μαρτύρων παραγομένων, ὡμολόγησεν, αὐτὸς πεποιηκέναι αὐτοῖς τὸν τῆς συντροφίας λογαριασμὸν, καὶ

εὑρεθῆναι ὀφειλόμενα τῷ Γεωργίῳ παρὰ τοῦ Ἰανούλου ὑπέρπυρα ιε', καὶ κατεπέκεινα τούτοις εἶπεν ὀφείλειν τὸν Ἰανοῦλον τῷ Ἀληθινῷ εἰς σιτάριν μουζούρια ὀκτὼ ὑπέρπυρα ι', καὶ ὁ Πεπαγωμένος ἔλεγεν, ὡς ἐδέξατο ταῦτα ἐπάνω αὐτοῦ λόγῳ ἐγγύης. κατεδικάσθη οὖν, δοῦναι καὶ ταῦτα τῷ Γεωργίῳ, ἤγουν τὰ ιε' τῆς συντροφίας καὶ τῷ Ἀληθινῷ τὰ ὀφειλόμενα ἐκείνῳ δέκα καὶ τῷ Γεωργίῳ ἕτερα ὑπέρπυρα ε', ἃ ἔλαβεν ὁ Πεπαγωμένος διὰ μοχθηροῦ ἀπὸ τοῦ Γεωργίου, ὡς ταῦτα κατὰ μέρος διαλαμβάνονται ἐν τοῖς περὶ τούτων προβᾶσι συνοδικοῖς γράμμασι τῆς ἡμῶν μετριότητος· ἐπεὶ δὲ ἐζήτησεν ὁ Πεπαγωμένος διωρίαν ἡμερῶν ιε', ὡς ἂν σκέψεται, εἴτε θελήσει καταδέξασθαι τὴν τοῦ Ἰανούλου περιουσίαν καὶ ἀποδοῦναι τὰ ῥηθέντα χρέη ἐκείνου ἢ παραιτήσασθαι πᾶσαν τὴν περιουσίαν ἐκείνου, ἐδόθη δὲ αὐτῷ ἡ διωρία, καὶ συνοδικῶς παραγενόμενος μετὰ τὸ ταύτην παρελθεῖν κατεδέξατο τὴν περιουσίαν ἐκείνου καὶ τὰ χρέη ταῦτα. ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ἀποδοῦναι τὸν πολλάκις ῥηθέντα Κωνσταντῖνον τὸν Πεπαγωμένον τῷ Γεωργίῳ τά τε πεντήκοντα ὑπέρπυρα αὐτοῦ πάρεξ τῶν δέκα τοῦ Ἀληθινοῦ, ἐπεὶ ἐκεῖνα ὁ Πεπαγωμένος ὀφείλει ἀποδοῦναι, ἔξω τῶν πεντήκοντα τούτων, ὧν τὰ μὲν τριάκοντα δέδωκε φυλακισθεὶς εἰς χρέη τοῦ Ἰανούλου, τὰ δὲ δεκαπέντε εἰς ἣν ἐποίησαν συντροφίαν, ὡς εἴρηται, καὶ τὰ πέντε ἔλαβε μοχθηρὰ ὁ Πεπαγωμένος ἀπὸ τοῦ Γεωργίου, καὶ τὸ ἥμισυ ὀσπήτιον, ὃ ἔχει νῦν τὸν φοῦρνον ἐντός, ὃ δὴ ὀσπήτιον τιμηθήσεται νῦν, καθὼς χρήζει, καὶ εἰ τὸ ἥμισυ τοῦ τιμήματος ἀποδώσει ὁ Γεώργιος, καὶ ἕξει τὸ καθόλον ὀσπήτιον, ἢ λήψεται αὐτὸς τὸ ἥμισυ τοῦ τιμήματος· ἔτι δὲ ἀποδώσει ὁ αὐτὸς Πεπαγωμένος τῷ Γεωργίῳ καὶ τὸ κρεβατοστρώσιον, ὃ ἀφῆκεν αὐτῷ ἡ κυρὰ αὐτοῦ, ἢ εἴπερ οὐκ ἔχει κρεβατοστρώσιον μέσον, ἀποδώσει αὐτῷ ἀντ' αὐτοῦ ὑπέρπυρα ϛ', καὶ εἰρήνης γεγονυίας ἕξει καὶ ἀπὸ τὸ ἀμπέλιον τοῦ Καρφᾶ κυρίως δὲ καὶ δεσποτικῶς μέρος χιλιαδῶν ἓξ κλιμάτων, τὰ δὲ πεντήκοντα ὑπέρπυρα ἀποδώσει νῦν ὁ Πεπαγωμένος τῷ Γεωργίῳ χωρίς τινος ἀναβολῆς καὶ ὑπερθέσεως, ἣν γὰρ ἐζήτησε νόμιμον διωρίαν, οὐκ ἔδοξε δίκαιον ἔχειν λαβεῖν αὐτήν, οὐδὲ γὰρ αὐτὸς ὤφειλε ταῦτα, ἀλλ' ἡ τοῦ Ἰανούλου περιουσία, ἥτις πωληθήσεται νῦν καὶ δοθήσεται εἰς τὰ χρέη ἐκείνου· εἰ δὲ καὶ οὐκ ἀρκέσει ἡ περιουσία πρὸς τὴν τῶν χρεῶν πάντων ἀπόδοσιν, ἀποδώσει τῷ Γεωργίῳ ὁ Πεπαγωμένος τά τε πεντήκοντα ὑπέρπυρα αὐτοῦ καὶ τὰ

τοῦ κρεβατοστρωσίου ἓξ καὶ τὸ ἥμισυ ὀσπήτιον ἀφ' ἑαυτοῦ, ἐπεὶ συνοδικῶς ἀνεδέξατο ταῦτα, καὶ ὑπέθηκεν ἑαυτὸν εἰς τὴν τούτων ἀπόδοσιν, τὸ δὲ ἀμπέλιον λήψεται ὁ Γεώργιος, εἰρήνης σταθηρᾶς γενομένης, ἀλλὰ καὶ μετὰ τὸ ἀποδοῦναι τῷ Γεωργίῳ τὸν Πεπαγωμένον τὰ ῥηθέντα πάντα ἀνενόχλητον αὐτὸν διατηρήσει ἀπὸ παντὸς κριτηρίου, εἰ δ' ἐνοχλήσει αὐτῷ, βάρος ἀφορισμοῦ κατ' αὐτοῦ ἐκφωνοῦμεν. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXXVI. Sine anno.

*Patriarcha metropolitam Trapezuntis damnat simoniae.*

† Ἱερώτατε μητροπολῖτα Τραπεζοῦντος, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Λαζικῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἡ μετριότης ἡμῶν, γίνωσκε, πολλὰ ἐλυπήθη καὶ ἐβαρύνθη καὶ ὠργίσθη εἰς τὸ αὐτόθι τολμηθὲν παράνομον ἔργον καὶ ἀπηγορευμένον τῇ ἐκκλησίᾳ Χριστοῦ ὑπὸ τῶν θείων καὶ ἱερῶν κανόνων, γινώσκει γὰρ ἡ σὴ ἱερότης, ὅτι καὶ οἱ κανόνες τῶν ἁγίων ἀποστόλων καὶ πασῶν σχεδὸν τῶν οἰκουμενικῶν συνόδων καθῃρημένον ἔχουσι τὸν ἐπὶ χρήμασι χειροτονηθέντα καὶ τὸν χειροτονήσαντα, καὶ ἀποδιώκουσι τοῦτο τῆς ἐκκλησίας Χριστοῦ ὡς σιμωνιακὴν αἵρεσιν· ἡ γοῦν μετριότης ἡμῶν διὰ τὸν κατὰ θάλατταν ὑφορώμενον κίνδυνον παρὰ τῶν ἀσεβῶν διὰ τὸν ἐκ τῆς μάχης ἀποκλεισμὸν ἐνέδωκε χειροτονηθῆναι αὐτόθι μητροπολίτην Ἀλανίας, πλὴν κανονικῶς καὶ μετὰ ἀκριβείας ἐκκλησιαστικῆς, καὶ ὑπετύπωσε καὶ πῶς δεῖ πραχθῆναι παρὰ τοῦ ἐξάρχου μου, αὐτόθι δὲ ἠνάγκασαν καὶ περιώρισαν αὐτόν, καὶ ἐπήγαγον αὐτῷ ἀνάγκην καὶ βίαν, ὥστε πραχθῆναι τὴν χειροτονίαν παρὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας καὶ παρανόμως καὶ διὰ δόσεως χρημάτων, ἐχειροτονήθη γάρ, ὃν οἱ κοσμικοὶ ἄρχοντες προώρισαν καὶ ἐβούλοντο, καὶ ὃν ἠνάγκασαν καὶ ἄκοντα, καὶ ἔδωκε χρήματα ἐπὶ τῷ χειροτονηθῆναι, καὶ ἴσως οὐ τοσοῦτον ἔνι τὸ παράδοξον εἰς τοὺς κοσμικοὺς τοιαῦτα τετολμηκέναι, οἵτινες καὶ ἄλλα πλεῖστα ποιοῦσιν ἀπὸ καταφρονήσεως, θαυμάζω δὲ καὶ πρὸς τὴν σὴν ἱερότητα, ἀρχιερέα πολυχρόνιον τῆς ἐκκλησίας Χριστοῦ καὶ νόμων καὶ κανόνων ἔμπειρον, πῶς οὐ

περιέκοψας, ὅση σοι δύναμις, τὴν τοιαύτην παρανομίαν, ἀλλὰ μᾶλλον καὶ συνήργησας καὶ συνευδόκησας καὶ ἐσπούδασας ταύτην προβῆναι· διὰ τοῦτο καὶ πρὸς τὴν σὴν ἱερότητα πολλὰ λυπούμεθα καὶ τὸν ἔξαρχόν μου, τὸν μοναχὸν Ναθαναὴλ, καὶ πολλὰ ἐβαρύνθημεν καὶ ὠργίσθημεν καὶ ἐπετιμήσαμεν, πῶς οὐκ ἀντέστη εἰς τοῦτο μέχρις αἵματος, ἀλλ' ἐνέδωκε καὶ προέβη ἡ τοιαύτη παρανομία, καὶ ἐὰν ᾖ καὶ ἱερωμένος, κινδυνεύσειν ἔμελλε καὶ περὶ τὸν οἰκεῖον βαθμὸν, ὡς τηλικαύτην παρανομίαν τολμήσας παραβῦσαι τῇ ἐκκλησίᾳ Χριστοῦ. καὶ ὁ χειροτονηθεὶς δὲ Ἀλανίας συνοδικῶς κριθήσεται, εἴ τις καιροῦ διδόντος ἐγκαλέσει αὐτῷ περὶ τούτου, καὶ γενήσεται εἰς αὐτὸν, ὅσον οἱ ἱεροὶ κανόνες διαγορεύουσι, πρὸς ὃν οὐδὲ γράφει ἡ μετριότης ἡμῶν, οὐδὲ ὡς ἀρχιερέα τοῦτον προσαγορεύει, μέχρις ἂν συνοδικῶς ἀκουσθῇ τὸ περὶ αὐτοῦ. ἀντεστρέψαμεν δὲ καὶ, εἴπερ ἐνταῦθα ἐστάλησαν εἴς τε τὸν κλῆρον καὶ εἰς τὸ κελλίον μου πέντε σώμια, πρὸς τὸν ἡγούμενον τῆς ἁγίας Σοφίας, τὸν ἱερομόναχον Γεδεὼν, τὸν καὶ δόντα αὐτὰ καὶ ἐνεχόμενον καὶ αὐτὸν, πτωχοὶ μὲν γάρ ἐσμεν καὶ προσαῖται, καὶ ἀπὸ ἐλεημοσύνης χριστιανῶν ζῶμεν καὶ ἡμεῖς καὶ ὁ κλῆρος οὗτος, πλὴν ἀπὸ παρανομίας οὐδὲ τὸ τοῦ κόσμου ἅπαν χρυσίον ἡμῖν αἱρετὸν, ἀλλὰ τὸ τοῦ μεγάλου Πέτρου λέγομεν καὶ ἡμεῖς πρὸς τοὺς δόντας· „τὸ ἀργύριον αὐτῶν σὺν αὐτοῖς εἰς ἀπώλειαν.“ μαθέτω δὲ ταῦτα καὶ ὁ προβληθεὶς Ἀλανίας παρὰ τῆς σῆς ἱερότητος, μεθ' ἧς ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη †.

## DCXXXVII. (6909—1401) aprili. ind. IX.

*Promissio Georgii Lopadiotae.*

† Ἐγὼ ἱερεὺς Γεώργιος ὁ Λωπαδιώτης τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ λέγω, ὅτι ἀπὸ τῆς σήμερον ἐὰν τολμήσω ἵνα ἀπέλθω ἔξω τῆς πόλεως, νὰ κομίσω μαντάτα, ἢ ἄλλας ἀρχοντικὰς δουλείας ὑπηρετήσω, μηδαμῶς ἀνηκούσας τῷ ἐμῷ σχήματι καὶ τῇ τάξει, ἀλλὰ μᾶλλον τῇ τοῦ τζόνη καὶ τῇ τοῦ ψήλου, ἵνα καθαιρῶμαι τῆς ἱερωσύνης μου ἀνιλεῶς, καὶ μηδεμίας φειδοῦς καὶ συμπαθείας τυγχάνω, ἀλλ' οὐδὲ μοναστήριον ζητῆσαι τολμήσω, κοσμικὸς εὑρισκόμενος. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ὑπόσχεσις, ὑπογραφεῖσα καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν· μηνὶ ἀπριλλίῳ ἰνδ. θ' †.

† Ἱερεὺς Γεώργιος ὁ Λωπαδιώτης στέργων ὑπέγραφα †.

## DCXXXVIII. Sine anno.

*Controversia dirimitur.*

† Φθάνει πρὸ ὀλίγου τινὸς καιροῦ Καππάδοξ Χαρσειανίτης ὁ ἰατρὸς, ἀντικριθεὶς τῷ ἀπὸ Βαράγκων κῦρ Σίμωνι, τῷ πενθερῷ αὐτοῦ, ἕνεκεν τοῦ λεγάτου οὗ ἀφῆκεν ἡ τοῦ κῦρ Σίμωνος θυγάτηρ, ἡ Σκαματισμένη ἐκείνη, τῷ ἀνδρὶ αὐτῆς, τῷ Καππάδοκι, ἤγουν τὰ διὰ χαράγματος διακόσια ὑπέρπυρα, ἔλεγε γὰρ, ἐλαττοῦσθαι αὐτὸν εἰς τὴν τοῦ Φαλκιδίου αὐτὸν ἀπόλειψιν διὰ τὸ μὲν διὰ χαράγματος διακόσια ὑπέρπυρα μηδεμίαν ἐλάττωσιν ἔχειν, ἅπερ ἀφῆκε τῷ Καππάδοκι ἡ γυνὴ αὐτοῦ, τὰ δὲ εἴδη πολλὴν ἔχειν ἐλάττωσιν διὰ τὴν τοῦ καιροῦ ἀνωμαλίαν καὶ σύγχυσιν, ἔτι τε ἐζήτησεν ὁ αὐτὸς κῦρις Σίμων καὶ τὰ τρίτα τῶν τε νυμφικῶν καὶ θεωρήτρων ἐκείνης, ὡς οὐ μόνον κληρονομικὸν δίκαιον ἔχων, τὸ τρίτον δηλονότι τῆς προικὸς ἐκείνης, ἀλλὰ καὶ παντὸς τοῦ βίου αὐτῆς, βίος δὲ ἐκείνης τά τε θεώρητρα καὶ τὰ νυμφικὰ αὐτῆς ὡς καὶ ἡ προὶξ αὐτῆς. κατεδικάσθη μὲν οὖν ὁ Καππάδοξ τότε συνοδικῶς, ἀντιστρέψαι τῷ κῦρ Σίμωνι τά τε τρίτα τῶν διὰ χαραγμάτων ὑπερπύρων καὶ λαβεῖν καὶ αὐτὸν ἀντ' αὐτῶν εἴδη τινὰ ἀπὸ τῶν προικῴων εἰδῶν καὶ ἔτι τὰ τρίτα τῶν τε νυμφικῶν καὶ θεωρήτρων, ὡς ἡ τότε προβᾶσα συνοδικὴ διάγνωσις τῆς ἡμῶν μετριότητος ἐγγράφως ταῦτα κατὰ μέρος διαλαμβάνει. τοῦ γοῦν Καππάδοκος μὴ εὐποροῦντος ἀντιστρέψαι τῷ πενθερῷ αὐτοῦ τὰ τρίτα τῶν διὰ χαράγματος ὑπερπύρων, διεκρίθη καὶ ἐτιμήθησαν ἀπὸ τῶν προικῴων εἴδη ὡς ἔχουσι νῦν τιμῆς ἰσόποσα τῶν διὰ χαράγματος τρίτων δι' ἐπιστασίας τῶν τιμιωτάτων ἐξωκατακήλων τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, διακόνων, τοῦ τε μεγάλου σκευοφύλακος, τοῦ Συροπούλου καὶ τοῦ μεγάλου χαρτοφύλακος, τοῦ Βαλσαμῶν, καὶ τοῦ πρωτεκδίκου, τοῦ Εὐγενικοῦ, καὶ κατεδικάσθη ὁ Καππάδοξ, δοῦναι τήν τε τούτων ἐλάττωσιν καὶ τὰ τρίτα τῶν τε νυμφικῶν καὶ θεωρήτρων, ἀνθ' ὧν πάντων, ἐπεὶ ἀνεφάνη, ὅτι ὀφείλει ὑπέρπυρα εἴκοσι, δέδωκε δὲ ταῦτα ὁ Καππάδοξ τῷ Σίμωνι, ὀφείλει ἀνενόχλητος μένειν καὶ πάντη ἀνεπηρέαστος ἀπό τε τοῦ ῥηθέντος κῦρ Σίμωνος καὶ πάντων τῶν παίδων

αὐτοῦ, ἐπεὶ πᾶσαν τὴν προῖκα παρέδωκε τῷ ῥηθέντι μεγάλῳ σκευοφύλακι, τῷ καὶ δόντι ταύτην, ἐν τῷ τῶν γάμων καιρῷ ἀποδημοῦντος τοῦ Σίμωνος, καὶ μόνα παρακατέσχε τὰ λεγατευθέντα αὐτῷ διὰ χαράγματος διακόσια ὑπέρπυρα, ὡς ἥ τε ἀπόδειξις τοῦ μεγάλου σκευοφύλακος ἡ ἔγγραφος καὶ ἡ ἐπ' ἐκείνῃ προβᾶσα σεκρετικὴ γραφὴ φανερῶς τοῦτο διαλαμβάνει, καὶ εἴπερ ἔχουσί τι κληρονομίας δίκαιον οἱ τοῦ κῦρ Σίμωνος παῖδες ἐκ τοῦ μεγάλου σκευοφύλακος τοῦ τὰ πάντα λαβόντος, καὶ ᾧ ταῦτα αὐτὸς ἔδωκεν, ὀφείλουσιν αὐτὸ ἀπαιτεῖν· ὁ δέ γε Χαρσειανίτης ἐπεὶ δέδωκε πάντα τὰ προικῷα εἴδη αὐτοῦ καὶ ἀντὶ τοῦ τρίτου τῶν διακοσίων ὑπερπύρων τῶν διὰ χαράγματος καὶ τοῦ τρίτου τῶν τε νυμφικῶν καὶ τῶν θεωρήτρων ὑπέρπυρα εἴκοσι, καὶ ὀφείλει ἀνενόχλητος μένειν καὶ ἀνεπηρέαστος. τούτου γὰρ χάριν ἐγένετο αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXXXIX. Sine anno.

*Sententia in lite quadam.*

† Ἐπεὶ Μαρία, ἡ θυγάτηρ Μιχαὴλ τοῦ λεπτουργοῦ, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἔγκλησιν ἐποιήσατο κατὰ τῆς πενθερᾶς αὐτῆς Καλῆς τῆς ......., εἰποῦσα, ὡς τοῦ ἀνδρὸς αὐτῆς ἐν ταξιδίῳ τὸν βίον ἀπολιπόντος καὶ παιδίον μικρὸν καταλιπόντος αὐτῇ, ἡ δηλωθεῖσα Καλὴ κατέχει τὸν βίον, ὃν εἶχεν ὁ υἱὸς αὐτῆς ἐκεῖνος, καὶ ὃν ἔταξεν αὕτη δοῦναι πρὸς ἐκεῖνον, ζωνάριον λέγουσα καὶ ὀσπήτιον καὶ ἄλλα τινά, ἀφ' ὧν τὸ μὲν ὀσπήτιον ἔχει ἀρτίως καὶ καταμένει ἐν αὐτῷ, τὸ δὲ ζωνάριον ἔθηκεν εἰς ἐνέχυρον ὑπὲρ χρέους αὐτῆς. καὶ διαμηνυθείσης καὶ τῆς εἰρημένης Καλῆς καὶ παραγενομένης καὶ ἀπολογήσασθαι προτραπείσης καὶ τὸ μὲν ὀσπήτιον μόνον ὁμολογούσης ἔχειν, τὸ δὲ ζωνάριον καὶ τὰ λοιπά, ἅπερ ἀπῃτεῖτο, παντελῶς ἀρνουμένης αὐτῆς καὶ τοῦτο μόνον εἰπούσης περὶ τοῦ ζωναρίου, ὡς οὐ δέδωκεν αὕτη πρὸς τὸν υἱὸν αὐτῆς ἐκεῖνον, ἀλλ' οἴκοθεν ἐκεῖνος καὶ ἠγόρασεν αὐτὸ καὶ ἐνεχυρίασεν, αὐτῆς μὴ ἐχούσης εἴδησίν τινα περὶ τούτου, τὸ δέ γε σύμφωνον αὖθις, ὃ προῆγεν ὑπὲρ ἑαυτῆς ἡ Μαρία, οὐ τὴν εἰρημένην Καλήν, τὴν πενθερὰν αὐτῆς, εἶχεν ὑποσχομένην τι τῷ υἱῷ αὐτῆς ἐκείνῳ, ἀλλὰ καταγεγραμμένα μόνον εἶχε τὰ εἴδη ταῦτα

ὡς βίον ἐκείνου, διέγνω ἡ μετριότης ἡμῶν, ἵνα ὅπερ ὁμολογεῖ ἀρτίως ὀσπήτιον ἡ πενθερὰ αὐτῆς, ἀποδῷ τοῦτο πρὸς τὴν νύμφην αὐτῆς καὶ τὸ παιδίον τοῦ ἀποιχομένου ἐκείνου, οὗτοι γὰρ ὀφείλουσι κληρονομῆσαι καὶ λαβεῖν πάντα τὰ εὑρεθέντα ἐκείνου, ἡ μέν, ὡς ὕφεσιν ἔχουσα καὶ φθορὰν εἰς τὴν προῖκα αὐτῆς, τὸ δέ, ὡς παιδίον ἐκείνου, ἐγγύτερον ὂν πρὸς κληρονομίαν αὐτοῦ, ὅθεν καὶ ὀφείλει δοῦναι τὸ εἰρημένον ὀσπήτιον μετὰ πάσης τῆς νομῆς αὐτοῦ καὶ τῆς περιοχῆς ἡ εἰρημένη Καλὴ πρὸς τὴν νύμφην αὐτῆς καὶ τὸ παιδίον, καθὼς ἄνωθεν εἴρηται· περὶ δέ γε τοῦ ζωναρίου καὶ τῶν ἄλλων εἰδῶν ὧν ἀπῃτεῖτο ἡ εἰρημένη Καλή, ὀφείλει ἀνενόχλητος εἶναι καὶ ἀνεπηρέαστος, ἐπεὶ οὐκ ἀπεδείχθη, ὅτι ἢ τὸ ζωνάριον ἐνεχυρίασεν αὕτη ἢ ὑπεσχέθη δοῦναί τι τῷ υἱῷ αὐτῆς ἐκείνῳ. τούτου γὰρ χάριν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἀπολέλυται δι' ἀσφάλειαν †.

## DCXL. Sine anno.

*Sententia de venditione domus.*

† Ἐπεὶ Ἄννα ἡ Χρυσιμίνα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, προκαθημένην συνοδικῶς, ἔγκλησιν ἐποιήσατο κατὰ ἱερέως Μανουὴλ τοῦ Ἀποκαύκου περὶ τοῦ ὀσπητίου, ὃ διέπρασεν αὕτη πρὸ καιροῦ τινος πρὸς αὐτόν, τοῦ περὶ τὸν αἰγιαλὸν τῆς βασιλικῆς πόλης διακειμένου, πλησίον τοῦ ἱεροῦ καὶ θείου ναοῦ τοῦ ἁγίου μου ἐνδόξου προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, λέγουσα, ὡς οὔτε ὑπέρπυρα ἔλαβεν ἐξ αὐτοῦ χάριν τοῦ ὀσπητίου τούτου, οὔτε πρατήριον γράμμα πεποίηκεν αὕτη πρὸς αὐτόν· καὶ διαμηνυθέντος καὶ τοῦ πρεσβυτέρου καὶ παραγενομένου καὶ τούτων ἀκροασαμένου, ἐπεὶ καὶ πρατήριον ἀνεφάνισεν αὐτῆς, πάντοθεν ἰσχυρὸν καὶ μάρτυρας ἀξιοπίστους ὁμολογοῦντας τὴν πρᾶσιν ταύτην καθαρῶς καὶ ἀδόλως γενέσθαι, ἀλλὰ δὴ καὶ ἡ μετριότης ἡμῶν τὴν τιμὴν τοῦ τοιούτου οἰκήματος ἀκριβῶς ἔμαθεν ὡς δικαία γέγονε καὶ ὑπὲρ αὐτῆς μᾶλλον τῆς Χρυσιμίνης ἢ τοῦ πρεσβυτέρου, διαγινώσκει καὶ ἀποφαίνεται, ἵνα κατέχῃ ὁ δηλωθεὶς πρεσβύτερος τὸ ὀσπήτιον τοῦτο κυρίως καὶ δεσποτικῶς, ἀναφαιρέτως καὶ ἀναποσπάστως, ἐπ' ἀδείας ἔχων καὶ ἐξουσίας αὐτός τε καὶ πάντες οἱ διάδοχοι καὶ κληρονόμοι αὐτοῦ ποιεῖν ἐπ' αὐτῷ ἅπαντα τὰ πρὸς βούλησιν, ἀνενόχλητος διατηρούμενος ἀπὸ τῆς Χρυσιμίνης καὶ παντὸς τοῦ μέρους αὐτῆς καὶ ἀνεπηρέαστος, ἅπαντα γὰρ ὅσα κεκίνη-

κεν ἀρτίως πρὸς ἀνατροπὴν τῆς τοιαύτης πράσεως, ἄδικα κατελογίσθησαν καὶ ψευδῆ, ὅθεν εἴτε τι τοιοῦτον ἀφ' ὧν εἶπεν ἀρτίως, εἴτε καὶ ἕτερον μέλλει ἐρεῖν, ἄκυρον ἔσται καὶ σαθρὸν, ὡς τὸ ἀρραγές τε καὶ βέβαιον ἐχούσης τῆς τοιαύτης ταυτησὶ πράσεως. τούτου γὰρ χάριν καὶ τὸ παρὸν ἀπολέλοται γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCXLI. (6909—1401) maio. ind. IX.

*Promissio Manuelis Sophi.*

† Ἐπεὶ διότι ηὐλόγησα ἄνηβον καὶ χωρὶς βούλλης, καθυπεβλήθην ἀργίᾳ παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ἀξιώσει δὲ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν δεσποτῶν μου, ἀλλὰ δὴ καὶ τῶν τιμιωτάτων ἀρχόντων τῆς ἐκκλησίας συνεπάθησέ μοι, ἵνα ἱερουργῶ, ἤδη ποιῶ τὴν παροῦσάν μου ὑπόσχεσιν ἔμπροσθεν τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ, δι' ἧς καὶ λέγω, ὡς εἴπερ τι ἀπὸ τοῦ νῦν τοιοῦτον ποιήσω ἢ χωρὶς τοῦ ὁρισμοῦ τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ἢ τοῦ μεγάλου χαρτοφύλακος, ἵνα καθαιρῶμαι παραυτίκα χωρὶς τῆς οἱασοῦν δικαιολογίας ἀνιλεῶς, ἔτι δὲ πολιτεύωμαι καὶ ἀλλοτρόπως, ὡς προσήκει ἱερεῖ. τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσά μου ἔγγραφος ὑπόσχεσις, ὑπογραφεῖσα καὶ παρ' ἐμοῦ δι' ἀσφάλειαν. μηνὶ μαΐῳ ἰνδ. θ' †.

† Μανουὴλ ἱερεὺς ὁ Σόφος στέργων ὑπέγραψα †.

## DCXLII. (9609—1401) maio. ind. IX.

*Professio fidei Tziani Gratzia.*

† Ὁμολογία τοῦ ἀπὸ Λατίνων ἐλθόντος Τζιανὴ Γρατζία †.

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. ἀμήν. ἔτι στέργω καὶ τὸ ἅγιον σύμβολον κ. τ. λ.

## DCXLIII. (6909—1401) maio. ind. IX.

*Sententia de sacerdote Gabra.*

† Μηνὶ μαΐῳ ἰνδ. θ', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνεδριαζόντων τῇ μεγάλῃ

ἁγιωσύνῃ αὐτοῦ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Γαγγρῶν, τοῦ Σεβερίνου καὶ τοῦ Μηδείας, παρακαθημένων τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων, παρισταμένων θεοφιλεστάτων δεσποτικῶν ἀρχόντων, προσήχθη ἱερεὺς ὁ Γαβρᾶς, ὃς ἀλοὺς συστησάμενος ἐν ἀγνοίᾳ τετραγαμίαν τὴν τοῦ πρωτοστράτορος παντελεῖ ἀργίᾳ καθυπεβλήθη παρὰ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, καὶ ἐζητήθη ἐξετασθῆναι τὸ κατ' αὐτόν. ἐπεὶ οὖν εὗρεν ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, ἐξ ὁμολογίας Καντακουζηνοῦ τοῦ Φακρασῆ, ὡς αὐτὸς οὗτος ἦν ὁ ἐξαπατήσας τὸν πρεσβύτερον συστήσασθαι τὸ τοιοῦτον συνοικέσιον, πρότερον μεθύσας οἴνῳ αὐτόν, ἔπειτα καὶ χάρτην αὐτῷ ὑποδείξας, ὡς δῆθεν βοῦλλαν εἰληφώς, ἐβάλετο μὲν ἀναρτῆσαι τὸ περὶ τούτου, ἄχρις ἂν ὁ τέλειος τῶν ἀρχιερέων ἀριθμὸς ὁ κατὰ τῶν πρεσβυτέρων παραγένηται, ἄνευ γὰρ τούτου καὶ μόνου ἀσύγγνωστον ἦν τὸ πταῖσμα τοῦ πρεσβυτέρου, καὶ οὐδὲ τῆς τυχούσης ἐξετάσεως ἐδέετο ἄν, ὃ γὰρ ἅπαξ ἀπέκοψαν οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, περὶ τούτου αὖθις οὐ δίκαιον πολυπραγμονεῖν. τῶν δὲ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων ἐγκειμένων καὶ δεομένων τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ περὶ τοῦ πρεσβυτέρου, ἐνέδωκεν ἑκάστῳ γνωμοδοτῆσαι περὶ τοῦ γεγονότος, μαθόντι, ὅπως τε ὁ πρεσβύτερος ἠπατήθη, καὶ ὅτι καὶ παρὰ κτήτορος αὐτοῦ καὶ οἱονεὶ δεσπότου καὶ κηδεμόνος. ἠρωτήθη οὖν κατὰ τὸ ἔθος παρὰ τοῦ τιμιωτάτου μεγάλου χαρτοφύλακος ὁ ἱερώτατος μητροπολίτης Κυζίκου, καὶ εἶπεν, ὡς οὐχ εὑρίσκω τὸν πρεσβύτερον καταφρονητήν, ἵνα καὶ αὐτὸς καθαιρέσει τοῦτον ὑποβάλλω, κατὰ τοὺς θείους καὶ ἱεροὺς κανόνας, ἀλλ' ἐξαπατηθέντα παρὰ ἀνδρὸς εὐγενοῦς καὶ πιθανοῦ περὶ τὸ λέγειν, ὡς ἴσασιν ἅπαντες, καὶ κτήτορος αὐτοῦ· ὁ γὰρ τόμος τῆς ἑνώσεως οὕτω φησὶ περὶ τῆς τετραγαμίας, ὡς εἴ τις τολμήσει, αὐτὸς δὲ οὐκ ἐτόλμησεν, ἀλλ' ἠπατήθη, διὸ καὶ συγγνώμης αὐτὸν καὶ συγχωρήσεως ἀξιῶ, πλὴν ἐπειδὴ οἴνῳ τὰς φρένας διασεισθεὶς ἠπατήθη, δίδωμι τούτῳ κανόνα, ὡς ἂν ἀπέχῃ τοῦ οἴνου μέχρι καὶ χρόνου ἑνός, ποιῇ δὲ καὶ καθ' ἑκάστην ἡμέραν μετανοίας πεντήκοντα, ἄχρις ἂν ὁ νῦν χρόνος παρέλθοι. τὰ αὐτὰ τούτῳ καὶ ὁ ἱερώτατος μητροπολίτης Γαγγρῶν ἐρωτηθεὶς εἶπε. ὁ δὲ ἱερώτατος μητροπολίτης Σεβερίνου ἔτεμε μὲν τὸν χρόνον, ἑξάμηνον γὰρ εἶπεν ἀπέχειν οἴνου, ηὔξησε δὲ τὰς μετανοίας, ἑκατὸν γὰρ εἶπε ποιεῖν καθ' ἑκάστην ἡμέραν. ὁ δὲ

ἱερώτατος μητροπολίτης Μηδείας εἶπεν, ὡς ἐπειδὴ οὐδέποτε ἄλλοτε μέχρι τοῦ νῦν ὁ πρεσβύτερος ἐφάνη καταφρονητής, οὐδὲ ἐτόλμησέ τι τοιοῦτον ἄχρι τοῦ νῦν, ὃ δὴ ἐποίησε νῦν, ἐξαπατηθεὶς φαίνεται ποιήσας αὐτό, ὡς ἔχομεν ἀπὸ ὁμολογίας αὐτοῦ τοῦ ἀπατήσαντος, συγγνώμης αὐτὸν ἀξιῶ διὰ ταῦτα καὶ συγχωρήσεως, πλὴν ἵνα ἐν τῷ ἱερῷ κώδικι ἐγγράφηται, τοῦ λοιποῦ μὴ φωραθήσεσθαι εἴς τι τοιοῦτον, εἰ δ' οὖν, τελέως τοῦ χοροῦ τῶν ἱερέων ἐκκόπτεσθαι· περὶ δὲ τοῦ κανόνος ἐπειδὴ πτωχός ἐστιν, ἐντὸς μὲν τοῦ οἰκήματος αὐτοῦ οὐκ ὀφείλει πιεῖν οἶνον ἄχρι καὶ χρόνου ἑνός, εἰ προσκληθείη δὲ διὰ τὴν τέχνην αὐτοῦ, οἰκοδόμος γάρ ἐστι, ἓν καὶ μόνον ὀφείλει πιεῖν καννίον δι' ὅλης τῆς ἡμέρας, ποιεῖν δὲ καὶ παρακλήσεις ὑπὲρ ἑαυτοῦ τε καὶ τοῦ κοινοῦ ἐφ' ἑκάστης ἡμέρας δύο, πρωΐ τε καὶ ἑσπέρας, ποιῇ δὲ καὶ μετανοίας ἑκατὸν πεντήκοντα. ὁ δὲ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, διέγνω καὶ ἀπεφήνατο, ὡς ἐπειδὴ τὸ πταῖσμα τοῦ ἱερέως οὐκ ἐκ τόλμης αὐτοῦ καὶ μετὰ φρονήσεως φαίνεται γεγενημένον, ἀλλ' ἐξ ἀπροσεξίας αὐτοῦ καὶ ἀπάτης, διὸ καὶ συγγνώμης ἀξιοῦται καὶ συγχωρήσεως παρὰ τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τό γε νῦν ἔχον ἔχει τοῦτο καὶ ἡ μετριότης ἡμῶν συγκεχωρημένον, πλὴν ἐπειδὴ οὐκ ἔστι τέλειος ὁ τῶν ἀρχιερέων ἀριθμός, ἐλλείπουσι γὰρ δύο, ἵνα ᾖ τὸ κατ' αὐτὸν ἀνηρτημένον εἰς τὸ ἔμπροσθεν, καὶ συνόδου τελείας συγκροτηθείσης λαληθῇ αὖθις τὸ κατ' αὐτὸν καὶ τὸ δόξαν αὐτῇ τότε τὸ κῦρος ἔχειν καὶ βέβαιον εἰς τὸ ἔμπροσθεν. καὶ δι' ἀσφάλειαν καὶ τὴν εἰς τὸ ἑξῆς τῶν γεγενημένων δήλωσιν ἐσημειώθη ἐνταῦθα †.

## DCXLIV. (6909—1401) maio. ind. IX.

*Professio fidei Mariae, uxoris Tzane Catzamuci.*

† Ὁμολογία Μαρίας τῆς τοῦ Κατζαμούκου †.

| Σίγνον | Μαρίας τῆς τοῦ |
|---|---|
| Τζανε | Κατζαμούκου. |

† Πιστεύω εἰς ἕνα θεὸν κ. τ. λ. †.

## DCXLV. 6909 (1400—1401) ind. IX.

*Nominatio metropolitae Gangrorum.*

† Ἡ μετριότης ἡμῶν προύργου παντὸς ποιεῖται τὸ τὰς ὑπ' αὐτὴν τελούσας ἁγιωτάτας τοῦ Χριστοῦ ἐκκλησίας ποιμένων γνησίων καὶ προστατῶν εὐμοιρεῖν, ἅτε δὴ τοὺς τῆς οἰκουμενικῆς ἐκκλησίας οἴακας ἀναδεξαμένη κρίμασι θειοτέροις παρὰ θεοῦ καὶ ὀφείλουσα τῶν ἁπανταχοῦ εὑρισκομένων χριστιανῶν τὴν διόρθωσιν καὶ τὸν ἁγιασμὸν καὶ τὴν ψυχικὴν σωτηρίαν περιποιεῖσθαι, τοῦτο δὴ πάντως ἔσται τὸ ταῖς χηρευούσαις ἐκκλησίαις ποιμένας ἐγκαθιστᾶν, δυναμένους τὰ ψυχωφελῆ καὶ σωτήρια ἐκδιδάσκειν καὶ ἐπὶ τὴν πνευματικὴν καὶ θείαν μεταρρυθμίζειν τὸν ὑπ' αὐτοὺς χριστώνυμον τοῦ κυρίου λαὸν προκοπήν τε καὶ αὔξησιν. ἐπεὶ οὖν καὶ τῆς ἁγιωτάτης μητροπόλεως Γάγγρας θανάτῳ τὸν οἰκεῖον ἀποβαλούσης ποιμένα, ὁ ἐκεῖσε ἅπας εὑρισκόμενος τοῦ κυρίου λαὸς ἐδεήθησαν δι' οἰκείων γραμμάτων τῆς ἡμῶν μετριότητος, ὥστε προστάτην αὐτοῖς καὶ ἀρχιερέα ἐγκαταστῆσαι, διὰ τὸ πολλαχόθεν αὐτοὺς ἐπηρεάζεσθαι καὶ κινδυνεύειν περὶ τὰ καιριώτερα παρὰ τῶν ἀλλοφύλων, μὴ εὐποροῦντας διδασκαλίας καὶ εἰσηγήσεως πνευματικῆς προστάτου (φιλοῦσι γὰρ ὡς ἐπίπαν οἱ ἄνθρωποι πρὸς κακίαν ῥᾳδίως καταφέρεσθαι μᾶλλον ἢ πρὸς ἀρετὴν ἐπανάγεσθαι, καὶ ταῦτ' ὑπὸ βαρβάροις ὄντες) δεῖν ἔκρινε καὶ ἡ μετριότης ἡμῶν, ἐπὶ πλέον μὴ ἀποίμαντον εὑρίσκεσθαι τὴν τοιαύτην ἐκκλησίαν, ὡς οὐ μικρᾶς βλάβης καὶ ζημίας ψυχικῆς ἐντεῦθεν ἐσομένης αὐτῇ, ὅθεν καὶ προσκαλεσαμένη τὴν περὶ αὐτὴν εὑρισκομένην τῶν ἀρχιερέων ὁμήγυριν, ψήφους γενέσθαι ἐν αὐτῇ ὡς ἔθος παρεκελεύσατο, ἧς δὴ καὶ συγκροτηθείσης, παρόντων τοῦ Κυζίκου, τοῦ Σεβερίνου, τοῦ Μηδείας, συναινέσαντος καὶ δι' ἐγγράφου γνώμης τοῦ Γοτθίας, καὶ ἐκλεξαμένων τὸν ἀπεκεῖσε ἀποσταλέντα πρεσβύτερον κῦρ Γεώργιον τὸν Κοντοφὲ ὡς καλὸν ἄνθρωπον καὶ ἐνάρετον καὶ πολλοῖς πνευματικοῖς προτερήμασι κεκοσμημένον παρὰ θεοῦ, τοῦτον καὶ ἡ μετριότης ἡμῶν ὡς καλῶς τε καὶ προσηκόντως δοκιμασθέντα καὶ ψηφισθέντα, τῇ ἐπικλήσει καὶ δυνάμει καὶ χάριτι τοῦ παναγίου καὶ τελεταρχικοῦ πνεύματος, γνήσιον μητροπολίτην Γάγγρας κεχειροτόνηκε κ. τ. λ. καὶ μήτε τῷ τῆς ἐπισκοπῆς ἐπαίρεσθαι ἀξιώματι, ὁ γὰρ ἐπίσκοπος ὥσπερ ἀνάγκην ἔχει μὴ ἐφίεσθαι τῆς ἀρχῆς πρὸ τοῦ τυχεῖν

αὐτῆς, οὕτως ἐπιλαβόμενος αὐτῆς ὁπωσδήποτε τῷ θεῷ τοῦτο δόξαν, ἡ μετριότης ὀφείλει γίνεσθαι, μητ' αὖ ἀνειμένος εἶναι καὶ ὕπτιος καὶ ἀναπεπτωκώς, προδοσία γὰρ τοῦτο τῆς ἀρχῆς τῆς πνευματικῆς, ἀλλὰ νῦν μὲν ἥμερος καὶ πρᾶος εἶναι ὀφείλει, νῦν δ' ἀδούλωτος καὶ σφοδρὸς καὶ φοβερὸς καὶ ἀδέκαστος· ὅσα μὲν γὰρ τῶν ἁμαρτημάτων εἰς ἑαυτὸν ἀναφέρεται καὶ μόνον, ἀφιέναι δεῖ ταῦτα τοῖς ἁμαρτάνουσι καὶ συγγινώσκειν αὐτοὺς, ἐπεὶ καὶ ἡμεῖς φιλανθρωπίας χρῄζομεν, ὅσα δὲ εἰς τὴν ἀρχὴν ἀνατρέχει, καὶ χείρων ἂν ἴσως ἑαυτοῦ ὁ ἁμαρτάνων γένοιτο, εἰ μὴ παιδευθείη, ταῦτα τέμνειν σὺν αὐστηρίᾳ κατὰ τοὺς ἀρίστους τῶν ἰατρῶν, ἵνα μὴ χείρω τὰ ἕλκη γένωνται, κατὰ τῶν ἀπειθῶν διανίστασθαι πάσῃ δυνάμει· ἐπίστηθι γάρ φησιν ὁ μακάριος Παῦλος, ἐπίπληξον, εὐκαίρως, ἀκαίρως, θυμὸν ἀρχόντων μὴ ὑποπτήσσων ἢ καιρῶν μεταβολὰς ἢ τῆς ἰδίας ἀρχῆς ἀφαίρεσιν κ. τ. λ. τοῖς ἱεροῖς κειμηλίοις τῆς ἐκκλησίας μεγάλην καταβάλλεσθαι πρόνοιαν, ὥστε τὰ μὲν κινητὰ εἰς κόσμον τῆς ἐκκλησίας ἀσινῆ διασώζεσθαι, εἰ δὲ οἷόν τε καὶ αὔξησιν ἐπιδέξασθαι, τῶν δ' ἀκινήτων ὅσα μὲν εἰς τὴν τῆς ἐκκλησίας συντελῆ χρείαν, ἀνεκποίητα συντηρεῖν, τὰ δ' ἐμφυτευματικῶς τισιν ἐγχειριζόμενα κανονικῶς τούτοις ἐγχειρίζεσθαι κ. τ. λ. ἐπὶ τούτῳ μὲν καὶ ἡ παροῦσα συνοδικὴ πρᾶξις τῆς ἡμῶν μετριότητος ἀπολέλυται αὐτῷ δὴ τῷ ἱερωτάτῳ μητροπολίτῃ Γαγγρῶν, ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Παφλαγωνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῷ, κυρῷ Γερμανῷ δι' ἀσφάλειαν, ἔτους ͵ϛ ϡ θ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

## DCXLVI. 6909 (1400—1401) ind. IX.

*Synodi sententia de venditione domus.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Μανουὴλ ὁ Βουζηνός, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἀνέφερεν, ὡς τῇ ἐνδείᾳ καὶ τῇ τοῦ καιροῦ ἀνάγκῃ διὰ τὸν ἐκ τῆς μάχης ἀποκλεισμὸν εἰς ἐσχάτην ἀπορίαν συνελαθεὶς καὶ πάντα, ὅσα εἶχε, προικῷά τε καὶ πατρικά, τὰ

μὲν πεπρακώς, τὰ δὲ ἐνεχυρασάμενος οὐδὲν ἕτερον ἔχειν εἶπεν, εἰ μὴ τὰ προικῷα αὐτοῦ ὀσπήτια, ἃ καὶ ἐζήτει ἔνδοσιν λαβεῖν, διὰ τὸ ἔτι ἀφήλικα εἶναι τὴν γυναῖκα αὐτοῦ, καὶ πωλῆσαι πρὸς τὸν ἔξωθεν ἐλθόντα Ἀργυρόπουλον, ἐπεὶ μετ' αὐτοῦ συνεβιβάσθη, εἰς ὑπέρπυρα διακόσια ἑβδομήκοντα· ἡ γοῦν μετριότης ἡμῶν, πρόνοιαν ποιουμένη τῆς ἀφήλικος γυναικὸς τοῦ Βουζηνοῦ, ἐζήτησεν ἀκριβῶς, εἴπερ ἔνι δυνατὸν αὐτοὺς ἄλλοθεν τραφῆναι, καὶ εἰ περίεστιν αὐτοῖς ἄλλος τις πόρος καὶ πράγματα· εὗρεν οὖν, ὡς οὔτε ὁ Βουζηνὸς εἶχεν ἀφ' ἑαυτοῦ πράγματα, οὔτε μὴν προικῷα πράγματα καὶ ὑπέρπυρα ἔλαβε, πλὴν γὰρ κοσμίων ὀλίγων, καὶ τῶν ῥηθέντων ὀσπητίων οὐδὲν ἕτερον ἐδόθη αὐτῷ· ἄτοπον οὖν ἔδοξεν ἡμῖν, ἀντιποιεῖσθαι μὲν τοῦ κτήματος τῆς ἀφήλικος, αὐτὴν δὲ καὶ τὸν ἄνδρα λιμῷ διαφθαρῆναι καὶ τὰ κινητὰ αὐτῶν ἀπολέσαι καὶ τόκων παρανάλωμα γενέσθαι. διὰ ταύτας μὲν δὴ τὰς ἀνάγκας ἐνέδωκε μὲν ἡ μετριότης ἡμῶν, ταῦτα διαπραθῆναι, πλὴν ἐπὶ δικαίῳ τιμήματι καί, ὅσον ἐστὶ δυνατόν, τὸ πλεῖον εὑρεῖν, ὅθεν καὶ ἀπεφήνατο εἰς τὸ κάντος τὸ τοιοῦτον τίμημα αὐτῶν λαλεῖσθαι ἡμέρας ὀκτώ, καὶ εἴπερ οὐχ εὑρεθῇ τις πλεῖον διδούς, τότε τελειωθῆναι τὴν τοιαύτην πρᾶσιν εἰς τὸν Ἀργυρόπουλον. τῶν οὖν ὀκτὼ ἡμερῶν τοῦ κάντους παρελθουσῶν οὐ μόνον εὑρέθη τις τὸ οἱονοῦν πλεῖον διδούς, ἀλλὰ καὶ ὁ Ἀργυρόπουλος μεταμεληθεὶς παρῃτήσατο καὶ ὃν ἔδωκεν ἀρραβῶνα ὑπὲρ τῶν τοιούτων ὀσπητίων· ἐσχάτῃ τοίνυν ἀπορίᾳ συνελαθεὶς ὁ Βουζηνὸς τῷ μάλιστα τὰ μὲν οἰκήματα πολλλῆς ἐπιμελείας καὶ ἀνακτίσεως δεῖσθαι διὰ τὸ καὶ μέρος αὐτῶν κινδυνεύειν καταπεσεῖν, αὐτὸς δ' οὐ μόνον αὐτοῖς βοηθῆσαι δύνασθαι, ἀλλὰ καὶ ἐκ τούτων τραφήσεσθαι προσδοκᾶν καὶ τὰ ἐνέχυρα ἐλευθερῶσαι τὰ αὐτοῦ, ἐπεὶ εὑρέθη πάλιν ὁ ἀπὸ τῶν πολιτικῶν ἀρχόντων, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Θωμᾶς ὁ Καλλοκῦρις, τὴν αὐτὴν τιμὴν διδοὺς ὑπὲρ τῶν τοιούτων οἰκημάτων, ἣν πρώτην καὶ ὁ Ἀργυρόπουλος, καὶ ἧς εἰς τὸ κάντος λαληθείσης οὐδεμία αὔξησις εὑρέθη, παρεγένοντο δὲ συνοδικῶς ὅ τε Βουζηνὸς καὶ ὁ Καλλοκῦρις, καὶ προτροπῇ καὶ ἐνδόσει τῆς ἡμῶν μετριότητος δέδωκεν ὁ Καλλοκῦρις τὰ διακόσια ἑβδομήκοντα ὑπέρπυρα, ἃ καὶ μετὰ συνοδικῆς διακρίσεως αὐτῆς τινὰ μὲν ἐδόθησαν εἰς χρέα τοῦ Βουζηνοῦ, τὰ δὲ λοιπὰ ἐδόθησαν πρὸς αὐτοὺς μετὰ προσδιορισμοῦ, ὅπως μὲν δι' αὐτῶν ἐνεργῶσι τὰ πρὸς ζωάρκειαν αὐτῶν, καὶ πρατήριον γράμμα

προέβη, ἡμετέρᾳ καὶ αὐτοδιαγνώσει, παρά τε τῆς μάμμης τῶν παίδων τῆς Φιλανθρωπινῆς καὶ παρὰ τοῦ Βουζηνοῦ καὶ τῆς αὐτοῦ γυναικός. ἐπεὶ ταῦτα κατὰ τοῦτον προέβη τὸν τρόπον, ἡ μετριότης ἡμῶν τὸ στέργον ἔχειν καὶ βέβαιον καὶ πάντα ἐρρωμένον καὶ ἀκατάλυτον τὴν παροῦσαν πρᾶξιν διαγινώσκει καὶ ἀποφαίνεται καὶ κατέχειν τὸν δηλωθέντα κῦρ Θωμᾶν τὸν Καλλοκῦριν τὰ ῥηθέντα ὀσπήτια ἀνενοχλήτως πάντη καὶ ἀνεπηρεάστως, μηδένα λόγον εὑρήσων ποτὲ ἐπὶ τῇ κατοχῇ καὶ νομῇ καὶ δεσποτείᾳ αὐτῶν ἢ παρά τινος τῶν ἁπάντων ἢ παρὰ τῆς τοῦ Βουζηνοῦ γυναικός, κυρᾶς Θεοδώρας Βουζηνῆς τῆς Φιλανθρωπινῆς, προβαλλομένης τυχὸν ἢ ἀφηλικιότητα (ἔμπροσθεν γὰρ τῆς ἡμῶν μετριότητος διεκρίθη καὶ προέβη ἡ πρᾶσις ὑπὲρ αὐτῆς) ἢ ἀναργυρίαν (ἅπαν γὰρ τὸ ῥηθὲν τίμημα ὁ Καλλοκῦρις συνοδικῶς κατεβάλετο) ἢ ὕφεσιν τοῦ τιμήματος, καὶ τούτου γὰρ πρόνοιαν ἐποιήσαμεν, λαλεῖσθαι αὐτὸ ἡμέρας ὀκτὼ ἀποφηνάμενοι, καὶ πλέον οὐδ' ὁτιοῦν εὑρόντες, μᾶλλον μὲν οὖν καὶ τοῦτο ἀπολέσαντες, τοῦ Ἀργυροπούλου μεταγνόντος, καθὼς εἴρηται. ἕξει τοίνυν ὁ ῥηθεὶς Καλοκῦρις ἕνεκεν τῶν τοιούτων οἰκημάτων τὸ ἀνενόχλητον ἐκ πάντων καὶ ἀνεπηρέαστον. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ βεβαίωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος, καὶ ἐπεδόθη τῷ ἀπὸ τῶν τῆς πολιτείας ἀρχόντων, κῦρ Θωμᾷ τῷ Καλλοκύρι, εἰς ἀσφάλειαν. ἐν ἔτει ,ϛ ϡ θ' †.

## DCXLVII. (6909—1401) maio. ind. IX.

*Metropolita Ungrovlachiae iubetur Isidorum habere sacerdotem.*

† Ἱερώτατε μητροπολῖτα Οὐγγροβλαχίας, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Οὐγγρίας καὶ Πλαγηνῶν, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. ἐνταῦθα ἦλθεν ὁ παρὼν ἀπὸ τῆς Ῥωσοβλαχίας ἱερεύς, ὡς ἀνέφερεν, Ἰσίδωρος, καὶ ἀνέφερεν, ὅτι ἡ σὴ ἱερότης ἔχει αὐτὸν ἀργὸν διὰ τὴν ἀπείθειαν τῶν Ῥωσοβλάχων καὶ τὸν ἐκφωνηθέντα κατὰ πάντων ἐκείνων ἀφορισμόν, διότι οὐκ ἐδέχοντο τὸν μητροπολίτην αὐτῶν, κῦρ Ἱερεμίαν, ἀλλὰ ἠπείθησαν καὶ ἐδίωξαν αὐτόν, διὸ καὶ ἠφορίσθησαν· εἴπερ οὖν ἔνι ἡ αἰτία αὕτη μόνη, καὶ οὐδεμία ἄλλη, ὡς ἀνέφερε, καὶ πρότερον διεκρίθη συνοδικῶς, ὅ τε λαὸς ἅπας συνεχωρήθη συνοδικῶς καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ μόνοι οἱ ἄρχοντες, ὡς

αἴτιοι τῆς ἀπειθείας, ἐνεκαλοῦντο, καὶ οἱ ἐπίσκοποι ὑπὸ ἀργίαν ὑπέμειναν, μέχρις ἂν συνοδικῶς ἐξετασθῇ τὸ κατ' αὐτῶν, καὶ ὡς ἂν δόξῃ καὶ περὶ ἐκείνων· ὁ δὲ λαὸς ἅπας καὶ οἱ ἱερεῖς συνεχωρήθησαν καὶ πρώην, καὶ νῦν οὕτως ἔδοξε συνοδικῶς, λαληθέντος τοῦ περὶ τούτου. εἴπερ οὖν οὐδὲν ἕτερόν ἐστιν ἐμποδίζον αὐτῷ τὴν ἱερωσύνην, εἰ μὴ τὸ παρὸν, ὅσον ἀνέφερε, καὶ ὅσον παραδηλοῦμέν σοι, συνεχωρήσαμεν αὐτῷ τὴν ἱερωσύνην, καὶ ἐνεργείτω καὶ αὐτὸς, καὶ ὁ υἱὸς αὐτοῦ Πέτρος τὸν τοῦ ἀναγνώστου βαθμὸν ἐκπληρούτω, εἴπερ ἐχειροτονήθησαν καὶ παρὰ τοῦ Ἰωσὴφ τοῦ ἐπισκόπου, εἰ γὰρ καὶ ὑπὸ ἔγκλημα ἐκεῖνος, ἀλλ' οὐκ ἀνίερος, ὥστε ἐμποδίζεσθαι καὶ τὰς χειροτονίας αὐτοῦ. εἴπερ οὖν οὕτως ἔχει, ὡς ἀνέφερε, καὶ τοῦτο μόνον ἐστὶ, διὸ ἐκώλυσας αὐτῷ τὴν ἱερωσύνην, συγχώρησον καὶ σὺ ταύτην, ἐπεὶ οὕτω συνοδικῶς διεκρίθη. ὁ αὐτὸς ἀνέφερεν, ὅτι εἰς τὴν ἐνορίαν σου πνευματικῶν πατέρων μὴ εὑρισκομένων, ἀναγκάζονται οἱ ἄνθρωποι καὶ προσέρχονται τοῖς ἱερεῦσιν ἐξομολογεῖσθαι, οἱ δὲ διότι ἀνάθεσιν οὐκ ἔχουσιν ἐνταλτικὴν ἀπό σου, ἀποδιώκουσιν αὐτοὺς, καὶ ἀπομένουσιν οἱ ἄνθρωποι ἀνεξομολόγητοι· ἐκεῖνοι μὲν οὖν οἱ σοὶ ἱερεῖς λέγω καλῶς ποιοῦσι, μὴ δεχόμενοι τὰς ἐξομολογήσεις αὐτῶν, μὴ ἐνταλθέντος αὐτοῖς παρὰ τῆς σῆς ἱερότητος, σὺ δὲ ὀφείλεις θεῷ τὸν ὑπὲρ τούτων λόγον, καὶ ποίησον περὶ τούτου τὴν προσήκουσαν διόρθωσιν τῷ πράγματι, καὶ ἐπίστησον ἑκάστῃ χώρᾳ τῆς ὑπὸ σὲ ἐνορίας πατέρα πνευματικὸν τὸν δοκιμώτερον ἀφ' ὧν ἔχεις, ὡς ἂν ἐπιδέχωνται τὰς τῶν προσερχομένων αὐτοῖς ἐξομολογήσεις, καὶ ποίησον καὶ τοῦτο ἐπιμελῶς, ἐπεὶ τῶν ἀναγκαιοτάτων ἐστὶ τῇ τῶν χριστιανῶν ζωῇ τε καὶ πολιτείᾳ. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. θ' †.

## DCXLVIII. (6910—1402) iulio. ind. X.

*Ioanni Melidonae donatur locus prope ecclesiam Evang. Ioannis Cpoli.*

† Ὁ ἀπὸ τῶν πολιτῶν ἄρχων, κῦρ Ἰωάννης ὁ Μελιδόνης, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, τρόπῳ φιλοθέῳ κινηθεὶς, παρέλαβε πρὸ καιροῦ, ἐνδόσει καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος, τὸν πάνσεπτον καὶ θεῖον ναὸν τὸν ἐπ' ὀνόματι τιμώμενον τοῦ ἁγίου ἐνδόξου πανευφήμου ἀποστόλου καὶ οἱ εὐαγγελιστοῦ Ἰωάννου τοῦ θεολό-

γου, καὶ κατέχει αὐτὸν λόγῳ κτητορείας. τῆς οὖν πτώσεως τοῦ δυσικοῦ μέρους αὐτοῦ συμβάσης, καὶ αὐτὸς οὐ μόνον ἐξόδους πολλάς, ἀλλὰ καὶ κόπους ὅτι πλείστους εἰς τὴν τούτων ἀνάκτισιν κατεβάλετο, ῥόγαν τε ὑπὲρ ὑμνῳδίας καὶ ἄλλην ἔξοδον ὑπὲρ τῆς τοῦ θείου θυσιαστηρίου καλλονῆς ἱερεῖ δέδωκε, καὶ ἔκτοτε οὐ διαλείπει πᾶσαν ὑπὲρ αὐτοῦ ἐπιμέλειαν ἐνδεικνύμενος, ὅπως ἱερέως ἀκαταπαύστου εὐπορῇ. τοῦτο οὖν χωρίς τινος ἐτησίου προσόδου ἀδύνατόν ἐστι γίνεσθαι εἰδώς, ἐπεὶ τὸν τοῦ θείου ναοῦ τόπον τὸν περὶ τὸν Ἱππόδρομον ἰδών, εἰς ὃν πρότερον ἄνθρωποι ᾤκουν, τελοῦντες εἰς τὸν θεῖον ναόν, ἔρημον τῶν οἰκούντων, τῇ τοῦ καιροῦ ἀνωμαλίᾳ, καταστάντα, πλὴν ἑνὸς ἢ καὶ δύο περιλειφθέντων, οἷς δεδωκὼς τὴν τῆς ἀνακτίσεως αὐτῶν τιμὴν ἐξέωσε. τοῦτον οὖν ἰδὼν καὶ ἐξαιτησάμενος ἐπὶ τῷ λαβεῖν καὶ ἀνακαθᾶραι καὶ περιφράξαι καὶ κτῆμα αἰώνιον ἵστασθαι ποιῆσαι ὑπὲρ τοῦ θείου ναοῦ, τὴν πρόθεσιν αὐτοῦ καὶ τὸν ἀγαθὸν σκοπὸν καὶ τῆς ἡμῶν μετριότητος ἀποδεξαμένης, παρέχει αὐτῷ τοῦτον διὰ τοῦ παρόντος αὐτῆς γράμματος, δι' οὗ καὶ παρακελεύεται, ἵνα ἐκ τοῦ ἀπεντεῦθεν παραλάβῃ ὁ εἰρημένος Μελιδόνας ἅπαντα τὸν τοιοῦτον τόπον τὸν ἀπαντικρὺ τῶν στοῶν τοῦ θείου ναοῦ διακείμενον καὶ περιφράξαι αὐτὸν ἀπὸ τοῦ ἀνωφόρου μέχρι καὶ κατὰ τῆς δημοσίου στοᾶς, καὶ καλλιεργήσῃ καὶ ἀποκαταστήσῃ αὐτὸν εἶναι ἀναφαίρετον κτῆμα τοῦ θείου ναοῦ καὶ τὸ γεγονὸς κτῆμα κατέχειν αὐτὸν ἐφ' ὅρῳ πάσης τῆς αὐτοῦ ζωῆς, καὶ τὴν ἐξ αὐτοῦ περιερχομένην πρόσοδον ἐξοδιάζῃ ὑπὲρ τοῦ θείου ναοῦ τούτου, ἀλλὰ τῷ εἰρημένῳ κατέχων τρόπῳ τῆς ἐπὶ τὸ κρεῖσσον αὐτοῦ βελτιώσεώς τε καὶ αὐξήσεως φροντίζῃ, μήτε παρὰ τῶν προενοικούντων ἐν ταῖς στοαῖς καιροῦ καλοῦντος ἐπανελθόντων εὑρήσων τὴν οἱανοῦν διενόχλησιν ἢ ἐπήρειαν, μήτε παρ' ἄλλου τινὸς τῶν ἁπάντων, ἐπεὶ ἐπιστασίᾳ καὶ διακρίσει τῆς ἡμῶν μετριότητος παρέλαβε τοῦτο, συμφέρειν ὅτι πλεῖστα τῷ θείῳ ναῷ διακρινάσης· ὁμοίως ὀφείλει καὶ ὁ μετὰ θάνατον αὐτοῦ διαδεξόμενος τὴν κτητορείαν τοῦ θείου ναοῦ διακρίσει τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ πατριάρχου διαδέχεσθαι καὶ τὸ τοιοῦτον κτῆμα καὶ καλλιεργεῖν αὐτὸ ὑπὲρ τοῦ θείου ναοῦ. τούτου γὰρ χάριν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. ι' †.

## DCXLIX. (6909—1400) octobri. ind. IX.

*Controversia de fundo dirimitur.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Μάρκος Παλαιολόγος ὁ Ἰάγαρις, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα ἀνήνεγκεν, ὡς πλησίον τοῦ κήπου αὐτοῦ τοῦ ἐν τῷ Κυνηγῷ ἦσαν οἰκήματα τοῦ Μαυρομμάτου, ὅς ἔτι τῶν ὧδε ἀποδημεῖ, ἔτι δὲ καὶ τόπος κλήμασι πεφυτευμένος καὶ δένδροις, ὧν καταχαλασθέντων παρὰ τῆς γυναικαδέλφης αὐτοῦ, τῆς μοναχῆς ..... τῆς Πετραλειφίνης, καὶ ταῦτα κωλυομένης παρ' αὐτοῦ τοῦ Παλαιολόγου, ἐκριζωθέντων δὲ καὶ τῶν κλημάτων καὶ τῶν δένδρων παρ' αὐτῆς, ἐναπελείφθη ὁ τόπος ἔρημός τε καὶ ἄφετος καὶ πρὸς χρῆσιν τῶν παριόντων, ἐξ οὗ ζημίαν οὐ μικρὰν αὐτὸς ὑπομένων, ὡς τοῦ κηπωροῦ αὐτοῦ ἀποδρᾶσαι βουλομένου διὰ τὸ κλοπὴν ἐκεῖσε πολλάκις γίνεσθαι, καὶ αὐτοῦ δὲ τούτου ὀδυνωμένου, ὡς περιβλεπομένου ἐκεῖθεν παρὰ τῶν διερχομένων, εἰ μὴ περιφράξειε τὸν ἐκεῖσε τόπον τῶν οἰκημάτων ἀναγκασθείς, τρόχαλον ἀνέγειρε πρὸ καιροῦ, καὶ περιέφραξε τοῦτον, ἐξελίθαξε δὲ καί τινα ὕλην τὴν ἐμπεσοῦσαν τῷ τόπῳ τῶν οἰκημάτων, καὶ κατέσπειρεν αὐτὸν ἐπὶ προσδοκίᾳ, ὅπως ἐλθὼν ὁ τοῦ τόπου κύριος ὁ Μαυρομμάτης ἢ τὴν ἔξοδον αὐτοῦ ἀποδῷ καὶ ἀναλάβηται τὸν ἑαυτοῦ τόπον, περιπεφραγμένον καὶ κεκαθαρμένον, ἢ διαπωλήσῃ τοῦτον πρὸς αὐτόν, ἢ ἐπὶ τέλει ἐτησίῳ παραδῷ τοῦτον αὐτῷ, ἐπεὶ οὐκ ἔστι δυνατὸν, ἐξωτερικόν τινα εἰσελθεῖν ἐν αὐτῷ, οὔτε οἰκήματα πάλιν ἀνεγερθῆναι ἐπὶ τῷδε τῷ τόπῳ. τοῦ γοῦν καιροῦ τρέχοντος καὶ τοῦ Μαυρομμάτου μὴ ἐπανερχομένου, δεομένου δὲ καὶ τοῦ τόπου ἐπιστασίας τινός, διὰ τὸ τὸν Παλαιολόγον τὸν Ἰάγαριν ἀνακαθᾶραι βούλεσθαι τὸ τοιχεῖον, ὅ ἐστι μεταξὺ τοῦ Μαυρομμάτου καὶ τοῦ κήπου αὐτοῦ, ἐζήτησε καὶ παρεκάλεσεν, ὡς ἂν ἡ μετριότης ἡμῶν ἐξαποστείλῃ τοὺς ἐπιστατήσοντας τοῦτο, διαγνῷ δὲ καὶ περὶ τοῦ τόπου τῶν οἰκημάτων τοῦ Μαυρομμάτου, εἰ προσήκει τοῦτον κατέχεσθαι παρ' αὐτοῦ, ἀποδημοῦντος ἀρτίως, καθὼς εἴρηται, τοῦ Μαυρομμάτου, διαγνῷ δὲ καὶ περὶ τοῦ εἰσοδήματος, εἰ ἀνήκει ἐκείνῳ ἀπὸ τῆς ἀνακαθάρσεως καὶ τῆς σπορᾶς, ἣν κατεβάλετο ὁ Ἰάγαρις, ποῦ δίδοσθαι καὶ ὁπόσον δίδοσθαι, ἐπειδὴ πειρᾶται καὶ τοῦτο λαμβάνειν ἡ δηλωθεῖσα γυναικαδέλφη αὐτοῦ, ἀφορ-

μὴν λαβοῦσα, ὅτι προέδωκεν αὐτῇ σίτου μουζούρια δύο ὑπὲρ χρόνων δύο, οὕτω συμφωνηθὲν αὐτοῖς. ἡ γοῦν μετριότης ἡμῶν, τὴν αἴτησιν τοῦ Παλαιολόγου προσδεξαμένη ὡς δίκαιον οὖσαν καὶ εὔλογον, τὰ περὶ τούτου διασκεψαμένη, ἐπεὶ εὗρεν ἐξ ἀποστολῆς αὐτῆς, ἐπιστάντων τῷ τόπῳ τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν αὐτῆς, τοῦ τε μεγάλου σακελλαρίου, διακόνου, κῦρ Μιχαὴλ τοῦ Ἀσινάρη, καὶ τοῦ μεγάλου χαρτοφύλακος, διακόνου, κῦρ Μιχαὴλ τοῦ Βαλσαμών, ὡς ὁ τόπος οὗτος τοῦ Μαυρομμάτου ὀλίγος μέν ἐστι, πολλὴν δὲ ὕλην ἔχων ἀνακαθάρσεως δεομένην καὶ ἀναγκαῖον κατέχεσθαι αὐτὸν παρὰ τοῦ Παλαιολόγου τοῦ Ἰάγαρι καὶ περιφραγῆναι· οὐ γάρ ἐστι δυνατὸν ἢ ἕτερον ἐν αὐτῷ εἰσαχθῆναι καὶ κατασπείρειν αὐτὸν ἢ ἀνεπιμέλητον οὕτως ἵστασθαι καὶ χωρὶς τοῦ προσήκοντος φραγμοῦ, διὰ τὸ βλάβην ἐντεῦθεν γίνεσθαι τῷ κήπῳ καὶ τοῖς οἰκήμασι τοῦ Παλαιολόγου τοῦ Ἰάγαρι, εἰ γὰρ καὶ ὁ Μαυρομμάτης τῶν ὧδε ἀποδημεῖ, ἀλλ' οὖν δίκαιόν ἐστι τὸ ἀνενόχλητον καὶ ἀζήμιον ἔχειν τὸν Παλαιολόγον ἐκ τοῦ γειτονοῦντος αὐτῷ, διαγινώσκει καὶ ἀποφαίνεται, ὡς ἂν ὁ τόπος οὗτος τοῦ Μαυρομμάτου, εἰς ὃν καὶ ὅριον ἐτέθη παρὰ τῶν δηλωθέντων ἀρχόντων, διαιροῦν αὐτὸν ἀπὸ τοῦ κήπου τοῦ Ἰάγαρι, διακρατῆται μὲν ἐπὶ τέλει ἐτησίῳ παρὰ τοῦ Παλαιολόγου τούτου τοῦ Ἰάγαρι, ἄχρις ἂν ὁ Μαυρομμάτης ἐπανέλθοι ἐνταῦθα, τὸ δὲ τέλος αὐτοῦ ἐστιν ὑπέρπυρον ἕν· οὕτω γὰρ ἐτέθη καὶ διεκρίθη παρὰ τῆς ἡμῶν μετριότητος, πληροφορηθείσης, ὡς οὐ πλείονός ἐστιν ἄξιον τοῦτο, ἀπὸ τῶν δηλωθέντων ἀρχόντων, φυλάσσεται δὲ καὶ τοῦτο παρὰ τῷ Παλαιολόγῳ τῷ Ἰάγαρι· ἐπανελθόντος γὰρ τοῦ Μαυρομμάτου, ὀφείλει γενέσθαι λογαριασμός. περὶ δὲ τῆς ἀνακτίσεως καὶ τῆς ἄλλης πάσης ἀνακαθάρσεως καὶ ἐπιμελείας, ἣν ἐποίησεν εἰς τόνδε τὸν τόπον ὁ εἰρημένος Παλαιολόγος ὁ Ἰάγαρις καὶ ἧς μέλλει εἰσέτι ποιήσειν, καὶ εἰ μὲν οὗτος ἱκανωθῇ εἰς τὰς ἐξόδους πάσας τὰς αὐτοῦ ἀπὸ τοῦ ἐτησίου τέλους, ἵνα λαμβάνῃ ὁ Μαυρομμάτης τὸν τόπον αὐτοῦ· εἰ δὲ ὑπερβαίνει ἡ ἔξοδος τοῦ ἐτησίου τέλους, ἵνα λαμβάνῃ ἀπὸ τοῦ Μαυρομμάτου τὸ ὑπερβαῖνον ὁ Παλαιολόγος ὁ Ἰάγαρις, ἄχρις ἂν ἱκανωθῇ· εἰ δέ γε πάλιν πλεῖον τῆς ἐξόδου . . . . . . κατέχει οὗτος ἀπὸ τοῦ ἐτησίου τέλους, προσαντιστρέφῃ τοῦτο πρὸς αὐτόν, ὧν διατηρηθέντων ἔσται τὸ μετὰ ταῦτα περὶ τοῦ τόπου τούτου εἰς τὸ θέλημα τοῦ Μαυρομμάτου· εἰ δὲ

θελήσει ὁ Μαυρομμάτης διαπράσαι τοῦτο ἢ ἐπὶ τέλει διδόναι πρός τινα, ὀφείλει ἐν προτιμήσει εἶναι πάντων τῶν ἄλλων ὁ Παλαιολόγος ὁ Ἰάγαρις, ὡς ἀνακαθάρας τοῦτον καὶ περιφράξας, καὶ ἐπειδὴ κατέχει αὐτὸν ἐνδόσει καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

## DCL. 6909 (1400—1401) ind. IX.

*Sententia in lite monasterii Mariae Pausolypae.*

† Ἡ τιμιωτάτη ἐν μοναχαῖς κυρὰ Θωμαΐς, θυγάτηρ κατὰ πνεῦμα τῆς ἡμῶν μετριότητος, τοῦ πανσέπτου μονυδρίου τῆς Παναγίας μου τῆς Παυσολύπης ἡγουμενικῶς προϊσταμένη, ἔγκλησιν ἐποιήσατο κατὰ Μανουὴλ τοῦ Σπυρίδωνος, εἰποῦσα διὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Γεωργίου τοῦ Γουδέλη, ὡς αἱ πρότερον ἐνασκούμεναι τῷ τοιούτῳ μονυδρίῳ μοναχαὶ ἐκδεδώκασιν οὐ καλῶς τοῦ μονυδρίου περιβόλιον, πολλοῖς κατάκομον δένδρεσι, πρὸς τὸν ῥηθέντα καὶ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, τὸν Σπυρίδωνα, ἵνα καλλιεργήσωσιν αὐτὸ καὶ ἀνακαθάρωσιν ἅπαν καὶ καταφυτεύσωσιν εἰς ἀμπέλιον, καὶ μετὰ πέντε χρόνους ἵνα μερίζωσι τὸν οἶνον τοῦ ἀμπελίου ἐξ ἴσου, οἱ δύο Σπυρίδωνες τὸ ἥμισυ καὶ αἱ μοναχαὶ τὸ ἥμισυ, καὶ οὕτως ἔχειν αὐτοὺς ἄδειαν καλλιεργεῖν αὐτὸ καὶ παραπέμπειν καὶ πρὸς τοὺς κληρονόμους αὐτῶν, μηδὲν ἕτερον ἐκ τοῦ μονυδρίου λαμβάνοντες ὑπὲρ τῆς καλλιεργίας τοῦ ἡμίσεως εἰ μὴ ὑπέρπυρα μόνα ἕξ, κατὰ τὸν τοῦ τρύγους καιρὸν, ἅπερ παρὰ τὸ δέον ἔλεγε πραχθῆναι, καὶ ἐζήτει ἀναλαβεῖν τὸ ἀμπέλιον ἐκ τοῦ Σπυρίδωνος τὸ μονύδριον, τοῦ ἑνὸς ἀδελφοῦ τῷ χρεὼν λειτουργήσαντος καὶ τοῦ κληρονόμου αὐτοῦ ἔξω εὑρισκομένου διὰ τὸν ἐκ τῆς μάχης ἀποκλεισμόν· παρὼν δὲ καὶ ὁ Μανουὴλ καὶ ἀπολογήσασθαι προτραπεὶς, τὸ τῆς συμφωνίας ἐνεφάνισε γράμμα, ταῦτα κατὰ μέρος διαλαμβάνον, ὅπερ ἐπὶ συμφέροντι τοῦ μοναστηρίου διεκρίθη συνοδικῶς προβῆναι· τὸ γὰρ περιβόλιον μόλις ἐδύνατο εἴκοσιν ὑπερπύρων πρόσοδον προξενεῖν τῷ μονυδρίῳ, νῦν δ' ἀπὸ τοῦ ἡμίσεως ἀμπελίου ὑπὲρ τὰ πεντήκοντα πρόσοδον ἔχει· προέβη τε τὰ τῆς συμφωνίας οὐχ ἁπλῶς, ἀλλὰ διὰ τοῦ μεγάλου σακελλαρίου, τοῦ Μελιτινιώτου ἐκείνου, τοῦ τὰ δίκαια τῶν μοναστηρίων διακρατοῦντος καὶ ἐπιτηροῦντος, ὅθεν ἐπεὶ διὰ τὸ τοῦ μονυδρίου συμφέρον εὕρομεν προβᾶσαν τὴν τοιαύτην πρᾶξιν (ἀπὸ γὰρ

ἐνεργείας τῶν Σπυριδώνων εὕρομεν αὐξηθεῖσαν τὴν πρόσοδον τοῦ κτήματος τοῦ μονυδρίου) ταύτην μὲν τηρεῖσθαι διεκρίναμεν, τὴν δὲ τοῦ ἑνὸς ἀδελφοῦ τοῦ ἀποιχομένου μερίδα, ἐπεὶ καὶ ὁ κληρονόμος αὐτοῦ ἔξω εὑρίσκεται, καὶ ἄδηλόν ἐστιν, εἴτε ἐν τοῖς ζῶσιν εὑρίσκεται, εἴτε καὶ τέθνηκε, διεγνώσθη, ἵνα τὸ μὲν ἀμπέλιον ἅπαν καλλιεργῇ ὁ περιλειφθεὶς εἷς ἀδελφός, ὁ Σπυρίδων, ἐκβαλλομένων δὲ τῶν εἰς αὐτὸ ἐξόδων ἐκ τοῦ ἡμίσεως εἰσοδήματος κατὰ τὴν συμφωνίαν τὸ περιλειφθὲν ἥμισυ φυλάσσηται παρὰ τῷ Σπυρίδωνι, καὶ εἰ μὲν ἐπανέλθοι ὁ τοῦ ἀδελφοῦ αὐτοῦ κληρονόμος, ἵνα λαμβάνῃ αὐτό, εἰ δὲ κἀκεῖνος τὸ χρεὼν ἀποτίσοι, ἵνα λαμβάνῃ τὸ μὲν μονύδριον τὸ δίμοιρον ἀμπέλιόν τε καὶ εἰσόδημα τοῦ ἀνήκοντος ἐκείνῳ, καὶ ποιῇ τοῦτο ὑπὲρ τῶν ψυχῶν ἐκείνων, τὸ δὲ τρίτον ὁ Σπυρίδων, ὡς κληρονόμος τοῦ παιδίου τοῦ ἀδελφοῦ αὐτοῦ. ἐπεὶ δὲ τὸ μέρος τοῦ μονυδρίου ἐνέκειτο, μὴ τηρῆσαι τοὺς Σπυρίδωνας τὴν συμφωνίαν, ἣν ἐποίησαν, ἀλλὰ καὶ μέρος αὐτοῦ ἀφύτευτον ἀπέμεινε, καὶ κύκλῳ λιθοσωρίαν ἔχει, ἥτις οὐκ ἐκαθαρίσθη παρ' αὐτῶν, κατὰ τὴν αὐτῶν συμφωνίαν, καὶ νῦν ἀμελεῖται καὶ πλέον, οὔτε κατορύγων ἐν αὐτῷ βαλλομένων κατ' ἔτος, οὔτε τῶν δουλειῶν αὐτοῦ, ὡς δεῖ, γινομένων καὶ κλεπτομένων μὲν παρὰ τοῦ Σπυρίδωνος τῶν καρπῶν διὰ ἄλλων εἰσοδοεξόδων παρὰ τῆς ἀπὸ τῆς μονυδρίου, τῶν δένδρων δὲ πωλουμένων παρ' αὐτοῦ, ὡς βούλεται, δι' ἅπερ ἅπαντα ἐζήτησαν αἱ μοναχαὶ ἐπιστατηθῆναι τὸ ἀμπέλιον παρὰ τῆς ἡμῶν μετριότητος καὶ τὴν προσήκουσαν διόρθωσιν εἰς πάντα γενέσθαι, ἡ μετριότης ἡμῶν ἐπέστη τῷ ἀμπελίῳ, καὶ εὗρε γύροθεν μὲν τοῦ ἀμπελίου λιθοσωρίαν, πλὴν ἀναγκαίως μὴ καθαρισθεῖσαν, διὰ τὸ κύκλῳ αὐτοῦ ἕτερα ἀμπέλια εὑρίσκεσθαι, καὶ μὴ ἔχειν αὐτούς, ὅθεν ἂν τοὺς λίθους καὶ τὴν ἄχρηστον ὕλην ἐξενεγκόντες ῥίψουσι, τὰς δὲ δουλείας τοῦ ἀμπελίου εὕρομεν ἐνεργουμένας, ὡς δεῖ, καὶ ὀλίγων δεόμενων κατορύγων, διὰ τὸ πλῆρες κλημάτων αὐτὸ εὑρίσκεσθαι, ἐπεὶ δὲ καὶ μέρος εὕρομεν ἀφύτευτον καὶ κεχερσωμένον, χάριν μὲν τῆς παρελθούσης ἀμελείας καὶ τῆς ζημίας τῶν μοναζουσῶν (ἔμελλον γὰρ κερδαίνειν, εἴπερ κἀκεῖνο ἀρχῆθεν κατεφυτεύετο) διεκρίναμεν, ἵνα ἀντὶ τῶν κατ' ἔτος διδομένων παρὰ τοῦ μονυδρίου τῷ Σπυρίδωνι ὑπερπύρων, διδῶνται αὐτῷ μόνα τὰ τέσσαρα· περὶ δὲ τῆς κλοπῆς τῆς πωλήσεως τῶν δένδρων διεκρίθη, ἵνα τὰ μὲν δένδρα πωλῶνται δι' ἐπιστασίας τῶν εἰς τὰ μοναστήρια ἀποταχθέν-

των διοικητῶν παρὰ τῆς ἡμῶν μετριότητος, καὶ οὐκ ἀπὸ τῆς τοῦ μονυδρίου εἰσόδου, ἢ εἴπερ εὑρεθῇ τὸ τυχὸν κλέψας ἀπὸ τῆς καρποφορίας τοῦ ἀμπελίου λάθρα καὶ οὐ μετὰ γνώμης τῶν μοναζουσῶν, ἢ εἴπερ οὐ καλλιεργεῖ πάσας τὰς δουλείας αὐτοῦ ἐν καιρῷ τῷ προσήκοντι, καὶ βάλῃ καὶ ὅσα χρήζει κατόρυγα, ἢ εἴπερ οὐ καταφυτεύσῃ τὸ κεχερσωμένον μέρος εἰς ἀμπέλιον, ἵνα ἀποδιώκηται δικαίως ἀπὸ τοῦ ἀμπελίου καὶ ἐκβάλληται ἀμετόχως, καὶ λαμβάνῃ αὐτὸ τὸ καθόλου τὸ μονύδριον, τὸ δὲ ἀνῆκον τῷ μέρει τοῦ ἀδελφοῦ αὐτοῦ εἰσόδημα φυλαχθήσεται, ὥστε γενέσθαι εἰς αὐτὸ, ὅσον εἴρηται ἀνωτέρω. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐν ἔτει ,ς ϡ θʹ. τὸ δὲ εἰσόδημα λογιασθήσεται κατὰ χρόνον παρὰ τῶν ἡμετέρων διοικητῶν ἐκκλησιαστικῶν ἀρχόντων, ὥστε δῆλον εἶναι καὶ γίνεσθαι φανερὸν τὸ ἀνῆκον τῷ ἀποιχομένῳ ἀδελφῷ †.

## DCLI. (6909—1401) maio. ind. IX.

*Controversia dirimitur.*

† Αἱ τῇ τοῦ Μαγίστρου μονῇ ἐνασκούμεναι ἔγκλησιν ἐκίνησαν συνοδικῶς κατὰ Γεωργίου τοῦ Εὐδοκίμου, εἰποῦσαι, ὡς οὔτε τὸ ἀποταχθὲν τέλος τοῦ κήπου αὐτῶν, ὃν ἐπὶ συμφωνίᾳ ἔλαβεν, ἵνα ἀνακτίσας κατέχῃ αὐτὸν ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, δίδωσιν εὐγνωμόνως καὶ ἐν τῷ ἀποταχθέντι καιρῷ, ἤγουν τὸν αὔγουστον, ὑπέρπυρα δεκατέσσαρα, καὶ τὸν φευρουάριον, τὰ ὑπέρπυρα δεκατέσσαρα, ἐπεὶ εἰκοσιοκτὼ εἰσι τὸ καθόλου, ἀλλ' ἀθετεῖ τὴν συμφωνίαν αὐτοῦ, καὶ παρυποκρατεῖ καὶ δίδωσιν αὐτὰ κατ' ὀλίγον, οὔτε τὴν ὀφειλομένην αὐταῖς τιμὴν ἀποδίδωσιν, ἀλλ' ἀναισχυντεῖ καὶ ὑβρίζει αὐτὰς, περὶ τοῦ τέλους προσερχομένας καὶ ἀπαιτούσας αὐτὸ, διὸ καὶ ἐζήτησαν ἀναλαβεῖν τὸν κῆπον ἀπ' αὐτοῦ καὶ δοῦναι ἑτέρῳ, ὡς ἂν ἔχωσιν ἀπ' αὐτοῦ ἀνενοχλήτως τὸ τέλος αὐτῶν· παρὼν δὲ καὶ ὁ Εὐδόκιμος καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς, ἄλλα ἐπ' ἄλλοις προεφασίσατο, καὶ δημοσίας ἀπαιτήσεις καὶ ζημίας καὶ συγκροτήσεις εἰς ἀνάκτισιν τοῦ κάστρου, δι' ἃς οὐκ ἐδίδου αὐταῖς τὸ τέλος κατὰ τὸ ἀκέραιον. ἐπεὶ οὖν νῦν πρῶτον ἐνεκλήτευσαν αὐτὸν αἱ μοναχαὶ, ἠρωτήθη ὁ Εὐδόκιμος, εἴπερ ὑπόσχεται, ἀπὸ τοῦ νῦν διδόναι τὸ ῥηθὲν τέλος ἐν τῷ ἀποταχθέντ καιρῷ, καὶ τίνα δίκην ὑποστήσεται, τοῦτό τε καὶ τὴν ὀφειλομένην

τιμὴν μὴ ἀποδιδοὺς ταῖς μοναχαῖς· ἐπεὶ οὖν συνοδικῶς ἔγγραφον ὑπόσχεσιν δέδωκεν ἑκουσίως, ἵνα αὐτὸν δι' ἑαυτοῦ ἀποκομίζῃ εἰς τὸ μοναστήριον μετὰ εὐγνωμοσύνης καὶ πάσης εὐχαριστίας δι' ὅλου μὲν αὐγούστου τὰ δεκατέσσαρα ὑπέρπυρα, δι' ὅλου δὲ τοῦ φευρουαρίου τὰ λοιπὰ δεκατέσσαρα, καὶ τὰς συνήθεις μαγειρίας αὐτοῦ ἀνυστερήτως καὶ ἐν καιρῷ τῷ προσήκοντι, καὶ ἐάν τι τῶν ὑπεσχημένων παραβῇ ἢ ἀτιμάσῃ τινὰ τῶν μοναζουσῶν, ἵνα ἀποδιώκηται τοῦ κήπου, ἀσυμπαθῶς ζημιούμενος τὰς ἐν αὐτῷ ἀνακτίσεις καὶ πᾶσαν τὴν εὑρεθησομένην ἐν τῷ κήπῳ ἐνθήκην καὶ ἀπὸ τοῦ βίου καὶ τῆς περιουσίας αὐτοῦ ὑπέρπυρα πεντήκοντα, ἐπεὶ ταῦτα ἑκουσίως ὑπεσχέθη ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, διέκρινεν αὕτη ἐπὶ τῇ τοιαύτῃ ὑποσχέσει τοῦ Εὐδοκίμου πάλιν τὸν κῆπον κρατεῖν, ὀφείλων πάντα τὰ ἀνωτέρω ῥηθέντα ἀσυμπαθῶς ὑποστῆναι, ἅπερ καὶ ἑκουσίως ὑπεσχέθη καὶ συνοδικῶς ἔστερξε, εἴ τι τῶν ῥηθέντων ἀθετήσει καὶ παραβαίη, καθ' ἑαυτοῦ γὰρ αὐτὸς τὴν ψῆφον ἐξήνεγκε, καὶ οἰκείᾳ καταδίκῃ ὑπεύθυνος ἔσται. τούτου γὰρ χάριν ἐγένετο τῇ μονῇ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. θ' †.

## DCLII. (6909—1401) iunio. ind. IX.

*Sententia in lite de dote.*

† Ἔφθασε πρό τινων ἤδη χρόνων μοναχὴ Καλλονὴ ἡ Πουζουλοῦ, καὶ ἔλαβεν ὑπὲρ τοῦ ψυχικοῦ αὐτῆς μνημοσύνου τὴν θυγατέρα . . . . ., καὶ ὀλίγον πάνυ καιρὸν παρ' ἑαυτῇ ταύτην κατέχουσα, συζεῦξαι αὐτήν γε ἀνδρὶ ἠθέλησε, καὶ εὑροῦσα τὸν νῦν διάκονον, τὸν Κοντοδοῦκα, ταύτην αὐτῷ παρέχει, καὶ τελείαν ἱερολογίαν εἰς αὐτοὺς ποιήσασα, συνεφώνησε δοῦναι αὐτῷ καὶ χάριν προικὸς διά τε ὑπερπύρων μετρητῶν καὶ δι' εἰδῶν ἄλλων . . . . . . . . ὑπερπύρων, ὅσα δῆτα καὶ συνεφώνησε, ἀφ' ἧς προικὸς μέρος μὲν παρ' αὐτῇ παρυπεκράτησε, τὴν πλείονα δ' ἐδεδώκει πρὸς αὐτόν. μετὰ μέντοι τῶν γάμων ὀλίγην παραδρομὴν δι' ὄχλου αὐτῇ ὁ Κοντοδοῦκας γίνεται, καὶ τὰ λοιπὰ τῆς προικὸς εἴδη ἀπαιτῶν καὶ ἔγκλησιν ποιησάμενος κατ' αὐτῆς ἐν τῇ βασιλικῇ τῆς Σηλυβρίας κρίσει, ἐκεῖσε γὰρ καὶ ἀμφότεροι ᾤκουν, ἡνίκα καὶ ὁ κράτιστος καὶ ἅγιός μου αὐτοκράτωρ ἐν ταύτῃ διέτρι-

βεν· ἐδικαιώθη λαβεῖν ὁ Κοντοδοῦκας καὶ τὰ λοιπὰ τῆς προικός, μόνον εἴπερ εὐπορίαν ἔχει ἡ μοναχή, ἐπεὶ καὶ οἱ φιλευσεβεῖς νόμοι μέχρις εὐπορίας τὴν καταδίκην ἐν τούτοις ἐπάγουσι, εἰπόντες καὶ τῷ οἰκείῳ τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κορ . . . Βρυεννίῳ τῷ Λεοντάρῃ, ἅτε δεφένστορι ὄντι τῆς ἑαυτῶν κρίσεως, λαβεῖν ταῦτα παρὰ τῆς μοναχῆς, εἴπερ εὐπόρως ἔχει, καὶ δοῦναι τῷ Κοντοδουκί, ὃς εἰπὼν τοὺς τῆς κρίσεως λόγους πρὸς τὴν μοναχήν, ἃ μὲν ἔλαβε τῶν εἰδῶν παρ' αὐτῆς καὶ δέδωκεν αὐτῷ, τινὰ δὲ κατεῖχεν ἡ μοναχὴ παρ' ἑαυτῇ. τῆς οὖν εἰρήνης θεοῦ συνεργείᾳ τῆς μετὰ τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως καὶ τῆς Σηλυβρίας γενομένης καὶ πολλῶν ἐνταῦθα μετοικησάντων, μετὰ τῶν ἄλλων καὶ ἡ μοναχὴ τὴν οἴκησιν ἐνταῦθα ποιεῖται· ταύτης τοίνυν ἐνταῦθα εὑρισκομένης καὶ ὁ γαμβρὸς αὐτῆς κατὰ πόδας παραγίνεται, καὶ δι' ὄχλου ταύτῃ γενόμενος καὶ τὰ λοιπὰ τῆς προικὸς εἴδη ἀπήτει. ἡ γοῦν μοναχὴ ὑπὸ τῆς ἀνάγκης ἐλαθεῖσα καὶ μὴ φέρειν δυναμένη τὴν τούτου πολλὴν ἐπίθεσιν, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, ἔγκλησιν ἐποιήσατο κατ' αὐτοῦ, εἰποῦσα μὲν καὶ τὰ ἀνωτέρω ῥηθέντα, προσθεῖσα δὲ καὶ τοῦτο, ὡς οὐδὲν ὀφείλουσα πολλὰ ἀπαιτεῖται, προκομίζουσα καὶ γράμμα τοῦ ῥηθέντος Βρυεννίου τοῦ πρὸς αὐτὴν ἀνενοχλησίας ἕνεκα γεγονότος, ἐν ᾧ ὑπογραφαί τε αὐτοῦ καὶ ἑτέρων ἦσαν σεσημειωμέναι, καὶ ἐζήτησεν, ὡς ἂν τύχῃ τινὸς βοηθείας· καὶ ὁ Κοντοδοῦκας καὶ παραστὰς καὶ ἀπολογήσασθαι προτραπείς, ψευδὲς μὲν εἶναι καὶ ἀπατηλὸν καὶ πεπλασμένον τὸ παρ' αὐτῆς προκομιζόμενον γράμμα διετείνετο, ἐζήτησε δὲ πεμφθῆναι τῷ Βρυεννίῳ, καὶ τὸ παρ' αὐτοῦ περὶ τούτου λεχθησόμενον στέρξειν ἐξ ἀνάγκης καὶ αὐτόν. δίκαιον οὖν τοῦτο καὶ ἡ μετριότης ἡμῶν κρίνασα πέμπει τοῦτο τῷ πολλάκις ῥηθέντι Βρυεννίῳ μετὰ τοῦ θεοφιλεστάτου πρωτονοταρίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διακόνου, κῦρ Μανουὴλ τοῦ Βαλσαμών, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ αὐτῆς, ὃς τοῦτο ἰδών, ψευδὲς καὶ ἀπατηλὸν καὶ μηδεμίαν ὅλως κἂν γοῦν φιλὴν εἴδησιν τοῦτον εἶπεν εἰς αὐτό. οὕτως οὖν ἐκείνου εἰρηκότος, αὖθις καὶ ἀμφότεροι παραγίνονται εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, καὶ τῆς ἀπολογίας τοῦ Βρυεννίου τῆς παρὰ τοῦ γράμματος συνοδικῶς λαληθείσης, ἀπῃτήθη ὁ Κοντοδοῦκας ἐμφανίσαι τὸ γαμικὸν σύμφωνον αὐτοῦ, ὡς ἂν γνῷ ἡ μετριότης ἡμῶν, τίνα μὲν τῶν εἰδῶν εἴληφε, τίνα

δὲ τούτῳ λείπονται, ἵνα ἱκανώσῃ τοῦτον ἡ μοναχή, εἴπερ εὐπορίαν ἔχει· ὃς εἶπεν, ἀπολέσαι τοῦτο ἐντὸς τοῦ κελλίου αὐτῆς, κρυφίως τούτου ῥιφθέντος, ταύτην ἀνελομένην αὐτό, καὶ ἐζήτησεν, ὡς ἂν ἐκφωνηθῇ κατ' αὐτῆς ἐπιτίμιον εἰς ἀνεύρεσιν αὐτοῦ, οὗ γενομένου μηδόλως λαβεῖν ταύτην τοῦτο εἶπε, ἀλλ' οὐδὲ ἐπίστασθαι, παρὰ τίνι ὑπάρχει. ἐπεὶ δὲ ὧν ἔλεγεν ὁ Κοντοδοῦκας, τὴν τούτων σύστασιν, ἀφ' ὧν ἐπεφέρετο γραμμάτων, ἔχειν διετείνετο, τοῦ τε τῆς κρίσεως δηλαδὴ καὶ τῆς τοῦ πολλάκις ῥηθέντος Βρυεννίου παρασημειώσεως, προεκόμισε ταῦτα εἰς τὸ μέσον. ἅπερ ἡ μετριότης ἡμῶν ἀκούσασα, ἐπεὶ ἐν μὲν τῷ τῆς κρίσεως τὸν πρὸς διορισμὸν τῆς εὐπορίας εὗρε κείμενον, τὴν δὲ τοῦ Βρυεννίου παρασημείωσιν παραγραφομένην παρὰ τῆς μοναχῆς εἶδε, γνώμῃ τῶν συνεδριαζόντων αὐτῇ ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Σεβερίνου καὶ τῆς Μηδείας, διέγνω καὶ ἀπεφήνατο, ὡς ἂν δέξηται ἡ μοναχὴ βάρος ἀφορισμοῦ, καὶ πᾶν, ὅπερ ἂν ὁμολογήσει, ὀφείλουσα τοῦτο καὶ ἀποδοῦναι, οὐδὲ γὰρ ἐθελήσει ποτέ, διέκρινεν, ἡ τοιοῦτον ἔργον θεοφιλὲς ποιήσασα καὶ τὰ ἑαυτῆς πράγματα ὑπὲρ ἀγάπης τοῦ θεοῦ δοῦσα τὴν ἑαυτῆς ζημιωθῆναι ψυχήν. δεξαμένη τοίνυν βάρος ἀφορισμοῦ πρότερον, ὅσην ὑποστήσεται κόλασιν ὁ τοῦτο περιφρονήσας, ἀναδιδαχθεῖσα, ὡμολόγησε, μηδὲν ἕτερον ὀφείλειν αὐτῷ, εἰ μὴ ταῦτα· σινδόνιν, χάλκωμα λιτρῶν ιδ', κρυεντήριν τέταρτον, χρυσάφιν οὐγγίας β', εἰκόνισμα ὑπερπύρων δέκα, βιβλίον συναξάριν, προσόψια γ', ὑπέρπυρα χρυσᾶ εἰκοσιπέντε καὶ δακτυλίδια τρία θεώρητρα, ἀφ' ὧν τὸ εἰκόνισμα καὶ τὰ τρία δακτύλια ἔχειν εἶπεν ἐν τῇ Σηλυβρίᾳ, πλὴν ἐζήτησεν, ὡς ἂν δῷ καὶ αὐτὸς πρὸς αὐτὴν οἴνου μέτρα ἑβδομήκοντα. ἐπεὶ οὖν ὁ Κοντοδοῦκας ταῦτα τὰ ὁμολογηθέντα ἀπῄτει λαβεῖν, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, ὡς ἂν δῷ ἡ μοναχὴ πρὸς αὐτὸν τὰ ἄλλα πάντα εἴδη, πλὴν τοῦ εἰκονίσματος καὶ τῶν τριῶν δακτυλιδίων, ἀπὸ δὲ τῶν εἰκοσιπέντε ὑπερπύρων τὰ δέκα, τὰ δὲ λοιπὰ δεκαπέντε κατέχῃ παρ' ἑαυτῇ, καὶ ὅταν ἀποδείξῃ ὁ Κοντοδοῦκας, ὅτι οὐκ ὀφείλει αὐτῇ οἶνον, λάβῃ καὶ ταῦτα παρ' αὐτῆς, λάβῃ δὲ καὶ ὑπὲρ τοῦ εἰκονίσματος καὶ τῶν δακτυλιδίων ὑπέρπυρα πέντε, καὶ ὅταν ἔλθωσι ταῦτα τὰ εἴδη, τό τε εἰκόνισμα δηλονότι καὶ τὰ δακτυλίδια, παρέχῃ μὲν αὐτῷ ταῦτα, ἀντιστρέφωνται δὲ πρὸς αὐτὴν τὰ πέντε ὑπέρπυρα, νῦν γὰρ δεξαμένη βάρος ἀφορισμοῦ ὡμολόγησεν, ὡς οὐκ ἔχει ταῦτα ὧδε. ἐπεὶ

τοίνυν ταῦτα ἐγένοντο καὶ ἀποκατέστησαν, καθὼς παρεκελεύσατο ἡ μετριότης ἡμῶν, καὶ ἔλαβεν ὁ Κοντοδοῦκας τὰ ἀνωτέρω ῥηθέντα εἴδη, πλὴν τοῦ εἰκονίσματος καὶ τῶν τριῶν δακτυλιδίων, ἔλαβε δὲ χάριν αὐτῶν τὰ ῥηθέντα πέντε ὑπέρπυρα, ἔλαβε δὲ καὶ ἀπὸ τῶν εἰκοσιπέντε τὰ δέκα, τὰ δὲ λοιπὰ δεκαπέντε ἵστανται, μέχρις ἂν καὶ τὸ περὶ τοῦ οἴνου ἀποκατάστασιν δέξηται, ὀφείλει ἡ μοναχὴ ἀνενόχλητος διατηρεῖσθαι, καθὼς παρακελευόμεθα, καὶ βάρος ἀφορισμοῦ φρικώδους ἐκφωνεῖ ἡ μετριότης ἡμῶν καὶ βαρυτάτου διὰ τοῦ παρόντος αὐτῆς γράμματος, ἀπολυθέντος εἰς τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. θ' †.

## DCLIII. (6909—1401) iunio. ind. IX.

*De sumptibus a monacho Macario impensis in ecclesia Caesareae Cappadociae.*

† Ἐπεὶ ὁ τιμιώτατος ἐν ἱερομονάχοις καὶ πνευματικὸς πατήρ, κατὰ πνεῦμα υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρις Μακάριος, τὴν οἰκονομίαν τε καὶ διοίκησιν ἐγχειρισθεὶς παρὰ τῆς ἡμῶν μετριότητος τῆς σεβασμίας καὶ θείας μονῆς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ Μεγάλου, ἔργα καλὰ καὶ θεάρεστα εἰς αὐτὴν ἐσπούδασε καὶ ἐνήργησε, καὶ δεύτερος οἷον κτήτωρ εἰς αὐτὴν ἀνεφάνη, τήν τε γὰρ ἐκκλησίαν τῆς μονῆς, περιφανῆ καὶ λαμπρὰν οὖσαν καὶ ἐν πολλοῖς μέρεσι καὶ ἀπὸ τοῦ νοτίου μάλιστα μέρους καταπεσεῖν κινδυνεύουσαν, οἰκείαις ἐξόδοις καὶ ἀναλώμασι καὶ κόποις αὐτοῦ τε καὶ τῶν αὐτοῦ καλογήρων ἀνέκτισε, καὶ τὰ μέγιστα πρὸ χρόνων ἐβοήθησε, καὶ τὴν τῆς μονῆς τράπεζαν καὶ τὰ περὶ αὐτὴν καταχύματα ἅπαντα ἀνῳκοδόμησεν αὖθις καὶ ἀνεκεράμωσε σὺν τῷ ἀπὸ τοῦ βορείου μέρους ὄπισθεν τοῦ τῆς μονῆς ναοῦ καταχύματι, ὃ καὶ αὐτὸ ἅπαν καταπεσὸν ἀνεκαίνισεν, οὐ μὴν δὲ ἀλλὰ καὶ τὸ τῆς μονῆς προπύλαιον, μέγα ἔργον καὶ ἀναγκαιότατον, καταπεσὸν ἀνέκτισε καὶ ἀνεκαίνισεν αὖθις πολλαῖς ἐξόδοις καὶ ἀναλώμασιν ἀπό τε τοῦ κελλίου αὐτοῦ καὶ ἀπὸ εἰσφορᾶς τινῶν φιλοχρίστων, καὶ πρὸ ὀλίγου καιροῦ ἀνεκαίνισε καὶ τὰ ἐν τῇ μονῇ πάντα κελλία, εἰς ἃ καὶ ἐξωδίασε διὰ καταστίχου λεπτομεροῦς ὑπέρπυρα διακόσια τέσσαρα, καὶ ἀφῆκε καὶ ταῦτα καὶ ἀφιέρωσε τῷ θεῷ, τοὺς ὑπὲρ τούτου μισθοὺς

καὶ τὰς ἀμοιβὰς παρὰ θεοῦ ἐκδεχόμενος, ὡς καλὸς οἰκονόμος τῶν ἐμπιστευθέντων αὐτῷ ἱερῶν καὶ θείων πραγμάτων· ἀνεφάνη δὲ καὶ λογαριασμοῦ γεγονότος ἔμπροσθεν τῆς ἡμῶν μετριότητος κατὰ τὴν τρισκαιδεκάτην τοῦ ἀπριλλίου μηνός, ὡς ἐξωδιάσθησαν εἰς κύλισμα καὶ ἀνακαθάρσεις δσπητοτοπίων τῶν εἰς τὸν τόπον τῆς μονῆς καταχαλασθέντων καὶ εἰς ἄλλας ἀπαραιτήτους καὶ χρείας τοῦ φυτευθέντος ἀμπελίου καὶ ἐξόδους, ἐκβληθείσης πάσης εἰσόδου, ὑπέρπυρα ἑκατὸν ἕξ, ἦσαν δὲ καὶ ἄλλα προεξοδιασθέντα εἰς τὸ μοναστήριον ἀπὸ ἑτέρων λογαριασμῶν προγεγονότων ὑπέρπυρα ἑκατὸν τρία, ὡς καὶ αἱ κατὰ καιροὺς παρασημειώσεις αἱ ἐν τῷ καταστίχῳ καταγεγραμμέναι ταῦτα διαλαμβάνουσιν ἀκριβῶς, ὡς γίνεσθαι ταῦτα ὁμοῦ διακόσια ἐννέα, ἃ ἐδανείσατο ὁ πνευματικὸς καὶ ἐξωδίασεν εἰς τὰς ῥηθείσας ἀναγκαίας δουλείας καὶ χρείας τῆς μονῆς μέχρι καὶ τῆς ῥηθείσης τρισκαιδεκάτης τοῦ ἀπριλλίου, περὶ μὲν ὧν ἀφ' ἑαυτοῦ ὁ πνευματικὸς εἰς τὴν μονὴν κατεβάλετο, τοὺς μισθοὺς ἐν ἡμέρᾳ τῇ φοβερᾷ ἀπολήψεται παρὰ τοῦ μισθαποδότου Χριστοῦ, τοῦ εἰπόντος· „εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα εἷς πιστός, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου“ τὰ δὴ τοῦ λογαριασμοῦ διακόσια ἐννέα ὑπέρπυρα τὰ ῥηθέντα ἀποδώσει ὁ πνευματικὸς τοῖς ἔχουσι ταῦτα καὶ ἀφ' ὧν αὐτὰ ἐδανείσατο, ἀπὸ τοῦ σὺν θεῷ ἐρχομένου εἰσοδήματος τοῦ μοναστηρίου, οὐ μόνον δὴ ταῦτα, ἀλλὰ καὶ ὅσα εἰς τὸ ἔμπροσθεν εἰς ἀναγκαίας καὶ ἀπαραιτήτους ἐξόδους καὶ χρείας τοῦ μοναστηρίου καταβαλεῖ ἀναλώματα. εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.:

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. θ' †.

## DCLIV. (6909—1401) iunio. ind. IX.

*Sententia in lite,*

† Αἱ ἐνασκούμεναι τῇ σεβασμίᾳ καὶ θείᾳ μονῇ τοῦ ἁγίου καὶ ἐνδόξου ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ κρίσει μετὰ τῆς καθηγουμένης αὐτῶν συνοδικῶς ἀναδραμοῦσαι ἔγκλησιν ἐποιήσαντο κατὰ τοῦ Λουκᾶ καὶ τοῦ . . . . . ., οἷς ἐξεδόθη τὸ ἀμπέλιον τῆς μονῆς αὐτῶν ἐφ' ἡμισείᾳ τῶν ἐξ αὐτοῦ καρπῶν, μετὰ προτροπῆς καὶ ἐνδόσεως τῆς

ἡμῶν μετριότητος, συμφωνησάντων τῶν ῥηθέντων, ἵνα καλλιεργῶσιν αὐτὸ καὶ ποιῶσι καὶ τὰς ἀνηκούσας τῷ ἀμπελίῳ δουλείας ἐν καιρῷ τῷ προσήκοντι πάσας, καὶ καταφυτεύσωσι καὶ τὸ ἐπάνω ἐξάμπελον καὶ χέρσον τὸ ἐν τῇ τοῦ ἀμπελίου κορυφῇ καὶ ἀπαντικρὺ τῆς μονῆς αὐτῶν εἰς ἀμπέλιον, οὐ παρευθύς, ἀλλ' εἰς τέσσαρας χρόνους, εἰς ὅσους συνεφώνησαν καὶ κρατεῖν τὸ ἀμπέλιον, τὸ δὲ ἐναπολειπόμενον χέρσον κατὰ χρόνον κατασπείρειν καὶ καρποῦσθαι τοῦτο αὐτοὺς μόνους, βάλλειν δὲ καὶ κατὰ χρόνον εἰς τὸ ἀμπέλιον κατόρυγα καλὰ χίλια, ἐὰν εὕρωσιν· ταύτην γὰρ τὴν συμφωνίαν ἐξέδωκεν ἡ μετριότης ἡμῶν, καὶ οὕτω προβῆναι διέγνω ταύτην καὶ ἀπεφήνατο. ἀνέφερον τοίνυν αἱ μοναχαί, ὡς οὔτε κατόρυγα ἔβαλλον ποσῶς, δύο χρόνων παρελθόντων, οὔτε μὴν καλλιεργοῦσιν αὐτό, ἀλλ' ἔνθα ἦν ἀραιώματα βαλεῖν κατόρυγα, κατέσπειραν αὐτὸ ἅπαν φακὴν καὶ λαθόριν καὶ ἐρεβίνθιον, ἐξ οὗ καὶ ἀκάματον κινδυνεύει καταλειφθῆναι τὸ τοιοῦτον ἀμπέλιον αὐτῶν καὶ ξηρανθῆναι ἅπαν, κατέσπειραν δὲ καὶ γυρόθεν τοῦ ἀμπελίου καὶ εἰς μέρη τινὰ ὀλίγα κλήματα ἔχοντα σίτιν, παρὰ τὴν συμφωνίαν αὐτῶν τὴν ῥηθεῖσαν, καὶ ὅσον δὲ κατεφύτευσαν, ἐξηράνθη, διὰ τὸ παρὰ καιρὸν κολισθῆναι αὐτό, κατὰ τὸν μάιον, καὶ οὐ πλέον ἢ λισγάριον ἓν ὄντος τοῦ βάθους τοῦ κυλίσματος· ἐζήτησαν οὖν αἱ μοναχαί, ἐπιστατηθῆναι ταῦτα παρ' ὧν ἂν διακρίνοι ἡ μετριότης ἡμῶν, ἣ δὴ καὶ ἀπέστειλε τοὺς τιμιωτάτους ἐξωκατακήλους, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς αὐτῆς, διακόνους, τόν τε μέγαν σακελλάριον, κῦριν Μιχαὴλ τὸν Ἀσινάρην, καὶ τὸν μέγαν χαρτοφύλακα, κῦριν Γεώργιον τὸν Εὐγενικόν, οἳ καὶ ἐπιστάντες τῷ ἀμπελίῳ εὗρον, ὡς αἱ μοναχαὶ ἀνέφερον, αὐτό τε ἅπαν κατεσπαρμένον καὶ διὰ τοῦτο σχεδὸν ἅπαν ἀδίσκαπτον, τοῦ ἰουνίου πλὴν ὀλίγων ἡμερῶν παρελθόντος, καὶ κατόρυγα πάνυ ὀλίγα ἐν αὐτῷ ἐμβληθέντα, καὶ οὐδὲ ταῦτα κάτωθεν, ὡς δεῖ, καὶ γυρόθεν τοῦ ἀμπελίου καὶ εἰς μέρη τινὰ αὐτοῦ ἐσπαρμένον σίτον ἔχοντα, εἴς τινα μέρη καὶ κλήματα καὶ τὰ καταφυτευθέντα κλήματα οὐ πλέον τῆς μιᾶς σπιθαμῆς καὶ μικροῦ τινος πρὸς εἰς τὸ κύλισμα κατελθόντα. ἐπεὶ οὖν δῆλα ταῦτα τῇ ἡμῶν ἐγένοντο μετριότητι διὰ τῶν ῥηθέντων ἐκκλησιαστικῶν ἀρχόντων, ἠρωτήθησαν συνοδικῶς εἰπεῖν, πῶς οὕτω παρέβησαν εἰς πάντα τὴν συμφωνίαν αὐτῶν. καὶ περὶ μὲν τῆς ἐν τῷ ἀμπελίῳ κατασπορᾶς εἶπεν ὁ Λουκᾶς, ὡς μετ' ὀλίγον ἀνασπασθήσονται τὰ κατασπαρέντα, καὶ κα-

ματευθήσεται, ἤκουσε δὲ, ὡς ὁ κατὰ τὸν ἰούλιον κάματος οὐκ εἰς ὠφέλειαν, ἀλλ' εἰς βλάβην μᾶλλον καὶ καύσωνα ἔσται τοῦ ἀμπελίου. περὶ δὲ τῶν κατορύγων εἶπεν, ὡς κατέφαγον τὰ ἄλογα τὰ ἐν αὐτῷ κλήματα, καὶ οὐχ εὗρον εὐκόλως ἐπιτήδεια πρὸς κατόρυγα· ἐπεὶ δὲ ἀπὸ τῶν κληματίδων ἤκουσε γενέσθαι φανερὸν, εἴτε ἐπιτήδεια πρὸς κατόρυγα ἦσαν, εἴτε καὶ μὴ, μεταβαλὼν εἶπεν, ὡς ἐν τῷ τοῦ κλάδους καιρῷ ἦσαν ἐπιτήδεια, καὶ ἀφῆκεν αὐτὰ, ὕστερον δὲ κατέφαγον ταῦτα τὰ ἄλογα· ἤκουσε δὲ, ὡς ὤφειλε, καὶ ὅτε ἀφῆκεν αὐτὰ, δηλῶσαι ταῖς μοναχαῖς, πόσα ἀφῆκε, καὶ πάλιν, ὅτε κατελύθησαν ὑπὸ τῶν ἀλόγων, ἔδει δεῖξαι αὐτὰ, καὶ πόσα κατελύθησαν, πρὸς τὰς μοναχάς· ἐπεὶ δὲ καὶ πρὸς ταῦτα οὐδὲν ἀντειπεῖν εἶχεν, ἠρωτήθη καὶ περὶ τοῦ γυρόθεν κατασπαρέντος σίτου καὶ περὶ τῶν εἰς μέρη τινὰ τοῦ ἀμπελίου, πῶς ἐποίησε τοῦτο παρὰ τὴν συμφωνίαν αὐτῶν· ὁ δὲ εἶπεν, ὡς πάντα τὰ χέρσα τὸ γράμμα αὐτῶν διαλαμβάνει· ἤκουσε δὲ, ὡς ἄγνοια τοῦτο ἦν τοῦ γραφέως, ὑπολαβόντος μόνον χέρσον εἶναι, ὅσον συνεφωνήθη φυτευθῆναι, ἐπεὶ πῶς διαλαμβάνει, ἵνα κατασπείρωσι τὸ ἐναπολειφθὲν τοῦ φυτευομένου, ἄλλως τε καὶ ἡ μετριότης ἡμῶν τὴν συμφωνίαν καὶ τὴν πρᾶξιν ἐκδοῦσα καὶ ᾔδει σαφῶς, τί ἐξέδοτο, καὶ οὐ χρὴ σκοπεῖν, τί γέγραπται, ἀλλὰ τί πέπρακται. περὶ δὲ τοῦ κολίσματος πῶς ἐγένετο παρὰ καιρὸν κατὰ τὸν μάιον, καὶ ὅτι οὐκ εἰς βάθος ἐκόλισαν αὐτὸ, περὶ μὲν τοῦ παρὰ καιρὸν αὐτὸ γενέσθαι αἴτιον εἶπεν, ὅτι ἡ γῆ ἐκείνη πηλώδης οὖσα καὶ ὑδατώδης οὐκ ἐδίδου κολισθῆναι ἐν καιρῷ τῷ προσήκοντι· ἐπεὶ δὲ αἱ μοναχαὶ μάρτυρας εἶπον ἔχειν παραγαγεῖν, ὡς καλλιεργεῖτο τὸ ῥηθὲν χερσάμπελον κατὰ τὸ μεσαίτατον τοῦ χειμῶνος, ἔστερξε καὶ ὁ Λουκᾶς, αὐτοὺς μὲν παραχθῆναι, πλὴν τῇ ἐπιούσῃ παραχθέντων αὐτὸς εἰς πάντα ἐλεγχθεὶς οὐ παρεγένετο. παραχθέντες οὖν ὅ τε Λίβανος καὶ ὁ Βορέας καὶ ὁ Ξενίτζης καὶ ὁ τῆς μονῆς ἱερεὺς, ἠρωτήθησαν σὺν ἀσφαλείᾳ τῇ προσηκούσῃ εἰπεῖν, ὅ τι οἴδασι περὶ τοῦ φυτευθέντος ὑπ' αὐτῶν τόπου, εἴπερ πηλώδης ἐστὶ καὶ μὴ δυνάμενος ἐν χειμερίῳ καλλιεργεῖσθαι καιρῷ· οἱ δὲ τὸ τοῦ ἀφορισμοῦ βάρος δεξάμενοι εἶπον ἕκαστος, ὅτι πολλοὺς χρόνους ἐνήργουν αὐτὸ καὶ ἐν χειμερίῳ καιρῷ, ὅταν οὐκ ἦν δυνατὸν ἀλλαχοῦ ἐνεργεῖν ἐν ἡμέραις βροχῆς, ἐκεῖσε ἐνήργουν. τούτων οὖν οὕτως ἀναφανέντων δίκαιον ἦν παραυτίκα αὐτοὺς ἐκδιωχθῆναι τοῦ ἀμπελίου καὶ ζημιωθῆναι καὶ εἴ τι ἔσπειραν παρὰ τὴν συμ-

φωνίαν αὐτῶν. συγκαταβάσει δὲ χρησαμένη ἡ μετριότης ἡμῶν, διέγνω καὶ ἀπεφήνατο, ἵνα ἀπὸ τοῦ κατασπαρέντος σίτου παρὰ τὴν συμφωνίαν λάβωσιν ὅ τε Λουκᾶς καὶ οἱ μετ' αὐτοῦ τὸν δίμοιρον καρπὸν καὶ ἡ μονὴ τὸν τρίτον, κατὰ δὲ τὸν τοῦ τρύγους καιρὸν ἵνα λάβωσι τὸν τοῦ ἀμπελίου καρπὸν κατὰ τὴν συμφωνίαν αὐτῶν, ἤγουν τὸν ἥμισυν οἶνον τοῦ παντός, καὶ οὕτως ἐξέρχεσθαι τοῦ ἀμπελίου καὶ καταλελυμένην εἶναι τὴν συμφωνίαν αὐτῶν, ἐπεὶ εἰς κακὸν καὶ κατάλυσιν τοῦ ἀμπελίου ἐφάνησαν, καὶ οὐδ' εἰς ἓν τῆς συμφωνίας ἐφάνησαν ἐκπληρωταί, ὡς ἐχρῆν τε καὶ ὑπεσχέθησαν. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουνίῳ ἰνδ. θ' †.

## DCLV. (6909—1401) iunio. ind. IX.

*Sententia in lite de hereditate.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Δημήτριος ὁ Βουλωτής, συνοδικῶς παραγενόμενος εἰς τὴν ἡμῶν μετριότητα ἔγκλησιν ἐποιήσατο κατὰ τῶν ἐνασκουμένων τῇ σεβασμίᾳ μονῇ τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Κυπριανοῦ μοναζουσῶν, εἰπών, ὅτι ἡ ἐξαδέλφη τῆς γυναικὸς αὐτοῦ, Εἰρήνη ἡ Ἀποκαύχισσα, πρὸ καιροῦ ἀποθνήσκουσα, διαθήκην ἐξέθετο, κληρονόμον αὐτὸν ἐγγράψασα καὶ ἐπίτροπον εἰς τὰ αὐτῆς πάντα, εἴς τε τὸν παῖδα αὐτῆς ἀποδημοῦντα καὶ φροντιστὴν ὑπὲρ τῆς ψυχῆς αὐτῆς, ἣν τότε μὲν ἀνακλιθεῖσαν τῆς ἀσθενείας, ἀρτίως δὲ τελευτήσασαν ἔλαβον αἱ ῥηθεῖσαι μοναχαὶ καὶ ἐκήδευσαν, κατασχοῦσαι καὶ τὰ προσόντα αὐτῇ πάντα, δι' ὃ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐταῖς. παροῦσαι δὲ καὶ αἱ μοναχαὶ καὶ ἀπολογήσασθαι προτραπεῖσαι, εἶπεν ἡ καθηγουμένη αὐτῶν, κυρὰ Μάρθα μοναχή, ὡς διαμηνυθεῖσα ὑπ' ἐκείνης καὶ παραγενομένη, ἐπεὶ εὗρεν αὐτὴν τὰ λοίσθια πνέουσαν καὶ ἀξιοῦσαν αὐτήν, ἵνα δέξηται αὐτήν τε καὶ τὰ αὐτῆς, καὶ ἀποκείρῃ καὶ πρὸς τὴν μονὴν αὐτῆς ἀπαγάγῃ, ὡς ἂν ἐν μετανοίᾳ τὸ χρεὼν ἀποτίσῃ καὶ ἄνεσίν τινα εὕρῃ ὧν ὡς ἄνθρωπος καὶ αὐτὴ ἐπλημμέλησεν εἰς θεόν, ἐπεὶ ἐνίστατο αὕτη, καὶ μᾶλλον συνεβούλευεν αὐτῇ, τῷ Βουλωτῇ διαμηνύσασθαι περὶ τούτου κἀκείνῳ τὰ καθ' αὐτὴν ἀναθεῖναι, ὡς καὶ πρίν, ἠξίωσε πάλιν αὐτὴν

ἡ Ἀποκαύχισσα, ἵνα στείλῃ μίαν τῶν ὑπ' αὐτῇ μοναζουσῶν, καὶ δηλοποιήσῃ τοῦτο τῷ Βουλωτῇ, ὡς ἂν παραγενόμενος δέξηται ταύτην καὶ κηδεύσῃ, πρὸς θάνατον ἤδη ὁρῶσαν· ἐπεὶ δὲ πρὸς τοῦτο κατένευσεν ἡ ἡγουμένη καὶ ἀπέστειλεν ἐκεῖ μίαν τῶν μοναζουσῶν, Μακαρίαν ὀνόματι, εἶπεν ὁ Βουλωτὴς μετὰ τῆς αὐτοῦ γυναικὸς, ὡς οὐ δύνανται ταύτην παρα(λα)βεῖν καὶ τὰ αὐτῆς, ἀλλ' ὅπου βούλεται ταῦτα ἀφεῖναι, τὸ δοκοῦν αὐτῇ ποιησάτω, ἣν δὲ πρότερον διαθήκην ἐποίησε, παρὰ τῷ ἐν τῇ Πλατείᾳ ταβουλλαρίῳ ἐστὶν, ἣν καὶ λαβοῦσα διαρρηξάτω· ὑποστρέψασα τοίνυν ἡ μοναχὴ καὶ ταῦτ' ἀπαγγείλασα μᾶλλον παρεκίνησε τὴν Ἀποκαύχισσαν, ἐπιτεθῆναι τῇ ἡγουμένῃ καὶ δάκρυσι καὶ ἱκετηρίαις χρήσασθαι πρὸς πειθὼ ἐπὶ τῷ καταπεῖσαι αὐτὴν εἰς τὸ μοναστήριον ταύτην ἀπαγαγεῖν καὶ ἀποκεῖραι. διαθήκης οὖν γενομένης ἐμμαρτύρου καὶ ἀρραγοῦς παρέλαβε ταύτην καὶ ἀπέκειρε, καὶ εὐχέλαιον ἐποίησε, καὶ ἀποθανοῦσαν ἐκήδευσε καὶ περιφανῶς ἐμνημόνευσε. ἠρωτήθη οὖν ὁ Βουλωτὴς, εἰ μηνυθεὶς παρῃτήσατο καὶ τὴν ἐπιτροπίαν καὶ τὴν κληρονομίαν αὐτῆς· ὁ δὲ ταῦτα μὲν ὡμολόγησε, πλὴν ἄνευ, εἶπε, τῆς παναγίας μου τῆς Βλαχερνιτίσσης, εἰς τοῦτο γὰρ ἐμήνυσε μηδὲν ταύτην ποιῆσαι, ἠξίου δὲ ἐρωτηθῆναι τοὺς ἐν τῇ δευτέρᾳ διαθήκῃ μάρτυρας εἰπεῖν, εἰ ἀληθής ἐστιν ἡ διαθήκη· διέγνω οὖν καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, μηδὲν δίκαιον ἔχειν τὸν Βουλωτὴν κινεῖν ἢ ἐξετάζειν τὴν διαθήκην, ὅπως προέβη, ἅπαξ γὰρ παρῃτήσατο τὰ τῆς Ἀποκαυχίσσης, καὶ οὐδὲν δίκαιον ἔχει ταῦτ' ἀναζητεῖν ἢ ἐξετάζειν· περὶ δὲ τοῦ προσκυνήματος οὐ πάντως ἂν ἐπ' αὐτῷ διορίζεσθαι, ἵνα μηδὲν εἰς αὐτὸ διαπράξηται, ἀλλ' εἰς τὴν ἄδειαν ἦν τοῦτο τῆς Ἀποκαυχίσσης, τῆς κυρίας αὐτοῦ, εἰ μήπου ὁ Βουλωτὴς ἀποδείξει, αὐτῷ τὸ τοιοῦτον ἀνήκειν προσκύνημα· ἕξουσι τοίνυν αἱ μοναχαὶ ἕνεκεν τῶν τῆς Ἀποκαυχίσσης καὶ τῆς διαθήκης αὐτῆς τὸ ἀνενόχλητον καὶ πάντη ἀνεπηρέαστον ἀπό τε τοῦ Βουλωτοῦ καὶ τῆς αὐτοῦ γυναικὸς καὶ παντὸς τοῦ μέρους αὐτῶν. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ Ἰουνίῳ ἰνδ. θ' †.

## DCLVI. (6909—1401) iulio. ind. IX.

*Sententia in lite.*

† Ἡ Παλαιολογίνα κυρὰ Θεοδώρα, συνοδικῶς ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, ἔγκλησιν ἐποιήσατο κατὰ τῆς συμπενθέρας αὐτῆς, κυρᾶς Θεοδώρας τῆς Τρυχαδαίνης, εἰποῦσα, ὡς ὅτε ἔλαβε γαμβρὸν ἐπὶ τῇ θυγατρὶ αὐτῆς τὸν υἱὸν τῆς ῥηθείσης Τρυχαδαίνης, κῦρ ..... τὸν Τριχᾶν, συνεφώνησεν, ἵνα κρατῇ τὴν προῖκα ἡ Παλαιολογίνα, καὶ τρέφῃ χρόνον ὁλόκληρον τὰ παιδία αὐτῆς, ποριζομένη ἐκ τῶν τῆς προικὸς καὶ ταῦτα κινοῦσα· τοῦ τοίνυν γαμβροῦ τῆς Τρυχαδαίνης, τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κυρίου Ἰωάννου τοῦ Γουδέλη, εἰς τὰ κάτω μέρη ταξειδεύσειν μέλλοντος, ἔθηκεν ἡ Παλαιολογίνα μετὰ βουλῆς τῆς συμπενθέρας αὐτῆς προικῷα ἐγκόσμια, καὶ δανεισαμένη ὑπέρπυρα τριακόσια δέδωκεν αὐτὰ τῷ Γουδέλῃ, ἵνα πραγματεύσηται ταῦτα καὶ πορίσηταί τι ἐξ αὐτῶν διὰ τὴν ἔξοδον, ἣν εἰς τὰ παιδία εἶχεν. ἐλθόντος οὖν, βοηθείᾳ θεοῦ, τοῦ Γουδέλη ἀκινδύνως καὶ τοῦ τῆς συμφωνίας χρόνου πληρωθέντος καὶ τῶν παιδίων ἐξελθόντων ἐκ τῶν χειρῶν τῆς Παλαιολογίνης, ζητεῖ μὲν αὕτη τὴν ἐπικέρδειαν τῶν ῥηθέντων ὑπερπύρων, ἡ δὲ Τρυχάδαινα τοῖς παισὶν ἀνήκειν ταῦτα, ὧν ἦν καὶ ἡ προίξ, δι᾽ ὃ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτῇ. διαμηνυθεῖσα τοίνυν καὶ ἡ συμπενθέρα αὐτῆς καὶ μίαν καὶ δὶς, ἐπεὶ παρεγένετο ἀντ᾽ αὐτῆς ὁ ῥηθεὶς γαμβρὸς αὐτῆς, ὁ Γουδέλης, καὶ τὰ αὐτὰ εἶπε καὶ αὐτὸς, πλὴν ἠρώτησεν, ὡς εἴπερ κίνδυνος συνέβαινε, καὶ εἰς τὰς δύο πάντως ἂν ἔπιπτε τὰς τοῦτο πεποιηκυίας, καὶ διὰ τοῦτο καὶ τὸ κέρδος ὀφείλει ἀφορᾶν ἢ εἰς τὰς δύο ἢ εἰς τὰ παιδία, ἤκουσεν, ὅτι τοῖς μὲν παισὶν οὐκ ἀνήκει τὸ κέρδος, διὰ τὸ μετὰ τοιαύτης συμφωνίας καταδέξασθαι τὴν Παλαιολογίναν τρέφειν τὰ παιδία, ὥστε κατέχειν καὶ κινεῖν τὰ προικῷα αὐτῶν πράγματα, τὸ δὲ κέρδος εἰ καὶ μετὰ τὴν παραδρομὴν ἦλθε τοῦ χρόνου, ἀλλὰ τῆς ἐνεργείας καὶ μεταχειρίσεως ἦν ἐκείνου τοῦ χρόνου, καὶ ὀφείλει τοῦτο ἀφορᾶν εἰς τὴν Παλαιολογίναν, ἔνθα γὰρ ἦσαν τὰ βάρη, ἐκεῖ καὶ τὰ κέρδη· τὸ δὲ ταῖς δυσὶν ἀνήκειν, οὐκ ἔδοξεν εὔλογον, εἰ γὰρ ζημία συνέβαινε, πάντως ἂν εἰς τὰς τοῦτο ποιησάσας ἑώρα· ἐπεὶ δὲ κέρδος εὑρέθη, εἰς τὴν παρελθοῦσαν διατροφὴν τῶν παιδίων δοθήσεται τῇ Παλαιολογίνῃ, κατὰ τὴν συμφωνίαν. ἐπεὶ δὲ προεβάλλετο ὁ Γουδέ-

λης, ὡς δέδωκεν ἡ πενθερὰ αὐτοῦ χάριτος λόγῳ καὶ ἄλλα εἴδη καὶ κόσμια τοῖς παισὶ κατεπέκεινα τῶν προικῴων, καὶ ἐδόθησαν καὶ αὐτὰ εἰς ἐνέχυρον μετὰ τῶν προικῴων, διεγνώσθη, τὴν ἐπικέρδειαν ἐκείνων εἶναι τῶν παιδίων· ὀφείλει τοίνυν ἐπιστατηθῆναι παρὰ τῶν τιμιωτάτων ἐξωκατακήλων τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν υἱῶν τῆς ἡμῶν μετριότητος, διακόνων, τοῦ τε μεγάλου χαρτοφύλακος τοῦ Βαλσαμὼν, καὶ τοῦ πρωτεκδίκου, τοῦ Εὐγενικοῦ, καὶ ἐλευθερωθῆναι διὰ τῶν ῥηθέντων ὑπερπύρων τὰ ἐγκόσμια τὰ προικῷα καὶ παραδοθῆναι εἰς φυλακὴν τῇ τοῦ Τρυχᾶ μητρί, ὡς ἀρτίως παραλαβούσῃ τὰ παιδία, ὁμοίως δοθῆναι αὐτῇ καὶ ὅσον κέρδος εὑρεθῇ, κατ' ἀναλογίαν, ἀπὸ τῶν τῆς Τρυχαδαίνης σημαδίων τῶν δοθέντων χάριτος λόγῳ κατεπέκεινα τῆς προικὸς τοῦ γαμβροῦ, τὸ δὲ ἄλλο κέρδος καὶ τὰ σημάδια ἀποδοθῆναι τὰ μὴ ὄντα προικῷα καὶ τεθέντα παρὰ τῆς Παλαιολογίνης εἰς τὰ ῥηθέντα ὑπέρπυρα ἀποδοθῆναι αὐτῇ, ὀφείλει δὲ ἀποδοῦναι καὶ τὰ τετρακόσια ὑπέρπυρα τῆς προικὸς, ἐπεὶ ὁ τῆς συμφωνίας καὶ τῆς τῶν παίδων διατροφῆς χρόνος ἐτελειώθη, ὡς εἴρηται. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

## DCLVII. (6909—1401) iulio. ind. IX.

*Monachi monasterii Cosmidii promittunt, se sine consensu patriarchae res monasterii non esse venditturos.*

† Ἡμεῖς οἱ ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῶν ἁγίων καὶ θαυματουργῶν Ἀναργύρων καὶ ἐπικεκλημένῃ τοῦ Κοσμιδίου εὑρισκόμενοι ἱερομόναχοι τὴν παροῦσαν ἡμῶν ἔγγραφον ὑπόσχεσιν ποιοῦμεν πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑποσχόμεθα, ὡς εἴπερ ἀπὸ τῆς σήμερον πωλήσωμεν παρὰ γνώμην τῆς μεγάλης ἁγιωσύνης αὐτοῦ ἀπὸ τῶν ἱερῶν τοῦ μοναστηρίου ἡμῶν ἢ μάρμαρον ἢ ἄλλον ἀφιερωμένον τῷ θεῷ πρᾶγμα ἢ μικρὸν ἢ μέγα, ἵνα παραυτίκα καθαιρώμεθα τῆς ἱερωσύνης ἡμῶν ἀσυμπαθῶς, μηδένα λόγον ἢ τὴν οἱανοῦν πρόφασιν ἔχοντες προβαλέσθαι εἰς ἡμῶν δίκαιον καὶ ἀθῴωσιν.

τούτου γὰρ χάριν ἐγένετο καὶ ἡ παροῦσα ἡμῶν ὑπόσχεσις ὑπογραφεῖσα καὶ παρ' ἡμῶν δι' ἀσφάλειαν. μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

† Ὁ ἐν ἱερομονάχοις ἐλάχιστος Μαλαχίας καὶ προηγούμενος τὰ ἄνωθεν γεγραμμένα στέργων ὑπέγραφεν †.

† Ἀντώνιος ἱερομόναχος καὶ ἐκκλησιάρχης †

† Ἰάκωβος ἱερομόναχος †.

## DCLVIII. (6909—1401) iulio. ind. IX.

*Sententia in lite de imagine B. V. M.*

† Βατατζίνα ἡ Γαύραινα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κῦρ Δημητρίου τοῦ Βουλλωτοῦ, εἰποῦσα, ὅτι τὸ εἰκόνισμα τῆς παναγίας ἀχράντου ὑπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐπικεκλημένης τῆς Κουβουκλαραίας, γονικὸν ὂν αὐτῶν καὶ ἐνδιαθήκως παραπεμφθὲν τῇ θυγατρὶ αὐτῆς, Ἄννῃ τῇ Βατατζίνῃ, ἀπὸ τῆς μητρὸς μὲν αὐτῆς, μάμμης δὲ τῆς αὐτῆς θυγατρὸς, Καλῆς τῆς Γαυραίνης, παραλαβούσης καὶ αὐτῆς τοῦτο ἀπὸ διαθήκης τῆς αὐταδέλφης αὐτῶν, Ἀθανασίας μοναχῆς Γαυραίνης ἐκείνης, κρατεῖ νῦν ὁ Βουλλωτῆς, καὶ οὐ δίδωσι τοῦτο πρὸς αὐτὰς, ἵνα καρπῶνται τὸ εἰσόδημα αὐτῶν, ἐπεὶ περιώνυμον προσκύνημά ἐστιν, ἐζήτησεν οὖν ἀντικριθῆναι αὐτῷ· παρὼν δὲ καὶ ὁ Βουλλωτῆς καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς, τὰς διαθήκας καὶ τῶν ῥηθεισῶν δύο ἀδελφῶν ἐνεφάνισεν, αἳ διελάμβανον, ἡ μὲν τῆς πρώτης ἐκείνης Ἀθανασίας τῆς Γαυραίνης, ἵνα μερίζηται τὸ ἐκ τῆς ἁγίας εἰκόνος περιερχόμενον ἅπαν εἰσόδημα δι' ἀναθημάτων εἰς τρία μεριδικὰ, καὶ τὸ μὲν ἓν ἐπαφῆκεν, ἵνα ἐξοδιάζηται ὑπὲρ τῆς ἐκκλησίας, ἐν ᾗ εὑρίσκετο τότε ἡ ἁγία εἰκὼν, τὸ δὲ ἕτερον μεριδικὸν ἵνα ἔχῃ ὁ ἀδελφὸς αὐτῶν, ἱερεύς τις Γαυρᾶς, τὸ δὲ τρίτον μεριδικὸν ἵνα ἔχῃ Καλὴ, ἡ ἀδελφὴ αὐτῆς, ἥτις ἀποθνήσκουσα ἀφῆκεν ὅσον ἔχει μεριδικὸν, πρὸς τὴν ῥηθεῖσαν θυγατέρα τῆς Βατατζίνης. καὶ περὶ μὲν τοῦ ἀπὸ ἀναθημάτων εἰσοδήματος οὕτω διελάμβανεν ἡ πρώτη διαθήκη τῆς πρώτης Γαυραίνης, περὶ δὲ τοῦ διὰ λειτουργιῶν καὶ παρακλήσεων, κηροῦ τε καὶ ἐλαίου εἰσοδήματος διελάμβανεν, ἵνα μερίζηται ἐξ ἴσου εἴς τε τὸν ψάλλοντα τὸν ναὸν ἱερέα

καὶ τοὺς ῥηθέντας δύο κληρονόμους ἐκείνης τὸ ἥμισυ· καὶ ταῦτα μὲν οὕτως ἀπὸ τῆς διαθήκης καὶ τῆς πρώτης Γαυραίνης καὶ τῆς δευτέρας ἀνεφάνησαν. ἐπεὶ δὲ ὁ Βουλλωτὴς ἠρωτήθη, πῶς κρατεῖ νῦν αὐτὸς τὸ τοιοῦτον προσκύνημα, ἐκβαλὼν ἀπὸ τῆς ἐκκλησίας ἐκείνης, ἐν ᾗ εὑρίσκετο, εἶπεν, ὡς ὁ Γαυρᾶς ἐκεῖνος ὁ παπᾶς εἶχε μεθ' ἑαυτοῦ τὸ τοιοῦτον προσκύνημα, λαβὼν ἀπὸ τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος δι' ἐγγυητοῦ εἰς ὑπέρπυρα τριακόσια, ὃν ἔδωκε διὰ τὸ τὴν ἀδελφὴν αὐτοῦ, τὴν δευτέραν Γαύραιναν, ἔτι ζῶσαν λαβεῖν τὸ τοιοῦτον προσκύνημα καὶ ἀποδιδράσκειν μὲν ἔξω τῆς πόλεως, φωραθεῖσαν δὲ καὶ διὰ τοῦτο ἀφαιρεθεῖσαν τὸ τοιοῦτον προσκύνημα ὑπὸ τοῦ βασιλέως τοῦ ἁγίου· βουληθέντος οὖν καὶ τοῦ παπᾶ Γαυρᾶ ἔξω τῆς πόλεως ἐξελθεῖν, διὰ τὴν ἐνταῦθα ἔνδειαν, πάλιν δέδωκε τὸ τοιοῦτον προσκύνημα πρὸς τὸν βασιλέα τὸν ἅγιον, ἐλευθερώσας τῆς ἐγγύης, ὃν εἰς τοῦτο ὑπέθηκε· παρακληθεὶς δὲ καὶ ὑπὸ τῆς Γαυραίνης καὶ ὑπὲρ τῆς ῥηθείσης Βατατζίνης ὁ Βουλλωτὴς ὑπέθηκεν ἑαυτὸν εἰς ἐγγύην ὑπερπύρων διακοσίων, καὶ οὕτως ἔλαβε καὶ αὐτὸς ὑπὲρ αὐτῶν τὸ προσκύνημα ἀπὸ τοῦ βασιλέως τοῦ ἁγίου, παραγγελίαν δεξάμενος, μηδέποτε ἐκβαλεῖν αὐτὸ ἀπὸ τῶν χειρῶν αὐτοῦ ἄνευ ὁρισμοῦ ἐκείνου· ἀπερχομένου δὲ καὶ εἰς τὸ ὑπὲρ τῶν χριστιανῶν ταξίδειον, τοῦ βασιλέως τοῦ ἁγίου καὶ ἀποκαταστήσαντος αὐτὸν πάλιν εἰς τὸ προσκύνημα καὶ ἐπίτροπον, οὐ δύνασθαι εἶπεν ἀπολῦσαι αὐτὸ ἀπὸ τῶν χειρῶν αὐτοῦ, εἰ μὴ λυθείη καὶ τῆς ἐγγύης, ἣν ἐγγράφως δέδωκε τῷ βασιλεῖ τῷ ἁγίῳ, καὶ τῆς ἐπιτροπίας, ἣν ἀνέθετο αὐτῷ, τῆς πόλεως ἐξερχόμενος, περὶ δὲ τοῦ εἰσοδήματος αὐτοῦ εἶπεν, ὡς ἐλθοῦσαι εἰς τὴν ἐκκλησίαν αὐτοῦ, εἰς ἣν εὑρίσκεται, ἐπιστατείτωσαν αὐτὸ, καθὼς ἂν συνοδικῶς διακρίνομεν. τούτων οὖν οὕτως ὑπὸ τοῦ Βουλλωτοῦ λεχθέντων, ἐπεὶ οὐδὲ ἡ Βατατζίνα ἀντειπεῖν ὅλως εἶχε πρὸς ταῦτα, διέγνω καὶ ἀπεφήνατο συνοδικῶς ἡ μετριότης ἡμῶν, τὸ μὲν προσκύνημα μένειν παρὰ τῷ Βουλλωτῇ, μέχρις ἄν, συνάρσει θεοῦ, ἐπανέλθοι ὁ βασιλεὺς ὁ ἅγιος εἰς τὴν μεγαλόπολιν, καὶ διαγνῷ περ αὐτοῦ, ὅ τι ἂν αὐτῷ φανείη, τὸ δὲ εἰσόδημα αὐτοῦ, τὸ μὲν δι' αναθημάτων μερίζηται εἰς τρία μεριδικὰ, καὶ τὸ μὲν ἓν ἐξοδιάζηται εἰς ἐκεῖνον τὸν ναὸν, εἰς ὃν ἵστατο τὸ προσκύνημα, καὶ εἰς ὃν ἐπαφῆκεν αὐτὸ ἡ πρώτη Γάβραινα ἐκείνη κατὰ τὴν ἐκείνης ἐπιτελεύτιον βούλησιν, τὰ δὲ δύο μεριδικὰ λαμβάνῃ ἡ ῥηθεῖσα Ἄννα ἡ Βατατζίνα, τὸ

μὲν ὡς ἀνῆκον αὐτῇ ἀπὸ κληρονομίας, τὸ δὲ διακρίσει ἡμετέρᾳ ὡς εἰς ἐλεημοσύνην καὶ μερίδα τοῦ πάππου αὐτῆς, τοῦ παπᾶ Γαυρᾶ, μέχρις ἂν ἢ ἐκεῖνος ἢ κληρονόμος ἐκείνου ἐπανέλθοι ἐνταῦθα, τότε γὰρ λήψεται ἐκεῖνος τὸ ῥηθὲν τρίτον μεριδικόν· τὸ δὲ διὰ λειτουργιῶν καὶ παρακλήσεων εἰσόδημα, ἐπεὶ ἐν τῇ ἐκκλησίᾳ εὑρίσκεται τοῦ Βουλλωτοῦ, διαγινώσκομεν, ἵνα μερίζηται ἐξ ἴσου, καὶ τὸ μὲν ἥμισυ λαμβάνῃ ὁ ἱερεὺς ὁ ψάλλων αὐτό, μέχρις ἂν εὑρίσκηται ἐν αὐτῷ, τὸ δὲ ἥμισυ λαμβάνῃ καὶ αὐτὸ ἡ Βατατζίνα, μέχρις ἂν ἐπανέλθῃ τὸ μέρος τοῦ παπᾶ Γαυρᾶ, καὶ λαμβάνῃ κἀκεῖνο τὸ ἀνῆκον αὐτῷ. τούτου γὰρ χάριν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

## DCLIX. (6909—1401) iulio. ind. IX.

*Patriarcha iterum vituperat metropolitam Thessalonicensem de iudicio, quod in hieromonachum Nathanaël et monachos Maximi tulerat.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. περὶ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κυρίου Ναθαναὴλ, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, καὶ περὶ τῶν ἱερομονάχων τοῦ κυρίου Μαξίμου προεγράψαμεν τῇ σῇ ἱερότητι, ὅσα ἔδοξαν ἡμῖν κανονικά τε καὶ δίκαια· οὐδεμία γοῦν γέγονε διόρθωσις, ὡς ἐμάθομεν, ἀλλ' οὐδὲ γράμμα τὸ τυχὸν ἢ ἀπολογίαν ἐδεξάμεθα παρὰ τῆς σῆς ἱερότητος, εἰ μὴ τὴν ἐνθύμησιν, ἣν ἀνέθηκας τῷ ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ υἱῷ τῆς ἡμῶν μετριότητος, κῦρ Μάρκῳ τῷ Σαγουδήνῳ, ἐν ᾗ προβάλλῃ, ὡς οὔτε καθαίρεσιν οὔτε ἀνάθεμα οὔτε ἀφορισμὸν ἐξεφώνησας κατὰ τοῦ ῥηθέντος κῦρ Ναθαναὴλ, ἀλλὰ ἀργίαν μόνην διὰ τὰ ὑπ' αὐτοῦ προβάντα, ἔξω τῶν ἱερῶν καὶ θείων κανόνων ὄντα, καὶ δι' ἃ ἐσκανδαλίσθησαν πολλοί, οὐ μόνον οἱ τῆς ἡμετέρας πίστεως, ἀλλὰ καὶ οἱ ἀλλότριοι, καὶ ὅτι αὐτὸν ἐξέδωκέ σοι ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης ἐκεῖνος, κῦρ Κάλλιστος, καὶ ἔπραξας εἰς κληρικὸν σὸν τὸ δόξαν σοι κανονικόν· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα προβάλλῃ περὶ αὐτοῦ. θαυμάζομεν οὖν, πῶς τοιαῦτα προτείνεις, ἢ πῶς ἐξέδωκέ σοι αὐτὸν ὁ πατριάρχης ἐκεῖνος ὁ ἁγιώτατος,

δῆλον γάρ, ὅτι τοῦτο ὁ κῦρ Ναθαναὴλ οὐκ ἐζήτησε. πῶς γὰρ ὃς κατέφυγε πρὸς τὴν πατριαρχικὴν σκέπην τε καὶ δεφένδευσιν καὶ ἐπορίσατο γράμματα καὶ δύο καὶ τριῶν πατριαρχῶν, ἵνα μὴ ἐπηρεάζηται παρὰ τοῦ τυχόντος· ἀλλ' οὐδὲ ὁ πατριάρχης ἐκεῖνος ἐξέδωκε τοῦτον, μηδενὸς αἰτοῦντος οὔτε μὴν οἱ συνήθεις πατριαρχικοὶ γραμματικοὶ μέμνηνταί τι τοιοῦτον γραφὲν παρ' αὐτῶν· εἰ δὲ καί, σοῦ ζητήσαντος, τοῦτο ἐγένετο, ἐζήτησας δὲ αὐτὸν οὐ κατὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν, ἐπεὶ καὶ ὁ πατριάρχης ἄδειαν ἔχει κληρικοὺς λαβεῖν παρ' ὅτου ἂν βούλεται μητροπολίτου, ἀλλ' ἐπὶ προβιβασμῷ καὶ προκοπῇ καὶ τιμῇ μείζονι, καὶ μὴν καὶ ὁ πατριάρχης πολλάκις κληρικὸν ἑαυτοῦ ἐκδίδωσιν ἀξιώσει μητροπολίτου, ἵνα προβιβάσῃ καὶ τιμήσῃ καὶ προκόψῃ αὐτόν, ἔνδειαν ἔχων ἀνθρώπων κατ' αὐτὸν δὴ τὸν αἰτηθέντα, οὐκ ἐκδίδωσι ἐ οὔτε πατριάρχης τὸν ἑαυτοῦ, οὔτε μητροπολίτης αἰτεῖ ἐπὶ τῷ κακοποιῆσαι καὶ φθεῖραι καὶ ἀτιμάσαι καὶ τῷ ἰδίῳ θυμῷ καὶ φθόνῳ χαρίσασθαι, ὃς δὴ σύζυγος τοῦ φόνου ἐστί, κατὰ τὸν μέγαν ἐν ἁγίοις Βασίλειον· „φεύγετε τὸν φθόνον, διαγορεύοντα, ὡς σύζυγον τοῦ φόνου·“ εἰ γοῦν καὶ ἡ ἔνδοσις τοῦ παπᾶ κῦρ Ναθαναὴλ γέγονεν, ὡς προβάλλῃ, σοῦ αἰτήσαντος, γένονεν οὐκ ἐπ' ἀγαθῷ, ἀλλὰ θυμὸν καὶ πάθος ἴδιον κατ' αὐτοῦ ἐμπληρῶσαι· τοῦτο δὲ λέγομεν, εἰδότες, ἅπερ συνέβησαν μεταξὺ σοῦ καὶ αὐτοῦ περὶ τῆς μητροπόλεως, διὸ καὶ τὸ εἰς αὐτὸν γεγονὸς αὐτόθι ἀργὸν ἔχομεν καὶ ἄκυρον καὶ ἀνατετραμμένον καὶ θυμοῦ καὶ φθόνου ἔργον καὶ ἀποτέλεσμα καὶ αὐτὸν ἐνεργεῖν εἰς πᾶσαν ἱερωσύνην ὡς κληρικὸν πατριαρχικὸν καὶ παρὰ κανόνας ἀργήσαντα, ἵνα ὃ προβάλλῃ, εἴπωμεν καὶ ἡμεῖς, καὶ ἀδίκως ἀφαιρεθέντα τὸ ἱερουργεῖν· ἱερουργείτω τοίνυν ἀκωλύτως εἰς πᾶσαν τὴν Θεσσαλονίκην, συλλειτούργησον αὐτῷ καὶ σὺ κατὰ πᾶσαν ἀνάγκην· τοῦτο γάρ ἐστι συνοδικὴ παρακέλευσις. καιροῦ δέ γε καλοῦντος λαληθήσονται συνοδικῶς καὶ ὅσα ἔχεις κινεῖν κατ' αὐτοῦ, καὶ ὅσα ἢ αὐτὸς ἢ ἕτερός τις τῶν ἁπάντων ἔχει κινῆσαι καὶ κατὰ τῆς σῆς ἱερότητος, καὶ μακάριον, εἴπερ μὴ εὑρεθῇς, ἅπερ αὐτῷ ἐγκαλεῖς, τούτοις ἐνεχόμενος. πρὸ δέ γε τῆς κρίσεως, ὡς ἡ σὴ ἱερότης ἔχει τὸ ἐνεργεῖν, οὕτω καὶ αὐτὸς κατὰ πᾶσαν ἀνάγκην ἐνεργείτω καὶ συλλειτουργείτω σοι, κρίσις δὲ τὸ αὐτόθι προβὰν κατ' αὐτοῦ οὐκ ἔστιν, ἀλλὰ δεῖται κρίσεως καὶ αὐτό. γράφεις καὶ περὶ τῶν τοῦ κῦρ Μαξίμου ἱερομονάχων, ὡς οὔτε ἤργησας, οὔτε ἠφόρισας αὐτούς, ἀλλὰ μόνον ἀπέσχισας σαυτὸν

τε καὶ τοὺς ὑπὸ σὲ διὰ τὴν ἀταξίαν αὐτῶν ἀπ' αὐτῶν, ὅτι σφόδρα ἠτάκτησαν οἱ ἀδελφοί· οὔτε γοῦν ἤργησας, οὔτε ἠφόρισας αὐτούς, ὡς λέγεις, ἀλλ' ὅπερ ποιεῖν ὀφείλουσιν οἱ ὀρθόδοξοι εἰς μόνους τοὺς ἀποδειχθέντας αἱρετικοὺς μετὰ κρίσεως, τοῦτο ἐποίησας εἰς αὐτοὺς πρὸ κρίσεως· καὶ τίς ἔχει ἄδειαν, χωρὶς αἱρέσεως, ἀποσχίζεσθαι ἀπὸ ὀρθοδόξων; ἢ οὖν καὶ ἡμεῖς ὀφείλομεν ἀποσχισθῆναι ἀπ' αὐτῶν, εἴπερ εἰσὶν αἱρετικοί, ἢ εἴπερ εἰσὶν ὀρθόδοξοι, ὥσπερ εἰσί, θεοῦ χάριτι, ἀποσχίζεις δὲ καὶ σαυτὸν καὶ τοὺς ὑπὸ σὲ ὀρθοδόξους ἀπ' αὐτῶν, πάντως ὁ τοὺς ἡμετέρους ἀκοινωνήτους ἔχων καὶ ἡμῶν ἀποσχίζηται· τί γοῦν καὶ ἡμεῖς ὀφείλομεν κανονικῶς εἰς αὐτὸν διαπράξασθαι, αὐτὸς σκόπησον, τὸν ιδ' ἀναγνοὺς κανόνα τῆς ἐν Σαρδικῇ συνόδου καὶ τὸν ιη' τῆς αὐτῆς, οὐ μὴν ἀλλὰ καὶ ἡ ἑπτακαιδεκάτη διατάξις τοῦ α' τίτλου τῶν νεαρῶν φησιν ἐπὶ λέξεως· „ὅτι ἐπίσκοπος ἢ πρεσβύτερος χωρὶς κανονικῆς αἰτίας ἀφορίζων τινὰ τῆς κοινωνίας, λυομένου τοῦ χωρισμοῦ ὑπὸ τοῦ μείζονος ἱερέως, αὐτὸς ἀκοινώνητος γίνεται, ἐφ' ὅσον χρόνον ὁ ἱερεύς, ὑφ' ὃν τελεῖ, συνίδοι.“ τί δὲ κανονικόν ἐστι τὸ δι' ἀταξίαν ἀποσχίζεσθαι πιστῶν ἢ ποῦ δίκαιον τὴν ἀταξίαν τῶν ἡμετέρων κληρικῶν αὐτὸν σὲ τιμωρεῖν ἢ χωρὶς τοῦ ἡμῖν προσαγγεῖλαι τὴν αὐτῶν ἀταξίαν, καὶ ποία τίς ἐστι καὶ ποταπή, πῶς ἀπέσχισας σαυτὸν ἀφ' ἡμῶν, ἀποροῦμεν, εἰς ἡμᾶς γὰρ ἀφορᾷ τὸ εἰς τοὺς ἡμετέρους γινόμενον· ἢ τοίνυν τὰ παρὰ κανόνας αὐτόθι παρά σου γεγονότα κατάλυσον, κοινωνικοὺς κανονικῶς, οὓς ἀκοινωνήτους εἰργάσω παρὰ κανόνας, ποιήσας καὶ συλλειτουργῶν καὶ χρώμενος ἑκάστῳ εἰς ἣν εὑρέθη τάξιν τε καὶ βαθμὸν καὶ μάλιστα τῷ ἱερομονάχῳ κῦρ Ναθαναὴλ συλλειτουργῶν καὶ τὰ κατ' αὐτοῦ, ὡς ἀδρανῆ καὶ ἀράχνια ὑφάσματα διαλυσάμενος, ἢ εἰς τὰ παρὰ κανόνας ταῦτα τὴν κανονικὴν ἡμεῖς ἀκρίβειαν ἐκφωνήσομεν, ἣν ἀνεβαλλόμεθα διὰ τὸ φιλάδελφον· ὅπερ ἵνα μὴ γένηται, ποίησον, καθά σοι παρακελευόμεθα, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

## DCLX. (6909—1401) iulio. ind. IX.

*Patriarcha metropolitam Thessalonicensem monet, ut monachis Acapnii reddat facultates eorum.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. γινώσκεις, ὅτι πρὸ χρόνων ἔγραφεν ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης ἐκεῖνος, ὁ κῦρ Ἀντώνιος, καὶ ἅπαξ καὶ δὶς καὶ πρὸς σὲ καὶ πρὸς τὸν μακαριώτατον ἐκεῖνον μητροπολίτην Θεσσαλονίκης, κῦρ Ἰσίδωρον, περὶ τοῦ τῶν Ἀκαπνιωτῶν κτήματος, τῆς Βολάδος, καὶ ἀντέγραφας καὶ ἀπελογήθης ἐκείνῳ, διὸ καὶ ἐδέησε καὶ συνήχθη ἡ σύνοδος, καὶ ἀνεγνώσθη ἡ ἔγγραφός σου ἀναφορά, καὶ ἐγένετο κρίσις συνοδικὴ καὶ ἀπεφήνατο ἐγγράφως, ὧν καὶ τὰ ἴσα κατὰ τὴν συνήθειαν κεῖνται ἐν τῷ ἱερῷ κώδικι· ἐξ ἐκείνου οὖν μέχρι τῆς σήμερον ὀκτὼ καὶ ἐπέκεινα χρόνοι παρῆλθον, καὶ κατέχεται, ὡς ἀρτίως ἐπληροφορήθημεν, τὸ ἀλλότριον παρὰ τῆς σῆς ἱερότητος ὡς καὶ πρότερον. ἐξεπλάγημεν οὖν καὶ ἐθαυμάσαμεν, πόσα ἴσχυσεν ἡ ἀδικία καὶ πλεονεξία, καὶ οὔτε θεῖος νόμος σε ἐδυσώπησε, καὶ ταῦτα τοῦ μεγάλου Παύλου διαρρήδην βοῶντος καὶ λέγοντος· „φεύγετε τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία.“ καὶ πάλιν ἑτέρωθι· „μὴ πλανᾶσθε, οὔτε πόρνοι, οὔτε μοιχοί, οὔτε ἀρσενοκοῖται, οὔτε ἄδικοι βασιλείαν θεοῦ κληρονομήσουσιν.“ οὔτε οἱ θεῖοι καὶ ἱεροὶ κανόνες, οὔτε οἱ φιλευσεβεῖς νόμοι, οὔτε πατριαρχικὰ γράμματα καὶ συνοδικὴ ἀπόφασις ἐμάλαξαν τὴν σὴν ἱερότητα, ἵνα ἀποδῷς τὸ ἀλλότριον, ἀλλ', ὡς ἔοικε τῷ πάθει τῆς πλεονεξίας, συνεισῆλθε τὸ πάθος τῆς ὑπερηφανίας, ἵνα ἡ γραφὴ πληρωθῇ· „ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος“. τί γοῦν ἄλλο ἕπεται ἢ τὸ „κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν;“ ἀξιοῦμεν οὖν τὴν σὴν ἱερότητα, ἵνα καὶ τὴν ἐπιθυμίαν, ἣν ἔχεις εἰς τὰ ἀλλότρια, ἐκβάλῃς τῆς σῆς ψυχῆς, καὶ τὴν ὑπερηφανίαν καταπατήσῃς διὰ τῆς ταπεινοφροσύνης καὶ τὸ κοινωνικὸν καὶ φιλάδελφον τηρήσῃς, ὡς ἂν μετὰ παρρησίας τὸ κυριακὸν ἀναγινώσκεις ῥητόν· „καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως“. καλὸν μὲν γὰρ καὶ μακάριον ἦν, ἵνα ἀπὸ τῶν καιρῶν ἐκείνων, ἐν ᾧ τὴν συνοδικὴν ἐδέξω ἀπόφα-

σιν ἀφίῃς καὶ ἀποδῷς τὸ ἀλλότριον μετὰ τῶν οἰκείων καρπῶν, ἐκβληθεισῶν τῶν εὐλόγων ἐξόδων, οὕτω γὰρ ἔμελλον λείπειν καὶ τὰ διὰ μέσου συμβαίνοντα· ἐπεὶ δὲ οὔτε φόβος θεοῦ, οὔτε ἡ ἀποστολικὴ νομοθεσία τε καὶ διδασκαλία, οὔτε ἡ τῶν ἁγίων πατέρων παράδοσις, οὔτε οἱ φιλευσεβεῖς νόμοι, οὔτε τὸ τὰ ἴδια μέτρα τηρῆσαι καὶ μὴ ὑπερβῆναι τὴν οἰκείαν τάξιν (τὸ δέ ἐστιν μένειν ἐντὸς τῶν οἰκείων ὅρων καὶ πείθεσθαι τοῖς διαγνωσθεῖσι κανονικῶς παρὰ τοῦ πρώτου τῆς ἐπαρχίας καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου) ἴσχυσαν πάντα, ἵνα σε καταπείσωσιν ἀπολῦσαι τὸ ἀλλότριον, ἤδη πάλιν γράφομέν σοι, καὶ συνοδικῶς ἀποφαινόμεθα, ἵνα ὅπερ οὐκ ἴσχυσαν τὰ ῥηθέντα πάντα ποιῆσαι, κἂν ἡ παράτασις ποιήσῃ τοῦ τοσοῦδε καιροῦ, καὶ εἰ μὲν ἅμα τῷ δέξασθαι τὴν παροῦσαν συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν ἀποδῷς τὸ ἀλλότριον μετὰ τῶν εἰσοδημάτων αὐτῶν, ἐκβληθεισῶν πρότερον τῶν εὐλόγων ἐξόδων, τῷ θεῷ χάρις· εἰ δὲ καὶ ἔτι ἀπειθήσεις καὶ παρoποκρατήσεις τὰ ἀλλότρια, ἀκόλουθα τοῖς προαποπεφασμένοις παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου, τῶν καθευρεθέντων τότε ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Κυζίκου, τοῦ Νικομηδείας· τοῦ Μύρων, τοῦ Κορίνθου, τοῦ Χερσῶνος, τοῦ Σουγδαΐας, τοῦ Ζηκχίας, τοῦ Μηδείας καὶ τοῦ Μαυροβλαχίας, καὶ ἡμεῖς ψηφιζόμενοι γνώμῃ καὶ τῶν παρατυχόντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Γοτθίας καὶ τὸν τόπον ἐπέχοντος τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ μέρους Οὐγκροβλαχίας τῆς κατὰ τὸν Σεβερῖνον, τοῦ Μηδείας καὶ τοῦ Δέρκω, ἀργίαν παντελῆ πάσης ἀρχιερατικῆς ὑπηρεσίας ἐκφωνοῦμεν κατὰ τῆς σῆς ἱερότητος· εἰ δὲ καὶ μετὰ τὸ δέξασθαι τὴν παροῦσαν γραφὴν καὶ ἀπειθῆσαι καὶ ἱερατικοῦ τινος ἅψασθαι ἐπιχειρήσεις, ἔχομέν σε καὶ ὑπὸ βαρύτατον καὶ φρικώδη ἀφορισμόν, καὶ καιροῦ διδόντος, εἰ μὲν ἐν τοῖς ζῶσιν εὑρεθῇς, εἰρήνης γενομένης, λόγον ἀποδώσεις συνοδικῶς περὶ τούτων ἐνταῦθα, εἰ δὲ προαπέλθῃς, λόγον ὑφέξεις ἐν ἡμέρᾳ κρίσεως τῷ θεῷ, οὐ μόνον περὶ τῆς ἀργίας σου, ἀλλὰ καὶ περὶ τοῦ ἀφορισμοῦ τοῦ κατὰ σοῦ ἐκφωνηθέντος, ὅπερ ἵνα μὴ γίνηται, ἀπόδος τὸ ἀλλότριον μεθ' ὧν εἴπομεν, ἀπολαβὼν μόνας τὰς εὐλόγους ἐξόδους. ἐμάθομεν, ὅτι καὶ βιβάριον τῶν Προδρομηνῶν λαβὼν ἥνωσας τοῖς τῆς ἐκκλησίας βιβαρίοις· ἀποροῦμεν οὖν, πῶς τοιαῦτα ποιεῖς εἰς τοὺς ἡμετέρους, ἢ τίσι λογισμοῖς τὴν συνείδησιν ἔχεις εἰρηνεύουσαν, καὶ πῶς ἅπερ ἡ κοσμικὴ ἐξουσία ἐφείσατο καὶ

ἀφῆκε τοῖς δεδιωγμένοις μοναχοῖς ἀπὸ τῆς ἑαυτῶν μονῆς, ταῦτα αὐτὸς ἔλαβες καὶ ἐπέξανας ὡς εἰπεῖν τραύματα κεκακωμένων ταῖς μάστιξιν, καὶ λέγεις εἰς τὰς ἐνθυμήσεις σου, ὅτι προνοεῖ τῶν πατριαρχικῶν δικαίων καὶ μοναστηρίων, ἔργοις δὲ βλάπτεις καὶ καταλύεις αὐτά, ἐπεὶ τίνα λόγον ἔχει μὴ ἔχειν τοὺς δεδιωγμένους μοναχοὺς καὶ τὴν μονήν, ᾗ προσέδραμον, καὶ τὰ αὐτῶν κτήματα πάντα, ἀλλ' ἀφελεῖν τὸ βιβάριον αὐτῶν τὴν σὴν ἱερότητα; οὐ ταῦτα πλεονεξία καὶ ἀδικία ἐσχάτη καὶ ἁρπαγὴ τῶν ἀλλοτρίων; καὶ εἰ μὲν εἰς κληρικούς σου ἐτολμᾶτο, κἀκεῖνοι οὐκ ἐφησύχαζον, ἀλλὰ συνοδικῶς κρίσιν ἐζήτουν, καὶ ἔκκλητον πάντως οὐκ ἐμέλλομεν ἐφησυχάζειν, ἀλλ' ἢ τὸ ἀλλότριον ἂν ἐπεδίδως, ἢ ἐκρίνου ἂν συνοδικῶς μετ' ἐκείνων. νῦν δὲ ἐπεὶ εἰς τοὺς ἡμετέρους κληρικοὺς ταῦτα τολμᾶται, ποῦ δίκαιον ἐφησυχάζειν ἡμᾶς, ἢ πρὸς τίνας ἀναδραμεῖν μέλλουσιν οἱ ἀποστερούμενοι καὶ τῶν δικαίων τυχεῖν, εἰ μὴ πρὸς ἡμᾶς; διὸ παρακελευόμεθα κατὰ πᾶσαν ἀνάγκην, ἵνα ἀποδῷς τοῖς τοῦ Ἀκαπνίου μοναχοῖς τό τε κτῆμα αὐτῶν, τὴν Βολάδα, μετὰ καὶ τῆς μορτῆς καὶ τῶν εἰσοδημάτων πάντως ἐφ' ὅσους χρόνους κρατεῖς καὶ δυναστεύεις αὐτό, καὶ τὴν νομήν, ἣν εἶχε τὸ τοιοῦτον κτῆμα, τὸν Κολυδράν, ὁμοίως ἀποδῷς καὶ τοῖς πρώην μὲν Προδρομηνοῖς, νῦν δὲ Ἀκαπνιώταις, εἴπερ ἔχει οὕτως, ὡς ἠκούσαμεν, τὸ βιβάριον αὐτῶν, περιορίσας αὐτό, ὡς ἦν ἐξ ἀρχῆς, καὶ ἄλλως μηδὲν γένηται. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. η' †.

## DCLXI. 6909 (1401) iulio. ind. IX.

*Patriarchae litteras datas ad metropolitam Thessalonicensem de facultatibus monasterii Pantocratoris.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. αὐτόθι ἠκούσαμεν, ὡς ἐτολμήθη τι πρᾶγμα βαρύ τε καὶ ὀλέθριον τῷ τετολμηκότι, τοῖς τε ἐφησυχάσασι, τὸ δέ ἐστιν ὁ τοῦ Παντοκράτορος ἡγούμενος, ὁ παπᾶς Θεόδοτος, προβαλλόμενος, ὅτι ἔχει δικαίωμα ἡγούμενον γίνεσθαι εἰς τὸ τοῦ ἁγίου Ἀθανασίου μονύδριον

ἀπὸ τῆς τοῦ Παντοκράτορος μονῆς, ἧς νῦν ἐστιν αὐτὸς ἐγκρατής, ἐδημεύθη δὲ παρὰ τῶν ἀρχόντων τοῦ τόπου τὸ ῥηθὲν τοῦ ἁγίου Ἀθανασίου μονύδριον, εἶτα ἀπελύθη, καὶ πάλιν ἐγένετο ἐγκρατὴς αὐτοῦ ὁ παπᾶς Θεόδοτος, τὰ μὲν τοῦ μονυδρίου κελλία κατεχάλασε πάντα, ἓν δέ τι μέγα ὀσπήτιον περιλειφθὲν μετὰ τῆς ἐκκλησίας ἐπώλησε πρός τινα ἀλλότριον τῆς ἡμετέρας πίστεως, τὰ προσόντα τῷ μονυδρίῳ κτήματα ἰδιοποιησάμενος καὶ κατασχὼν αὐτός, ὃ δὴ μονύδριον ἡνώθη πρὸ καιροῦ τῇ μονῇ τοῦ Ἐξαζηνοῦ διὰ γραμμάτων τοῦ μακαρίτου ἐκείνου, κὺρ Δωροθέου, ὃς δὴ καὶ τὴν τοῦ Παντοκράτορος μονὴν συνέστησε τὸ καταρχήν. θαυμάζομεν οὖν, πῶς τούτων τολμηθέντων οὐκ ἐγένετο ἡ προσήκουσα θεραπεία τε καὶ διόρθωσις παρὰ τῆς σῆς ἱερότητος, εἴπερ ἔχει οὕτως, ὡς ἠκούσαμεν, οἶδας γάρ, οἵᾳ καταδίκῃ ὑπεύθυνος γίνεται παρὰ τῶν θείων καὶ ἱερῶν κανόνων ὁ τολμήσας ἱερόν τι ἢ μονύδριον ἐκποιήσασθαι καὶ πρὸς πιστούς· ὅταν δὲ καὶ πρὸς ἀλλοτρίους τῆς ἡμετέρας πίστεως ἡ τῶν ἱερῶν καὶ τῆς ἐκκλησίας ἐκποίησις γένηται, τί χρὴ καὶ λέγειν; φησὶ γοῦν ὁ τῶν ἐν Χαλκηδόνι ἁγίων πατέρων κδ' κανών· „τὰ ἅπαξ ἀφιερωθέντα μοναστήρια κατὰ γνώμην ἐπισκόπου μένειν εἰς τὸ διηνεκὲς μοναστήρια καὶ τὰ ἀνήκοντα αὐτοῖς πράγματα φυλάττεσθαι τῷ μοναστηρίῳ καὶ μηκέτι δύνασθαι γίνεσθαι ταῦτα κοσμικὰ καταγώγια, τοὺς δὲ συγχωροῦντας τοῦτο γίνεσθαι ὑποκεῖσθαι τοῖς ἐκ τῶν κανόνων ἐπιτιμίοις.“ τὰ αὐτὰ δὲ καὶ ὁ μθ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ς' συνόδου φησὶ καὶ ταῖς αὐταῖς λέξεσι. ὁ δὲ ιγ' κανὼν τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ' συνόδου φησὶν ἐπὶ λέξεως οὕτως· „ἐπειδὴ διὰ τὴν γινομένην διὰ τὰς ἁμαρτίας ἡμῶν συμφορὰν ἐν ταῖς ἐκκλησίαις καθηρπάγησάν τινες εὐαγεῖς οἶκοι ὑπό τινων ἀνδρῶν, ἐπισκοπεῖά τε καὶ μοναστήρια, καὶ ἐγένοντο κοινὰ καταγώγια, εἰ μὲν οἱ διακρατοῦντες ταῦτα προαιροῦνται ἀποδιδόναι, ἵνα κατὰ τὸ ἀρχαῖον ἀποκατασταθῶσιν, εὖ καὶ καλῶς ἔχει· εἰ δὲ μή γε, εἰ μὲν τοῦ καταλόγου τοῦ ἱερατικοῦ εἰσι, τούτους καθαιρεῖσθαι προστάσσομεν, εἰ δὲ μοναχοὶ ἢ λαϊκοί, ἀφορίζεσθαι, ὡς ὄντας κατακρίτους ἀπὸ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, καὶ τετάχθωσαν, ὅπου ὁ σκώληξ οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται, ὅτι τῇ τοῦ κυρίου φωνῇ ἐναντιοῦνται τῇ λεγούσῃ· μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου.“ ἐπεὶ γοῦν καὶ ὁ παπᾶς Θεόδοτος οὐ μόνον παρακατέσχε τὸ μονύδριον, καὶ

πρὸς κοσμικὸν μετεσκεύασε καταγώγιον, ἀλλὰ καὶ ἐπώλησεν αὐτὸ πρὸς ἀλλοτρίους τῆς ἡμετέρας πίστεως, ναὸν θεοῦ καὶ οἴκημα ἱερὸν καὶ μονυδρίου περίβολον, εἴπερ οὕτως ἔχει, ὡς ἠκούσαμεν, καθῃρημένον αὐτὸν ἔχομεν, κατὰ τοὺς κανόνας, καὶ γεγυμνωμένον πάσης ἱερωσύνης, τὰ δὲ τοῦ πωληθέντος μονυδρίου κτήματα λαβὼν ἀπόδος ἐκ τοῦ παραυτίκα πρὸς τὴν μονὴν τοῦ Ἐξαζηνοῦ, μεθ' ἧς εἶχε κοινωνίαν τὸ ῥηθὲν μονύδριον, καὶ ἀλληλοδιάδοχα ὀφείλει ἀλλήλων γίνεσθαι, κατὰ τὸν κοινωνίας λόγον. λάβε δὲ ἀπὸ τοῦ παπᾶ Θεοδότου τὸ τοῦ μονυδρίου τίμημα, καὶ ἀπόδος αὐτὸ τῷ ἀγοράσαντι τὸ μονύδριον, καὶ πάσῃ μηχανῇ ἐλευθερῶσαι σπούδασον αὐτὸ σύ τε καὶ ὁ ῥηθεὶς παπᾶς Θεόδοτος, εἴ γε μέλει αὐτῷ τῆς ἑαυτοῦ σωτηρίας καὶ τῆς ἡμετέρας κοινωνίας, ἐπεὶ καὶ αὐτῆς ἐκπεσεῖν μέλλει, εἴ γε μὴ τὸ μονύδριον ἐλευθερῶσαι σπουδάσει, ὃ καὶ αὐτὸ ἐλευθερωθὲν ἀπόδος τοῖς Ἐξαζηνοῦ μοναχοῖς. εἴπερ οὖν ἔχει οὕτως, ὡς ἠκούσαμεν, ἀκολούθησον κατὰ πάντα τῇ συνοδικῇ τε καὶ κανονικῇ ταύτῃ διαγνώσει καὶ ἀποφάσει, σύνοδον καὶ αὐτὸς τοπικὴν αὐτόθι τῶν ὑπό σε συναγαγὼν καὶ τοῖς κανόσι καὶ τοῖς διαγνωσθεῖσιν ἐνταῦθα εἰς τὰ ῥηθέντα ἀκόλουθα διαπραξάμενος. ἠκούσαμεν δὲ καὶ τοῦτο, ὡς ὁ χαρτοφύλαξ τῆς κατά σε ἐκκλησίας ἔλαβε γαμβρὸν εἰς ἀνεψιὰν αὐτοῦ τινα Γλαβᾶν λεγόμενον, ὃν εἶχε μετὰ δεσμοῦ εἰς τὸ δσπήτιον αὐτοῦ, ὃς δὴ καὶ συνεκοιμήθη τῇ μνηστῇ ἀνεψιᾷ τοῦ χαρτοφύλακος, εἶτα διέβαλλεν αὐτὸν, ὅτι ἔφθειρε καὶ τὴν ἑτέραν ἀνεψιὰν αὐτοῦ, ἠνάγκασεν οὖν αὐτὸν μετὰ δυνάμεως καὶ ἐξουσίας ἀρχοντικῆς καὶ κοσμικῆς καὶ ἄκοντα, δεδεμένον μὲν, ἀπούσης δὲ καὶ τῆς μητρὸς αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν μετὰ τῆς δευτέρας, ζώσης ἔτι καὶ τῆς πρώτης, ὃς καὶ δεῖξαι βουλόμενος, ὅτι συκοφαντεῖται, συνεκοιμήθη μὲν ἐν τῇ πρώτῃ νυκτὶ καὶ ταύτῃ πρῶτον, ἔτι παρθένῳ εὑρισκομένῃ, ὡς δῆλον γέγονε πᾶσιν ἀπὸ τῶν περὶ ταῦτα σημείων, ἡμέρας δὲ ὑποφαινομένης φυγὰς ᾤχετο, μέχρι καὶ τήμερον ἀφιστάμενος ταύτης χρόνον τέταρτον ἤδη· διότι τε ἄκων καὶ δεδεμένος ταύτῃ ἡνώθη καὶ τὸ τῆς αἱμομιξίας αἶσχος ἀποστρεφόμενος, ἐπεὶ δυσὶ πρωτεξαδέλφαις συνεφθάρη, τῇ δὲ πρώτῃ, ὡς μνηστῇ, καὶ τῇ δευτέρᾳ, ὡς ἐξ ἀνάγκης καὶ βίας τοῦ χαρτοφύλακος· εἴπερ οὖν ἔνι οὕτως, ὡς ἐμάθομεν, ἑκουσίως ὁ χαρτοφύλαξ αἱμομιξίαν ἐν τῇ τοῦ θεοῦ ἐκκλησίᾳ συστῆσαι ἐπεχείρησε' δυσὶ πρωτεξαδέλφαις τὸν Γλαβᾶν συμφθαρῆναι καταναγκάσας· εἰ μὲν

οὖν ἐν τοῖς ζῶσιν ἦν ἡ πρώτη, καὶ ἢ γάμον ἢ μνηστείαν εἶχε μετ' ἐκείνης, ἐκείνην πάντως ἐλάμβανε, τὸ εἰς τὴν δευτέραν λογιζόμενον εἰς πορνείαν· εἰ δὲ διὰ φιλοῦ δεσμοῦ εἶχε τὴν πρώτην, δίκαιον ἦν ἀμφοτέρων διαστῆναι, καὶ ζώσης τῆς πρώτης· νῦν δ' ἐπεὶ τέθνηκεν μὲν ἡ πρώτη, μεθ' ἧς καὶ πρῶτον συνεφθάρη, ἄκων δὲ τῇ πρωτεξαδέλφῃ ἐκείνης συνήφθη, δίκαιόν ἐστι, κανονικῶς τε καὶ συνοδικῶς κριθῆναι τὸν χαρτοφύλακα καὶ ἀφαίρεσιν ὑποστῆναι τοῦ οἰκείου βαθμοῦ παρὰ τῆς σῆς ἱερότητος, κατὰ τοὺς περὶ τῶν ἀθεμίτους γάμους ἐν εἰδήσει συνιστώντων νόμους, ὃ εἰ μὴ σὺ ποιήσεις, συνοδικῶς ἐνταῦθα καὶ τὸν περὶ τούτου λόγον ἀποδώσεις, ἐνεχόμενος καὶ αὐτός, ὡς ὁ τοῦτο ποιήσας. τὸν δέ γε Γλαβᾶν διακρίνομεν ἔνδοσιν λαβεῖν, ἑτέρᾳ γυναικὶ συναφθῆναι νομίμως, ἐπεὶ τῇ δευτέρᾳ ἐκείνῃ ἀνεψιᾷ τοῦ χαρτοφύλακος οὐ δίκαιον αὐτῇ συνοικῆσαι, ὅτι τε τῇ πρωτεξαδέλφῃ αὐτῆς πρότερον συνεφθάρη, μετὰ δεσμοῦ ταύτην ἐγγυησάμενος, καὶ εἰ τῇ πρωτεξαδέλφῃ ἐκείνης συνοικήσει, αἱμομιξίαν συνίσταται, καὶ ὅτι ἄκων καὶ δεδεμένος καὶ τῶν οἰκείων ἀπόντων καὶ διαβαλλόμενος οὐδεὶς γυναῖκα ἄγεται. ταῦτα ἠκούσαμεν αὐτόθι τολμηθέντα, καὶ γενέσθωσαν εἰς πάντα αἱ κανονικαὶ παρατηρήσεις καὶ νόμιμοι. πρότερον γὰρ εἶχες εἰς τινὰ προβαλέσθαι καὶ ἄγνοιαν, εἰ δὲ μετὰ τὸ δηλοποιηθῆναί σοι ταῦτα διὰ συνοδικῆς γραφῆς οὐ τὴν πρέπουσαν διόρθωσιν εἰς πάντα ποιήσεις, ὡς ταῦτα συνιστῶν τε καὶ διεκδικῶν καὶ τούτοις ἐφησυχάζων, τὸν ὑπὲρ αὐτῶν λόγον, καιροῦ διδόντος, συνοδικῶς ἀποδώσεις. ἠκούσαμεν, ὅτι εὑρίσκεται αὐτόθι καί τις παπᾶς, Σαραντηνὸς ὀνόματι, ὃς τρίτον χρόνον ἀργεῖ, διότι προβάλλῃ, ὡς εἶπε σοί τις κατ' αὐτοῦ πρὸς τὸ οὖς· εἰ μὲν οὖν δύναται ὁ εἰπὼν κατηγορῆσαι καὶ παρρησιάσασθαι, δειξάτω ἑαυτὸν καὶ ἐγγραφάσθω διὰ τὴν ταυτοπάθειαν, καὶ οὕτω κριθήτω κανονικῶς· εἰ δὲ διότι εἶπέ σοί τις κατ' αὐτοῦ κεκρυμμένως, παρὰ ταύτην ἀργεῖ τὴν αἰτίαν χρόνον τοσοῦτον, οὐ δίκαιόν ἐστι τοῦτο οὐδὲ κανονικόν, καὶ τί λέγω; εἰ ἄλλος εἶπεν ἰδίᾳ κατ' αὐτοῦ, κἂν αὐτὸς ἐξωμολογεῖτό σοι ἰδίᾳ τῶν ἀπηγορευμένων τινὶ περιπεσεῖν, εἶτα κατεπάτει τὴν ἑαυτοῦ συνείδησιν, καὶ παρρησίᾳ ἠρνεῖτο, μηδὲν εἰπεῖν σοι διατεινόμενος, ἀνάγκην εἶχες ἀπὸ τῶν ἱερῶν κανόνων συλλειτουργῆσαι αὐτῷ. εἰ δὲ καὶ αὐτὸς καθ' ἑαυτοῦ ἰδίᾳ εἰπὼν παρρησίᾳ ἠρνεῖτο, εἶχεν ἂν πάντως τὸ ἐνεργόν, πολλῷ πλέον, ὅτι ἰδίᾳ ἄλλος τις εἶπε κατ' αὐτοῦ· διὰ τοῦτο ἢ κρι-

θήτω κανονικῶς ἢ ἀθφωθήτω, κρεῖσσον γὰρ πολλάκις ἀμελείας οὔσης τὰ ἁμαρτήματα ἀνεκδίκητα καταλιμπάνεσθαι ἢ τινὰς ἀναιτίως κολάζεσθαι, ἐν ἀμφιβόλοις γὰρ χρὴ νεύειν πρὸς τὸ φιλάνθρωπον καὶ δικαίως τὸ δίκαιον δικάζειν ὀφειλόμενον· γενέσθω οὖν καὶ περὶ τὸν ῥηθέντα, ὅσον συνοδικῶς διακρίνομεν. ἡ τοῦ θεοῦ χάρις εἴη μετὰ τῆς σῆς ἱερότητος. ἀπελύθη ἐν ἔτει ,ς ϡ θ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

DCLXII. 6909 (1401) iulio. ind. IX.

*Ignatius constituitur exarchus Thessalonicae, Thessaliae, Beroeae, Larissae et Secundae Thessaliae.*

† Ἡ μετριότης ἡμῶν διὰ τοῦ παρόντος αὐτῆς ἐντάλματος ἀνατίθησι τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις καὶ καθηγουμένῳ τῆς σεβασμίας καὶ θείας μονῆς τῆς εἰς ὄνομα τιμωμένης τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ παντοκράτορος καὶ ἐπικεκλημένης τοῦ Φιλοκάλλους, ἀρχιμανδρίτῃ, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ τῆς ἡμῶν μετριότητος, κῦρ Ἰγνατίῳ, τὴν οἰκονομίαν, ἐπιμέλειάν τε καὶ πρόνοιαν τῶν ἐν τῇ Θεσσαλονίκῃ καὶ πάσῃ Θετταλίᾳ καὶ ἐν τῇ Βεροίᾳ καὶ ἐν τῇ Λαρίσσῃ καὶ πάσῃ τῇ δευτέρᾳ Θετταλίᾳ πατριαρχικῶν πάντων δικαίων, ὡς δὴ καὶ ὀφείλεις ταῦτα ἐφορᾷν καὶ προνοεῖσθαι εἰς τὴν ἐκκλησιαστικὴν εὐταξίαν συντείνοντα καὶ ποιεῖν πάντα καὶ παραινεῖν καὶ ὑφηγεῖσθαι καὶ συμβουλεύειν, ἀντεχόμενος ἐν πᾶσι τῆς τῶν ἱερῶν καὶ θείων κανόνων ἀκριβείας τε καὶ διαταγῆς, καὶ ἐπεὶ ἡμέτερος ἤδη ἀποκαθίστασαι ἔξαρχος εἰς πάντα τὰ ῥηθέντα πατριαρχικὰ δίκαια, καὶ πάντα τὰ ἐκκλησιαστικὰ ἐν τούτῳ διενεργήσεις, ὀφείλεις καὶ εἰς ἄκρον τηρεῖν καὶ παντὶ τρόπῳ φυλάττειν, ὅσα πρὸς δόξαν καὶ τιμὴν τοῦ οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου συντείνει καὶ ἀφορᾷ, καὶ ὅσα καὶ ὁ τέλειος ἐπίσκοπος ὀφείλει κανονικῶς ἐκ παντὸς τρόπου φυλάττειν ἀπαρεγχείρητα κ. τ. λ. ἐπὶ τούτου γὰρ γεγονὸς καὶ τὸ παρὸν ἐνταλτήριον γράμμα ἐπεδόθη σοι, τῷ διαληφθέντι τιμιωτάτῳ ἐν ἱερομονάχοις καθηγουμένῳ καὶ ἀρχιμανδρίτῃ καὶ ἐξάρχῳ ἡμετέρῳ, κῦρ Ἰγνατίῳ, εἰς ἀσφάλειαν. ἐν ἔτει ,ς ϡ θ' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

## DCLXIII. (6909—1401) iulio. ind. IX.

*Patriarchae litterae datae ad metropolitam Thessalonicae, quibus iubetur reddere vivarium Prodromenis et habere sacerdotem Nathanaëlem aliosque.*

† Ἱερώτατε μητροπολῖτα Θεσσαλονίκης, ὑπέρτιμε καὶ ἔξαρχε πάσης Θετταλίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργέ· χάρις εἴη καὶ εἰρήνη ἀπὸ θεοῦ τῇ σῇ ἱερότητι. γνωστὸν ἔστω σοι, ὅτι διεκρίθη καὶ ἀνεφάνθη συνοδικῶς, ἵνα εἴπερ οὐκ ἀποδῷς τὸ τῶν Προδρομηνῶν βιβάριον καὶ συλλειτουργήσῃς καὶ τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις κῦρ Ναθαναὴλ καὶ κοινωνῇς κατὰ πάντα καὶ τοῖς τοῦ κῦρ Μαξίμου, τῷ τε πνευματικῷ καὶ τοῖς λοιποῖς τοῖς ὑπ' αὐτὸν ἐν τῇ τάξει, ἐν ᾗ ἕκαστος εὑρεθῇ, εἴπερ οὐ κατὰ πάντα τηρήσῃς τὰς περὶ τῶν ῥηθέντων πάντων συνοδικὰς διαγνώσεις καὶ ἀποφάσεις, ἵνα ᾖς ἀργὸς μὲν πάσης ἀρχιερατικῆς ὑπηρεσίας· εἰ δὲ ἀπειθήσας ἀρχιερατικοῦ τινος ἅψῃ, ἔχομέν σε συνοδικῶς καὶ ὑπὸ βαρύτατον καὶ φρικώδη ἀφορισμόν· ὅπερ ἵνα μὴ γένηται, ποίησον κατὰ πάντα, ὅσα συνοδικῶς εἰς τὰ ῥηθέντα διέγνωμεν καὶ ἀπεφηνάμεθα, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ τῆς σῆς ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τὸ· μηνὶ ἰουλίῳ ἰνδ. θ' †.

## DCLXIV. 6908 (1400) iulio. ind. VIII.

*Patriarcha confirmat pactum emphyteuseos.*

† Ἐπεὶ πρὸ καιροῦ τινος ἐξεδόθη λόγῳ ἐμφυτεύσεως πρὸς Κωνσταντῖνον τὸν Σαμαμίνθην τὸ περὶ τὸν ἅγιον Μηνᾶν μυρεψικὸν ἐργαστήριον, οὗ τὸ μὲν ἥμισυν ἦν τῆς τοῦ Ὑπομιμνήσκοντος σεβασμίας μονῆς, τὸ δὲ λοιπὸν ἥμισυν ἦν τῆς τοῦ φιλανθρώπου Χριστοῦ μονῆς τοῦ σεβασμίου ναοῦ τῆς Ὁδηγητρίας, τῆς μονῆς τοῦ ἁγίου Βασιλείου καὶ τοῦ ἱεροῦ ναοῦ τῶν ἁγίων τεσσαράκοντα, ὑφ' ὧν δὴ πάντων ἐξεδόθη τὸ ῥηθὲν μυρεψικὸν ἐργαστήριον πρὸς τὸν ῥηθέντα Σαμαμίνθην, διά τε τῶν τοῦ Ὑπομιμνήσκοντος μοναχῶν τῶν ἐχόντων τὸ ἥμισυ καὶ διὰ τοῦ ἡγουμένου τοῦ Παντοκράτορος τοῦ παπᾶ Θεοδότου, ἐγκρατοῦς μὲν τῆς μονῆς τοῦ ἁγίου Βασιλείου εὑρισκομένου, ἐπιτρόπου δὲ γενο-

μένου καὶ παρὰ τῶν ἄλλων τῶν ῥηθέντων ἱερῶν ναῶν καὶ μονῶν, καὶ ἐξεδόθη παρὰ πάντων τὸ ῥηθὲν ἐργαστήριον μετὰ τῶν δύο προβολῶν αὐτοῦ εἰς ὑπέρπυρα κατ' ἔτος δεκατέσσαρα, ἃ καὶ συνεφωνήθη ἵνα τὰ μὲν ἥμισυ διδῶνται πρὸς τὴν μονὴν τοῦ Ὑπομιμνήσκοντος, τὰ δὲ λοιπὰ ἥμισυ μερίζωσιν οἱ ῥηθέντες κατὰ τὸ ἀνῆκον ἑκάστῳ, καὶ οὕτω συνεφωνήθη, ἵνα κατέχῃ ταῦτα ὁ ῥηθεὶς Σαμαμίνθης ἀνενοχλήτως πάντῃ καὶ ἀδιασείστως ἐφ' ὅρῳ τῆς ἑαυτοῦ ζωῆς, ἐπιμελούμενος καὶ φροντίζων τῆς αὐτῶν συστάσεως καὶ βελτιώσεως, μετὰ δὲ τὸν αὐτοῦ θάνατον ἀντιστρέφωνται πρὸς τοὺς δόντας ταῦτα καὶ ἔχοντας εἰς αὐτὰ κυριότητα, ἥτις δὴ ἔγγραφος δόσις ἐμφυτευματική τε καὶ ἀντιστρεπτικὴ μετὰ τὸν τοῦ Σαμαμίνθη θάνατον, ἐμφανισθεῖσα καὶ τῷ μακαρίτῳ καὶ ἀοιδίμῳ μητροπολίτῃ Θεσσαλονίκης, κῦρ Ἰσιδώρῳ ἐκείνῳ, ὡς τοπικῷ ἐπισκόπῳ, ἐπεκυρώθη παρ' αὐτοῦ, ὡς καλῶς τε καὶ κανονικῶς προβᾶσα καὶ ἐπὶ συμφέροντι τῶν ἐχόντων ταῦτα θείων ναῶν. ὁμοίως δὲ ἐξεδόθη καὶ παρὰ τοῦ μεγάλου οἰκονόμου Θεσσαλονίκης καὶ οἰκονόμου τῆς Ὁδηγητριανῆς ἀδελφότητος καὶ παρὰ πάντων τῶν ἐν τῇ τοιαύτῃ ἀδελφότητι, ἃ εἶχον πλησίον τοῦ τοιούτου ἐργαστηρίου δύο τραπέζια πρὸς τὸν αὐτὸν Σαμαμίνθην, ἵνα κρατῇ ταῦτα ἀνενοχλήτως ἐκ πάντων ἐφ' ὅρῳ τῆς ἑαυτοῦ ζωῆς, διδοὺς καὶ ὑπὲρ αὐτῶν κατ' ἔτος ὑπέρπυρα τρία, καὶ οὕτω ποιήσει μὲν ὑπάνοιξιν εἰς ταῦτα ἀπὸ τοῦ ῥηθέντος ἐργαστηρίου, ἑνώσῃ δὲ ταῦτα καὶ ποιήσῃ μίαν προβολήν, καὶ ἀντὶ καταλλακτικῶν μυρεψικὴν προβολὴν ἀποτελέσῃ αὐτά, ὀφειλούσης καὶ αὐτῆς μετὰ τὸν αὐτοῦ θάνατον πάλιν ἀνασωθῆναι πρὸς τὴν τῆς Ὁδηγητρίας ἀδελφότητα, κλειομένης καὶ τῆς εἰς ταῦτα ἐπανοίξεως· ἃ δὴ ἅπαντα γράμματα ἀναδραμὼν ὁ Σαμαμίνθης καὶ ἐμφανίσας τῇ ἡμῶν μετριότητι ἠξίωσεν ἐπικυρωθῆναι ταῦτα καὶ παρ' αὐτῆς τὸ κῦρος ἔχειν καὶ βέβαιον καὶ πάντῃ ἐρρωμένον καὶ ἀκατάλυτον τὴν τοιαύτην συμφωνίαν, διαγινώσκει καὶ ἀποφαίνεται ἡ μετριότης ἡμῶν καὶ κατέχειν ταῦτα τὸν Σαμαμίνθην ἀνενοχλήτως πάντῃ καὶ ἀνεπηρεάστως ἐφ' ὅρῳ τῆς αὐτοῦ ζωῆς, ὡς ἐξεδόθησαν, ἀποδιδόντα μόνον ἀνενοχλήτως πάντῃ καὶ ἀπροφασίστως τὸ ἀποταχθὲν ὑπὲρ αὐτῶν ἐπέτιον τέλος, καὶ μήτε τοὺς ἐκδόντας ἐνοχλῆσαί ποτε τὸ σύνολον περὶ τούτου, εἴ γε μὴ μέλλοιεν τῇ ἰδίᾳ ὑπογραφῇ καὶ πράξει ἐναντιούμενοι κανονικῇ καταδίκῃ περιπεσεῖν, μήτε τοὺς αὐτῶν διαδόχους τὸ τυχὸν προβάλλεσθαι, ἐπ' ἀνατροπῇ δῆθεν τῆς

τοιαύτης πράξεως, τὰ μὲν γὰρ τῶν μοναστηρίων καὶ τῶν ἱερῶν ναῶν ἀκίνητα ἀνεκποίητα μένειν ὀφείλουσιν, ἐκδίδονται κανονικῶς μετὰ ἐμφυτεύματος καὶ ἀνακαμπτικῶς, λόγῳ καὶ διακρίσει τοῦ τοπικοῦ ἐπισκόπου, ἅπερ ἅπαντα ἐπεὶ ἐνταῦθα προέβη, καὶ κανονικὴ ἐγένετο ἡ ἀνακαμπτικὴ ἔκδοσις τῶν ῥηθέντων, ὀφείλει, τηροῦντος καὶ τοῦ Σαμαμίνθη τὰ συμπεφωνημένα, στέργον ἔχειν καὶ πάγιον καὶ πάντη ἐρρωμένον καὶ ἀκατάλυτον, καὶ οὔτε ὁ Σαμαμίνθης τοῦ ἀποταχθέντος ἐπετίου τέλους εἰς τὰ ῥηθέντα ὑποκρατῆσαί τι πειραθήσεται, οὔτε οἱ τῶν ῥηθέντων μοναστηρίων καὶ ναῶν διοικηταὶ ἐπήρειάν τινα αὐτῷ ἐπάξουσιν, ἢ πλέον τι ἐξ αὐτοῦ ἀπαιτοῦντες ἢ μετακινῆσαι τοῦτον ἀπὸ τῶν κανονικῶς αὐτῷ ἐκδοθέντων πειρώμενοι. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίαν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος ἐν ἔτει ,ϛ ϡ η′ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. η′ †.

## DCLXV. (6909—1401) iulio. ind. IX.

*Promissio Constantini presbyteri.*

† Ἐγὼ πρεσβύτερος Κωνσταντῖνος τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ ὑπόσχομαι, ὅτι ἐὰν φανῇ, ὅτι κρατῶ ἐγὼ τὴν τραχηλαίαν τῆς Βαστάγρ..., ἢ ὅλως ἔχω εἴδησιν, ποῦ κεῖται, ἵνα παραυτίκα καθαιρῶμαι τῆς ἱερωσύνης μου ἀνιλεῶς καὶ ἀσυμπαθῶς. μηνὶ ἰουλίῳ ἰνδ. θ′, καὶ δι' ἀσφάλειαν ὑπεγράφη καὶ παρ' ἐμοῦ †.

† Κωνσταντῖνος πρεσβύτερος ὁ Βουλωτὴς στέργων ὑπέγραφα †.

## DCLXVI. (6909—1400) novembri. ind. IX.

*Patriarcha sententiam dicit in lite.*

† Δημήτριος ὁ Ἀλιάτης ᾑρετίσατο λαβεῖν εἰς γυναῖκα, ἣν εἶχέ ποτε ὁ Σαραντηνὸς ἐκεῖνος, ἐπεὶ δὲ τούτῳ μὲν παρέχει αὕτη προῖκα ὑπερπύρων τετρακοσίων, ἡ φήμη δ' ἔχει αὐτὴν κρατοῦσαν πολλὰ ὑπέρπυρα τοῦ ἀνδρὸς αὐτῆς, τοῦ Σαραντηνοῦ ἐκείνου, ἃ τούτῳ παρέχουσα κρυφίως, ἀδικεῖ τὰ ἀπὸ τοῦ προτέρου γάμου παῖδας αὐτῆς, καὶ διὰ τοῦτο ἐξετάσασα ἡ μετριότης ἡμῶν, ἐπεὶ νῦν οὐ πλείω τῶν ῥηθέντων

τετρακοσίων ἐδυνήθη εὑρεῖν, ἀπῄτησεν αὐτὸν ὑπόσχεσιν ἔγγραφον, ὡς εἴπερ ἀναφανείη, ὅτι κατέχει πλείονα, ἵνα ἀντιστρέψῃ ἐπὶ τὸ διπλάσιον, ὃ καὶ ποιήσας ἐγγράφως καὶ τῇ ἡμῶν δοὺς μετριότητι ἐζήτησεν, ἵνα κρατῇ καὶ γράμμα τῆς ἡμῶν μετριότητος, αὕτη τὸ παρὸν ἀπολύει, δι' οὗ καὶ παρακελεύεται, ὡς εἴπερ ἀναφανείη ποτέ, ὅτι ἔλαβεν ὁ Ἀλιάτης πλείονα τῶν τετρακοσίων ὑπερπύρων, ἵνα ἀντιστρέψῃ κατὰ τὸ διπλάσιον κατὰ τὴν ἔγγραφον αὐτοῦ ὑπόσχεσιν πρὸς τοὺς παῖδας· εἰ δ' οὐ φανείη τοῦτο δι' ἀποδείξεων ἰσχυρῶν καὶ ὁμολογουμένων, ἵνα ὑπάρχῃ ἀνενόχλητος, ὥσι δὲ καὶ τὰ ῥηθέντα τετρακόσια ὑπέρπυρα τῆς γυναικὸς αὐτοῦ, καὶ ποιῇ ἐν αὐτοῖς, ὡς βούλεται, παρὰ μηδενὸς εὑρήσουσα τὴν οἱανοῦν διενόχλησιν, ἀλλ' οὐδὲ ὁ Ἀλιάτης ὀφείλει ὑποστῆναί ποτε διενόχλησιν ἀπὸ τῶν παίδων τοῦ Σαραντηνοῦ ἐκείνου, εἴπερ οὐ δυνηθεῖεν ἀποδεῖξαι τοῦτον ὡς κατέχει πράγματα τοῦ πατρὸς αὐτῶν. καὶ εἰς ἀνενοχλησίαν αὐτοῦ καὶ ἀσφάλειαν ἀπολέλυται αὐτῷ καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. ι' †.

## DCLXVII. 6909 (1401) 26. iulii. ind. IX.

*Patriarchae litterae de episcopo Ioesepho in Moldovlachia.*

† Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, οἰκουμενικὸς πατριάρχης †.

† Διὰ τοῦ πρωτεκδίκου τοῦ Εὐγενικοῦ †.

† Ὁ εὐγενέστατος μέγας Βοεβόδας πάσης Μολδοβλαχίας, κῦρ Ἀλέξανδρος, πρέσβεις πέμψας ἄρχοντας αὐτοῦ καὶ ἱερομονάχους πρὸς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ἠξίωσε καὶ παρεκάλεσεν, ἵνα συγχωρήσεως τύχῃ ὁ εὑρισκόμενος ἐκεῖσε ἐπίσκοπος, κῦρ Ἰωσήφ, ὃν δὴ ἤργησε συνοδικῶς ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης ἐκεῖνος, κῦρ Ἀντώνιος, ἐλαλεῖτο γάρ, ὡς σερβοεπίσκοπος ὢν ποθεν ἐπέβη τῆς ἐκκλησίας ταύτης, διὸ καὶ μετέθηκε μὲν εἰς τὴν Μολδοβλαχίαν ἀρχιερέα τὸν κῦρ Ἱερεμίαν διὰ τοὺς τοιούτους λόγους. ἀπελθὼν δ' ἐκεῖ πάλιν ὑπέστρεψεν διὰ τὸ εὑρίσκεσθαι ἐκεῖσε ἐπίσκοπον τὸν ῥηθέντα κῦρ Ἰωσήφ, [διὸ καὶ ἠφόρισε μὲν τὸ ἔθνος ἅπαν, ἤργησε δὲ καὶ ἠφόρισε τὸν κῦρ Ἰωσήφ, ὕστερον δὲ παρακληθεὶς τὸ

μὲν ἔθνος ἅπαν συνεχώρησε καὶ τὸν ἐπίσκοπον τοῦ ἀφορισμοῦ, ἀργὸν δ' ἀφῆκεν αὐτόν, μέχρις ἂν τὸ κατ' αὐτὸν συνοδικῶς ἐξετασθῇ, παρόντος καὶ τοῦ κῦρ Ἱερεμίου. ἀρτίως οὖν ἀνέφερον καὶ ὁ ῥηθεὶς μέγας Βοεβόδας, πάντες τε οἱ ἄρχοντες αὐτοῦ καὶ οἱ κληρικοί, ἱερομόναχοί τε καὶ μοναχοὶ καὶ διὰ γραμμάτων καὶ διὰ τῶν ῥηθέντων ἀποκρισιαρίων αὐτῶν, καὶ παρεκάλεσαν τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, ἵνα συγχωρήσεως τύχῃ ὁ ῥηθεὶς ἐπίσκοπος κῦρ Ἰωσήφ, ὡς ἂν ἱερουργῇ καὶ ἁγιάζῃ αὐτούς, καὶ μὴ οὕτως ἐπὶ πολὺν χρόνον ἀνεπίσκοπον τὸ πολυάνθρωπον αὐτῶν ἔθνος εὑρίσκεσθαι, ἐπεὶ νῦν καὶ ὁ κῦρ Ἱερεμίας ἀδυνάτως ἔχει συνοδικῶς ἀπαντῆσαι καὶ ἀντικριθῆναι τῷ κῦρ Ἰωσήφ, λαβὼν προμήθειαν ἀπὸ τῆς ἐκκλησίας Χριστοῦ καὶ εἰς τὸν Τρίνωβον ἀποσταλεὶς ἐπὶ τῷ διενεργεῖν ἐκεῖσε τὰ ἐκκλησιαστικά, ἀνέφερον δὲ καὶ οἱ ῥηθέντες ἀποκρισιάριοι, ὅτι ὁ ἐπίσκοπος οὗτος κῦρ Ἰωσὴφ οὐκ ἄλλοθεν ἦλθεν εἰς αὐτούς, ὡς ἀνέφερόν τινες, ὅτε ὁ Ἱερεμίας ἐχειροτονήθη, ὡς εἴρηται, ἀλλ' ἐκεῖθεν ὢν τοπικὸς καὶ συγγενὴς τῶν τοῦ τόπου αὐθέντων, ἐστάλη ὑπὸ πάντων εἰς τὸν μητροπολίτην Γαλίτζης, ἔνδοσιν λαβόντα συνοδικῶς χειροτονεῖν ἐπισκόπους εἰς τὰς τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπάς, ὧν ἦν καὶ τὸ Ἀσπρόκαστρον, καὶ ἐχειροτονήθη ὑπ' ἐκείνου γνήσιος ἐπίσκοπος εἰς αὐτούς, καὶ ἦλθεν ἀρχῆθεν εἰς αὐτούς, οὐκ ἄλλοθεν ἐπιβὰς τῆς αὐτῶν ἐκκλησίας, ὡς ἐλαλήθη. ταῦτα οὖν ἀκούσαντες συνοδικῶς διέγνωμεν καὶ ἀπεφηνάμεθα, γνώμῃ καὶ τῶν παρατυχόντων ἀρχιερέων καὶ ὑπερτίμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργῶν, καὶ ἐστείλαμεν ἐκεῖσε τόν τε τιμιώτατον ἐν ἱερομονάχοις καὶ πατέρα πνευματικὸν καὶ καλόγηρόν μου, κῦρ Γρηγόριον, καὶ τὸν ἐντιμότατον διδάσκαλον τοῦ ἁγίου εὐαγγελίου, διάκονον, κῦρ Μανουὴλ τὸν Ἄρχοντα, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ἵνα ἐξετάσωσιν ἐκε τοπικῶς τοῦτο διὰ πλείονα ἀσφάλειαν καὶ ἀνεύρεσιν τῆς ἀληθείας, καὶ εἴπερ εὕρωσιν, ἐκεῖ τοπικῆς ἐξετάσεως γενομένης ἀπὸ μαρτυρίας πάντων, τῶν τε αὐθέντων τοῦ τόπου καὶ τῶν ἀρχόντων καὶ κληρικῶν, ἱερομονάχων τε καὶ μοναχῶν, ὅτι οὕτως ἐχειροτονήθη ὑπὸ τοῦ Γαλίτζης ἀρχῆθεν γνήσιος ἐπίσκοπος εἰς τὴν Μολδοβλαχίαν καὶ οὐκ ἀλλαχοῦ, ἵνα ἐνδῶσιν αὐτῷ οἱ ῥηθέντες ἡμέτεροι ἱερουργεῖν καὶ χειροτονεῖν καὶ πάντα τὰ ἐκκλησιαστικὰ ἀκωλύτως ποιεῖν, χειροτονίας

τε ὑποδιακόνων καὶ διακόνων καὶ πρεσβυτέρων καὶ τῶν λοιπῶν κληρικῶν καὶ θείων καθιερώσεις ναῶν καὶ ἁπλῶς πάντα τὰ ἐκκλησιαστικὰ ποιεῖν ἀκωλύτως· ὁ δὲ κῦρ Ἱερεμίας ἐπανελθών, εἴπερ οὐκ εἰρηνεύει καὶ ἐφησυχάζει, ἀλλὰ κρίσιν ζητεῖ, ὀφείλει συνοδικῶς τὸ κατ' αὐτοὺς κινηθῆναι καὶ γενέσθαι, ὃ ἂν δόξῃ περὶ ἀμφοτέρων κανονικὸν καὶ δίκαιον, πρὸ δὲ τῆς κρίσεως ἄδικον ἔδοξε, τὸν μὲν ἀπολαύειν τῆς οἰκείας τιμῆς καὶ ἐπισκοπικῆς ὑπηρεσίας, τὸν δὲ ἀργὸν εἶναι, εἴπερ ἀποδειχθῇ, ὡς οὐκ ἐπέβη, ἀλλ' ἐχειροτονήθη εἰς τὴν τοιαύτην ἐκκλησίαν παρὰ τοῦ ἔχοντος ἄδειαν εἰς ταῦτα χειροτονῆσαι ἐπίσκοπον, ὃς καὶ ἀποδειχθεὶς ὅτι ἐκεῖσε πρώτως ἐχειροτονήθη, καὶ τὸ ἐνεργὸν λαβών, ὀφείλει πρᾶος εἶναι, εἰρηνικὸς πρός τε τοὺς κληρικοὺς αὐτοῦ καὶ πάντας τοὺς μηδὲν ἄδικον καὶ παράνομον διαπραττομένους κ. τ. λ. ὀφείλει δὲ ὁ μὲν χειροτονούμενος διάκονος χρόνων εἶναι εἰκοσιπέντε καὶ μηδὲ τὸ τυχὸν ἐλλείπειν ἐκ τούτου τοῦ χρόνου, ὁ δὲ πρεσβύτερος μέλλων γενέσθαι ὀφείλει χρόνων εἶναι λ', τὸν δέ τι τοῦ κανονικοῦ χρόνου παραβαίνοντα ἐπιτιμίοις καθυποβάλλουσιν οἱ ἱεροὶ καὶ θεῖοι κανόνες. ταῦτα τοίνυν ὀφείλει τὸ ἐνεργὸν λαβὼν εἰς ἄκρον τηρεῖν, ἵνα καὶ κανονικὸς ἐπίσκοπος εὑρεθῇ, Χριστοῦ χάριτι, καὶ μισθὸν ἐπισκόπου λάβῃ ἐν ἡμέρᾳ τῇ φοβερᾷ τῆς δικαίας ἀνταποδόσεως. εἰς γὰρ τὴν περὶ τούτου δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ ἡ παροῦσα συνοδικὴ διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν, κατὰ μῆνα ἰούλιον τῆς νῦν τρεχούσης ἐννάτης ἰνδ. τοῦ ,ς ἐννακοσιοστοῦ ἐννάτου ἔτους. ἀπελύθη τῇ κς' †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

---

II. † Εὐγενέστατε, ἐνδοξότατε, φρονιμώτατε μέγα βοεβόδα Μολδοβλαχίας, κῦρ Ἀλέξανδρε, ἐν ἁγίῳ πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, χάριν, εἰρήνην καὶ ὑγείαν εὔχεται ἡ μετριότης ἡμῶν τῇ αὐθεντείᾳ σου ἀπὸ θεοῦ παντοκράτορος. οἱ ἀποκρισιάριοι τῆς αὐθεντείας σου ἦλθον ἐδῶ εἰς τὴν ἡμῶν μετριότητα καὶ εἰς τὴν

θείαν καὶ ἱερὰν σύνοδον, καὶ εἶπον μὲν καὶ τοὺς λόγους τῆς αὐθεντείας σου ἀπὸ στόματος, ἔδειξαν δὲ καὶ τὰ γράμματά σου, καὶ ἀνεγνώσθησαν συνοδικῶς, καὶ ἤκουσάν τα. ἠρωτήσαμεν δὲ τοὺς ἀποκρισιαρίους περὶ τοῦ εὑρισκομένου ἐπισκόπου εἰς τὸν τόπον τῆς αὐθεντείας σου, τοῦ κῦρ Ἰωσήφ, πόθεν ἦτον καὶ ποῦ ἐχειροτονήθη καὶ ἦλθε καὶ ἐκατοίκησεν αὐτοῦ, καὶ πῶς τώρα τόσους χρόνους καὶ οὐδὲν ἐλάλησε, καὶ νῦν λαλεῖ καὶ ζητεῖ, νὰ ἔνι αὐτοῦ ὡς ἐπίσκοπος, καὶ εἶπον οἱ ἀποκρισιάριοι τῆς αὐθεντείας σου, „ὅτι ὁ κῦρ Ἰωσὴφ ἔνι τοπικὸς ἄνθρωπος τοῦ τόπου μας καὶ συγγενὴς τῶν αὐθεντῶν μας, ἐχειροτονήθη οὖν ἐπίσκοπος Μολδοβλαχίας παρὰ τοῦ Γαλίτζης, κῦρ Ἀντωνίου ἐκείνου, καὶ οὐδὲν λαλεῖ, εἰ μὴ μόνον ζητεῖ, νὰ τὸν εὐλογήσῃ ἡ μεγάλη ἁγιωσύνη σου ὡς χριστιανὸν καὶ καλόγηρον, νὰ κάθηται νὰ γυρεύῃ τὴν ὁρίαν του, ὁ δὲ κῦρ Ἰωσὴφ ἐπεὶ ἔνι τοπικὸς ἐπίσκοπος, ἵνα τὸν εὐλογήσῃ ἡ μεγάλη ἁγιωσύνη σου μὲ τὴν ἁγίαν σου σύνοδον, νὰ μᾶς εὐλογῇ, νὰ μᾶς ἁγιάζῃ, ὅτι πολλοὺς χρόνους πειραζόμεθα, ἦλθε γὰρ ὁ κῦρ Θεοδόσιος ἐκεῖνος, καὶ διὰ τοῦτο οὐδὲν ἀνεπαύσατο, εἰ μὴ ἐγύρισε σύντομα, καὶ πάλιν ὁ κῦρ Ἱερεμίας, καὶ οὐδὲ αὐτὸς ἀνεπαύσατο, εἰ μὴ ἐσέβη καὶ ἐκεῖνος εἰς πειρασμοὺς καὶ ἔβαλεν καὶ ἡμᾶς, καὶ ἀπὸ τότε μέχρι τοῦ νῦν πειραζόμεθα, καὶ διὰ μέσου πάλιν ἦλθεν ὁ Βηθλεέμ, καὶ οἷος θέλει καταπατεῖ τὴν ἡμῶν ἐκκλησίαν, καὶ δοκεῖ, ὅτι ἔχομεν ἐπίσκοπον, καὶ ἡμεῖς οὐκ ἔχομεν·“ διὰ τοῦτο παρεκάλεσαν, ἵνα ἐλεήσωμεν τὸν τόπον τῆς αὐθεντείας σου, ὅτι πολὺς καὶ μέγας, καὶ ἔνι σχεδὸν ἀνευλόγητος καὶ χωρὶς ἐπισκόπου, καὶ συγχωρήσωμεν τὸν κῦρ Ἰωσήφ, νὰ σᾶς ἁγιάζῃ· ὅτι δὲ οὐδὲν ἔγραφεν ἢ ἔπεμψεν ἀποκρισιάριον ἕως τόρα ὁ κῦρ Ἰωσήφ, εἶπον, ὅτι μάχη ἦτον εἰς τὸν τόπον καὶ ἀλλαξαυθεντεῖαι, καὶ ὅταν ἐβούλετο νὰ πέμψῃ, τότε ἐνεποδίζετο. ταῦτα μὲν εἶπον οἱ ἀποκρισιάριοι τῆς αὐθεντείας σου καὶ ἐζήτησαν, ἤκουσέν τα δὲ ἡ μετριότης ἡμῶν καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος· τινὲς γοῦν τῶν ἀρχιερέων τὸ μὲν ζήτημα δίκαιον τὸ ἔκριναν, εἰς τοὺς λόγους δὲ εἶχον πολλὴν ἀμφιβολίαν, μήποτε ἔνι τὸ πρᾶγμα ἄλέον. διὰ τοῦτο διέκρινεν ἡ μετριότης ἡμῶν δίκαιον μετὰ πάντων ὁμοῦ τῶν ἀρχιερέων, ἵνα στείλωμεν εἰς τὴν αὐθεντείαν σου ἀποκρισιαρίους μας· πέμπομεν οὖν αὐτοῦ τόν τε τιμιώτατον ἐν ἱερομονάχοις καὶ πνευματικὸν πατέρα, κῦρ Γρηγόριον, τὸν καλόγηρον τοῦ κελλίου μου, καὶ τὸν ἐντιμότατον διδάσκα-

λον τοῦ ἁγίου εὐαγγελίου τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διάκονον, κῦρ Μανουὴλ τὸν Ἄρχοντα, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὺς υἱοὺς τῆς ἡμῶν μετριότητος, ἀνθρώπους ἐντίμους, ἀξιολόγους τε καὶ καλοὺς, οἷς καὶ παρεκελεύσαμεν, ἵνα ποιήσωσιν οὕτως, ἵνα μετὰ θελήσεως τῆς αὐθεντείας σου περισυνάξωσι τοὺς ἐντίμους ἄρχοντας, ἱερεῖς τε καὶ μοναχοὺς τοῦ τόπου τῆς αὐθεντείας σου, καὶ ἐξετάσωσι τὸ πρᾶγμα ἀκριβῶς καὶ καθαρῶς, καὶ ἐκφωνήσωσι μέσον αὐτῶν ἀφορισμὸν ἀπὸ λόγου τῆς ἡμῶν μετριότητος, καθὼς ἀνετέθησαν καὶ ἐδιδάχθησαν παρ' ἐμοῦ, καὶ εἰ μὲν ἀκούσωσι καὶ παρ' αὐτῶν, ὅτι ὁ κῦρ Ἰωσὴφ ἐχειροτονήθη παρὰ τοῦ Γαλίτζης Μολδοβλαχίας, ἵνα καταστήσωσιν αὐτὸν ἐπίσκοπον αὐτοῦ γνήσιον διὰ τοῦ συνοδικοῦ γράμματος τῆς ἡμῶν μετριότητος οὗ κρατοῦσιν, ἵνα ἱερουργῇ καὶ ἁγιάζῃ καὶ ποιῇ πάντα ὡς γνήσιος μητροπολίτης, πάντα ὅσα ἀνήκουσιν αὐτῷ ποιεῖν, ἐπεὶ οὕτως ἔνι δίκαιον, καθὼς καὶ ἡ θεία καὶ ἡ ἱερὰ σύνοδος διέκρινε καὶ ἡ μετριότης ἡμῶν ἀπεφήνατο· εἰ δὲ ἀλέον ἔνι τὸ πρᾶγμα, παρὸ λέγομεν, ἵνα ἔλθωσιν ἐδῶ, καὶ ἀποδώσουσι τοὺς λόγους εἰς τὴν ἡμῶν μετριότητα καὶ εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ εἴ τι φανῇ δίκαιον, τότε γενήσεται, τέως ἐὰν εὕρωσιν αὐτὸν χειροτονηθέντα ἐπίσκοπον αὐτοῦ παρὰ τοῦ Γαλίτζης, ὀφείλουσιν οἱ παρόντες ἀποκρισιάριοι τῆς ἡμῶν μετριότητος στηρίξαι αὐτὸν καὶ ἐγκαθυδρίσαι ὡς γνήσιον ἐπίσκοπον καὶ διδάσκαλον τοῦ αὐτόθι τόπου, τῆς Μολδοβλαχίας, ἵνα εὐλογῇ καὶ ἁγιάζῃ ὑμᾶς πάντας· ὁ δὲ κῦρ Ἱερεμίας ὅταν εἰς τὴν ἡμῶν μετριότητα καὶ εἰς τὴν θείαν καὶ ἱερὰν σύνοδον ἀπαντήσῃ, τότε ποιήσει ἡ κρίσις, ὅσον ἔνι δίκαιον, οὐδὲ γὰρ βούλεται ἡ μετριότης ἡμῶν εἶναι ὑμᾶς ἀνευλογήτους καὶ χωρὶς ἐπισκόπου τοῦ δυναμένου ἁγιάζειν ὑμᾶς, οὐδὲ ἀποδέχεται, ἵνα πολλοὶ ἐπιβαίνωσι καὶ καταπατῶσιν ὡς ἐπίσκοποι τὸν τόπον τῆς αὐθεντείας σου, ἀλλὰ ἕνα βούλεται εἶναι γνήσιον, ὅστις νὰ δύναται νὰ ἁγιάζῃ ὑμᾶς, ἐπεὶ καὶ οἱ θεῖοι καὶ ἱεροὶ κανόνες τοῦτο ἀποδέχονται. ἂς ἀναδέξηται τοίνυν ἡ αὐθεντεία σου καὶ τοὺς παρόντας ἡμῶν ἀποκρισιαρίους, καὶ ἂς τοὺς ἀναπαύσῃ, καὶ ἂς τοὺς τιμήσῃ, καὶ σύνδραμε καὶ βοήθησον αὐτοῖς καὶ εἰς τοῦτο, ὅσον γράφομεν, καὶ εἰς ἄλλα, ὅσα δεηθῶσι τῆς αὐθεντείας σου. ἡ εὐχή μου καὶ ἡ εὐλογία μου μετὰ τῆς αὐθεντείας σου καὶ μετὰ τοῦ οἴκου σου καὶ μετὰ παντὸς τοῦ τόπου σου †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ἰουλίῳ ἰνδ. θ′ †.

## DCLXVIII. (6909—1401) augusto. ind. IX.

*Promissio Ioannis Pepagomeni.*

† Ἐγὼ Ἰωάννης πρεσβύτερος ὁ Πεπαγωμένος ποιῶ τὴν παροῦσάν μου ἔγγραφον ὑπόσχεσιν ἐνώπιον τοῦ παναγιωτάτου ἡμῶν δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου ......., ὅτι ἐπεὶ εὗρον ἐμὲ εἰς καπηλίον, καὶ ὁδηγήθη ἐκ θεοῦ ὁ δεσπότης μου ὁ ἅγιος, ὁ οἰκουμενικὸς πατριάρχης, καὶ συνεπάθησέ μοι, ἵνα ἀπὸ τοῦ νῦν ἐὰν φωραθῶ εἰσερχόμενος ἐν καπηλίῳ, ἵνα εἰμὶ καθῃρημένος. τούτου οὖν χάριν γεγονοῖα καὶ ἡ παροῦσά μου ὑπόσχεσις κατεστρώθη ἐνταῦθα ὑπογραφεῖσα καὶ παρ' ἐμοῦ μηνὶ αὐγούστῳ ἰνδ. θ′ †.

† Ἰωάννης πρεσβύτερος ὁ Πεπαγωμένος τὰ ἄνωθεν στέργων ὑπέγραφα †.

## DCLXIX. (6909—1400) septembri. ind. IX.

*Patriarcha homicidam absolvit.*

† Ἐγώ, θεός φησι, τῶν μετανοούντων καὶ ἐγγίζων θεὸς τοῖς ἐγγίζουσι, καὶ ἔτι λαλούντων ἡμῶν ἐρεῖ· ἰδού, πάρειμι. ταῦτα γὰρ ἅπαντα τὸ τῆς μετανοίας μέγα καὶ σωτήριον φάρμακον ἐναργῶς παριστᾷ, αὕτη γὰρ μετὰ καὶ τῆς ἀληθοῦς ἐξομολογήσεως καὶ συντετριμμένης ψυχῆς τοὺς μακρὰν ἀποστάντας θεοῦ ἐξ ἔργων ἀτόπων ἐπανάγει πάλιν, καὶ πρὸς αὐτὸν οἰκειοῖ καὶ φίλους ἀπεργάζεται καὶ υἱοὺς ἀντὶ πολεμίων καὶ ἐχθίστων, ὥσπερ γὰρ τῆς ἐξ ἔργων ἐναρέτων καὶ θεοφιλοῦς πολιτείας εὐηρεστηκόσιν αὐτῷ σύνεστί τε καὶ συνοικεῖ, ἐνοικίσω γάρ φησιν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἐν θλίψει ἐξελοῦμαι αὐτοὺς καὶ δοξάσω, μακροτάτων ἡμερῶν ἐμπλήσω αὐτούς, καὶ δείξω αὐτοῖς τὸ σωτήριόν μου· καὶ ζῶντας μὲν ἀεὶ αὐτοὺς φρουρεῖ τε καὶ περιέπει, καθισταμένους δὲ ἐν ζωῇ καὶ ἀλήκτῳ χαρᾷ καὶ ταῖς ἑαυτοῦ χερσὶν ὑποδέχεται, δικαίων γὰρ ψυχαί φησιν, ἐν χειρὶ κυρίου, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, καὶ εἰσὶν ἐν εἰρήνῃ. καὶ ἀλλαχοῦ· δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν. οὕτω πάλιν καὶ τοῖς ἡμαρτηκόσι καὶ δι' ἔργων ἀτόπων μακρὰν θεοῦ γενομένοις καὶ ἐχθί-

στοις καὶ πολεμίοις, ἐπεὶ δειξαμένοις γνησίως τὴν ἀπὸ ψυχῆς μετάνοιαν, ἕτοιμος παρίσταται βοηθός, χεῖρα ὀρέγων καὶ τοῦ τῆς ἀπωλείας ἀνάγων βαράθρου, εἰ δὲ ἑκόντες ὄντες ἑαυτοὺς ἐκρήμνησαν, οὐ γὰρ ἦλθον καλέσαι, φησί, δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, καί· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· καὶ Χριστὸς αὐτὸς ὑπὲρ ἁμαρτωλῶν ἀπέθανεν, αὐτὸς γὰρ τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐπὶ ξύλου, καὶ τὰς νόσους ἐβάστασεν. ὅθεν καὶ ὁ κῦρις Γεώργιος ὁ Γ.. ολμπέης, ἐπεὶ πρὸ καιροῦ αἴτιος φόνων τριῶν ἀνδρῶν ἐλεεινῶς γέγονε, παραχωρήσει θεοῦ, καὶ τῆς παρούσης ζωῆς ἀπεστέρησε χριστιανοὺς ἀνθρώπους, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, καὶ ὧν αἱ τρίχες τῆς κεφαλῆς μεμέτρηνται, εὐαγγελικῶς εἰπεῖν, καὶ μίαν τρίχα ἀναπλάσαι τῶν φονευθέντων οὐ μόνον αὐτός, ἀλλ' οὐδὲ πάντες οἱ ἄνθρωποι δύνανται, καὶ δυναμένους ἐκείνους τὰ οἰκεῖα ἁμαρτήματα διορθώσασθαι μετανοίᾳ καὶ ἐξομολογήσει, ὅσα κἀκεῖνοι ὡς ἄνθρωποι ἐπλημμέλησαν, αὐτὸς πρὸ ὥρας τούτους ἐξέκοψε, καὶ τὸ κατ' αὐτὸν τὴν αὐτῶν μετάνοιαν καὶ ἐπιστροφὴν ἐνεπόδισεν καὶ σωτηρίαν, καὶ πρὸς τηλικοῦτον κρημνὸν συνώθησεν ἑαυτόν, διὸ καὶ ἀφορισμῷ φρικώδει καθυπεβλήθη παρὰ τῆς ἡμῶν μετριότητος, καὶ τοῦ τῶν πιστῶν ἀπερράγη χοροῦ, ἐφ' ᾧ συντηρηθῆναι καὶ συσταλῆναι καὶ συνιδεῖν οἱ κακοῦ γέγονεν καὶ πενθῆσαι καὶ κλαῦσαι καὶ προφθάσαι τὸ τοῦ θεοῦ πρόσωπον ἐν ἐξομολογήσει καὶ δάκρυσι τὴν ἑαυτοῦ σωτηρίαν ἀνακαλέσασθαι, ὃ καὶ πεποίηκεν ἤδη, καὶ ἐξομολογεῖται περιπαθῶς καὶ μετὰ συντετριμμένης ψυχῆς τὸν ἑκούσιον φόνον τῶν ῥηθέντων ἀνδρῶν, ᾧ περιέπεσεν ὀλεθρίως, καὶ τὴν ἀπὸ τῆς ἐκκλησίας θεοῦ συμπάθειαν ἐξαιτεῖται, τήν τε αὐτοῦ ἀσθένειαν ἐξαγγέλλων καὶ ἀδυναμίαν τὴν εἰς τὰ ἐκκλησιαστικὰ περὶ τὰ τοιαῦτα ἐπιτίμια καὶ συγγνώμην καὶ διάκρισιν περὶ αὐτὰ ἐξαιτῶν. ἐπεὶ ταῦτα προέβη τὸν τρόπον, συγκαταβαίνουσα τῇ ἀσθενείᾳ αὐτοῦ καὶ ἡ μετριότης ἡμῶν ἔχει αὐτὸν συγ(κε)χωρημένον τοῦ κατ' αὐτοῦ ἐκφωνηθέντος ἀφορισμοῦ, μόνον εἴπερ ἀεὶ προσκλαύσει καὶ ἐξομολογήσεται διὰ βίου καὶ ἐκπληρώσει ἀόκνως τὸν διὰ συγκατάβασιν δοθέντα αὐτῷ κανόνα καὶ διαγνωσθέντα καὶ ἀποφανθέντα παρὰ τῆς ἡμῶν μετριότητος, γράψει δὲ τοῦτον ὁ τιμιώτατος πρωτέκδικος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, διάκονος, κῦρις Γεώργιος ὁ Εὐγενικός, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, ὁ τὰ

τοιαῦτα παρ' αὐτῆς ἐγχειρισθεὶς κρίνειν τε καὶ κανονίζειν, ὃν δὲ καὶ τηρήσει διὰ βίου ὡς διάγνωσιν φιλάνθρωπον καὶ διακριτικὴν συγκατάβασιν, δεῖ γὰρ τῶν ἔνδον καὶ τῶν αὐτοῦ σαρκῶν καθάψασθαι καὶ τὴν κάκωσιν περὶ τὰ αὐτοῦ μέλη ἐπιθεῖναι, ἡμεῖς δὲ διὰ τὴν ἀδυναμίαν αὐτοῦ καὶ τὴν ἀπὸ τοῦ τόπου τε καὶ τοῦ χρόνου φυσίωσιν διεκρίναμεν εἰς τὰ περὶ αὐτὸν καὶ μόνα τοῦτον κανονισθῆναι εἰς τὰ ἔξωθεν, ἐπεὶ ὅτι τὰς ἑαυτοῦ σάρκας καὶ τὰ αἵματα καταδαπανῆσαί τε καὶ κενῶσαι ὀφείλει ἀνθ' ὧν παρανόμων φόνων αἴτιος γέγονεν, ἀκουσάτω τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ μεγάλου διδασκάλου τῆς ἐκκλησίας Χριστοῦ, λέγοντος ἀριδήλως· „ἐφόνευσας; μαρτύρησον, ἢ τὰ ἰσαδυναμοῦντα τῷ μαρτυρίῳ ποίησον·“ οὕτω γὰρ κανονίζονται οἱ αἴτιοι γενόμενοι φόνου, ὡς ἀντὶ τῆς ζωῆς, ἧς ἄλλους ἐστέρησαν, τῆς ἑαυτῶν ζωῆς ἀφειδῆσαι καὶ τὰ ἑαυτῶν μέλη νεκρῶσαι καὶ κατακαῦσαι. ἡμεῖς δὲ διὰ συγκατάβασιν διὰ τὴν ἀσθένειαν αὐτοῦ διεκρίναμεν φιλανθρωπότερον κανόνα κατὰ τὴν ἑαυτοῦ δύναμιν, ὃν καὶ ὀφείλει κατὰ πᾶσαν ἀνάγκην πληρῶσαι ἀόκνως, εἴ γε μέλει αὐτῷ τῆς ἰδίας ψυχῆς καὶ τῆς αὐτοῦ σωτηρίας, ὃ δὴ καὶ ἐκπληρώσας θαρρείτω, τῷ ἐλέει θεοῦ καὶ τῇ φιλανθρωπίᾳ αὐτοῦ τῆς ἑαυτοῦ σωτηρίας ἐπιτυχεῖν καὶ συγχωρήσεως ἀξιωθῆναι παρὰ θεοῦ εἰς οὓς αἴτιος γέγονε φόνους· εἰ δὲ ἀπειθήσει κατά τι, καὶ οὐ κατὰ πάντα ἐκπληρώσει τὸν δοθέντα αὐτῷ κανόνα, ἀλλ' ὑπεκρίθη τὴν ζήτησιν διὰ τὸ εὑρεῖν τὴν τοῦ ἀφορισμοῦ συγχώρησιν, γινωσκέτω, ὡς καὶ ἀσυγχώρητος ἔσται καὶ ὑπὸ τὸ κατ' αὐτοῦ ἐκφωνηθὲν ἐπιτίμιον, καὶ τὸν τῶν φόνων λόγον ἐν ἡμέρᾳ κρίσεως ἀποδώσει θεῷ, καὶ κριθήσεται ἐπὶ τοῦ κοινοῦ θεάτρου ἀγγέλων τε καὶ ἀνθρώπων, ὅπερ ἵνα μὴ γένηται, ὀφείλει τὸν δοθέντα αὐτῷ κανόνα πληρώσειν, ἵνα καὶ ἡ τοῦ θεοῦ χάρις καὶ ἡ ἀπ' αὐτοῦ συγχώρησις ᾖ μετ' αὐτοῦ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. θ' †.

## DCLXX. 6910 (1401) 20. octobris. ind. X.

*Patriarcha irritum facit pactum, quo monachi Periblepti vendiderant hortum.*

† Ὁ κύριος ἡμῶν καὶ θεὸς Ἰησοῦς Χριστὸς ἐν εὐαγγελίοις φησίν· „εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.“ τοῦτο καὶ ἐπὶ τῶν

ἄλλων ἁμαρτημάτων συμβαῖνον ἴδοι τις ἂν οἷς ἐν γράμμασι καὶ ἀπειλαῖς μόνον προυχώρησε τὰ τῆς τιμωρίας, καὶ μὴ εἰς ἔργον ἐξέβη τά γε τῆς ἀπειλῆς. τούτων γὰρ τάχ' ἄν τις καὶ κατεφρόνησεν, οἷς δέ γε πολλὴ μὲν ἡ ἐκ τῶν θείων γραφῶν καὶ ἱερῶν νόμων ἐξήρτηται ἀπειλή, πάρεστι δ' εἰς ἔργον ἐκβάντα, κἀνταῦθ' ἀριδήλως ὁρᾶν τὰ τῆς ἀπειλῆς καὶ θεηλάτου πληγῆς, ἴσμεν πειραθέντας τοὺς περὶ ταῦτα καταφρονητάς, τούτοις οἱ μετὰ ταῦτα δήπου περιπεσόντες, πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. τὸ τοίνυν τὰ ἱερὰ νοσφίζεσθαι καὶ καπηλεύειν καὶ παρακερδαίνειν ἐξ αὐτῶν καὶ ἰδιοποιεῖσθαι ἡλίκον σφάλμα ἐστί, καὶ ποίας ἔργῳ καταδίκης τετύχηκε, καὶ ὅπως ἀποτόμου τῆς θεηλάτου ὀργῆς ἐπειράθησαν οἱ τοῦτο τετολμηκότες, οὐδένα οἶμαι τῶν ἁπάντων ἀγνοεῖν τὸ κατὰ τὸν Ἀνανίαν καὶ Σάμπφειραν προχειριζομένους ἱερὸν σύγγραμμα. καίτοι κἀκεῖνο εἴ τις τοῖς νῦν παρά τινων τολμημένοις παραβαλεῖν ἐθελήσειε, χαλεπώτερα πάντως ἐκείνου ταῦτα εὑρήσει, ἐκεῖνοι γὰρ εἰ καὶ τὰ τοῦ θεοῦ, ἀλλ' ὅμως ἐξ ὧν αὐτοὶ προσήγαγον, ἐνοσφίσαντο, καὶ ἦν αὐτοῖς πάντως εἴς τινα σκῆψιν καταφυγεῖν, εἰ καὶ μὴ προσήκουσαν, μηδὲ εὔλογον, ὡς ἐκ τῶν ἰδίων καὶ τῶν πρὸ μικροῦ προσόντων αὐτοῖς προσυπεκράτησαν· ἀλλ' οὕτω καὶ τούτων ἐχόντων, ἐκ τοῦ ἀποστολικοῦ ἤκουον στόματος· „οὐχὶ μένον σοὶ ἔμενε; τίνος χάριν μετὰ τὸ δοῦναι παρεπεκράτησας;“ καὶ ἅμα θανάτῳ κατέκρινεν ἀμφοτέρους, μηδὲ πρὸς βραχὺ τῆς δίκης ἀνασχομένης, μηδέ τινος χώρας αὐτοῖς εἰς μετάνοιαν δοθείσης. ἀλλ' ἐν τῷ παρόντι οὕτως ἐφιλονείκησάν τινες κἀκείνους ὑπερβαλέσθαι, καὶ ἐπὶ τοσοῦτον ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν, ὡς καὶ τὰ παρ' ἄλλων ἀνατεθέντα καὶ ἀφιερωθέντα θεῷ ἁρπάζοντες καὶ ἰδιοποιούμενοι καὶ συναλλάγματα καὶ πράσεις καὶ συμφωνίας περὶ αὐτὰ συνιστᾶν ἐπιχειροῦντες οὐ φρίττομεν, ἀλλὰ τῆς ἀνοχῆς καὶ μακροθυμίας καταφρονοῦμεν θεοῦ, καὶ τοῖς προλαβοῦσι παραδείγμασιν οὐ σωφρονίζομεν ἑαυτούς. πρὸς οὖν τί ταῦτά μοι εἴρηται; οἱ ἐν τῇ σεβασμίᾳ καὶ θείᾳ βασιλικῇ καὶ πατριαρχικῇ μονῇ τῇ εἰς ὄνομα τιμωμένῃ τῆς πανυπεράγνου μου δεσποίνης καὶ θεομήτορος καὶ ἐπικεκλημένῃ τῆς Περιβλέπτου ἐνασκούμενοι μοναχοί, εἰς χρείαν τινὰ καταστάντες πρὸ χρόνων, δίχα γνώμης ἐπισκοπικῆς, ἐκτὸς κανονικῆς διαγνώσεως, χωρὶς ὅλως συνοδικῆς ἐξετάσεως ἀπέκοψαν ἕνα τῶν ἀφιερωμένων τῇ μονῇ κῆπον, κτῆμα ἀκίνητον, θεῖον καὶ ἱερόν, καὶ ἐξέδοντο αὐτὸν πρὸς τὸν

τότε οἰκεῖον τοῖς βασιλεῦσι τοῖς ἁγίοις, κῦρ Γεώργιον Τριακοντάφυλλον τὸν εὐνοῦχον, τὸν νῦν μοναχὸν κῦρ Γαλακτίωνα, συμφωνήσαντες ἀνακάμπτειν αὐτὸν μετὰ καιρὸν εἰς τὴν μονήν, ὀφείλουσαν ποιεῖν κατ' ἔτος λειτουργίας ιβ' ὑπὲρ τῆς ψυχῆς αὐτοῦ καὶ ζῶντος καὶ μετὰ τὸν αὐτοῦ θάνατον ἀδιακόπως, ἕως ἂν ἵσταται ἡ μονή. ἐξ ἐκείνου τοίνυν ἐννέα καὶ ἐπέκεινα χρόνων παρελθόντων, κατέχει αὐτὸν ὁ ῥηθεὶς κῦρ Γαλακτίων, καὶ τὰς προσόδους αὐτοῦ ἰδιοποιεῖται, τῇ τοιαύτῃ παρανόμῳ καὶ παρὰ κανόνας πράξει ἐπερειδόμενος, ὅπερ εἰς γνῶσιν ἐλθὸν τῆς ἡμῶν μετριότητος οὐκ ἔστιν εἰπεῖν, ὅσης ἐνέπλησεν αὐτὴν τῆς πικρίας ἅμα καὶ λύπης κατά τε τῶν τοῦτο διαπραξαμένων, κατά τε τοῦ ταῦτα καταπραγματευσαμένου· οὔτε γὰρ οἱ μοναχοὶ ἄδειαν εἶχον τοιοῦτον παράνομον συστήσασθαι συνάλλαγμα, οὔτε μὴν ὁ ῥηθεὶς Τριακοντάφυλλος ἔνοχός ἐστι μικρᾷ καταδίκῃ, θεοκάπηλος ἔργοις γενόμενος, εἴτε γὰρ ἐνεχύρανσιν εἴποι τις τοῦτο, πάντως οἵ γε καρποὶ εἰς τόκον καταλογηθήσονται, οὗ τί ἀσεβέστερον γένοιτ' ἂν ἀπὸ τῶν θείων καρπίζεσθαι καὶ τόκους καὶ πλεονασμοὺς ἀπαιτεῖν καὶ καθαρπάζειν τοὺς μηδὲ τοῖς ὁμοφύλοις τὸ ἀργύριον ἐκτοκίζειν προστεταγμένους; εἰ δὲ πρᾶσιν αὐτό τις εἶναι διισχυρίσαιτο, καὶ οὕτω παρὰ κανόνας αὐτὴν καὶ παράνομον εὑρήσει· φησὶ γὰρ ὁ λη' κανὼν τῶν ἁγίων ἀποστόλων· „πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω αὐτά, ὡς τοῦ θεοῦ ἐφορῶντος, μὴ ἐξεῖναι δὲ αὐτὸν σφετερίζεσθαί τι ἐξ αὐτῶν ἢ συγγενέσιν ἢ ἰδίοις τὰ τοῦ θεοῦ χαρίζεσθαι· εἰ δὲ πένητες εἶεν, ἐπιχορηγείτω ὡς πένησιν, ἀλλὰ μὴ προφάσει τούτων τὰ τῆς ἐκκλησίας ἀπεμπολείτω.“ τὰ αὐτὰ δὲ καὶ ὁ τῆς ἁγίας καὶ οἰκουμενικῆς ζ' συνόδου κανών φησιν· „εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτουργίων τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα ἢ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν, κατὰ τὸν προρρηθέντα ἀποστολικὸν κανόνα“, καὶ μετὰ τὸ αὐτὸν ἐκθεῖναί φησιν, „εἰ δὲ προφασίζοιτο ζημίαν ἐμποιεῖν καὶ μηδὲν πρὸς ὄνησιν εἶναι τὸν ἀγρόν, μηδ' οὕτω τοῖς κατὰ τόπον ἄρχουσιν ἐκδιδόναι τὸν ἀγρόν, ἀλλὰ κληρικοῖς ἢ γεωργοῖς· εἰ δὲ πανουργίᾳ πονηρᾷ χρήσαιντο, καὶ ἐκ τοῦ γεωργοῦ ἢ τοῦ κληρικοῦ ὠνήσεται ἄρχων τὸν ἀγρόν, καὶ οὕτως ἄκυρον εἶναι τὴν πρᾶσιν καὶ ἀποκαθίστασθαι ἐν τῷ ἐπισκοπείῳ ἢ τῷ μοναστηρίῳ· καὶ ἐπίσκοπος ἢ ἡγούμενος τοῦτο ποιῶν ἐκδιωχθή-

σεται ὁ μὲν ἐπίσκοπος τῆς ἐπισκοπῆς, ὁ δὲ ἡγούμενος τοῦ μοναστηρίου, ὡς διασκορπίζοντες κακῶς, ἃ οὐ συνήγαγον." συνῳδὰ δὲ τούτοις καὶ ὁ τῆς ἐν Καθαρ(γένῃ) κς' κανών φησιν· „ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησιαστικὸν μηδεὶς πιπράσκῃ, ὅπερ πρᾶγμα ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγει ἀνάγκη, τοῦτο ἐμφανίζεσθαι τῷ πρώτῳ τῆς ἐπαρχίας καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι· εἰ δὲ τοσαύτη ἐπείγει ἀνάγκη τῆς ἐκκλησίας, ὡς μὴ δύνασθαι πρὸ τοῦ πωλεῖν βουλεύεσθαι, κἂν τοὺς γειτνιῶντας εἰς μαρτυρίαν καλέσει ὁ ἐπίσκοπος, φροντίδας ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις, ὅπερ εἰ μὴ ποιήσῃ, ὑπεύθυνος τῷ θεῷ καὶ τῇ συνόδῳ φανῇ ὁ πιπράσκων καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς." καὶ ὁ μὲν προρρηθεὶς κανὼν ὅλως ἀπαγορεύει πρὸς ἄρχοντας ἐκδοθῆναι κτῆμα ἐκκλησίας ἢ μοναστηρίου ἀκίνητον, κἂν οἰκονομίᾳ χρησάμενοι οἱ ἄρχοντες κληρικὸν μέν τινα ἢ λαϊκὸν προβάλλωσιν ἀγοράσαι αὐτό, φωραθῶσι δὲ ἄρχοντες ἐξ ἐκείνων τὸ κτῆμα δεξάμενοι, ἀναλαμβάνειν τὸ κτῆμα τὸ μοναστήριον πάλιν παρακελεύεται, κἀκεῖνος δὲ καὶ ὁ ῥηθεὶς μετ' αὐτὸν τοὺς ταῦτα ποιοῦντας, εἴτε ἐπίσκοποι εἶεν, εἴτε ἡγούμενοι, τῆς οἰκείας τούτους ἀλλοτριοῦσι τιμῆς. ὡσαύτως δὲ καὶ ὁ λγ' τῆς αὐτῆς· „ὁμοίως ἤρεσέ φησιν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων αὐτῶν ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται, ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρία, ἀγνοούσης τῆς σεβασμίου ἢ τῶν οἰκείων πρεσβυτέρων, μὴ οὔσης τοίνυν ἀνάγκης, μηδὲ ἐπισκόπῳ ἐξεῖναι καταχρήσασθαι πράγματι" ὁ δὲ τῆς ἐν Ἀγκύρᾳ ιε' κανών φησι· „περὶ δὲ τῶν διαφερόντων τῷ κυριακῷ, ὅσα ἐπισκόπου μὴ ὄντος πρεσβύτεροι ἐπώλησαν, ἀνακαλεῖσθαι τὸ κυριακόν, ἐν δὲ τῇ κρίσει τοῦ ἐπισκόπου εἶναι, εἴπερ προσήκει ἀπολαβεῖν τὴν τιμήν, εἴτε καὶ μή, διὰ τὸ πολλάκις τὴν εἴσοδον τῶν πεπραμένων ἀποδεδωκέναι αὐτοῖς τούτοις πλείονα τὴν τιμήν". καὶ οὐχ οἱ μὲν θεῖοι καὶ ἱεροὶ κανόνες οὕτως, οἱ δὲ φιλευσεβεῖς νόμοι ἄλλως πως, ἀλλὰ καὶ αὐτοὶ ὅμοια τοῖς θείοις καὶ ἱεροῖς κανόσι διαγορεύουσι. φασὶ γὰρ ἐπὶ λέξεως οὕτως· „οἱ εὐαγεῖς οἶκοι, μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις ὑπ' ὄψιν τοῦ μητροπολίτου, συνόντων αὐτῷ τῶν ἐπισκόπων καὶ κληρικῶν· τότε δὲ τὰ ἀκίνητα ἐκκλησιαστικὰ ἐκποιεῖσθαι, ὅταν μὴ ᾖ παντελῶς κινητά."

καὶ πάλιν ἀλλαχοῦ φησιν· „ὁ ἐπὶ παρανόμῳ συναλλάγματι διδοὺς ἀναγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβεῖν τὸ δοθέν.“ καὶ πάλιν ἄλλοθι· „ἂν δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν συνάλλαγμά τι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις ἑνὶ τῶν εὐαγῶν οἴκων, ἀναδίδοσθαι τῇ αὐτῇ ἐκκλησίᾳ τὸ πρᾶγμα, ἐφ' ᾧ τοιοῦτόν τι (παρη)κολούθησε μετὰ τῶν μέσου χρόνου καρπῶν, μεν(έτω) παρ' αὐτῇ τὸ τίμημα (ἢ) τὸ ἀντίδωρον ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῷ δεδομένον· εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικόν, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, μενέτω δὲ παρ' αὐτῇ τὸ τίμημα ἢ τὸ ἀντίδωρον ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ διδομένον· εἰ δὲ ὑποθήκη παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα τῷ εὐαγεῖ οἴκῳ ἀποδιδότω, οἱ δὲ τὰ συμβόλαια γράψαντες ἐπὶ τοιούτοις ταβουλλάριοι παρὰ τόνδε ἡμῶν τὸν νόμον διηνεκεῖ ἐξορίᾳ καταδικαζέσθωσαν“. καὶ πάλιν πανταχοῦ καὶ διὰ πάντων οἱ νόμοι ἀπαγορεύουσι πράσεις προβαίνειν ἐν τοῖς διαφέρουσι τοῖς εὐαγέσιν οἴκοις καὶ μοναστηρίοις ἀκινήτοις. ἐκ δὴ τῶν ῥηθέντων ἁπάντων ἀποδείκνυται καὶ παρὰ κανόνας καὶ παράνομος ἡ τοιαύτη πρᾶξις καὶ συνάλλαξις, οὔτε γὰρ μετὰ συνόδου καὶ διαγνώσεως τῶν δώδεκα ἐπισκόπων προέβη ἐπὶ κρίσει καὶ τοῦ α' τῆς ἐπαρχίας, οὔτε ὅλως τινὶ εἰδήσει καὶ γνώμῃ ἐπισκοπικῇ, οὔτε τὸ κτῆμα ἀπρόσοδον ἦν, οὔθ' ἕτερον κινητὸν οὐ προσῆν τῇ μονῇ καὶ διὰ τοῦτο τὸ ἀκίνητον ἐξεποιήθη, καὶ ὅτι ἐξεδόθη πρὸς πρόσωπον οὔτε κληρικοῦ οὔτε γεωργοῦ, ἀλλά, παρὰ κανόνας, ἀρχοντικόν, δι' ἅπερ ἅπαντα καταδικασθῆναι προσῆκε τὸν κῦρ Γαλακτίωνα, ἀντιστρέψαι πρὸς τὴν μονὴν τό τε κτῆμα νομίμως τε καὶ κανονικῶς καὶ τὰς ἐπικαρπίας τῶν χρόνων, καθ' οὓς κρατεῖ αὐτό· συγκαταβάσει δὲ χρησαμένη ἡ μετριότης ἡμῶν καὶ τῆς αὐτοῦ ψυχῆς μάλιστα φροντίζουσα καί, τὸ ἀβαρὲς ἅμα τούτῳ περιποιουμένη, διαγινώσκει καὶ ἀποφαίνεται συνοδικῶς, λογαριασμοῦ ἀκριβοῦς γενομένου, πᾶν εἴ τι εὑρεθῇ ὅτι ἔλαβεν ὁ κῦρ Γαλακτίων ἀπὸ τῆς ἐπικαρπίας τοῦ κήπου καθ' ὅσους χρόνους ἐκράτει αὐτόν, ἵνα διαβιβάσῃ αὐτὸ εἰς ὃ τίμημα ἔδωκε κατ' ἀρχάς· καὶ εἰ μὲν ὑπερβαίνει, ὃ ἔλαβεν, ἵνα ἀντιστρέψῃ τὸ πλέον τοῦ τιμήματος πρὸς τὴν μονήν, εἰ δὲ ἰσάζει, ἵνα ἀρκῆται, εἰ δὲ καὶ ἐλλείπει, ἵνα λαμβάνῃ τὸ λεῖπον ἀπὸ τῆς μονῆς· τὸν δὲ κῆπον ἀπὸ τῆς σήμερον λέγω καὶ ἀπο-

φαίνομαι κρατεῖσθαι καὶ δεσπόζεσθαι ὑπὸ τῆς μονῆς, ὡς ἀφιερωμένον καὶ ἴδιον κτῆμα αὐτῆς καὶ κακῶς μὲν καὶ παρὰ κανόνας καὶ νόμους ἀποσπασθὲν αὐτῆς, καλῶς δὲ καὶ κανονικῶς τε καὶ νομίμως εἰς ταύτην ἐπανελθόν. καὶ εἰ μὲν εὐγνωμόνως στέρξει ὁ κῦρ Γαλακτίων τὴν παροῦσαν διάγνωσιν καὶ συνοδικὴν ἀπόφασιν τῆς ἡμῶν μετριότητος, καὶ μετ' εὐχαριστίας ὡς εὐεργετούμενος ἀρεσθῇ τοῖς δεδογμένοις περὶ τῶν ἀνωτέρω ῥηθέντων συνοδικῶς, εὐχῆς τε καὶ εὐλογίας φανήσεται ἄξιος· εἰ δὲ κατά τι ἀντείποι, ἢ εἴπερ ἐνοχλήσει τούτου ἕνεκεν τὰς θείας βασιλικὰς ἀκοάς, καὶ ἐπήρειαν τούτου ἕνεκεν προξενήσει τοῖς μοναχοῖς καὶ τὴν τυχοῦσαν, ἔχει αὐτὸν ἡ μετριότης ἡμῶν ὑπὸ τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς καὶ ἀδιαιρέτου τριάδος βαρύτατον καὶ φρικώδη καὶ ἄλυτον ἀφορισμόν, μέχρις ἂν ἐπιστρέψῃ καὶ μετανοήσῃ ἐκ ψυχῆς, καὶ πληρώσῃ κατὰ πάντα τὴν παροῦσαν συνοδικὴν διάγνωσιν καὶ ἀπόφασιν τῆς ἡμῶν μετριότητος, ἥτις ἐγγράφως ἐκτεθεῖσα ἐπεδόθη τῇ ῥηθείσῃ σεβασμίᾳ μονῇ τῆς παναγίας μου τῆς Περιβλέπτου εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἀπολυθεῖσα ἐν ἔτει ,ϛϡι', ἀπελύθη τῇ κ'. ἀλλὰ καὶ ὅσοι συνηγορήσωσιν αὐτῷ εἰς τὴν τοιαύτην παράνομον καὶ παρὰ κανόνας πρᾶξιν, καὶ ἐπήρειάν τινα προξενήσουσι τοῖς μοναχοῖς, ἔχει καὶ αὐτοὺς ἡ μετριότης ἡμῶν ὑπὸ τὸν ῥηθέντα φρικώδη καὶ βαρύτατον ἀφορισμόν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ι' †.

## DCLXXI. (6910—1401) 1. novembris. ind. X.

*Promissio Georgii Bastagarii.*

† Ἐγὼ Γεώργιος ὁ Βασταγάριος τὴν παροῦσάν μου ποιῶ ὑπόσχεσιν πρὸς τὸν παναγιώτατον ἡμῶν δεσπότην καὶ οἰκουμενικὸν πατριάρχην, δι' ἧς καὶ λέγω, ὡς ἀπὸ τῆς σήμερον ὑπάρχω εἰρηνικὸς μετὰ τοῦ ἀδελφοῦ μου, καὶ ἀγαπῶ καὶ τιμῶ αὐτὸν ὁμοίως καὶ τὴν αὐτοῦ γυναῖκα καὶ τὴν νύμφην μου· εἰ δὲ ἀθετήσω τὴν παροῦσάν μου ὑπόσχεσιν καὶ πάλιν χωρήσω εἰς ὕβρεις καὶ ὀχλήσεις, ἵνα καταδικάζωμαι ἀπεκβαλεῖν μὲν εἰς τὸ δημόσιον ὑπέρπυρα εἰκοσιπέντε, καὶ πανθάνω δὲ καὶ ἄλλην τιμωρίαν, ἣν ἂν διακρίνοι ὁ παναγιώτατος ἡμῶν δεσπότης, ὁ οἰκουμενικὸς πατριάρχης, μόνον εἴπερ μοι παρ-

ἔχει ὁ ἀδελφός μου τὴν τιμὴν τὴν προσήκουσαν. μηνὶ νοεμβρίῳ α'. ἰνδ. δεκάτης †.

| Σῖγνον | Γεωργίου |
|---|---|
| τοῦ Βαστα | γάρη. |

## DCLXXII. Sine anno.

*Synodus hieromonachum Macarium constituit metropolitam Chersonis.*

† Ματθαῖος, ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ οἰκουμενικὸς πατριάρχης †.

† Εἰ ῥᾷον ἐν ἀνθρώποις τὸ κακίας μεταλαβεῖν, τὸ δὲ ἀρετῆς μεταδοῦναι χαλεπὸν καὶ ἐπίπονον, ἀεὶ πάντως ἐφίστασθαι προσήκει τὸν πνευματικὸν διδάσκαλον τῷ ποιμνίῳ, ἐπεὶ γὰρ ἡ πάλη οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς ἄυλον φύσιν ἐστίν, οὐ δεῖ τὴν ὕλην ἐπὶ πλεῖον ἀκάθαρτον παρορᾷν τὸν ἀΰλως θεραπεύειν μέλλοντα τὰς ψυχάς, ἀλλ' ἄγρυπνον εἶναι προστάτην τοῦτον καὶ πρόμαχον, πρὸς σωτηρίαν αὐτὰς ἰθύνοντά τε καὶ διεξάγοντα. ἐπεὶ οὖν καὶ ἡ ἁγιωτάτη τῆς Χερσῶνος μητρόπολις πάλαι τοῦ γνησίου ταύτης ἐστερήθη προστάτου, οὐκ ἔδει ταύτης ἐπὶ πολὺ τὴν ὀρφανίαν ἡμᾶς παριδεῖν, μεγίστη γὰρ ἂν ἐγένετο βλάβη τῷ τῆς ἐκκλησίας πληρώματι, ἀλλὰ τὸν πνευματικῶς τε καὶ θείως ὑπηρετήσοντα πρὸς τοῦτο καὶ πλεῖστα πρὸς οἰκοδομὴν αὐτῶν συντελέσοντα ἀναζητῆσαί τε πάσῃ σπουδῇ καὶ εὑρεῖν· ψήφῳ τοίνυν τῆς θείας καὶ ἱερᾶς ὁμηγύρεως τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Γοτθίας καὶ τὸν τόπον ἐπέχοντος τοῦ Ἐφέσου, τοῦ Κυζίκου, τοῦ Οὐγκροβλαχίας καὶ τοῦ Μηδείας, ἐχειροτονήθη παρὰ τῆς ἡμῶν μετριότητος γνήσιος μητροπολίτης καὶ ποιμὴν καὶ διδάσκαλος εἰς ταύτην τὴν τῆς Χερσῶνος μητρόπολιν ὁ τιμιώτατος ἐν ἱερομονάχοις κῦρ Μακάριος, καὶ τὸ ἑξῆς ὁμοίως, ὡς καὶ αἱ λοιπαὶ πράξεις τῶν ἀρχιερέων †.

## DCLXXIII. Sine anno.

*Patriarchae litterae datae ad Manuelem Comnenum, imperatorem Trapezuntis, de hieromonacho Simeone et de metropolita Alaniae.*

† Περιπόθητε συμπένθερε τοῦ κρατίστου καὶ ἁγίου μου αὐτοκράτορος, εὐγενέστατε, ἐνδοξότατε, ἀνδρικώτατε, φρονιμώτατε βασιλεῦ τῆς

Τραπεζοῦντος καὶ πάσης Λαζικῆς, ἐν ἁγίῳ πνεύματι ποθεινότατε υἱὲ τῆς ἡμῶν μετριότητος, κῦρ Μανουὴλ Μέγα Κομνηνέ, χάριν, εἰρήνην, ἔλεος, ὑγείαν ψυχῆς καὶ σώματος καὶ ἄλλο ἅπαν ἀγαθὸν καὶ σωτήριον ἐπεύχεται τῇ βασιλείᾳ σου ἡ μετριότης ἡμῶν ἀπὸ θεοῦ παντοκράτορος. τὰ μετὰ τοῦ ἱερομονάχου σταλέντα γράμματα παρὰ τῆς βασιλείας σου εἰσήχθησαν εἰς τὴν θείαν καὶ ἱερὰν καὶ μεγάλην σύνοδον, συνήχθη γὰρ περὶ τούτου καὶ μίαν καὶ δὶς ἤδη καὶ τρίς, καὶ ὑπανεγνώσθησαν· εὑρέθη γοῦν πολλὴ δυσκολία καὶ δυσχέρεια καὶ μεγάλη ἀντιλογία, διότι ἃ ἔγραφες, παρὰ τὸν τύπον ἦσαν τὸν τεθέντα παρὰ τῶν ἁγίων πατέρων καὶ παρὰ τὰ γράμματα τῆς βασιλείας σου, ἃ ἔγραφας πρότερον περὶ τοῦ Ἀλανίας, ἐν οἷς ἔγραφες· „τοῦτο μόνον παρακαλοῦμεν, ἵνα γένηται". καὶ ἄλλοτέ ποτε· „οὐ μὴ ζητήσομεν τοῦτο· διὰ ταῦτα πάντα πολλὰ ἐφάνη δυσχερές τε καὶ δύσκολον τὸ νῦν, τέως δὲ πολλῇ παρακλήσει καὶ ἀξιώσει συνεκατέβη καὶ κατένευσεν ἡ θεία καὶ ἱερὰ καὶ μεγάλη σύνοδος διὰ τὴν φιλίαν καὶ ἀγάπην τῆς βασιλείας σου καὶ διὰ τὴν καλὴν καὶ ἐπαινετὴν φήμην, ἣν ἔχει ὁ ἱερομόναχος καὶ πνευματικός, κῦρ Σιμεών, καὶ τὴν ἀγάπην καὶ στοργήν, ἣν ἔχετε πρὸς αὐτόν, ἵνα ἔλθῃ ἐδῶ, καὶ γένηται εἰς αὐτὸν κανονικῶς, ὅσον ἀξιοῖτε, μόνον εἴπερ δώσει ἡ βασιλεία σου πληροφορίαν ἔγγραφον καὶ ἀσφάλειαν εἰς τὴν θείαν καὶ ἱερὰν καὶ μεγάλην σύνοδον, πλέον ποτὲ ἵνα μηδὲ περὶ προσώπου εἴπητε ἢ γράφητε τὸ τυχὸν πλέον ποτέ, ἐπεὶ καὶ τοῦτο παρὰ τὴν κανονικὴν ἀκρίβειάν ἐστιν· ἐρχέσθω οὖν οὗτος ἀπαραιτήτως μετὰ τὴν ἄνοιξιν, ἐπεὶ τεσσάρων μηνῶν διωρία ἐδόθη αὐτῷ, μετὰ τὸν μάρτιον, ἐν οἷς εἰ οὐκ ἔλθῃ, μέλλει ποιῆσαι ἡ σύνοδος, ὅσον ἐστὶ κανονικὸν εἰς ταύτην τὴν ἐκκλησίαν ἡμῶν. μηδὲν γοῦν προβάλλεσθε ἢ χρείαν ἐξόδου ἢ ἕτερόν τι τῶν ἁπάντων, ἐπεὶ οὐδενὸς χρῄζομεν ἀπὸ τούτου. περὶ δὲ τοῦ Ἀλανίας θαυμάζομεν, πῶς ἐνόμισεν ἡ βασιλεία σου, ὅτι εἰς τὰ ε΄ σώμια οὐχ ἡττήθημεν, εἰς δὲ τὰ ὀκτὼ ἡττηθησόμεθα, ὑπέλαβες δὲ τοῦτο ἀγνοῶν ἡμᾶς καὶ τὸν ἡμέτερον σκοπόν, οἳ πτωχοὶ μὲν ὁμολογοῦμεν, ὡς καὶ ἐσμὲν καὶ ἐσόμεθα, ὅσον δὲ ἀπὸ τοιούτου πόρου οὐ μόνον ὀκτώ, ἀλλ' οὐδὲ ἐὰν ὀκτακισχίλια ἦσαν, ἐμέλλομεν αὐτῶν ἅψασθαι, ἀλλ' ὁμοίως ἂν ἀπεστρεφόμεθα ταῦτα ὡς ὄφεις καὶ σκορπίους. περὶ δὲ τοῦ Ἀλανίας ἐπεὶ κακὴ φήμη καὶ λίαν ἀπᾴδουσα πρὸς ἀρχιερωσύνην εἰσήχθη δι' αὐτοῦ εἰς ἐκκλησίαν Χριστοῦ, καὶ πολλοὶ δι' αὐτὸν κατεστράφησαν

καὶ ἐσκανδαλίσθησαν, διέγνω καὶ ἀπεφήνατο συνοδικῶς ἡ μετριότης ἡμῶν, ἵνα παραγένηται ἐνταῦθα, καὶ συνοδικῶς ἀποδύσηται τὰ ἐγκλήματα, καὶ ἀποδείξῃ ἑαυτὸν ἀθῷον, καὶ ἐὰν ἐπανέλθῃ μετὰ ἀθῳωτικῶν συνοδικῶν γραμμάτων τῆς ἡμῶν μετριότητος, οἰκοδομηθήσονται καὶ ὅσοι ἐσκανδαλίσθησαν εἰς αὐτόν· ἐρχέσθω οὖν καὶ αὐτὸς μετὰ τὸν μάρτιον, τεσσάρων μηνῶν διωρίας αὐτῷ δοθείσης, ἧς παρελθούσης εἰ οὐ πρὸς τὴν σύνοδον ἀπαντήσει, ἔχει αὐτὸν ἡ μετριότης ἡμῶν ἀργὸν πάσης ἀρχιερατικῆς ὑπηρεσίας συνοδικῇ διαγνώσει. λαβέτω δὲ καὶ τὰ σώμια ὁ δοῦς ταῦτα. κύριος ὁ θεὸς φυλάξοι τὴν βασιλείαν σου ἄνοσον, εὔθυμον, ὑγιᾶ καὶ ἀνώτερον παντὸς ἀνιαροῦ συναντήματος †.

## DCLXXIV. (6910—1401) novembri. ind. X.

*Lis diiudicatur.*

† Ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρ Γεώργιος ὁ Μάμαλις, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τοῦ αὐταδέλφου αὐτοῦ, τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Ἀνδρέου Δούκα τοῦ Μάμαλι, εἰπών, ὡς τὸ κηπικὸν περιβόλιον τὸ ἡνωμένον τοῖς γονικοῖς αὐτῶν οἰκήμασιν, οὗ τρία πεμπτημόρια αὐτῷ ἀνήκουσι, τὸ μὲν ἓν ἀπὸ ἀγορασίας τοῦ ἀδελφοῦ αὐτοῦ, Νικολάου τοῦ Μάμαλι, τὸ δὲ ἕτερον ἀπὸ χρέους τοῦ ἑτέρου ἀδελφοῦ αὐτοῦ, τοῦ Κωνσταντίνου τοῦ Μάμαλι ἐκείνου, τὸ δὲ ἕτερον ὡς ἴδιον μεριδικόν, τὸ τοιοῦτον οὖν περιβόλιον εἶπε κεχερσωμένον νῦν κεῖσθαι, ἀκαλές τε καὶ καταπάτημα πᾶσιν ἀπὸ φιλονεικίας τοῦ ἀδελφοῦ αὐτοῦ, τοῦ Δούκα, πέμπτον μόνον μεριδικὸν ἔχοντος ἐν αὐτῷ, τὸ γὰρ ἕτερον πέμπτον τῆς ἀδελφῆς αὐτῶν εἶπεν εἶναι, Μαμαλίνης τῆς Ἀρχοντίσσης, διὰ τοῦτο καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτῷ. παρὼν δὲ καὶ ὁ Δοῦκας καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς εἶπεν, ὡς οὐδεὶς τῶν ὑπὸ τῶν γονέων αὐτῶν ὑπὸ γάμου ζυγὸν ἀχθέντων ἀδελφῶν αὐτοῦ ἐν τῷ τοιούτῳ περιβολίῳ μετέχει, ἐκρατήθη γὰρ τοῦτο παρὰ τῶν γονέων αὐτῶν, καὶ ἐκαρπίζοντο τὸ ὅλον μόνοι ἐκεῖνοι περιόντες, καὶ μετὰ τὸν τοῦ πατρὸς αὐτῶν θάνατον ἡ μήτηρ αὐτῶν, μέχρις ἂν καὶ αὕτη τῷ χρεὼν ἐλειτούργησεν, ἧς ἀποθανούσης ἐναπελείφθησαν κληρονόμοι τοῦ τε πατρικοῦ βίου καὶ τοῦ ὀσπητίου,

ἀλλὰ δὲ καὶ τοῦ τοιούτου περιβολίου αὐτός τε καὶ ὁ νεώτερος ἀδελφὸς αὐτῶν, Νικόλαος, τῶν ἄλλων ἐξωπροίκων ὄντων καὶ ἀμετόχων τοῦ περιβολίου, ὥσπερ καὶ τοῦ εὑρεθέντος ἄλλου βίου τοῖς γονεῦσιν αὐτῶν, ὃν μόνοι οἱ δύο ἐκληρονόμησαν, ὡς ἔτι εὑρεθέντες ὑπεξούσιοι. περὶ δὲ τῆς εἰς τὸν κῦρ Γεώργιον πωλήσεως τοῦ μεριδικοῦ τοῦ περιβολίου τοῦ ἀνήκοντος τῷ Νικολάῳ, ἠσφαλίζετο καὶ ἐβόα ὁ Δοῦκας, μηδὲν ὅλως ἀκοῦσαι μέχρι τοῦ νῦν, ἀλλ᾽ εἴπερ ἔλεγε πωληθῆναι συνέβη τὸ περιβόλιον αὐτῷ μόνῳ ἀνήκειν τὴν ἀγορὰν αὐτοῦ, ὡς ἀνακοίνωσιν ἔχοντι μετὰ Ταύνου ἐκείνου. ἀπῃτήθησαν οὖν συνοδικῶς συστῆσαι κατὰ τὸ πρῶτον ὁ μὲν κῦρ Γεώργιος τὴν πρᾶσιν τοῦ μεριδικοῦ περιβολίου τοῦ ἀνήκοντος τῷ Νικολάῳ, ἣν προεβάλλετο ὡς ἐποίησεν ὁ Νικόλαος μετ᾽ αὐτοῦ· ὁ δὲ Δοῦκας ἀπῃτήθη ὁμοίως συστῆσαι, εἴπερ τοῖς δύσι μόνοις, ὡς ἔλεγε, κατελείφθη ἡ κληρονομία τοῦ τοιούτου περιβολίου, καὶ οὐ τοῖς πέντε ἀδελφοῖς, ὡς ὁ κῦρ Γεώργιος ἔλεγεν. ὁ μὲν οὖν κῦρ Γεώργιός τε περὶ τούτου προεκόμισε πρατήριον γράμμα πρὸ εἴκοσι χρόνων προβάν, ὃ τὴν εἰς αὐτὸν διελάμβανεν ἀγορὰν τοῦ μεριδικοῦ περιβολίου μετὰ τῶν ὀσπητίων τῶν ἐμφυτευματικῶν τῶν ἀνηκόντων τῷ Νικολάῳ, ὁ δέ γε Δοῦκας ταῦτα παντελῶς διετείνετο, μὴ εἰδέναι, καὶ εἰς ὃ ἔλεγε περὶ τοῦ περιβολίου, ὡς τοῖς δυσὶ μόνοις ἀνήκει, τῷ Νικολάῳ καὶ ἑαυτῷ, προέτεινεν ἀπόδειξιν, ὡς ἡ μήτηρ αὐτῶν ἀποθνήσκουσα προσεκαλέσατο τὸν θεοσεβέστατον ἱερέα ἐκεῖνον, κῦρ Δημήτριον τὸν Χρυσοκόκκην, τὸν πατέρα τοῦ θεοφιλεστάτου ῥαιφερενδαρίου, καὶ ἔγραφε διαθήκην, ἥτις οὐκ ἔφθασε μὲν ὑπογραφῆναι, πλὴν ἔλεγεν ἐπιτελεύτιον βούλησιν ταύτην εἶναι τῆς μητρὸς αὐτῶν καὶ περὶ πάντων διαλαμβάνειν τῶν κατ᾽ αὐτούς, ταύτην ἠξίου ὁ Δοῦκας βάρος ἀφορισμοῦ ἐκφωνηθῆναι, ὥστε τὸν κατέχοντα ἐμφανίσαι αὐτήν, ὡς στέρξων πᾶν, εἴ τι ἂν ἐκείνη διαλαμβάνει. ὁ δὲ κῦρ Γεώργιος ἠξίου ἐπιστατηθῆναι τὸ περιβόλιον παρὰ τῆς ἡμῶν μετριότητος καὶ ὡς ἀπὸ τῆς θεωρίας καὶ τῆς ἑκάστου νομῆς γενησόμενον δῆλον, ὡς τοῖς πᾶσιν ἀνήκει τὸ τοιοῦτον περιβόλιον· ἐπιστάντων οὖν ἡμῶν ἐν αὐτῷ καὶ πάντων τῶν ἀδελφῶν εὑρεθέντων νομὴν καὶ ὑπανοίξεις ἔχειν εἰς τὸ περβόλιον, ὁ Δοῦκας νομὴν μόνην αὐτοὺς διατείνετο ἔχειν, οὐ μὴν δεσποτείαν τινὰ καὶ τὴν τυχοῦσαν, ἠξίου δὲ ἀφορισμὸν ἐκφωνηθῆναι, ὥστε τὴν τῆς μητρὸς αὐτῶν διαθήκην ἐμφανισθῆναι, ὡς στέρξων πᾶν, εἴ τι ἂν ἐκείνη διαλαμβάνει. ἐρω-

τήσαντος δὲ τοῦ κῦρ Γεωργίου, τίνα ἰσχὺν ἔχει ἡ διαθήκη ἐκείνη, εἰ φανείη ἀτελὴς οὖσα καὶ ἀνυπόγραφος, ἡ μετριότης ἡμῶν τὸ κῦρος ἔχειν εἶπεν αὐτὴν καὶ βέβαιον κατὰ πάντα, ὥσπερ ἂν εἰ παρὰ μαρτύρων ὑπεσημαίνετο, ἐπεὶ γὰρ καὶ παρ' ἀμφοτέρων ὁμολογεῖται, ἐπιτελεύτιον βούλησιν τῆς μητρὸς αὐτῶν εἶναι ἐκείνην, καὶ ὁ ταύτην δὲ γράφας εὐλαβὴς ἱερεὺς ἦν, καὶ πάλαι τὸ χρεὼν ἀπέτισεν, ἕξει κατὰ πάντα τὸ κῦρος καὶ βέβαιον· μέλλοντος οὖν ἀφορισμοῦ περὶ τούτου ἐκφωνηθῆναι κατὰ τὴν τοῦ Δούκα αἴτησιν, προεκόμισε ταύτην ὁ κῦρ Γεώργιος, ἧς δὴ καὶ ὑπαναγνωσθείσης εὑρέθη τὸ περιβόλιον, ἵνα ἔχωσιν αὐτὸ ἐξ ἴσου καὶ τὰ πέντε παιδία τὰ κοσμικά. τούτων οὖν οὕτως ὑπὸ τῆς διαθήκης ἀναφανέντων, περὶ μὲν τοῦ μεριδικοῦ τοῦ κῦρ Κωνσταντίνου οὐδὲν ἄλογον ἕξει ὁ κῦρ Γεώργιος ἀπὸ τοῦ Δούκα, ἐπεὶ ἅπαξ κατέστη παρὰ κρίσεως ἐγκρατὴς καὶ κύριος αὐτοῦ ἀντ' ἐκείνου, καὶ οὐδὲ οἱ ἐκείνου κληρονόμοι ἐνοχλῶσιν αὐτῷ περὶ τούτου· περὶ δὲ τοῦ μεριδικοῦ τοῦ Νικολάου, ἐπεὶ διατείνεται ὁ Δοῦκας, μὴ εἰδέναι τὴν πρᾶσιν, ὅπως ἢ πότε προέβη, εἰ καὶ εἰκοσαετία παρέδραμε μετὰ τὴν αὐτοῦ πρᾶσιν, ἀλλ' ἐπεὶ οὔτε ἐνηργεῖτο τὸ περιβόλιον, ἐξ οὗ δήλη ἐγίνετ' ἂν ἡ πρᾶσις τῷ Δούκᾳ, ἀπὸ τοῦ καρπίζεσθαι τὸν κῦρ Γεώργιον τὸ τοῦ Νικολάου μεριδικὸν, οὔτ' ἔστι τις ὁ ἐλέγχων αὐτὸν εἰδέναι τὴν πρᾶσιν, εἴπερ ἀφορισμὸν δέξηται, ὡς οὐκ ἐγίνωσκε τὴν πρᾶσιν ἕως τοῦ νῦν, διέγνωμεν εἰσαχθῆναι καὶ αὐτὸν εἰς τὴν τοῦ μεριδικοῦ τοῦ Νικολάου ἀγορὰν κατὰ τὸ ἀνάλογον οὗ ἔχει μέρους· ἐπεὶ δὲ ἀφορισμὸν μὲν οὐκ εἶναι δυνατὸν δέξασθαι εἶπε διὰ τὴν ἰδίαν τιμὴν, ὅρκοις δὲ φρικτοῖς ἐξησφαλίσατο, τὴν μὲν τῶν ῥηθέντων ὀσπητίων ἐμφυτευματικῶν ἀκοῦσαι πρὸς τὸν κῦρ Γεώργιον ἔκδοσιν, τὴν δέ γε τοῦ περιβολίου μηδόλως ἀκοῦσαι ἕως τοῦ νῦν, ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται, ὡς ἐπεὶ ὁ μὲν Δοῦκας ε' μεριδικὸν ἔχει εἰς τὸ περιβόλιον, καθὼς ἀπεδείχθη τοῦτο ἀπὸ τῆς διαθήκης, ὁ δὲ κῦρ Γεώργιος ἔχει μὲν δύο μεριδικὰ, τό τε τοῦ κῦρ Κωνσταντίνου, τό τε ἑαυτοῦ, εἰς δὲ τὴν τοῦ Νικολάου τοιαύτην διάπρασιν ἔχει ὑπογραφὴν καὶ τοῦ ἀνδρὸς τῆς ἀδελφῆς αὐτοῦ, ἐξ οὗ δῆλον, ὡς παρῃτήσατο τὸ τοῦ πλησιασμοῦ αὐτοῦ δίκαιον, ἵνα ὁ μὲν Δοῦκας ἔχῃ τὸ πέμπτον μεριδικὸν ἑαυτοῦ καὶ τὸ ἀπὸ τοῦ πέμπτου μεριδικοῦ τοῦ Νικολάου ἵνα λάβῃ νῦν τὸ ἀνῆκον αὐτῷ ἀπὸ πλησιασμοῦ τέταρτον, ἀποδοὺς τῷ κῦρ Γεωργίῳ καὶ τὸ τέταρτον τίμημα, ὁ δὲ κῦρ Γεώργιος ἵνα

ἔχῃ τά τε δύο μεριδικὰ τοῦ κῦρ Κωνσταντίνου καὶ τὸ ἑαυτοῦ καὶ ἀπὸ τοῦ πέμπτου μεριδικοῦ τοῦ Νικολάου τὰ ἀπὸ πλησιασμοῦ ἀνήκοντα αὐτῷ τρία μεριδικά, ἀπὸ τοῦ ἔχειν αὐτὰ εἰς τοῦτο καὶ τὸ δίκαιον τῆς ἀδελφῆς αὐτοῦ, μερισθήσεται δὲ οὕτω παρ' ὧν ἂν διακρίνῃ ἡ μετριότης ἡμῶν, τὸ μὴν πλησίον τοῦ τῆς Ἁγίας Τριάδος καθίσματος λήψεται ἡ ἀρχόντισσα, ἡ ἀδελφὴ αὐτοῦ, ὡς ἡνωμένον τοῖς οἰκήμασιν αὐτῆς, εἶτα λήψεται ὁ Δοῦκας, ὅσον εἴρηται, παραιτουμένου τοῦ κῦρ Γεωργίου λαβεῖν ἀπὸ τοῦ μέρους τοῦ κῦρ Κωνσταντίνου καὶ λαμβάνοντος ἀπὸ δυσμῶν καὶ τοῦ δρόμου, ὅσον εἴρηται ὅτι ἔχει δίκαιον λαβεῖν διὰ τὸ ἀνενόχλητον, τὰ δὲ τοῦ Νικολάου ῥηθέντα ἐμφυτευματικὰ δύο οἰκήματα, ἅπερ νῦν οἰκοτόπιά εἰσι, τῶν οἰκημάτων καταχαλασθέντων, καθέξει ὁ κῦρ Γεώργιος ἀνενοχλήτως ἀπὸ τοῦ Δούκα, ἐπεὶ ὡμολόγησεν εἰδέναι τὴν πρᾶσιν αὐτῶν. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν, ἀπολυθὲν ἐν ἔτει ,ς ϡ δεκάτῳ †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεβρίῳ ἰνδ. ι' †.

## DCLXXV. (6910—1401) octobri. ind. X.

*Controversia dirimitur.*

† Νικόλαος ὁ Κορέσης καὶ Μανουὴλ ὁ Κορέσης, ὁ υἱὸς αὐτοῦ, κατὰ πνεῦμα υἱοὶ τῆς ἡμῶν μετριότητος, ἀναδραμόντες εἰς αὐτήν, συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσαντο κατὰ τοῦ οἰκείου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ υἱοῦ τῆς ἡμῶν μετριότητος, κῦρ Γεωργίου τοῦ Γουδέλη, εἰπόντες, ὡς πρὸ χρόνων συντροφίας ἔχων μετ' αὐτοῦ Μανουὴλ ὁ Κορέσης καὶ ταύτας διαλυσάμενος ἐποίησε καὶ ἑτέραν συντροφίαν ἔγγραφον πρὸ χρόνου ἑνὸς ἡμίσεος, ἐν ᾗ ἔβαλε μὲν αὐτὸς ὑπέρπυρα χίλια, ὁ δὲ Γουδέλης ὑπέρπυρα δισχίλια ἑξακόσια, συμφωνήσας ὁ Κορέσης, ἵνα λάβῃ ταῦτα αὐτὸς καὶ ταξιδεύσῃ εἴς τε τὴν Ἀμινσὸν καὶ τὴν Σινώπην καὶ ἀλλαχοῦ, ὅπου ἂν αὐτῷ δόξῃ, εἰς τὴν ἐπάνω θάλασσαν, καὶ πραγματεύηται καὶ πωλήσῃ καὶ ἀγοράσῃ καὶ σπουδάσῃ καὶ ἀγωνίσηται εἰς τὴν πόλιν μετὰ τῶν πραγμάτων δι' ὅλου τοῦ τῆς θ' ἰνδ. ὀκτωβρίου, καὶ συστήσῃ πρῶτον τὸ κεφάλαιον, τὰ τρισχίλια ἑξακόσια ὑπέρπυρα, εἴ τι δὲ κέρδος εὑρεθῇ, ἵνα μερίζωσιν αὐτὸ ἐξ ἴσου, ὁ μὲν Κορέσης ἀντὶ τῶν χιλίων ὑπερπύ-

ρων καὶ τοῦ κόπου αὐτοῦ, ὁ δὲ Γουδέλης ἀντὶ τῶν δισχιλίων ἑξακοσίων ὑπερπύρων αὐτοῦ· ἐὰν δὲ μὴ ποιήσῃ πάντα τρόπον καὶ ἐπανέλθῃ κατὰ τὸν συμφωνηθέντα ὀκτώβριον, ἀπὸ τότε εἶναι τὰ τῆς συντροφίας τοῦ Γουδέλη ὑπέρπυρα ἀνέξοδα καὶ ἀκίνδυνα, ὑποθέντος ἑαυτὸν εἰς τοῦτο ἐγγυητὴν τοῦ πατρὸς αὐτοῦ, κῦρ Νικολάου τοῦ Κορέσου, ἐνεφάνισε δὲ καὶ τὸ τῆς συμφωνίας αὐτοῦ γράμμα, ταῦτα κατὰ μέρος διαλαμβάνον. ἀνέφερε τοίνυν Μανουὴλ ὁ Κορέσης, ὡς ἀπελθὼν εἰς τὴν Σινώπην καὶ Ἀμινσὸν εὗρε πᾶσαν σύγχυσιν εἰς τὰ πράγματα καὶ ταραχὴν, τοῦ Σκύθου τοὺς πέριξ τόπους ληϊζομένου, ἐξ οὗ οὔτε ἐδυνήθη ὅλως πωλῆσαι ἢ ἀγοράσαι, εἰ μὴ πάνυ ὀλίγον, ἐν τῷ τῆς συμφωνίας καιρῷ, ὅπερ ἔβαλε μὲν εἰς καράβιον καὶ ἀπέστειλεν ἐπ' ὀνόματι αὐτοῦ εἰς τὸν ἑαυτοῦ ἐγγυητὴν καὶ πατέρα, ἐφθάρη δὲ καθ' ὁδὸν, τῆς νηὸς ναυαγίῳ διαλυθείσης, τὰ δὲ ἐναπολειφθέντα τῶν πραγμάτων ἐπεὶ οὐκ ἐδυνήθη πωλῆσαι κατὰ τὸν συμφωνηθέντα καιρὸν, διεβίβασε μὲν ἐκεῖ τὸν χειμῶνα, ἐπραγματεύσατο δὲ ταῦτα καὶ ἦλθεν ἐνταῦθα ἀκινδύνως κατὰ τὸ ἔαρ· βουλομένου δὲ λογαριασμὸν ποιῆσαι καὶ τὴν τοιαύτην συντροφίαν διαλύσασθαι, ὁ Γουδέλης πειρᾶται τὰ κατὰ θάλατταν ἀφανισθέντα πράγματα καὶ τὴν ἐκ τούτων ζημίαν τῷ Κορέσῃ μόνῳ ἐπενεγκεῖν, διὸ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτῷ. διαμηνυθεὶς δὲ καὶ ὁ Γουδέλης καὶ παραγενόμενος καὶ πρὸς ταῦτα ἀπολογήσασθαι προτραπεὶς, ἐζητήσατο πρῶτον μερισθῆναι τὰ εὑρισκόμενα πράγματα, καθὰ ἕκαστος ἔβαλεν εἰς τὸ κεφάλαιον, διὰ τὸ εὑρίσκεσθαι ταῦτα εἰς τὸν Γαλατᾶν καὶ μέλλειν αὐτὸν ζημιωθῆναι, εἴ γε φανερὸν γένηται, ὅτι ἔχει ἐκεῖσε πράγματα, διὰ τὸ ἀπαιτεῖσθαι αὐτὸν παρὰ τῶν Γενουιτῶν ζημίαν τε καὶ συγκρότησιν, ἠξίωσε δὲ ἐγχειρισθῆναι τὰ πράγματα, εἴ τι ἂν ἡ μετριότης ἡμῶν διακρίνοι εἰς ἃ ἔχουσι ζητήματα. στερξάντων οὖν τοῦτο, τοῦ τε Κορέση καὶ τοῦ υἱοῦ αὐτοῦ, καὶ τῶν γραμμάτων καὶ ἀμφοτέρων ἐγχειρισθέντων τῇ ἡμῶν μετριότητι καὶ οὕτω μερισθέντων τῶν πραγμάτων καὶ συνοδικῶς αὖθις παραγενομένων αὐτῶν, ὁ Γουδέλης προέτεινεν, ὅτι τὴν συμφωνίαν αὐτῶν ὁ Κορέσης κατέλυσεν, οὐδὲ γὰρ ἦλθε κατὰ τὸν συμφωνηθέντα ὀκτώβριον, καὶ διὰ τοῦτο ἔλεγε καὶ τὴν κατὰ θάλατταν ζημίαν εἰς αὐτὸν ἀφορᾶν, προεβάλλετο γὰρ, μὴ εἶναι γεγραμμένον ἐν τῇ συμφωνίᾳ πέμπειν αὐτὸν πράγματα, μήτε μὴν εἰς ὄνομα τούτου αὐτὰ, ἀλλὰ πρὸς τὸν πατέρα αὐτοῦ· καὶ τίς οἶδεν, εἴτε τῆς τοιαύτης συν-

τροφίας ἦσαν, εἴτε καὶ ἕτερα· ὁ δὲ Κορέσης ἀπελογήσατο πρὸς ταῦτα, ὡς πρὸ ἑνὸς ἥμισυ μηνὸς τοῦ ἀποτεταγμένου καιροῦ ἔβαλε ταῦτα ἐν τῷ καραβίῳ, καὶ ὅτι μόνα ταῦτα εἶχε πεπραγματευμένα, καὶ ἀνάγκην μὲν εἶχε διὰ τὰ λοιπὰ πράγματα περιμεῖναι, ὅσα δὲ ἦσαν ἕτοιμα, στεῖλαι ταῦτα ἐντὸς τῆς συμφωνίας αὐτοῦ, περὶ δὲ ὅτι οὐκ ἦν γεγραμμένον, ἔχειν αὐτὸν ἄδειαν ... πέμπειν, εἶπεν ὁ Κορέσης, ὅτι οὐδὲ γεγραμμένον ἐστί, μὴ πέμπειν αὐτὸν πράγματα, ἀλλ' ἐπεὶ τέλειος οἰκοκύριος ἦν εἰς τὸ πράττειν εἰς τὰ τῆς συντροφίας πράγματα, ὅσα ἂν αὐτῷ δόξῃ συμφέροντα, μόνον ἐντὸς τοῦ συμπεφωνημένου καιροῦ, ἔδοξέ μοι συμφέρον, ἵνα ὅσαπερ ἔφθασα καὶ ἐπραγματευσάμην, στείλω αὐτά, περὶ δὲ τοῦ ὅτι ἔβαλλον ταῦτα εἰς ὄνομα ἡμέτερον, καὶ οὐ τοῦ Γουδέλη, καὶ ὅτι ἔστειλα ταῦτα πρὸς τὸν ἐμὸν πατέρα, καὶ οὐ πρὸς τὸν Γουδέλην, αἴτιον, ὅτι καὶ ἐν τῷ κομερκίῳ τοῦ Γαλατᾶ εἰς ἡμέτερον ὄνομα ἐγράφετο, ὅταν ἐξέβησαν τὰ πράγματα, δι' ἣν ὁ Γουδέλης ἐφοβεῖτο ζημίαν παρὰ τῶν Γενουιτῶν. πρὸς τίνα δ' ἄλλον ἔμελλον στεῖλαι ταῦτα, εἰ μὴ εἰς τὸν ἐμὸν πατέρα τὸν καὶ ἐγγυητὴν ὄντα τούτων; ὅτι δὲ ἐκεῖσε τὸν χειμῶνα διεβίβασα, οὐκ ἦν ἀπ' ἐμοῦ, ἀλλ' ἀπὸ τῆς ῥηθείσης ὀχλήσεως καὶ τοῦ μὴ δυνηθῆναί με πωλῆσαι τὰ πράγματα, καὶ ὅτι οὐδὲ τὸ τυχὸν πλεύσιμον εὗρον, νῦν δὲ ἐλθὼν ἀπέσωσα ἅπερ εἶχον πράγματα ἀκινδύνως, θεοῦ βοηθείᾳ. πολλῶν δὲ καὶ ἄλλων λόγων παρ' ἀμφοτέρων τῶν μερῶν λαληθέντων καὶ τῶν τῆς συμφωνίας γραμμάτων πολλάκις ἀναγνωσθέντων τε καὶ ἐξετασθέντων καὶ πολλῇ βασάνῳ δοθέντος τοῦ περὶ τούτου, διέγνω καὶ ἀπεφήνατο συνοδικῶς ἡ μετριότης ἡμῶν, τὴν μὲν κατὰ θάλατταν ζημίαν, ἐπεὶ πρὸ ἑνὸς ἥμισυ μηνὸς τοῦ συμπεφωνημένου καιροῦ ἔβαλε τὰ πράγματα εἰς τὸ καράβιον, καὶ ἀμφοτέροις ἀνήκειν, καὶ μὴ εἶναι ἰσχυρόν, ὅπερ ὁ Γουδέλης προέτεινεν, ὡς οὐκ ἐγράφη, πέμπειν αὐτὸν πράγματα· ἐπεὶ γὰρ κύριος ἦν τοῦ πράττειν, καὶ οὐδὲ περιορισμένον ὑπῆρχε μὴ πέμπειν αὐτόν, ἄδειαν εἶχεν ἐντὸς τῆς συμφωνίας πράττειν, ὃ ἔγνω συμφέρον, δόλον γὰρ μόνον καὶ ῥᾳθυμίαν ὀφείλει καὶ εἰς ἅπερ ἔστειλε· καὶ ὅτι τὸν χειμῶνα ἐκεῖσε διεβίβασε, ἃ ἐπεὶ ὁ Γουδέλης οὐκ ἠδυνήθη ἀποδεῖξαι, ἀνέγκλητος ὁ Κορέσης πάντως τυγχάνει, κατὰ τὸν τοῦ δικαίου λόγον· περὶ δὲ τοῦ εἴτε τὰ σταλέντα πράγματα τῆς συντροφίας ἦσαν, εἴτε καὶ ἑτέρου τινὸς δανειστοῦ, εἴτε πρὸς τὸν πατέρα αὐτοῦ ἀπέστειλε ταῦτα δι' ἄλλην τινὰ χρείαν, ἔτι τε καὶ εἴπερ

ἔβαλε τοσαῦτα εἰς τὸ καράβιον, ὅσα λέγει, καὶ προκομίζει καὶ ἀπόδειξιν τοῦ κομερκίου τοῦ ἐκεῖσε, διαλαμβάνουσαν, ἅπερ ἔβαλε καὶ ἀπὸ τῆς νῦν συντροφίας καὶ ἀπὸ ζητουλίων τινῶν παλαιῶν συντροφιῶν, τοῦ τε κῦρ Ἰωάννου τοῦ Γουδέλη καὶ κῦρ Φιλίππου τοῦ Γουδέλη, ἀπεφήνατο ἡ μετριότης ἡμῶν βάρος ἀφορισμοῦ ἐκφωνηθῆναι κατά τε τοῦ κῦρ Νικολάου τοῦ Κορέση καὶ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἂν ὁ μὲν υἱὸς αὐτοῦ εἴποι, εἴπερ ἀληθής ἐστιν ἣν προκομίζει ἀπόδειξιν τοῦ κομερκίου, καὶ εἰ τὰ σταλέντα ἀπὸ τῶν ῥηθεισῶν συντροφιῶν ἦσαν, ὁ δὲ πατὴρ αὐτοῦ ἵνα εἴπῃ, εἴ τι ἕτερον γινώσκει περὶ τῶν ῥηθέντων πραγμάτων, οὗ γενομένου ἀφορᾶν τὴν κατὰ θάλατταν ζημίαν διέγνωμεν εἰς τὰς ῥηθείσας συμφωνίας, ὑπὲρ ὧν καὶ εἰσήχθησαν εἰς τὸ καράβιον. ἐπεὶ δὲ ὁ Γουδέλης ἐν τῷ γράφεσθαι ἐν τῇ συμφωνίᾳ, μετὰ τὸν ὀκτώβριον τὸν συμφωνηθέντα ἀνέξοδα καὶ ἀκίνδυνα εἶναι τὰ πράγματα, ἔλεγεν ὀφείλειν ἔχειν αὐτὰ καὶ ἀζήμια, διέκρινε καὶ περὶ τούτου ἡ μετριότης ἡμῶν, ὡς εἰ μὲν παρῃτεῖτο μετὰ τὸν ῥηθέντα ὀκτώβριον καὶ τὸ κέρδος, κατέλυσε πάντως τὴν συντροφίαν, καὶ ὀφείλει ἔχειν τὰ ἑαυτοῦ ἀζήμια· ἐπεὶ δὲ καὶ μετὰ τὴν συμφωνίαν τὸ κέρδος ὧν ὁ Κορέσης πράξει, συνεφώνησεν ἔχειν, δίκαιόν ἐστι δέχεσθαι, εἴπερ καὶ ζημία παρακολουθήσει, ἄλλως δὲ μηδὲ τῆς συμφωνίας λεγούσης, ἀζήμια εἶναι τὰ ἑαυτοῦ μετὰ τὸν ὀκτώβριον, ἀλλὰ ἀνέξοδα καὶ ἀκίνδυνα, διὸ καὶ κατεδικάσθη ὁ Κορέσης, ἀποδοῦναι πρὸς αὐτὸν ἀφ' ἑαυτοῦ ἣν ἐξωδίασεν ἔξοδον μετὰ τὸν συμφωνηθέντα ὀκτώβριον εἴς τε τροφὴν ἑαυτοῦ καὶ τοῦ ἰδίου ἀνθρώπου καὶ ποιῆσαι τὰ τοῦ Γουδέλη ἀνέξοδα. ἐπεὶ δὲ μετὰ τὸ δέξασθαι τὴν ἀπόφασιν ἀμφοτέρων πάλιν ὁ Γουδέλης διεμηνύθη, ὡς ἂν δέξωνται ἔμπροσθεν αὐτοῦ τὸν ἀφορισμόν, ὁ δὲ παρῃτήσατο τοῦτο, διέγνωμεν, ἵνα καὶ ἀπόντος αὐτοῦ γένηται τοῦτο· ἐκφωνηθέντος τοίνυν κατ' αὐτῶν τοῦ ἀφορισμοῦ, ὁ μὲν Μανουὴλ ὁ Κορέσης τοῦτον δεξάμενος, ἀληθῆ τε εἶναι τὴν τοῦ κομερκίου ἀπόδειξιν εἶπε καὶ τὰ ἐμβληθέντα εἰς τὸ καράβιον πράγματα τῶν συντροφιῶν εἶναι ἐκείνων, καὶ οὔτε δι' ἄλλον χρεοφειλέτην, οὔτε δι' ἄλλην τινὰ αἰτίαν σταλῆναι ταῦτα, ὁ δὲ πατὴρ αὐτοῦ μηδὲν πλέον εἰδέναι καὶ αὐτὸς ἐπὶ τῷ ἐκφωνηθέντι ἀφορισμῷ εἶπε. τούτων οὖν οὕτω προβάντων, ἀνενοχλήτους αὐτοὺς ἀπὸ τοῦ Γουδέλη καὶ πάντῃ ἀνεπηρεάστους εἶναι διαγινώσκομεν καὶ ἀποφαινόμεθα ἕνεκέν τε τῶν ἑτέρων συντροφιῶν, ἐπεὶ ταύτας διελύσαντο, καὶ

τῆς νῦν ταύτης συντροφίας· εἰ δὲ περί τινος τῶν ῥηθέντων αὐτὸς ἐπηρεάσει ἢ ἐνοχλήσει τὰς θείας βασιλικὰς ἀκοάς, ἔχει αὐτὸν καὶ τὸν συνηγορήσοντα αὐτῷ εἰς τοῦτο ὑπὸ τὸν ἀπὸ τῆς ἁγίας καὶ ζωαρχικῆς τριάδος βαρύτατον καὶ φρικώδη ἀφορισμὸν ἡ μετριότης ἡμῶν, κἄν τε ἐνταῦθα, κἄν τε εἰς ἄλλον τόπον ἐνοχλήσῃ αὐτοῖς, κἄν τε δι' ἑαυτοῦ, κἄν τε δι' ἑτέρου τινὸς τῶν ἁπάντων. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν· ἔτι δὲ καὶ ὅσα γράμματα αὐτοῦ κρατεῖ παλαιῶν συντροφιῶν εἰς ἃς διελύθησαν, εἴπερ οὐκ ἀντιστρέφει ταῦτα πρὸς αὐτόν, ὑπὸ τὸ αὐτὸ ἐπιτίμιον ἔχει τοῦτον ἡ μετριότης ἡμῶν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ ὀκτωβρίῳ ἰνδ. ι' †.

## DCLXXVI. (6910—1401) novembri. ind. X.

*Sententia in lite. Vide* DCLVI.

† Τῆς Παλαιολογίνης κυρᾶς Θεοδώρας πρὸ καιροῦ ἀντικριθείσης τῇ συμπενθέρᾳ αὐτῆς, κυρᾷ Θεοδώρᾳ τῇ Τροχαδαίνῃ περὶ τῶν προικῴων εἰδῶν, ἃ καὶ ἀμφότεραι εἰς ἐνέχυρα θεῖσαι ἐδανείσαντο ὑπέρπυρα καὶ ἔδωκαν τῷ κῦρ Ἰωάννῃ τῷ Γουδέλῃ, εἰς ταξείδιον ἀπερχομένῳ, καὶ μετὰ τὸ ἐπανελθεῖν τὸν Γουδέλην ἀντικρινομένων αὐτῶν περὶ τῆς πραγματείας τῶν τοιούτων ὑπερπύρων, τίνι τὸ κέρδος, εἴπερ εὑρεθῇ, ἀνήκει, τοῖς παισὶν αὐτῶν, ὧν ἦν καὶ ἡ προίξ, ἢ ταῖς δυσὶ συμπενθέραις, ταῖς ποιησάσαις τὴν τοιαύτην πραγματείαν, ἐπεὶ διεκρίθη τότε συνοδικῶς, ὡς εἴπερ κίνδυνός τις παρηκολούθει, ἢ εἴπερ ζημία συμβῇ ἀπὸ τῆς τοιαύτης πραγματείας, εἰς τὰς δύο μητέρας ἂν ἔπιπτε τὰς τοῦτο πεποιηκυίας, εἰ δὲ κέρδος συμβῇ, τῇ Παλαιολογίνῃ μόνῃ ἀνήκειν τῇ τρεφούσῃ τὰ παιδία, ἐπεὶ καὶ μετὰ τοιαύτης συμφωνίας ἔλαβε τὰ παιδία, ὥστε τρέφειν αὐτὰ χρόνον ὁλόκληρον, ἵνα κρατῇ καὶ τὴν προῖκα αὐτῶν καὶ κινεῖ εἰς ἀκίνδυνα συναλλάγματα, ἔπραξαν δὲ αἱ δύο μητέρες τῶν παίδων τὴν τοιαύτην πραγματείαν ἐντὸς τοῦ τοιούτου χρόνου, καὶ διὰ τοῦτο τοῦ μὲν κέρδους ἀνήκειν τῇ Παλαιολογίνῃ μόνῃ διακριθέντος, τῆς δὲ ζημίας καὶ εἰς τὰς δύο τὰς τοῦτο πεποιηκυίας, περιορισθείσης δὲ καὶ τῆς τοιαύτης πραγματείας, ὡς ἂν πωληθῇ, καὶ ἐξαγορασθῶσιν ἐξ αὐτῆς καὶ τὰ τεθέντα εἰς ἐνέχυρον διὰ ταύτην προικῷα ἐνέχυρα, καὶ παραδοθῶσι ταῦτα τῇ

Τροχαδαίνῃ τῇ παραλαβούσῃ ἀρτίως καὶ τὰ παιδία, ἐπεὶ ἡ μὲν Τροχάδαινα τὰ παιδία οὐ παρέλαβεν, ἀλλὰ παρῃτήσατο τὴν μετ' αὐτῶν συνοίκησιν, ἡ δὲ Παλαιολογῖνα ἀρτίως ἀναδραμοῦσα ἀνέφερεν, ὡς ἀπό τινων πλημμελειῶν ἐζημιώθη ἡ τοιαύτη πραγματεία ὑπέρπυρα ὀγδοήκοντα, καὶ ὅτι νῦν ἰδίᾳ καθίσαντα τὰ παιδία ἀπαιτοῦσιν αὐτὴν τρέφεσθαι ἐκ τῶν αὐτῶν, ἡ μετριότης ἡμῶν διέκρινεν, ἵνα λάβῃ ἡ Παλαιολογῖνα καὶ τὰ λοιπὰ τῆς τοιαύτης πραγματείας, ἑκατὸν εἰκοσιπέντε ὑπέρπυρα, καὶ ἐξαγοράσῃ τὰ προικῷα εἴδη τὰ τεθέντα εἰς ἐνέχυρον, καὶ φυλάσσῃ, ὥστε ἀποδοῦναι ταῦτα ἐν καιρῷ τῷ προσήκοντι, ἀποδιδῷ δὲ καὶ τοῖς παισὶ διὰ καταστίχου εἰς ἀναγκαίαν διατροφὴν αὐτῶν ἀπὸ τῶν αὐτοῦ· εἴ τι δὲ ἀποδείξῃ ἡ Παλαιολογῖνα, ὡς συνέβη ζημία ἀπὸ τῆς τοιαύτης πραγματείας, δέξωνται ταύτην καὶ αἱ δύο, ἥ τε Παλαιολογῖνα καὶ ἡ Τροχάδαινα, κατὰ τὴν πρώτην ἐκείνων καὶ τὴν νῦν διάκρισιν τῆς ἡμῶν μετριότητος, ἧς καὶ τὸ παρὸν ἀπολέλυται γράμμα δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. δεκάτης †.

## DCLXXVII. 6910(1401) novembri. ind. X.

*Sententia de fundo ecclesiae vendito.*

† Φθάνει πρό τινων ἤδη χρόνων ὅ τε Καβάδης ἐκεῖνος καὶ ἡ γυνὴ αὐτοῦ, ἡ Καβαδίνα, ἀφιερώσαντες ἐν τῷ τοῦ Θεολογίτου καθίσματι τὴν καταντικρὺ τούτου κατοικίαν αὐτῶν, ἐν ᾗ δὴ καὶ ναὸς εὑρίσκεται μέγας τε καὶ περιφανὴς ἐπ' ὀνόμασι τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων, Χριστοφόρου καὶ Ἀκυλην . . . ἐπὶ τὸ θάψαι καὶ μνημονεῦσαι καὶ ἀμφοτέρους ἐν τῷ καθίσματι αὐτοῦ. τοῦ τοίνυν Καβάδη προτέρου τῷ χρεὼν λειτουργήσαντος, διεπράσαντο ἐκ κοινῆς συμφωνίας ὅ τε Θεολογίτης καὶ ἡ Καβαδίνα τὴν τοιαύτην περιοχήν τε καὶ κατοικίαν πλὴν ἑνὸς οἰκήματος καὶ τοῦ ῥηθέντος θείου ναοῦ πρὸς τὸν ἱερομόναχον Μακάριον, κατὰ πνεῦμα υἱὸν τῆς ἡμῶν μετριότητος, ἐκδεδωκότες αὐτῷ καὶ ἅπερ εἶχον ἐν τῇ τοιαύτῃ κατοικίᾳ δικαιώματα, ἣν δὲ πᾶσαν κατοικίαν καταχαλάσας καὶ ἐλιθώσας ἤμειψε καὶ κατεφύτευσεν εἰς ἀμπέλιον, ἀρτίως δέ γε ἡ Καβαδίνα, ἀσθενείᾳ περιπεσοῦσα θάνατον ἀπειλούσῃ προσεκαλέσατο τὸν ἱερώτατον μητροπολίτην Μηδείας, ὑπέρτιμον, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἀδελφὸν τῆς

ὅτι τε τοῦ ναοῦ ἐστιν καὶ ὡς τοῦ ναοῦ ἐκαρπίζετο τοῦτο, καὶ ὅτι ἐποίει εἰς τὸν ναὸν καὶ πλείονα ὧν ἐλάμβανε· περὶ δὲ τῆς καταδίκης ἔλεγε στέργειν αὐτήν, εἰ μόνον ἀπαλλαγῇ τῆς τοιαύτης ἁμαρτίας· περὶ δὲ τῆς τιμῆς ψεῦδος εἶναι εἶπεν, ὡς ἔλαβεν εἰκοσιπέντε ὑπέρπυρα, δέκα γὰρ ἔλεγε μόνα λαβεῖν, ὁ δὲ Μακάριος ψεῦδος μὲν εἶναι καὶ αὐτὸς τὰ ἐγγεγραμμένα τῷ πρατηρίῳ, ὃ ἐπεφέρετο, ὡμολόγησε, πλὴν οὐχὶ δέκα μόνον ἔλεγε δεδωκέναι τῇ Καβαδίνῃ, ἀλλὰ δέκα μὲν πρότερον, εἶτα πάλιν ἓξ εἰς μέρος ἑτέρου τοπίου. τούτων οὖν οὕτω προβάντων διεκρίναμεν καὶ μαρτυρίας εὑρεῖν ἀπό τινων γειτόνων γερόντων. ἐγγράφου τοίνυν ἀφορισμοῦ ἐκφωνηθέντος καὶ ἀναγνωσθέντος εἰς ἐπήκοον πάντων, παρήχθησαν συνοδικῶς ἐν ἑτέρᾳ συνελεύσει ὅ τε θεοσεβέσταστος πρεσβύτερος καὶ ὀρφανοτρόφος Μιχαὴλ ὁ Γεμιστὸς καὶ Θεολόγος ὁ Παντολέων καὶ ὁ Κατζᾶς, ὁ υἱὸς τοῦ ἐξκουβίτωρος Γεωργίου ἐκείνου, οἳ καὶ πρότερον τὸν ἐγγράφως ἐκφωνηθέντα ἀφορισμὸν ἀναγνωσθέντα ἀκούσαντες καὶ συνοδικῶς ἐρωτηθέντες ἐπὶ τῷ βάρει τοῦ τοιούτου ἀφορισμοῦ ὁ μὲν ὀρφανοτρόφος καὶ ὁ Παντολέων εἶπον, ὡς μετὰ τὸν θάνατον τοῦ ἱερέως τοῦ πατρὸς τῆς Καβαδίνης ἔβλεπον, ὅτι λαμβάνει τὰ περὶ τὸν ναὸν ἐν τῷ τοιούτῳ τοπίῳ ἐμφυτεύματα ἡ Καβαδίνα, καὶ ὅτι ἤκουον πάντοτε, ὡς τοῦ ναοῦ ἦσαν, καὶ πολλάκις προσκληθεὶς ὁ ὀρφανοτρόφος ἔψαλλε καὶ ἐλειτούργει ἐν τῷ ναῷ, καὶ ἔβλεπε ταῦτα· ὁ δὲ Κατζᾶς εἶπεν, ὡς τὸ ὀσπήτιον καὶ τὸ περιαύλιον, ὃ εἶχεν αὐτός, ἐτέλει ἐν τῷ ναῷ, πλησίον δὲ τοῦ ὀσπητίου αὐτοῦ ἦν ἕτερον ὀσπήτιον ἀτελὲς τινος στρατιώτου, Κάσπακα ὀνομαζομένου, ὅπερ ἐχάλασε μὲν ἐκεῖνος, ἐπώλησε δὲ τὸ ὀσπητοτόπιον πρὸς τὸν πατέρα αὐτοῦ, ὅπερ ὕστερον ἐπωλήθη πρὸς τὸν Καβάδην· πλὴν τοίνυν ἐκείνου τοῦ οἰκοτοπίου τὸ καθόλου τοῦ ναοῦ ἔλεγεν εἶναι. τούτων οὖν οὕτω καὶ ἀπὸ τῆς πρὸς τῷ τέλει ζωῆς τῆς Καβαδίνης μαρτυρίας τῆς καταδικαζούσης ἑαυτὴν ἀναφανέντων καὶ ἀπὸ τῆς μαρτυρίας τῶν ῥηθέντων γερόντων δύο γειτόνων καὶ τοῦ Κατζᾶ καὶ ἀριδήλως ἀποδειχθέντος τοῦ ναοῦ εἶναι τοῦ ῥηθέντος τοπίου, πλὴν τοῦ ὀσπητοτοπίου τοῦ Κάσπακα, οἱ δὲ θεῖοι καὶ ἱεροὶ κανόνες καὶ οἱ φιλευσεβεῖς νόμοι οὐ μόνον ἀνεκποίητα διορίζονται μένειν τὰ τῶν ἐκκλησιῶν ἀκίνητα, ἀλλὰ καὶ μεγίστῃ ὑποβάλλουσι καταδίκῃ τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ταῦτα δίχα γνώμης τῆς συνόδου καὶ τοῦ πρώτου τῆς ἐπαρχίας· φησὶ γὰρ ὁ τῆς ἁγίας καὶ οἰ-

κουμενικῆς ζ' συνόδου κανὼν ιβ' οὕτως· „εἴ τις ἐπίσκοπος εὑρεθῇ ἢ ἡγούμενος ἐκ τῶν αὐτουργιῶν τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα ἢ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔξοδον καὶ τὰ ἑξῆς." εἰ οὖν ἐπίσκοπος ἢ ἡγούμενος τοῦτο ποιῶν ἄκυρον ἔσται, πολλῷ μᾶλλον ἰδιώτης, ἱερὸν ἐκκλησιαστικὸν ἀκίνητον πιπράσκων. καὶ ὁ τῆς ἐν τῇ Καθαργένῃ δὲ κς' κανών φησιν· „ὁμοίως ἤρεσεν, ἵνα πρᾶγμα ἐκκλησι στικὸν μηδεὶς πιπράσκῃ, ὅπερ πρᾶγμα ἐὰν προσόδους μὴ ἔχῃ, καὶ πολλή τις ἐπείγῃ ἀνάγκη, ἐμφανίζεσθαι τῷ πρώτῳ τῆς ἐπαρχίας καὶ μετὰ τοῦ ὡρισμένου ἀριθμοῦ τῶν ἐπισκόπων βουλεύεσθαι, τί δεῖ πρᾶξαι· εἰ δὲ τοσαύτη ἐπείγει ἀνάγκη τῆς ἐκκλησίας, ὡς μὴ δύνασθαι πρὸ τοῦ πωλεῖν βουλεύεσθαι, κἂν τοὺς γειτνιῶντας εἰς μαρτυρίαν καλέσει ὁ ἐπίσκοπος, φροντίδα ποιούμενος τοῦ ἀποδεῖξαι τῇ συνόδῳ πάσας τὰς συμβάσας τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις, ὅπερ εἰ μὴ ποιήσει, ὑπεύθυνος τῷ θεῷ καὶ τῇ συνόδῳ φανήσεται καὶ ἀλλότριος τῆς οἰκείας τιμῆς." καὶ ὁ λγ' δὲ τῆς αὐτῆς· „ὁμοίως ἤρεσέ, φησιν, ὥστε τοὺς πρεσβυτέρους παρὰ γνώμην τῶν ἰδίων αὐτῶν ἐπισκόπων πρᾶγμα μὴ πιπράσκειν τῆς ἐκκλησίας, ἐν ᾗ καθιέρωνται, ὃν τρόπον καὶ τοῖς ἐπισκόποις οὐκ ἔξεστι πιπράσκειν χωρία, ἀγνοούσης τῆς συνόδου ἢ τῶν ἰδίων πρεσβυτέρων." μὴ οὔσης τοίνυν ἀνάγκης οὐδὲ ἐπισκόπῳ ἐξεῖναι καταχρήσασθαι πράγματι. καὶ οἱ φιλευσεβεῖς δὲ νόμοι φασὶν ἐπὶ λέξεως οὕτως· „οἱ εὐαγεῖς οἶκοι μὴ εὐποροῦντες ἀλλαχόθεν πληροῦν τὰ δημόσια, καλῶς πωλοῦσι καὶ κτήσεις αὐτῶν ὑπ' ὄψιν τοῦ μητροπολίτου, συνόντων αὐτῷ τῶν ἐπισκόπων καὶ κληρικῶν· τότε δὲ τὰ ἀκίνητα ἐκκλησιαστικὰ ἐκποιεῖται, ὅταν μὴ ᾖ παντελῶς κινητά." καὶ πάλιν ὁ ἐπὶ παρανόμῳ συναλλάγματί φησι, διδοὺς ἀγωγὴν οὐκ ἔχει εἰς τὸ ἀναλαβέσθαι τὸ ἑαυτοῦ. καὶ πάλιν ἀλλαχοῦ φησιν· „ἂν δὲ παρὰ τὰ διηγορευμένα ἡμῖν συναλλάγματι γένηται ἐπὶ τοῖς διαφέρουσι πράγμασι κινητοῖς τε καὶ ἀκινήτοις ἑνὶ τῶν εὐαγῶν οἴκων, ἀναδίδοσθαι μὲν τῇ αὐτῇ ἐκκλησίᾳ τὸ πρᾶγμα, ἐφ' ᾧ τοῦτο παρηκολούθησε, μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν, μενέτω δὲ παρ' αὐτῇ τὸ τίμημα ἢ τὸ ἀντίδωρον ἢ τὸ ὑπὲρ ἀμείψεως ἢ ἄλλης οἱασοῦν αἰτίας αὐτῇ δεδομένον· εἰ δὲ δωρηθείη πρᾶγμα ἐκκλησιαστικόν, καὶ αὐτὸ ἀναδίδοσθαι τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ μετὰ τῶν τοῦ μέσου χρόνου καρπῶν· εἰ δὲ ὑποθήκῃ παρὰ ταῦτα δοθείη, ὁ δανειστὴς τὸ ἐποφειλόμενον ἀπολλύτω, καὶ τὸ αὐτὸ πρᾶγμα

τῷ εὐαγεῖ οἴκῳ ἀποδιδότω· οἱ δὲ τὰ συμβόλαια γράψαντες ἐπὶ τοιούτοις ταβουλλάριοι παρὰ τοῦδε ἡμῶν τοῦ νόμου διηνεκῆ ἐξορίαν καταδικαζέσθωσαν". ἐπεὶ οὖν καὶ ἀπὸ τῆς ὁμολογίας τῆς Καβαδίνης ἀποθνησκούσης καὶ καθ' ἑαυτῆς, ὡς εἴρηται, εἰπούσης καὶ ἀπὸ μαρτυρίας τῶν ῥηθέντων γειτόνων ἀνεφάνη, τὸ περὶ τὸν ναὸν τοπίον τὸ καταφυτευθὲν παρὰ τοῦ ἱερομονάχου τοῦ ναοῦ ἴδιον εἶναι καὶ ἀφιερωμένον καὶ ἀνακείμενον αὐτῷ,. ὁ δὲ Θεολογίτης καὶ ἡ Καβαδίνα ἐπώλησαν ἀμετόχως, ὅσον μὲν ἀπὸ τῶν ῥηθέντων κανόνων καὶ νόμων, μηδὲν λαβεῖν καταδικάζεται ὁ ἱερομόναχος, κἄν τε ἐν γνώσει, κἄν τε ἐν ἀγνοίᾳ τοῦ τῷ ναῷ ἀνήκειν τὸ τοπίον πεποίηκε τοῦτο, οὐδὲν γὰρ διορίζονται περὶ τοῦ ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ· συγκαταβάσει δὲ χρησαμένη ἡ μετριότης ἡμῶν διαγινώσκει καὶ ἀποφαίνεται συνοδικῶς, τὸ μὲν τίμημα, ὃ ἔδωκεν ὁ ἱερομόναχος, ἵνα λάβῃ αὐτὸ, τὸ μὲν ἥμισυ ἀπὸ τῆς εὑρεθείσης τῇ Καβαδίνῃ περιουσίας, τὸ δὲ ἥμισυ ἵνα λάβῃ ἀπὸ τῶν ἐπικαρπιῶν τοῦ καθίσματος τοῦ Θεολογίτου, αἳ τούτῳ ἀνήκουσιν, ἐπεὶ ἄλλοθεν ἀποτίσαι οὐκ ἔχει, ἅπερ ἔλαβεν ἀμετόχως· ὁ δέ γε ναὸς ἀπολήψεται τὸ ῥηθὲν τοπίον, τὸ μὲν ὡς ἴδιον καὶ ἀνῆκον αὐτῷ, τὸ δὲ ὀσπητοτόπιον τοῦ Κάσπακα, ὡς πλησιασμοῦ δίκαιον ἔχων εἰς αὐτό· περὶ δὲ τῆς ἀνακαθάρσεως καὶ τῆς καταφυτεύσεως τούτου διέγνωμεν συνοδικῶς, ἐπιστατηθῆναι αὐτὸ παρὰ εἰδημόνων ἀνδρῶν, ὡς ἂν διακρίνῃ ἡ μετριότης ἡμῶν, καὶ ὅσην ἂν εὔλογον ἔξοδον διακρίνωσιν οὗτοι καταβληθῆναι εἰς αὐτὸ, ἵνα λάβῃ ταύτην παρὰ τοῦ Μηδείας ὡς κυρίου τοῦ ναοῦ ὁ ἱερομόναχος. περὶ δὲ τῆς εἰς τὸν ναὸν ἐμβληθείσης ὕλης καὶ ἀχρειωσάσης αὐτὸν, ταῦτα καὶ ἀμετόχως, εἴπερ παρ' ἄλλου του τοῦτ' ἐτολμᾶτο, τοῖς πρέπουσιν ἂν ἐπιτιμίοις ἐσωφρονίζετο καὶ εἰς μῆκος χρόνου πολλοῦ, ὅτι δὲ τοῦτο πεποίηκεν ὁ ἱερομόναχος διά τινας λογισμοὺς, εἵλετο μᾶλλον ἡ μετριότης ἡμῶν ῥᾳθυμίαν ἐγκληθῆναι παρά τινων ἢ τὴν πρέπουσαν ἐκδίκησιν ἐπενεγκεῖν τῷ τοιούτῳ τολμήματι· διέγνωμεν οὖν ἐκβληθῆναι τὴν ὕλην παρὰ τοῦ ἱερομονάχου. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ βεβαίωσιν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἀπολυθὲν ἐν ἔτει ͵ς ϡ δεκάτῳ, μηνὶ νοεμβρίῳ ἰνδ. ι' †.

## DCLXXVIII. (6910—1401) novembri. ind. X.

*Synodi sententia de venditione fundi.*

† Ὁ Παλαιολόγος κῦρις Μιχαήλ, ἀναδραμὼν εἰς τὴν ἡμῶν μετριότητα, συνοδικῶς προκαθημένην, ἀνέφερεν, ὡς ἀνάγκῃ πιεζόμενος καὶ χρέεσι ποικίλοις περιπεσὼν βούλεται νῦν ἐκποιήσασθαι τὸ ἀμπέλιον αὐτοῦ τὸ περὶ τὴν ἁγίαν Ἀνάληψιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος Χριστοῦ διακείμενον περὶ τὴν ἐνορίαν τοῦ ἁγίου Ῥωμανοῦ, εἴς τε ἀπαλλαγὴν τῶν χρεῶν αὐτοῦ, ὧν τινα δῆλα καὶ τῇ ἡμῶν ἦσαν μετριότητι, καὶ εἰς ζωάρκειαν αὐτοῦ τε καὶ τῆς αὐτοῦ γυναικός· διὰ γοῦν τὸ εἶναι ταύτην ἔτι ἀφήλικα δειλιῶσι μὲν οἱ βουλόμενοι αὐτὸ ἀγοράσαι, κινδυνεύει δ' αὐτός τε καὶ τὰ αὐτοῦ λιμῷ τε καὶ χρέεσι διαφθαρῆναι, καὶ ἐζήτησε βοηθείας τυχεῖν εἰς τοῦτο. ἡ γοῦν μετριότης ἡμῶν διέγνω καὶ ἀπεφήνατο, ὡς εἰ καὶ ἀφῆλιξ ἔτι ἐστὶν ἡ τοῦ Παλαιολόγου γυνὴ κυρὰ ..... ἡ Παλαιολογίνα, καὶ οὐκ ἐπιδέχεται ὅλως νόμου διδασκαλίαν, ἡ δὲ τοῦ ἀνδρὸς περιουσία κατὰ νόμους ὑποτεθειμένη ἐστὶν εἰς τὴν προῖκα τῆς γυναικός, ἀλλὰ τὴν σήμερον ἱκανωθῆναι αὐτὴν καὶ εἰς τὰ λείποντα ταύτῃ ἀποκοπῆναι μέρος τι τῆς τοῦ ἀνδρὸς αὐτῆς περιουσίας καὶ παραδοθῆναι αὐτῇ, ὥστε κατέχεσθαι παρ' αὐτῆς ὡς ἴδιον κτῆμα καὶ προικῷον, καὶ τότε τὸ ἐναπολειφθὲν ἐλεύθερον εἶναι ἀπὸ τῆς προικὸς αὐτῆς καὶ ποιῆσαι εἰς ἐκεῖνο τὸν Παλαιολόγον, ὡς βούλεται, καὶ ἐλευθερῶσαι μὲν τὰ αὐτοῦ ἐνέχυρα, τραφῆναι δὲ ἐκ πωλήσεως ἐκείνου αὐτόν τε καὶ τὴν γυναῖκα καὶ τὸ παιδίον αὐτοῦ, τὸ ἀνενόχλητον ἔχοντος τοῦ ἀγοραστοῦ, ὡς εἴρηται, προβάντος τοῦ περὶ τούτου, στέρξαντος δ' ἅμα καὶ ἀξιώσαντος τοῦτο καὶ τοῦ Παλαιολόγου, ἀπεστάλησαν παρὰ τῆς ἡμῶν μετριότητος τοῦτο ποιῆσαι οἱ τιμιώτατοι ἐξωκατάκηλοι τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ υἱοὶ τῆς ἡμῶν μετριότητος, διάκονοι, ὅ τε μέγας σακελλάριος ὁ Ἀσινάρης, καὶ ὁ μέγας χαρτοφύλαξ, ὁ Βαλσαμών, καὶ ὁ πρωτέκδικος, ὁ Εὐγενικός, οἳ καὶ ἀπελθόντες καὶ τὸ τῆς Παλαιολογίνης σύμφωνον ἔμπροσθεν αὐτῆς ὑπαναγνόντες καὶ τὰ καταγεγραμμένα αὐτῷ εἴδη, ῥοῦχα λέγω καὶ κόσμια, εὑρόντες τε καὶ ἰδόντες καὶ παραδόντες αὐτῇ ταῦτα ὡς ἐξ ἄλλης ἀρχῆς, ἀντὶ μὲν οὖν τῶν καταγεγραμμένων ἐκεῖσε καβαλλαρικῶν ὑπερπύρων, ὄντων τεσσαράκοντα, φθαρέντων δή, δόντες αὐτῇ

κατασειστὰ ὑπέρπυρα τεσσαράκοντα, ἅπερ εἰς ταῦτα δὴ τὰ ὑπέρπυρα ἠγόρασεν ὁ Παλαιολόγος, εὑρέθησαν δὲ μόνα λείποντα ἀπὸ πάντων τῶν προικῴων ὧν παρέλαβεν ὁ Παλαιολόγος, κατασειστὰ ὑπερπύρων διακοσίων εἴκοσι καὶ ἅπερ ἔλαβε τριάκοντα ὑπέρπυρα ἀπὸ τοῦ χρέους τῶν διακοσίων ...... ὧν ὤφειλε τῷ Παλαιολόγῳ ἡ πενθερὰ αὐτοῦ, ὡς γίνεσθαι πάντα τὰ λείποντα ὁμοῦ ὑπέρπυρα διακόσια πεντήκοντα, παρέδωκαν δ' αὐτὰ τῇ τοῦ Παλαιολόγου γυναικὶ ἀντὶ τούτων χωράφιον μουζουρίων τῆς μέτρας ὀκτώ, τιμηθὲν εἰς ὑπέρπυρα ἑκατὸν ἑξήκοντα καὶ τὸ ἠνωμένον τῷ τοιούτῳ χωραφίῳ πρὸς τῇ ὁδῷ μέρος ἀμπελίου μουζουρίων τῆς μέτρας τριῶν, τιμηθὲν καὶ αὐτὸ εἰς ὑπέρπυρα ἑκατὸν εἴκοσιν, ὡς γίνεσθαι ταῦτα ὁμοῦ τιμῆς ὑπερπύρων διακοσίων ὀγδοήκοντα, ἀντὶ τῶν λειπόντων τῇ Παλαιολογίνῃ διακοσίων πεντήκοντα ὑπερπύρων. ἐπεὶ ταῦτα τοῦτον προέβη τὸν τρόπον καὶ τὸ ἱκανὸν περιῆλθε τῇ Παλαιολογίνῃ ἐπὶ τῇ ἰδίᾳ προικί, ἀπέμεινε δὲ ἐλεύθερον ἀπὸ ταύτης τὸ λοιπὸν ἀμπέλιον τοῦ Παλαιολόγου, καὶ ἔχει τὰς ῥηθείσας ἀνάγκας, δι' ἃς καὶ βούλεται ἐκποιήσασθαι τοῦτο, ὀφείλει ὁ τοῦτο ἐξωνησόμενος ἀνενόχλητος μένειν καὶ πάντη ἀνεπηρέαστος ἀπό τε τῆς Παλαιολογίνης, ἐπεὶ ἱκανώσαμεν αὐτὴν εἰς τὴν προῖκα αὐτῆς, καὶ πλείω, ὡς εἴρηται, καὶ οὕτως ἐνεδόθη τῷ Παλαιολόγῳ πωλῆσαι τὸ ἀμπέλιον ὑπὲρ βοηθείας καὶ διατροφῆς αὐτῶν, ἀλλὰ δὴ καὶ ἀπ' αὐτοῦ τοῦ Παλαιολόγου καὶ παντὸς τοῦ μέρους αὐτοῦ, ἑκουσίως γὰρ ἐποίησε καὶ τὴν περὶ τούτου δέησιν, καὶ ἐλευθέρου ἀποδειχθέντος τοῦ τοιούτου ἀμπελίου ἀπὸ τῆς προικὸς τοῦ Παλαιολόγου, ἄδειαν ἔχει ποιῆσαι εἰς τὸ ἑαυτοῦ, ὡς βούλεται, πολλῷ πλέον, ὅτι καὶ ὑπὲρ αὐτοῦ καὶ τῆς αὐτοῦ γυναικὸς καὶ τῶν αὐτοῦ ἐλευθερίας πραγμάτων ποιήσει τὴν τοιαύτην πρᾶσιν, ἥτις νομίμως προβησομένη καὶ προτροπῇ τῆς ἡμῶν μετριότητος τὸ πάγιον ἕξει καὶ βέβαιον καὶ πάντη ἐρρωμένον καὶ ἀκατάλυτον. εἰς γὰρ τὴν περὶ τούτων δήλωσιν καὶ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. ι' †.

## DCLXXIX. (6910—1401) decembri. ind. X.

*Sententia in lite.*

† Ἐπεὶ ἠθέλησεν ὁ οἰκεῖος τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς υἱὸς τῆς ἡμῶν μετριότητος, κῦρις Γαβριὴλ ὁ Παλαιολόγος, ἀγοράσαι τὸ μεριδικὸν χωράφιον τοῦ ἀδελφοῦ αὐτοῦ, τοῦ οἰκείου τῷ βασιλεῖ τῷ ἁγίῳ, κατὰ πνεῦμα υἱοῦ τῆς ἡμῶν μετριότητος, κυροῦ Μιχαὴλ τοῦ Παλαιολόγου, οὐκ εἶχε δὲ ὑπέρπυρα εὐκόλως ἀγοράσαι αὐτό, καὶ ἐκινδύνευσεν ἄλλος τις ἐξωτερικὸς εἰσαχθῆναι εἰς τὴν τούτου ἐξώνησιν, διὸ καὶ ἀναγκασθεὶς ἀνέδρα μὲν εἰς τὴν ἡμῶν μετριότητα, καὶ ἀνέφερεν, ὡς βούλεται καὶ αὐτὸς καὶ ἅπαν τὸ μέρος τῆς αὐτοῦ γυναικὸς θεῖναι τὰ προικῷα κατασειστὰ αὐτοῦ εἰς ὑπέρπυρα ἑκατὸν πεντήκοντα καὶ ἐξωνήσασθαι τὸ ῥηθὲν χωράφιον, συμφέρον τοῦτο κρίνασα καὶ ἡ μετριότης (ἡμῶν) καὶ ὑπὲρ τοῦ Παλαιολόγου εἶναι καὶ τῆς αὐτοῦ γυναικὸς ἀκίνητον κτήσασθαι κτῆμα καὶ εὐπρόσοδον μᾶλλον τοῦ κινητοῦ, ἐπεὶ οὐδὲ τὸ κινητὸν νῦν ἐκποιεῖται, ἐνδέχεται δὲ καὶ αὐτό, τὰ κατασειστὰ λέγω, ἐλευθερωθῆναι ἀπὸ τοῦ τοιούτου χρέους, ἐπένευσεν, οὕτω τοῦτο γενέσθαι, ὥστε κρατεῖσθαι τὸ καθόλον χωράφιον τοῦ Παλαιολόγου, τά τε μεριδικὰ ἑαυτοῦ καὶ ὃ ἀγοράζει νῦν ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, εἶναι κεκρατημένα τὰ τοιαῦτα πάντα μεριδικὰ εἰς τὴν προῖκα αὐτοῦ ἀντὶ τῶν τοιούτων κατασειστῶν καὶ καταλογίζεσθαι ὡς προικῷον τὸ καθόλον χωράφιον καὶ μηδὲν ἔχειν τὸν Παλαιολόγον ἄδειαν εἰς αὐτὸ διαπράξεσθαί τι, πρὶν ἂν ἐξαγοράσῃ τὰ κατασειστά, ὁ δὲ τὰ ῥηθέντα ὑπέρπυρα δανείσας, εἴτε ἀνήρ ἐστιν, εἴτε γυνή, ὀφείλει ἱκανωθῆναι ἀπὸ τῶν ῥηθέντων κατασειστῶν τῶν εὐλόγως καὶ ἐπὶ συμφέροντι τῆς Παλαιολογίνης τῆς ἀφήλικος τῆς ἐχούσης ταῦτα τεθέντων εἰς ἐνέχυρον καὶ ἐκβληθέντων καὶ ἀπὸ τῆς προικὸς ὃν εἴρηται τρόπον, καὶ ἀντ' αὐτῶν εἰσαχθέντος τοῦ καθόλου χωραφίου. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ νοεμβρίῳ ἰνδ. ι' †.

## DCLXXX. (6910—1401) decembri. ind. X.

*Lis diiudicatur.*

† Ὁ Εὐφημιανὸς διὰ τοῦ Σοφιανοῦ κυροῦ Ἰωάννου ἔγκλησιν ἐκίνησε συνοδικῶς κατὰ τοῦ Ἀγγέλου κυροῦ Κωνσταντίνου, εἰπών, ὡς ἔδωκεν αὐτῷ ἐπὶ πόρῳ καὶ ἀγαθῷ κατευοδώματι ὑπέρπυρα ἑκατόν, ἵνα ἀπέλθῃ εἰς τὴν Χίον μετὰ καραβίου τῆς . . . . νελίας, ὁ δὲ τοῦ καραβίου ἐκείνου ταξειδεύσαντος ἀπῆλθε μετὰ ἄλλου καραβίου, καὶ ᾐχμαλωτίσθη, διὸ καὶ ἐζήτει τὰ ὑπέρπυρα ἀπὸ τοῦ Ἀγγέλου, ὡς παραβάντος ἀπὸ τῆς αὐτοῦ συμφωνίας, προεκόμισε δὲ καὶ τὴν τοιαύτην ἔγγραφον αὐτῶν συμφωνίαν, εἴς τε ἀπόδειξιν . . . . . . βάλετο, καὶ ἀντὶ καταδοχῆς τοῦ Εὐφημιανοῦ, στέρξαντος διὰ τὴν αὐτοῦ ἀσθένειαν ἀντ' αὐτοῦ . . . . . . . . τὸν Σοφιανόν· ὁ δὲ Ἄγγελος εἶπεν, ὡς μετὰ τὸ ἀπελθεῖν τὸ τῆς συμφωνίας καράβιον ἐπ . . . . . . . εἰς ἐκεῖνο εἰσελθεῖν ἕνα μῆνα περιεπάτει καὶ ἔβλεπεν . . . . . . . . ὁ Εὐφημιανὸς καθ . . . . . . . . ἐβούλετο ταξειδεῦσαί με μετὰ ἄλλου καραβίου, ἔμελλε ζητήσειν ἀπ . . ., αὐτὸς ὁ Σοφιανὸς ἐζήτησεν, καὶ ἐκράτουν ὑπέρπυρα αὐτοῦ, καὶ ἔλαβε ταῦτα, διότι οὐκ ἐταξείδευσα μετ' ἐκείνου τοῦ καραβίου, ὅτι δὴ ἐσιώπησεν αὐτός, κατέλυσε τὴν τοιαύτην συμφωνίαν, καὶ ἔστερξε ταξειδεῦσαί με μετὰ ἄλλου καραβίου. τούτων οὖν καὶ παρ' ἀμφοτέρων λαληθέντων συνοδικῶς, διέγνω καὶ ἀπεφήνατο ἡ μετριότης ἡμῶν, δίκαια λέγειν τὸν Ἄγγελον· εἰ μὲν γὰρ ἀπεδήμει ὁ Εὐφημιανός, εἶχεν ἂν τοιαῦτα προβάλλεσθαι, ἐπεὶ δὲ παρῆν καὶ καθ' ἡμέραν ἔβλεπε τὸν Ἄγγελον μετὰ τὸ ἀπελθεῖν τὸ τῆς συμφωνίας αὐτῶν καράβιον, καὶ οὐκ ἐζήτησε τὰ αὐτοῦ, ἡ σιωπὴ αὐτοῦ συγκατάθεσιν δηλοῖ, ὥστε ταξειδεῦσαι τὸν Ἄγγελον μετὰ ἄλλου καραβίου, ἄλλως τε καὶ ὀχυροῦ τοῦ πετζωμένου, ὅθεν ἐπεὶ συνέβη κίνδυνος κατὰ θάλατταν, οὐδὲν ὀφείλει ὁ Ἄγγελος ζημιωθῆναι. ἐπεὶ δὲ εἶπεν ὁ Σοφιανός, ὡς ἐνδέχεται στεῖλαι τὸν Ἄγγελον πράγματα εἰς τὴν Χίον, ὁ δὲ Ἄγγελος τοῦτο ἠρνήσατο παντελῶς, διέγνωμεν, ὡς ὅταν ἀποδείξῃ ὁ Εὐφημιανός, ὅτι ἔστειλεν ὁ Ἄγγελος πράγματα εἰς τὴν Χίον μετὰ τῆς . . . . . . . . λας, ὀφείλει μετέχειν ἐξ ἐκείνων καὶ αὐτὸς ὡς καὶ οἱ ἄλλοι, οἵτινες εἶχον εἰς τὸν Ἄγγελον πράγματα, τούτου δὲ μὴ ἀποδειχθέντος ἀνενόχλητος διατηρηθήσεται ὁ Ἄγγελος ἀπὸ τοῦ Εὐφημιανοῦ καὶ πάντῃ ἀνεπηρέαστος, ἐπεὶ καὶ τὸ τῆς συμφωνίας αὐτῶν γράμμα κατ-

ελύθη συνοδικῶς. τούτου γὰρ χάριν ἀπολέλυται καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. ἔτι ὀφείλει ὁ Ἄγγελος εἴ τι ἔφθασε καὶ ἠλευθέρωσεν ἀφ' ὧν εἶχεν ἐν τῷ καραβίῳ, μεθ' οὗ παρεδόθη εἰς αἰχμαλωσίαν, ἀποδοῦναι καὶ τῷ Εὐφημιανῷ, κατὰ τὸ ἀνάλογον, ὡς καὶ τοῖς ἄλλοις, ὧν ἐκράτει πράγματα, καὶ οὕτως ἐλεύθερος διατηρεῖσθαι ἐκ πάντων, καὶ ἀπὸ τοῦ Εὐφημιανοῦ, καὶ πάντη ἀνεπηρέαστος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. ι' †.

## DCLXXXI. (6910—1401) decembri. ind. X.

*Episcopus Melaniorum fit metropolita Hadrianupoleos.*

† Ἱερώτατοι μητροπολῖται καὶ ὑπέρτιμοι, ὅ τε Προύσης καὶ τὸν τόπον ἔχων τοῦ Νικομηδείας, ὅ τε Νικαίας καὶ ἔξαρχος πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοὶ ἀδελφοὶ τῆς ἡμῶν μετριότητος καὶ συλλειτουργοί· χάρις ὑμῖν εἴη ἀπὸ θεοῦ καὶ εἰρήνη. γινώσκετε καὶ ὑμεῖς, ὡς ἡ τῆς Ἀδριανουπόλεως ἁγιωτάτη μητρόπολις ἐπέκεινα τῶν δύο χρόνων γνησίου ἀμοιρᾷ ἀρχιερέως, ἔδοξεν οὖν ἡμῖν καλὸν καὶ συνήξαμεν τὴν θείαν καὶ ἱερὰν σύνοδον, καὶ ἐποίησαν εἰς αὐτὴν ψήφους κατὰ τὴν ἐκκλησιαστικὴν ἀλήθειαν, ἐτέθη οὖν εἰς τὰς ψήφους μετὰ τῶν ἄλλων καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Μελανίων· ἡ γοῦν μετριότης ἡμῶν, ἥτις ἔχει τὴν ἐπιλογὴν τῶν προσώπων, ἐξελέξατο πρὸ τῶν ἄλλων τὸν τοιοῦτον θεοφιλέστατον ἐπίσκοπον εἰς τὴν τοιαύτην ἐκκλησίαν, γράφει οὖν ὑμῖν ἡ μετριότης ἡμῶν, ἵνα ἑνωθῆτε καὶ δείξητε τοῦτο πρὸς αὐτόν, καὶ ἐὰν εὐχαριστῇ καὶ προσκυνῇ εἰς τοῦτο καὶ ἐν στερνι . . . . . . . ὁλοψύχως, ὡς μεγάλα εὐεργετούμενος ἀπὸ τῆς ἐκκλησίας Χριστοῦ καὶ τῆς ἡμῶν μετριότητος καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου, εἴπατε αὐτῷ, ἵνα σπουδάσῃ καὶ ἐπιμελήσηται, ὅσον ἔνι δυνατόν, εἰς τοὺς αὐτόθι ἄρχοντας, ἵνα λάβῃ ἄδειαν, καὶ ἔλθῃ ἐνταῦθα καὶ γένηται εἰς αὐτὸν ἡ μετάθεσις καὶ κατὰ τὴν τῆς ἐκκλησίας Χριστοῦ τάξιν τε καὶ συνήθειαν, καὶ σπουδασάτω εἰς τοῦτο, ὅσον ἔνι δυνατόν, ἐπεὶ καὶ εἰς τιμὴν αὐτοῦ τοῦτ' ἔσται· εἰ δὲ πάντα ποιήσας μὴ δυνηθῇ τοῦτ' ἐφευρεῖν παρὰ τῶν αὐτόθι ἀρχόντων, ἐπεὶ οὐ δίκαιον ἐμποδίζεσθαι τὰ ἐκκλησιαστικὰ ἀπὸ τῆς τῶν ἀσεβῶν τυραννίδος, ἔδοξεν ἡμῖν καλὸν κατὰ δεύτερον λόγον, καὶ στέλλομεν αὐ-

τόθι τὴν ὁμολογίαν τὴν συνήθως δεδομένην παρὰ πάντων ἀρχιερέων ἐπ' ἐκκλησίας Χριστοῦ· ἀναγνώτω τοίνυν αὐτὴν προκαθημένων ὑμῶν, προτάξας ἐν ταύτῃ καὶ ὑπογράψας διὰ τὴν ἄνωθεν περὶ ταῦτα ἐκκλησιαστικὴν συνήθειαν, ὑπογράψατε δὲ καὶ ὑμεῖς ἐν αὐτῇ, ὄπισθεν μαρτυρίας χάριν διὰ τὸ βέβαιον, καὶ στείλατε αὐτὴν εἰς τὴν ἡμῶν μετριότητα καὶ τὴν θείαν καὶ ἱερὰν σύνοδον, μεθ' οὗ πληροφορεῖται ὁ ἐπίσκοπος, καὶ τότε σταλήσεται μετὰ τοῦ αὐτοῦ πάλιν ἡ τῆς μεταθέσεως πρᾶξις πρὸς τὸν αὐτὸν ἐπίσκοπον, καὶ προβιβασθήσεται εἰς γνήσιον μητροπολίτην Ἀδριανουπόλεως, καὶ ἀπελεύσεται αὐτόθεν εἰς τὴν τοιαύτην μητρόπολιν. τοῦτο δὲ διακρίνομεν διὰ τὴν ἀνάγκην καὶ τὴν τῆς μάχης δυσχέρειαν, ἐπεὶ τὸ καλὸν καὶ τὸ κύριον ἐνταῦθα ἔνι δίκαιον, ἵνα ἔλθῃ καὶ γένηται εἰς πάντα ἡ ἐκκλησιαστικὴ τάξις τε καὶ συνήθεια, ὅμως τὸ δυνατὸν γενέσθω. ἡ τοῦ θεοῦ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ τῆς ὑμῶν ἱερότητος †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ μαΐῳ ἰνδ. ι' †.

## DCLXXXII. (6910—1401) decembri. ind. X.

*Monachi Manganiotae promittunt, se bis mense sacra celebraturos esse in ecclesia S. Stephani.*

† Μηνὶ δεκεβρίῳ ἰνδ. ι' ἠρωτήθησαν παρ' ἐμοῦ οἱ Μαγγανιῶται κατὰ τὴν θείαν διάγνωσιν τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, ὅ τε ἐκκλησιάρχης αὐτῶν καὶ ὁ ἱερομόναχος κῦρις Γρηγόριος καὶ ὁ κῦρις Μακάριος, ὁ τοῦ κυροῦ Ἰακώβου ἀδελφός, ἔχων, ὡς εἶπε, καὶ τὰς γνώμας τοῦ τε ἀδελφοῦ αὐτοῦ, κυροῦ Ἰακώβου, καὶ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κυροῦ Ματθαίου, ἀποδημοῦντος εἰς τὴν χώραν, καὶ ὁ μοναχὸς Μαλαχίας, καὶ πάντες ἔστερξαν καὶ ὑπεσχέθησαν καὶ συνεφώνησαν, ἵνα δὶς τοὐλάχιστον κατὰ μῆνα ἱερουργῆται ὑπ' αὐτῶν ἀ(δια)κόπως καὶ ἀπροφασίστως ὁ πάνσεπτος καὶ θεῖος ναὸς τοῦ ἁγίου καὶ ἐνδόξου πρωτομάρτυρος καὶ ἀρχιδιακόνου Στεφάνου, ὃν ἀνέκτισεν ὁ παναγιώτατος . . . . . . ., ὁ οἰκουμενικὸς πατριάρχης, ἐπὶ τῆς πατριαρχείας τοῦ ἐν ἁγίοις . . . . . . . . . Κωνσταντινουπόλεως, ἀφιέρωσε δὲ αὐτὸν ἡ Λαζαρίτζηνα Εὐφροσύνη . . . . . . . . δεξαμένη αὐτὸν ἀπὸ τῶν γονέων αὐτῆς πρὸς τὴν σεβασμίαν . . . . . . . . . Μαγκάνων, καὶ ὑπεσχέθησαν ἀδιακόπως τοῦτο

ποιεῖν καὶ ἱερουργεῖν δὶς τοῦ μηνὸς τὸ ἔλαττον μετὰ ἀντιμηναίου, μέχρις ἂν σπουδάσωσι καθιερωθῆναι τὸν ῥηθέντα ναὸν, καὶ τότε ἱερουργεῖν ἐν αὐτῷ ἀδιακόπως δὶς τοῦ μηνὸς τὸ ἐλάχιστον, συμφωνήσαντες, ἐὰν φωραθῶσί ποτε τοῦτο μὴ ποιοῦντες, ἵν' ἂν ἀθετήσωσι κατά τι τοῦτο, ὃ συνεφώνησαν, καὶ ἀνέφερον καὶ διὰ τοῦ μοναχοῦ Μαλαχίου τῷ παναγιωτάτῳ ἡμῶν δεσπότῃ, τῷ οἰκουμενικῷ πατριάρχῃ, ἵνα ἀφαιρῶνται ὑπ' αὐτοῦ τὸν τοιοῦτον θεῖον ναὸν καὶ πᾶσαν τὴν περιοχὴν αὐτοῦ, καὶ διὰ τοῦτο ἔμπροσθεν καὶ τοῦ ἄρχοντος τῶν ἐκκλησιῶν τοῦτο ὑποσχεθέντες. καὶ διὰ τὸ βέβαιον ἐνταῦθα παρεσημειώθη καὶ ὑπεγράφη διὰ τὸ βέβαιον †.

† Ὁ πρωτέκδικος †.

## DCLXXXIII. (6910—1401) 9. decembris. ind. X.

*Lis diiudicatur.*

† Μηνὶ δεκεβρίῳ, θ', ἰνδ. ι', προκαθημένου τοῦ παναγιωτάτου ἡμῶν δεσπότου, τοῦ οἰκουμενικοῦ πατριάρχου, συνοδικῶς ἔγκλησιν ἐποιήσατο κὺρ Μιχαὴλ ὁ Μικροκέφαλος κατὰ κυροῦ Μιχαὴλ Μαγίστρου τοῦ Πόθου, καὶ ἀπήτησεν ἀπ' αὐτοῦ δοῦναι αὐτῷ λόγον περὶ τῶν πατρικῶν αὐτοῦ πραγμάτων, ὡς ἐπιτρόπου ὄντος τῶν πατρικῶν αὐτοῦ πραγμάτων, ὁ δὲ Μάγιστρος προεκόμισε τιμίαν πατριαρχικὴν γραφὴν τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου πατριάρχου, κυροῦ Νείλου, ἥτις ἐδικαίωσε μὲν αὐτὸν μὴ ἐνέχεσθαι εἰς τὰ τῶν παίδων πράγματα, διελάμβανε δὲ μόνον συντρέχειν ὑπὲρ τοῦ Μικροκεφάλου καὶ ἀγωνίζεσθαι, εἴ πως δυνηθῶσιν ἀποσπᾶσαι ἀπὸ τοῦ Δερμοκαΐτου ἐκείνου κυροῦ Ἰωάννου τραχηλαίαν, ἣν ἔλαβεν ἐκεῖνος ὡς ἐπίτροπος ὢν καὶ αὐτὸς, ἀδικεῖ δὲ αὐτὴν τοὺς παῖδας. ἐρωτηθέντες οὖν ἥ τε μάμμη τοῦ Μικροκεφάλου καὶ αὐτὸς ὁ Πόθος, εἰπεῖν τὴν ταύτης τιμὴν, εἶπον, ὡς ἐννενήκοντα μὲν ἦν ὑπέρπυρα, δοὺς δ' ἐκεῖνος τινὰ τῶν ὑπερπύρων μετὰ μεγάλης βίας καὶ κρίσεως, ἀπελοιπάσθη ὑπέρπυρα τεσσαράκοντα· τούτων οὖν οὕτω φανέντων ἐζήτησε λαβεῖν ταῦτα ὁ Μικροκέφαλος ἀπὸ τοῦ ἱερομονάχου Μακαρίου, ὡς γεγονότος ἐκείνου καλόγηρως καὶ τὸν αὐτοῦ ἅπαντα ἐναπολειφθέντα βίον εἰς τὴν ἑαυτοῦ μονὴν ἀφιερώσαντος. ἐρωτηθεὶς τοίνυν ὁ ἱερομόναχος προεκόμισε γράμμα ἐκείνου ἀφιερωτήριον, ἐν ᾧ ἦν γεγραμμένον, ὡς οὐδενὶ ὀφείλει ὁ Δερμοκαΐτης οὐδὲν, ἀλλ' οὐδὲ τῷ υἱῷ

αὐτοῦ, τῷ κῦρ Ἀλεξίῳ, ἀλλὰ καὶ αὐτῷ δέδωκεν ὑπέρπυρα ὀγδοήκοντα ἀντὶ τοῦ ἰδίου φαλκιδίου. τούτων φανέντων οὕτω, ἐπεὶ ἦν ἀνάγκη ἱκανωθῆναι τὸν Μικροκέφαλον ἀπὸ τοῦ φαινομένου βίου τοῦ Δερμοκαΐτου, ὅστις ἐστὶ τὰ αὐτοῦ οἰκήματα τὰ εἰς τὴν μονὴν τῶν ἁγίων Θεοδώρων ἀφιερωμένα, ἐζήτησεν ὁ ἱερομόναχος, ὡς ἐπεὶ οὐκ εὐπορεῖ νῦν ἀποδείξεων τοῦ δεῖξαι τὸν Μικροκέφαλον ὅπως ἰσάσθη εἰς τὸ χρέος αὐτοῦ ἅπαν, δυνατὸν γὰρ ἔλεγε κατέχειν ταῦτα τὸν υἱὸν τοῦ Δερμοκαΐτου, ἀπόδημον τηνικαῦτα ἐν τῇ Λήμνῳ τυγχάνοντα, ἐδόθη αὐτῷ διωρία μηνῶν ἕξ, καὶ εἰ μὲν ὁ υἱὸς τοῦ Δερμοκαΐτου ἔλθοι καὶ ἀποδείξει, ὅπως ὁ πατὴρ αὐτοῦ ἀπόφλησε τὸν Μικροκέφαλον, ἤδη καλόν· εἰ δ' ἐκεῖνος ἐλθὼν οὐκ ἀποδείξει, ἢ καὶ ἡ διωρία παρέλθοι, ἵνα ποιῇ ἡ κρίσις, ὅσον ἔνι δίκαιον, καὶ λάβῃ ταῦτα ὁ Μικροκέφαλος ἀπὸ τοῦ βίου τοῦ Δερμοκαΐτου. καὶ δι' ἀσφάλειαν ἐσημειώθη ἐνταῦθα †.

## DCLXXXIV. (6910—1401) decembri. ind. X.

*Lis diiudicatur.*

† Ἄννα ἡ Φιαλίτισσα, ἀναδραμοῦσα εἰς τὴν ἡμῶν μετριότητα συνοδικῶς προκαθημένην, ἔγκλησιν ἐποιήσατο κατὰ τῆς πενθερᾶς αὐτῆς, Ζενοβίας μοναχῆς τῆς Φιαλιτίσσης, εἰποῦσα, ὡς ὅτε ἔλαβεν ἄνδρα τὸν υἱὸν ...... Ἰωάννην τὸν Φιαλίτην, ἔδωκεν αὐτῷ λόγῳ προικὸς τὸ ἀπὸ τοῦ πατρὸς αὐτοῦ καὶ αὐτῆς ἀγορᾶσθαι οἴκημα ... περὶ τὴν Μαρμαρόπορταν ἐν τῇ ἐνορίᾳ τοῦ Εὐγενίου διακείμενον, οὗ δὴ οἰκήματος ἀνέκτισεν .... ἀνώγεων τὸ ἥμισυ ὁ ῥηθεὶς ἀνὴρ αὐτῆς, ὃς ἐπεὶ ᾐχμαλωτίσθη καὶ εὑρίσκεται εἰς τοὺς Τούρκους, ἐμήνυ ....., ἵνα ποιήσῃ πάντα τρόπον ἀπὸ τῶν αὐτῆς προσόντων καὶ ἐξαγοράσῃ αὐτόν, ἡ δὲ μήτηρ αὐτοῦ ἀσθενοῦσα ἐποίησεν ἀρτίως διαθήκην, καὶ ἀφῆκε τὸ ῥηθὲν ὀσπήτιον τῷ ἐγγόνῳ αὐτῆς, Θεοδώρῳ τῷ Τζηρεκα ....., διὸ καὶ ἐζήτησεν ἀντικριθῆναι αὐτῇ. διαμηνυθεῖσα δὲ καὶ αὐτή, ἐπεὶ ἔπεμψεν ἀνθ' ἑαυτῆς τὸν ῥηθέντα ἔγγονον αὐτῆς, τὸν Θεόδωρον, εἶπεν, ὡς οὔτε εἰς προῖκα δέδωκεν ἐκείνῳ τὸ ὀσπήτιον, οὔτε ἐπελάβετό ποτε αὐτοῦ ἢ ἐκεῖνος, μέχρις ἂν ἦν ἐλεύθερος, ἢ ἡ νύμφη αὐτῆς μετὰ τὴν ἐκείνου αἰχμαλωσίαν, ἀλλὰ μέχρι τοῦ νῦν κατέμενεν ἐν αὐτῷ ἡ ῥηθεῖσα μοναχή, ἡ πενθερὰ αὐτῆς, ἀνεκτίσθη δὲ τὸ ἥμισυ δι' ἐξόδου τῆς μητρὸς αὐτοῦ, ἐκείνου ἔτι ὄντος ὑπεξουσίου, πρὸ τοῦ λαβεῖν αὐτὸν γυναῖκα τὴν ῥηθεῖσαν Φιαλίτισσαν, καὶ νῦν

δέδωκεν αὐτῇ δανειακῶς ὁ ῥηθεὶς Θεόδωρος, ὁ ἔγγονος αὐτῆς, ἐν τῇ ἀσθενείᾳ αὐτῆς ὑπέρπυρα ι΄. ὅτι μὲν οὖν δέδωκεν εἰς προῖκα τῷ Φιαλίτῃ τὸ ὀσπήτιον ἡ μήτηρ αὐτοῦ, οὔτε (διὰ) συμφώνου ἠδυνήθη συστῆσαι ἡ γονὴ ἐκείνου οὔτε διὰ μαρτύρων, ὅτι δὲ ἡ μήτηρ ἐκείνου ... (κατέ)μενεν ἐν αὐτῷ ὀλίγου δεῖν μέχρι τοῦ νῦν, καὶ ἐκείνη ἐγκρατὴς ἦν τοῦ ῥηθέντος ὀσπητίου ......, καὶ ἡ ῥηθεῖσα νύμφη αὐτῆς συνοδικῶς ὡμολόγησε, ὅτι δὲ ἀγορὰ τοῦ πατρὸς ἦν τοῦ Φια(λίτη), ἀλλ' ὤφειλεν ἐκεῖνος τῇ ἰδίᾳ γυναικὶ τῇ ῥηθείσῃ μοναχῇ τὴν προῖκα αὐτῆς, ἥτις πάντως καὶ ....... ἦν τοῦ τιμήματος τοῦ ῥηθέντος ὀσπητίου. διὰ δὴ ταῦτα πάντα διέγνω καὶ ἀπεφήνατο συνοδικῶς ἡ μετριότης ἡμῶν, τοῖς μοναχοῖς εἶναι τὸ ῥηθὲν ὀσπήτιον καὶ ἄδειαν ἔχειν αὐτὴν παραπέμψαι αὐτὸ πρὸς ὃν ἂν βούληται, καὶ ἐπεὶ ἐδανείσατο παρὰ τοῦ ἐγγόνου αὐτῆς ...., ὡς τοῦτο αὕτη δὴ ἡ μοναχὴ ἀνέφερε συνοδικῶς τῇ ἡμῶν μετριότητι διὰ τοῦ ὑπομιμνήσκοντος, ἐδέξατο δὲ καὶ αὐτὴν καὶ γηροτροφεῖ καὶ κυβερνᾷ εἰς τὴν ἀσθένειαν αὐτ(ῆς), καὶ ἑκουσίως ἀφίησιν αὐτῷ διὰ ταῦτα ἡ μοναχὴ τὸ ῥηθὲν ὀσπήτιον, ὀφείλει ὁ ῥηθεὶς Θεόδωρος, ὁ ἔγγονος αὐτῆς, ἔχειν αὐτὸ ἀνενοχλήτως ἀπὸ τοῦ ῥηθέντος υἱοῦ τῆς μοναχῆς, τοῦ Φιαλίτου ἐλευθερωθέντος τῆς αἰχμαλωσίας, καὶ παντὸς τοῦ μέρους αὐτοῦ. τούτου γὰρ χάριν ἐγένετο πρὸς αὐτὸν καὶ τὸ παρὸν γράμμα τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ δεκεβρίῳ ἰνδ. ι΄ †.

## DCLXXXV. (6910—1401) 28. decembris. ind. X.

*Litterae pecuniae acceptae.*

Μηνὶ δεκεβρίῳ, κη΄, ἰνδ. ι΄ παρελάβομεν κοινῶς, ἐγώ τε ἡ μοναχὴ Εὐγενία ἡ Χρυσολωρίνα, καὶ ἐγώ, Θεοδώρα ἡ Χρυσολωρίνα, ἀπὸ τοῦ παναγιωτάτου ἡμῶν δεσπότου τὰ ἑκατὸν δέκα ὑπέρπυρα, ἅτινα ἐπαφῆκεν ἐνταῦθα ὁ αὐθέντης καὶ ἀνήρ ἐμοῦ, τῆς Χρυσολωρίνας, διὰ ἐλευθερίαν τῶν εἰκονισμάτων, ἃ κεῖνται εἰς τὸν Μισὲ Πεζαντ... χάριν ἐνεχύρου, εὑρίσκονται δὲ νῦν ἐν τῇ νήσῳ Χίῳ. παρελάβομεν δὲ αὐτὰ διὰ τῶν χειρῶν τῶν ὑπογραφόντων ἐν τῷ παρόντι τιμιωτάτων ἀρχόντων, ὅθεν δι' ἀσφάλειαν ἐγένετο παρ' ἡμῶν ἡ παροῦσα ἀπόδειξις,

μηνὶ καὶ ἰνδικτιῶνι τοῖς ἀναγεγραμμένοις. τὸ δὲ τούτου πρωτότυπον εὑρίσκεται εἰς τὰς χεῖρας τοῦ τιμιωτάτου χαρτοφύλακος †.

† Εἶχε δὲ ὑπογραφάς· ὁ μέγας χαρτοφύλαξ καὶ ὁ πρωτέκδικος, δι' ἀσφάλειαν δὲ ὑπεγράφη παρ' ἡμῶν †.

† Ὁ ῥαιφερενδάριος †. † Ὁ ἱερομνήμων †.

## DCLXXXVI. 6906 (1396) octobri. ind. VI.

*Inventarium thesauri magnae ecclesiae.*

† Μηνὶ ὀκτωβρίῳ ἰνδ. ς' τοῦ ‚ς ϡ ἕκτου ἔτους ἐνώπιον τῆς ἡμῶν μετριότητος, συνόντων αὐτῇ καὶ τῶν τιμιωτάτων ἐκκλησιαστικῶν ἀρχόντων, παρόντων καὶ τῶν τῆς συγκλήτου, τοῦ τε κυροῦ Ἀλεξίου Τζαμπλάκωνος τοῦ Καβαλλαρίου καὶ τοῦ Φιλανθρωπηνοῦ κυροῦ Ἀνδρονίκου καὶ κυροῦ ..... Ἀποκαύχου τοῦ Μελισσηνοῦ, ἐθεωρήθησαν ..... τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας, καὶ εὑρέθησαν ταῦτα· κρατὴρ ἴασπις μετὰ κόσμου ἀργυ(ροδιαχρ)ύσου, ἔχων λιθάρια ὑελία καὶ μαργαριταρόριζα, ἔχει ὁ αὐτὸς κρατὴρ φάκτα κενὰ ἑπτά· ...... οφίτης συντετριμμένος μετὰ βάσεως ἀργυροδιαχρύσου· κρατὴρ χρυσοῦς μετὰ ὑελίων καὶ μαργαριταρίων, (λείπουσιν) ἐξ αὐτοῦ μαργαριτάρια τέσσαρα· κρατὴρ ἀργυροδιάχρυσος, ἔχων ἐκτυπώματα ἁγίων οἰνοκοπητὰ ... ἔχει καὶ μαργαριτάρια ὀλίγα μικρά· κρατὴρ ἀργυροῦς, ἔχων ἐκτυπώματα ἁ(γίων) ... ποτήριον καὶ δίσκος οἰνοκοπητὰ μετὰ ἐκτυπωμάτων χρυσῶν, λείπουσιν ἐξ αὐτοῦ ... (μαργαρι)τάρια μικρά· δίσκος χρυσοῦς μετὰ ὑελίων καὶ μαργάρων μεγάλων δεκατεσσάρων. .... οἰνοκοπιτῶν καὶ ὑελίων, λείπουσιν ὑελία ἐννέα, καὶ ἀπὸ τῶν μαργαριταροριζῶν ὧν ἔχει .... ἀργυροδιάχρυσος· ἔτι καὶ ἀργυροῦς· ἕτερος καὶ αὐτὸς ἀργυροῦς· ἕτεροι ἀργυροῖ δύο μικροὶ ..... ποτήριον ..... μέγα· ἕτερον ἀργυροροδιάχρυσον μετὰ ἐκτυπωμάτων χρυσῶν τεσσάρων· συντετριμμένον ποτήριον ἀργυροῦν· ποτήριον κρυστάλλινον μετὰ κόσμου ἀργυροδιαχρύσου, ἔχον καὶ (γρά)μματα εἰς τὸ χεῖλος· ἕτερα ποτήρια ἀργυρᾶ τέσσαρα· κωθώνιον κρυστάλλινον, ὃ μετεσκευάσθη εἰς κρατῆρα, ἔχον βάσιν ἀργυροδιάχρυσον· λαβίδες δύο, ἡ μὲν μία ἐλεφάντινος, ἡ δὲ ἑτέρα ἠλέκτρινος ....... ἀστερίσκος χρυσοῦς· ἕτεραι λαβίδες ἀργυραῖ τρεῖς, καὶ μία ἡ τοῦ μύρου καὶ ἄλλη κρύα μετὰ κόσμου ἀργυροδιαχρύσου· ἀστερίσκοι ἀργυροῖ τρεῖς· ἠθμὸς ἀργυροῦς· χερνιβόξεστον

ἀργυροῦν· δίσκος μέγας ..... τοῦ ἀντιδώρου· εὐαγγέλιον τῆς λιτῆς μετὰ κόσμου ἀργυροδιαχρύσου· τακτικὸν, ἔχον γραμμάτια ἀργυροδιάχρυσα καὶ σταυροὺς ἀργυροδιαχρύσους· ἕτερον τακτικὸν, ἔχον σταυρ(ὸν) καὶ τέσσαρας βούλας ἀργυροδιαχρύσους· εὐαγγέλιον, ἔχον γράμματα χρυσᾶ καὶ κόσμον ὁμοίως χρυσοῦν καὶ ἀργυροῦν μετὰ ὑελίων καὶ μαργάρων καὶ ..... στήλας πολλὰς οἰνοκοπητὰς, λείπουσι μαργαριτάρια ἑβδομηκονταοκτὼ, φάκτα τρία καὶ ἔργα ἐξ ..... (θη)λίκια τέσσαρα· ἕτερον εὐαγγέλιον μετὰ κόσμου ἀργυροδιαχρύσου καὶ ἐκτυπωμάτων χρυσῶν καὶ ὑελίων, λείπουσιν ... ὑελία ὀκτὼ καὶ θηλίκιον ἕν· ἕτερον εὐαγγέλιον καθημερινὸν μετὰ γραμματίων καὶ τὴν σταύρωσιν ἔχον ...... (ἀργυ)ροδιάχρυσα, ὃ εὑρίσκεται ἐν τῇ ἐκκλησίᾳ· ῥιπίδια ἀργυροδιάχρυσα δεκαέξ· εἰκόνες δύο, ἡ μὲν μία ..... σωτῆρος Χριστοῦ, ἡ δὲ ἑτέρα τῆς ὑπεραγίας θεοτόκου, μετὰ ἐκτυπωμάτων ἀργυροδιαχρύσων καὶ λιθαρίων ὑελίων ... καὶ μαργάρων, ἔχει δὲ ἡ τῆς θεοτόκου εἰκὼν καὶ ἅγιον κεραμίδιον ἐγκεκοσμημένον, λείπει καὶ ἀπὸ τῆς κεφαλῆς τοῦ σωτῆρος Χριστοῦ τὸ λιθάριον, ὅπερ ἦν ἀπ' ἀρχῆς, καὶ μαργαριτάρια πολλὰ, καὶ ἀπὸ τῶν μεγάλων τῶν ἐντὸς ἕν, ὄπισθε δὲ τῆς δεσποτικῆς εἰκόνος, ἔχει καὶ τὴν εἰκόνα τῆς παναγίας ἐγκεκοσμημένην, ἀφ' ἧς λείπουσι φάκτα ἀκέραια τρία, μαργαριτάρια ἀπὸ τῶν ἐντὸς καὶ ἀσήμιν καὶ μαργαριτάριν ἀπὸ τοῦ κεραμιδίου· μανουάλια τῆς εἰσόδου, ζυγαὶ τέσσαρες, ἡ μία ἴασπις, ἡ ἑτέρα κρύα καὶ ἡ ἄλλη ἀργυροδιάχρυσος, ἔργον βενετικὸν, καὶ ἡ ἑτέρα ἀργυρᾶ· ἡ ἁγία κάρα τοῦ ἁγίου Στεφάνου τοῦ Νέου, ἔχουσα κόσμον ἀργυροδιάχρυσον· κανστρίον ἀργυροδιάχρυσον· ἐλαιοφόριν ἀργυροδιάχρυσον· σταυρὸς, τίμιον καὶ ἅγιον ξύλον, μετὰ μαλάγματος, ἔχων καὶ θήκην ἀργυρᾶν· ἕτερος σταυρὸς ἀργυροδιάχρυσος, ἔχων χρυσᾶ ἐκτυπώματα καὶ μαργαριταρόριζα πέντε καὶ ὑελία πέντε· ἕτερος σταυρὸς ἀργυροδιάχρυσος μετὰ ἀμεθυσίνων τριῶν συντετριμμένος .... σταυρὸς· τίμιον καὶ ἅγιον ξύλον, μετὰ θήκης ἀργυροδιαχρύσου· ἕτερος σταυρὸς μικρὸς μετὰ ........ μετὰ χρυσαφίου· ἕτερος σταυρὸς τῆς προσκυνήσεως ἀργυροδιάχρυσος, ἐρ ..... τίμιον καὶ ἅγιον ξύλον ἐγκεκοσμημένον μετὰ χρυσαφίου καὶ δύο φάκτων ......... ἀργυροδιαχρύσου καὶ σκεπάσματος τοιούτου, ἔχοντος ὑελία τέσσαρα ........ ............ αἵματος, ἔχουσα καὶ μαργαριτάριον ἕν· ἕτεραι ὅμοιαι τρεῖς κεναὶ, αἱ δύο ........ σαρδονύχιον μετὰ κόσμου ἀργυροδ·

δίσκος ἴασπις μικρός· θυμιατ(ήριον) .... ἁγίων, ὅστις εὑρίσκεται ἐν τῇ ἐκκλησίᾳ· ἕτερος ἀργυροδιάχρυσος .......... τοῦ δεσπότου Χριστοῦ· ἡ ἀποκαθήλωσις ἐγκεκοσμημένη· εἰκὼν ἀργυροδιάχρυσος Χρυσοστόμου· τετραευαγγέλιον, ἔχον μέσον τὴν σταύρωσιν ὁλομάργαρα, τὸ μὲν ἓν κόκκινον, τὸ δὲ ἕτερον ὀξύν, ἔχοντα τὰς δεσποτικὰς ἑορτάς· ἀὴρ κόκκινος ὁλομάργαρος· ἕτερος ὀξὺς γεγυμνωμένος ὢν πρότερον εἶχε μαργάρων· ἕτερος κνικάτος χρυσοκλαδαρικός· καὶ ἕτερος πρασινοκόκκινος· ἕτερον τραπεζόφορον κόκκινον ἑξάμιτον, ὃ εὑρίσκεται ... τῇ α' τραπέζῃ· βηλόθυρον κλαπωτὸν χρυσοκόκκινον ἤτοι χρυσοκλαδαρικόν· ἕτερον διβολαῖον τὸ ἐν τῇ ἐκκλησίᾳ· ἐπιτραχήλιον ὁλομάργαρον μετὰ σύρματος χρυσοῦ, ἔχον καὶ λιθάρια διάφορα ιη'· ἕτερον ἐπιτραχήλιον μετὰ χρυσοῦ σύρματος ὁλομάργαρον· ἕτερον συρματένιον χρυσοῦν· ἕτερον συρματένιον, ἔχον καὶ τὰς δεσποτικὰς ἑορτάς· ἐπιμάνικα, ζυγὴ μία, μετὰ σύρματος χρυσοῦ, ἔχοντα καὶ τὸν χαιρετισμὸν ὁλομάργαρα καὶ λιθάρια δεκατρία· ἐπιγονάτιον χρυσοῦν συρματένιον, ἔχον τὴν ἀνάστασιν· σάκος λευκὸς συρματένιος χρυσοῦς, ἔχων πόλους ὀξεῖς καὶ σταυροὺς μετὰ μαργάρων· ἕτερος ὅμοιος λευκὸς συρματένιος ἄνευ μαργαριταρίων· ἕτερος μέλας συρματένιος· ἕτερος λευκὸς κλαπωτός, ἔχων εἰκόνας δύο, τοῦ Χριστοῦ καὶ τῆς θεοτόκου, μετὰ μαργαριταρίων καὶ λιθαρίων ἠερανέων τριῶν· σάκος κλαπωτὸς ὀξύς· ἕτερος καὶ αὐτὸς ὀξὺς κλαπωτός, ἔχων κισσόφυλλα ἀργυροδιάχρυσα τριάκοντα καὶ φάκτα μετὰ ὑελίων δώδεκα καὶ ἁγίων εἰκόνας ἓξ μετὰ φεγγίων καὶ μαργάρων· φενόλιον ὀξὺν κλαπωτὸν τοῦ ἁγιασμοῦ· σάκος ἠερανέος μετὰ μαργαριταρίων· στιχάρια τρία μεταξωτά· ἕτερον στιχάριν ὀξύν· ἐπιμάνικα χρυσοκλαδαρικὰ μετὰ μαργάρων καὶ λιθαρίων ἕξ· ἕτερα χρυσοκλαδαρικὰ καθημερινά· ἐπιγονάτιον κλαπωτόν· ὠμοφόριον μετὰ μαργαριταρίων καὶ λιθαρίων δεκαέξ· καὶ ἕτερα δύο χρυσοκλαδαρικὰ παλαιά· ἕτερον ὀξύν, ἔχον σταυροὺς χρυσοκλαδαρικούς· μανδύλια ὁλοκέντητα τρία· καὶ ἕτερον κεντητὸν μετὰ μαργαριταρίων· κοντάκια πέντε· σταυρὸς ἀργυροδιάχρυσος μέγας τῆς λιτῆς, ἔχων ἐκτυπώματα ἁγίων πέντε, εὑρίσκεται ἐν τῇ ἐκκλησίᾳ· ἅγιαι θύραι ἐγκεκοσμημέναι, λείπει τῆς μιᾶς τὸ κάτω περιφέριν· ποτηροκαλύμματα δώδεκα, ἀφ' ὧν τὰ μὲν δύο χρυσοκόκκινα μετὰ μαργάρων, τὰ δὲ δύο κλαπωτὰ κόκκινα ἄνευ μαργαριταρίων, τὸ ἕτερον κλαπωτὸν μετὰ μαργάρων ὀλίγων, ἕτερον ὀξὺν καὶ ἕτερον ἄσπρον, τρία

χρυσοκλαδαρικὰ καὶ δύο χρυσοκόκκινα καὶ ἕτερα τρία ξενόχρεα, ἄλλα παρὰ τὰ δώδεκα, ὁμοῦ δεκαπέντε· ποδέαι δύο βλατὶν ἀνασίν· δεκανίκια πατριαρχικὰ τέσσαρα καὶ ....... κρυστάλλινοι ἕξ· χρυσόβουλα τρία· σιαγὼν τοῦ μεγάλου Παύλου, ἐγκεκοσμημένη μετὰ θήκης ἐλε(φαντίνου) ..... ἁγίας κάρας τοῦ ἁγίου Εὐστρατίου μετὰ περιφερίου ἀργυροδιαχρύσου· ἕτερον ἅγιον λείψανον ........ διάχρυσον· ἕτερον ἅγιον λείψανον τοῦ ἁγίου Παντελεήμονος μετὰ θήκης μολιβ(δίνου) ... Σολβέστρου· καὶ ἕτερος ποὺς ἁγίου ἑτέρου· πώγων τοῦ ἁγίου Προκοπίου, ὁ ἥμισυς ........ τοῦ ἁγίου Κοσμᾶ· λείψανον τοῦ ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου μετὰ κόσμου ......... μετὰ κόσμου ὀλίγου· λείψανον τοῦ ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ ........ τοῦ μάρτυρος Κλήμεντος, καὶ ἕτερα ἅγια λείψανα διαφόρων ἁγίων· ἅγιον ..... γεγραμμένον σταυροειδῶς· τὸ συνοδικόν· ἀσήμια κομάτια ἀπὸ τῶν ἱερῶν ... καλύμματα ὀλίγα· καὶ θηλίκια τέσσαρα· ἐπιτραχήλιον ὁλομάργαρον εἰς βλατὶν ὀξύν, ὅπερ ἀφιέρωσεν ὁ ἁγιώτατος καὶ ἀοίδιμος πατριάρχης κῦρ Νεῖλος· κρατὴρ ἴασπις, ὃν ἀφιέρωσεν ἡ ἁγία δέσποινα, ἡ κυρὰ Ὑπομονή· ζώνη μετὰ κόμπων μαργαριταρεΐνων· σάκος χρυσογέρανος ......... στήλας ἁγίων τέσσαρας μετὰ μαργάρων, ἅπερ ἀφιέρωσεν ὁ αὐτὸς ἁγιώτατος κῦρ Νεῖλος. ἐπὶ δὲ τῶν ...... τοῦ κῦρ Ἀντωνίου προσετέθησαν ταῦτα· ὠμοφόριον χρυσοκλαδαρικόν, ὅπερ ἐστάλη ἀπὸ τῆς ρω ....... ἀστερίσκοι ἀργυροῖ τρεῖς μικροί· ποδέα παλαιὰ τῆς μεγάλης ἐκκλησίας, ὁ ἅγιος Κωνσταντῖνος. ἐ(νώπιον) τῆς ἡμῶν μετριότητος προσετέθησαν ταῦτα· ἐπιτραχήλιον ῥωσικὸν ὁλομάργαρον μετὰ ἐρίων ἀργυροδιαχρύσων καὶ ὑελίων καὶ φάκτων ὁλόγομον· ἁγία λαβὶς χρύα μετὰ δέματος ἀργυροδιαχρύσου, ἥτις καὶ ἄνωθεν ἐγράφη ἐν τῷ τόπῳ τῶν ἁγίων λαβίδων· ἱμάτιον χαμουχᾶς δίχρους κιτρινοκόκκινος· φαλτικόν· ποτηροκαλύμματα ἑπτά. καὶ ἡ μὲν ἀναθεώρησις τούτων ἐγένετο ἐν τῷ ἄνωθεν ῥηθέντι καιρῷ, ὅτε καὶ τὸ εὑρισκόμενον μαργαριτάριν χαμπανισθὲν εὑρέθη ὂν ἑξάγια ἑκατὸν εἰκοσιέν, τὸ δὲ παρὸν κατάστιχον μετεγράφη νῦν ἀπὸ τοῦ πρώτου διὰ τὸ εἰσαχθῆναι ἐν αὐτῷ καὶ τὴν γεγονυῖαν προσθήκην ἐπὶ τῶν ἡμερῶν τῆς ἡμῶν μετριότητος, ὅπερ ἐσημειώθη καὶ τῇ ταύτης χειρὶ ἀσφαλείας ἕνεκα. ἔτι προσετέθησαν καὶ δύο ἕτερα ποτηροκαλύμματα μεγάλα χρυσᾶ, βλατὶν ὀξὺν βασιλικόν, ἅπερ ὁ μέγας σακελλάριος ὁ μακαρίτης ἐκεῖνος ὁ Βαλσαμὼν ἀφιέρωσε, καὶ σταυρὸς μικρός, ᾧ χρώ-

μεθα ἐν τοῖς ἁγιασμοῖς τῶν λιτανιῶν, γεγονὼς μὲν παρὰ τῆς ἡμῶν μετριότητος, τηρούμενος δὲ ἐν θήκῃ ἀργυρᾷ προϋπαρχούσῃ, ἐν ᾗ ἦν ποτὲ ἕτερος τίμιος σταυρὸς μικρός, ὃς ἐκαρφώθη ἐν τῷ τιμίῳ μεγάλῳ σταυρῷ. ἔτι προσετέθησαν καὶ ἕτεραι δύο ποδέαι, ἡ μία χρυσόξεια συρματένιος, ὀξὺν βασιλικόν, ἡ δὲ ἄλλη χαμουχᾶς δίχρους μετὰ περιφερίου πρασίνου χαμουχᾶ, καὶ ποτηροκαλύμματα δύο, καὶ αὐτὰ ὀξὺν βασιλικὸν συρματένιον μετὰ περιφερίων χαμουχενίων †.

† Εἶχε καὶ διὰ τιμίας πατριαρχικῆς χειρὸς τό· μηνὶ σεπτεβρίῳ ἰνδ. ι΄ †.

## DCLXXXVII. (6910—1402) ianuario. ind. X.

*Promissio presbyteri Ioannis Philareti.*

† Ἐγὼ πρεσβύτερος Ἰωάννης ὑπόσχομαι εἰς τὸν παναγιώτατον ἡμῶν δεσπότην, τὸν οἰκουμενικὸν πατριάρχην, ὡς ἐπεὶ (ἀπ' αὐτοῦ) εὐηργετήθην καὶ συνεπάθησέν μου εἰς τὴν ἱερωσύνην μου, ἵνα οὐ μὴ εὑρεθῶ πλέον ἐντὸς τῆς μονῆς τῆς κυρᾶς Μάρθας, ἀλλ' ἀπ....... μόνον καὶ λαμβάνω τὴν λειτουργίαν μου ἔξω τῆς μονῆς· εἰ δὲ εὑρεθῶ συναναστρεφόμενος ἐντὸς τῆς μονῆς, ἵνα ἐκπίπτω ... τῆς ἱερωσύνης μου. μηνὶ ἰανουαρίῳ ἰνδ. ι΄. καὶ δι' ἀσφάλειαν ὑπεγράφη παρ' ἐμοῦ †.

† Ὁ εὐτελὴς ἱερεὺς Ἰωάννης ὁ Φιλάρετος στέργων ὑπέγραψα †.

## DCLXXXVIII. Sine anno.

*Synodus metropolitam Tornobi monet, ut debitum solvat.*

† Πανιερώτατε μητροπολῖτα Τορνόβου καὶ τὰ ἑξῆς. ὁ ἱερώτατος μητροπολίτης Ῥοιζαίου καὶ τὰ λοιπά, ἀνεστὰς ἐπὶ τῆς ἱερᾶς καὶ θείας συνόδου τῶν ἐνταῦθα συνεληλυθότων ἀρχιερέων ἐπὶ καταστάσει τῆς ἐκκλησίας Χριστοῦ, χρηματικὴν ἔγκλησιν κεκίνηκε κατὰ τῆς μεγάλης ἁγιωσύνης σου, εἰπών, ὅτι πρὸ χρόνων ......, δεηθεὶς χρημάτων καὶ τῶν δανειστῶν ἀπαιτησάντων ἀναδέξασθαί τινα τὴν ἀπόδοσιν αὐτῶν, ἀξιώσει τῆς μεγάλης ἁγιωσύνης σου ὑπέβαλεν οὗτος ἑαυτὸν εἰς τὸ τοιοῦτον χρέος, νομίζων, ὅτι μέλλεις φροντίσειν ὑπὲρ τούτου, καθὼς αὐτῷ ἐπηγγείλω καὶ ἔταξας, καὶ οὗτος ἔσται ἐλεύθερος ἀπὸ τῆς ἐνοχῆς τοῦ τοιούτου· οὖν τῆς διωρίας τοῦ συμπεφω-

νημένου χρόνου παρῳχηκυίας καὶ τῆς σῆς ἁγιότητος μηδόλως φροντισάσης περὶ τῆς ἀποδόσεως τοῦ χρέους σου, οἱ σοὶ δανεισταί, βιασάμενοι τοῦτον κοσμικῇ κρίσει, ἔλαβον παρ' αὐτοῦ διὰ τὸ σὸν χρ(έος) ...... ἅπερ ..... οὗτος μὴ ἔχων ἀποδοῦναι, ἀλλὰ δανεισάμενος ἀλλαχόθεν κατέβαλε καὶ τόκους ἕως ἄρτι .... ἀσπρ .... σὺν τῷ κεφαλαίῳ, καὶ εἰς βεβαίωσιν ὧν εἴρηκε, παρήγαγε καὶ μάρτυρας, οἵ γε δὴ καὶ μεμαρτυρήκασι, βάρος πρότερον δεξάμενοι ἐκκλησιαστικόν, ὡς οἴδασιν ἀκριβῶς, ὅτι διὰ τὸ χρέος ....... ἀπέδωκεν, καὶ ἐπὶ τούτοις ἠξίωσε καὶ παρεκάλεσε τὴν δηλωθεῖσαν ἱερὰν τῶν ἀρχιερέων σύνοδον, ἵνα γένηται λόγος παρ' αὐτῶν πρὸς τὴν σὴν ἁγιότητα περὶ τούτου, οἳ δεξάμενοι τὴν παράκλησιν αὐτοῦ ὡς εὔλογον καὶ δικαίαν, ὥρισαν πρὸς ἡμᾶς τοὺς ὁρισμῷ ἐπιτροπεύοντας καὶ ἀποδοχῇ τοῦ κρατοῦντος τὴν καθολικὴν ἐκκλησίαν, ἵνα γράψωμεν περὶ τούτου τῇ μεγάλῃ ἁγιωσύνῃ σου, ὃ δὴ καὶ ποιοῦμεν καὶ γράφομεν καὶ δηλοποιοῦμέν σοι, ὅτι ἡ γνώμη τῆς ἁγίας συνόδου καὶ διάκρισις αὕτη ἐστίν, ἵνα ποιήσῃς δηλονότι δυοῖν θάτερον, ἢ αὐτὸς σὺ ἔλθῃς ἐνταῦθα καὶ ἀντικριθῇς αὐτῷ περὶ τούτου, ἢ ἵνα στείλῃς ἀντί σου, ὅντινα δὴ καὶ αἱρῇ, ἔχοντα μεθ' ἑαυτοῦ καὶ τὰ ἄσπρα ..., ἅπερ ἀπέδειξεν ὁ ἱερώτατος ἐμμαρτύρως ὅτι ὀφείλεις αὐτῷ, καὶ εἰ μὲν φανείη, ὅτι τοσοῦτόν ἐστι τὸ χρέος σου, ὅσον δὴ καὶ ἀπέδειξεν, ἵνα δώσῃ αὐτῷ τοῦτο ὁ ἐλευσόμενός σου ἐπίτροπος· εἰ δὲ εὑρεθείη ἔλαττον, ἵνα τοῦτο μόνον, καὶ οὐ πλέον ἀποδώσῃ. καὶ εἰ μὲν οὕτω ποιήσεις, ὡς ἡ ἁγία σύνοδος διέκρινεν, εὖ ἂν ἔχοι, εἰ δὲ μή γε, μετὰ διακρίσεως αὐτῶν ἀπελεύσεται εἰς τὴν κοσμικὴν ἀρχήν, καὶ λήψεται ἐκεῖθεν δύναμιν ἐπὶ τῷ ἀπαιτῆσαι καὶ λαβεῖν ἀπό σου τὸ χρέος, ὃ ὀφείλεις αὐτῷ, καὶ προσεπιτούτοις λήψῃ καὶ τὸ ἐπιτίμιον τῆς παρακοῆς καὶ τῆς καταφρονήσεως παρὰ τῆς ἁγίας συνόδου. ἵνα οὖν μὴ τοῦτο γένηται, ποίησον, ὡς αὐτὴ ἐνθέσμως καὶ νομίμως διέκρινεν †.

## DCLXXXIX. Sine anno.

*Clerici quidam metropoleos Mediae in ius vocantur.*

† Οἱ ἐν τῇ ἁγιωτάτῃ μητροπόλει τῆς Μηδείας εὑρισκόμενοι ἐντιμότατοι κληρικοί· ὁ ἱερώτατος μητροπολίτης ὑμῶν ἀναστὰς ἔγκλησιν κεκίνηκε κατὰ τῶν συγκληρικῶν ὑμῶν, τοῦ τε σκευοφύλακος καὶ τοῦ χαρτοφύλακος καὶ τοῦ σακελλαρίου, ὅτι ἀδίκως πάντη καὶ παρα-

λόγως εὗρεν ἐξ αὐτῶν αἰτίας, πειρασμοὺς πολλοὺς, ζημίας τε καὶ ἀτιμίας, διὸ καὶ ἐζήτησε καὶ παρεκάλεσε τὴν δηλωθεῖσαν τῶν ἀρχιερέων σύνοδον, ἵνα γένηται λόγος παρ' αὐτῶν πρὸς τοὺς δηλωθέντας συγκληρικοὺς, ὅπως ἔλθωσιν ἐνταῦθα καὶ ἀντικριθῶσιν αὐτῷ, μετ' αὐτῶν ἵνα ἔλθωσι καὶ ἕτεροι δύο τῶν συγκληρικῶν ὑμῶν, ὅ τε οἰκονόμος καὶ ὁ σακελλάριος, ὅπως ἐρωτηθῶσι παρὰ τῆς ἁγίας συνόδου, οἵ γε δὴ δεξάμενοι τὴν παράκλησιν αὐτοῦ ὡς εὔλογον καὶ δίκαιαν, ὥρισαν πρ .... τοὺς ὁρισμῷ καὶ ἀποδοχῇ τοῦ κρατοῦντος ἐπιτρόπου ..... ἵνα γράφῃ πρὸς ὑμᾶς, ὅπως ἀναγκάσητε τοὺς εἰρημένους συγκληρικοὺς ὑμῶν, ἵνα ἔλθωσιν ἐνταῦθα τὸ μακρότερον εἰς ἡμέρας ιε', ἀφ' ὅτου δέξονται παρ' ὑμῶν τὸν ὁρισμὸν τῆς ἁγίας συνόδου, τοσαύτην γὰρ διωρίαν καιροῦ διέκρινεν ἡ ἁγία σύνοδος ἵνα ἔχωσιν, ὃ δὴ καὶ γράφομεν ὑμῖν καὶ δηλοποιοῦμεν, καὶ ποιήσατε κατὰ τὴν διάκρισιν αὐτῆς. καὶ εἰ μὲν πεισθῶσι καὶ ἔλθωσιν, ἤδη καλὸν, ἔσται γὰρ εἰς ὠφέλειαν αὐτῶν· εἰ δὲ ἀπειθήσουσι καὶ καταφρονήσουσιν, ἵνα ὦσιν ἀργοὶ πάσης ἱεροπραξίας, ἕως οὗ ἐλεύσονται ἐνταῦθα καὶ ἀντικριθῶσι τῷ μητροπολίτῃ ἐφ' οἷς παρ' αὐτοῦ ἐνεκλήθησαν. γενέσθω οὖν ἀπαραιτήτως, καθὼς ἡ ἁγία σύνοδος διέκρινεν· ἐρχόμενοι δὲ φερέτωσαν ἀπαραιτήτως καὶ ἃ κρατοῦσιν ὡς ἐνέχυρον ἀπὸ τῆς ἀλλαγῆς τοῦ βιβυ...... ἤγουν τό τε ὠμόφορον αὐτοῦ καὶ τὰ ἐπιμάνικα .... διεκρίθη καὶ τοῦτο συνοδικῶς, ἵνα ..... ήσωσιν, καὶ ὁ θεὸς τῆς εἰρήνης· ἐλθέτωσαν δὲ σὺν αὐτοῖς ἀπαραιτήτως καὶ οἱ δηλωθέντες ἕτεροι δύο συγκληρικοί †.

## DCXC. Sine anno.

***Patriarchae litterae datae ad clericos exarchiae Muntaneorum.***

I. † Ἐντιμότατοι κληρικοὶ τῶν Μουντανείων καὶ ἑξῆς· πρὸ πολλῶν καὶ ἀμνημονεύτων τῶν χρόνων ἦν αὕτη ἡ ἐξαρχία ὑπὸ τὴν ἐξουσίαν καὶ διοίκησιν τῆς καθολικῆς ἐκκλησίας, καὶ μητροπολίτης ἐν αὐτῇ οὐκ ἦν, ἐδίδοτο οὖν αὕτη καὶ πρὸς οὓς διέκρινεν ὁ κατὰ καιροὺς πατριάρχης, καθ' ὃν δὴ τρόπον δέδωκεν ταύτην πρὸ καιροῦ ὁ ..... τῆς ἐκκλησίας πρὸς τὸν Ῥαφαὴλ, πρὸς οὐ πρώην ἱερώτατον μητροπολίτην ............ ὀλίγου δὲ καιροῦ παρελθόντος, μήτε τὴν παλαιὰν τάξιν τηρήσας, μήτε τὰ αὐτοῦ γράμματα καὶ ὑπογραφὰς αἰδεσθεὶς, κεχειροτόνηκε μητροπολίτην αὐτόθι τὸν πρώην Μουν-

τανείων πρωτέκδικον, διὸ δὴ λυπηθεὶς ὁ πρώην ἱερώτατος μητροπολίτης Ἀδριανουπόλεως ἦλθε νῦν ἐνταῦθα, ἐλπίζων εὑρεῖν τὸν Ῥαφαὴλ ἐν τῷ πατριαρχείῳ καὶ τὸ δικαίωμα αὐτοῦ προβαλέσθαι καὶ πρᾶξαι καὶ αὐτός, ὡς δυνηθείη· ἐπεὶ δ' ἐκεῖνος μέν, νεύσει θεοῦ, τοῦ πατριαρχείου ἐξῆλθεν, ὁ δὲ γεγονὼς μητροπολίτης ὑμῶν ἐλθὼν ἐνταῦθα ....... πάλιν ἀπῆλθεν, ἔτι μάλιστα λυπηθεὶς ὁ πρώην ἱερώτατος Ἀδριανουπόλεως ἠβουλήθη ταύτην τὴν ἐξαρχίαν λαβεῖν καὶ ἑτέρῳ τινὶ τρόπῳ. ἐπεὶ δὲ τοῦτο εἴς τε βάρος μέγα ἴδομεν εἶναι τοῦ αὐτόθι τόπου καὶ τῆς καθολικῆς ἐκκλησίας σύγχυσιν, ἐνεποδίσαμεν αὐτὸν τοῦ προκειμένου, οὕτω τὸ πρᾶγμα οἰκονομήσαντες μετὰ τῶν καθευρεθέντων ἐνταῦθα ἱερωτάτων μητροπολιτῶν· λέγομεν οὖν, ἐπεὶ οὕτω τελεία σύνοδος συνεκροτήθη, οὐδὲ πρὸ ἀρχῆς ἐγκατέστη, μέχρι ὅτου ταῦτα γένηται, ἵνα αὕτη ἡ ἐξαρχία μετὰ πάσης τῆς ἐνορίας αὐτῆς συνάγονται καὶ ἐπιτροπεύονται παρὰ τοῦ ἐντιμοτάτου οἰκονόμου, εἰδήσει καὶ ὑμῶν πάντων τῶν κληρικῶν, τοῦτο γὰρ ἴδομεν ἀτάραχον καὶ ἀνεπίφωνον. καὶ ὅτε πατριάρχης γένηται καὶ σύνοδος τελεία συγκροτηθῇ, τὸ φανησόμενον δίκαιον καὶ συμφέρον γενήσεται. καὶ ὁ θεὸς τῆς εἰρήνης μεθ' ὑμῶν †.

II. † Οἱ ἐν τῇ πατριαρχικῇ ἐξαρχίᾳ τῶν Μουντανείων καὶ τῶν λοιπῶν πατριαρχικῶν καστέλλων εὑρισκόμενοι ἐντιμότατοι κληρικοί, κατὰ πνεῦμα υἱοὶ τῆς ὑμῶν (μετριότητος)· ἐπεὶ εὐδόκησεν ὁ πανάγαθος κύριος κρίμασιν οἷς οἶδεν αὐτός, καὶ ἀνεδεξάμεθα τὴν προστασίαν τῆς καθολικῆς ἐκκλησίας, δίκαιον ἐκρίναμεν ... παρὰ τοῦ σκυθογενοῦς ἐκείνου καὶ βαρβάρου Ῥαφαὴλ ..... διορθώσασθαι .... συνοδικῶς συνδιασκεψάμενοι τοίνυν μετὰ τῶν καθευρε(θέντων) ..... ἀναπληρούντων ἀρχιερέων, ἐπεὶ ἡ καθ' ἡμᾶς αὕτη πατριαρχικὴ ἐξαρχία οὐδέποτε ἔσχεν ἐξ ἀμνημονεύτων τῶν χρόνων μητροπολίτην, οὐδὲ γὰρ ὠνομάσθη ποτὲ μητρόπολις, ὡς πάντες ἀκριβῶς ἐπίστανται, διακρίνει καὶ ἀποφαίνεται, ἵνα πάλιν ὑπάρχῃ αὕτη ἡ καθ' ὑμᾶς πατριαρχικὴ ἐξαρχία εἰς τὴν ἀρχαίαν τάξιν αὐτῆς τε καὶ συνήθειαν, καὶ τελῇ ὑπὸ τὴν ἐξαρχίαν τοῦ κατὰ καιροὺς πατριάρχου, διὸ δὴ καὶ δέδωκεν αὐτὴν πρὸς τὸν ἱερώτατον πρώην μητροπολίτην ἀδ ...... ἵνα ἔχῃ αὐτὴν καὶ εἰς τὸ ἑξῆς ἐφ' ὅρῳ πάσης αὐτοῦ τῆς ζωῆς κατὰ

τὸν τρόπον καὶ τὴν συμφωνίαν, μεθ' ἧς ἔλαβε ταύτην παρὰ τοῦ Ῥαφαὴλ, καθὼς τὸ τούτου συνοδικὸν πρὸς αὐτὸν γράμμα διαλαμβάνει, καὶ νέμηται καὶ τὸ ἐξ αὐτῆς ἅπαν εἰσόδημα καρπῶται, πράττῃ δὲ ἐν αὐτῇ καὶ τὰ ἐκκλησιαστικὰ πάντα ὡς ἀρχιερεὺς καὶ ἱερουργῇ ἐν αὐτῇ ἀκωλύτως ἄνευ μόνης τῆς τοῦ ἱεροῦ (συνθρόνου ἐγκαθιδρύσεως). ἐρχόμενον τοίνυν αὐτόθι πρὸς ὑμᾶς, ὅτε τούτου δεήσει, ὑποδεξάσθω αὐτὸν μετὰ τῆς προσηκούσης εὐλαβείας καὶ τιμῆς, καὶ στέργετε καὶ τιμᾶτε καὶ ἀγαπᾶτε αὐτὸν καὶ ὡς ἀρχιερέα γέροντα καὶ τίμιον καὶ πνευματικὸν ὑμῶν διδάσκαλον καὶ μάλιστα ὡς ἔξαρχον τῆς ἡμῶν μετριότητος, ἀπονέμετε δὴ αὐτῷ συγγνωμόνως καὶ εἰρηνικῶς καὶ κατὰ τὰ συνήθη· εἰ γάρ τις ὑμῶν φωραθείη μὴ πειθόμενος αὐτῷ καὶ ὑποτασσόμενος, ἀλλ' ἀντιλέγων αὐτῷ καθ' ἕν τι καὶ ἐναντιούμενος, ὁ τοιοῦτος κἂν ὁποῖος ἄρα καὶ εἴη ὡς ἀλαζὼν ....

Finis deest.

## DCXCI. 7029 (1521) 6. ianuarii. ind. IX.

*Testimonium in causa matrimoniali.*

† Ἐν ἔτει ,ζκθ', μηνὶ ἰ(αννουαρίῳ) ἰνδ. θ' †.

† Τῇ ϛ' αὐτοῦ ἤτοι τῶν ἁγίων θεοφανίων ἐδόθη εἰς τὸν ἱερομόναχον καὶ πνευματικὸν κῦρ Ἰωάσαφ τὸν ψάλλοντα τὴν παναγίαν μου πλησίον τοῦ τιμίου Προδρόμου τοῦ στεφανῶσαι τὸν ἐξ Ἰωαννίνων Ἰωάννην τοῦ Νικηφόρου τὸν κανταροποιὸν μετὰ Μαρίας τῆς οὔσης δουλευτρίας κῦρ Ἰωάννου τοῦ Μαμονᾶ, ἣν ἀπὸ Θεσσαλονίκης ἤγαγεν αὐτῆς μὲν, ὡς ἐμαρτύρησεν κῦρ Μιχαὴλ πρωτόγηρως ὁ εἰς τὸ Μουγούλιον καὶ Ἰωάννης Μοραΐτης, ὃς ὑπῆρχε μετὰ τοῦ προαποθανόντος Ματθαίου Μαμονᾶ, πῶς ἔρχεται εἰς γάμον πρῶτον, τοῦ δὲ ἀνδρὸς εἰς δεύτερον, ὡς περὶ αὐτοῦ μετὰ ἀσφαλείας ἐμαρτύρησαν οἱ ἀπ' ἐκεῖσε ἐνταῦθα εὑρισκόμενοι Γεώργιος Κεραμᾶς ὁ χαλκεὺς, ὃς εὑρίσκεται εἰς τὴν πύλην τῆς πρὸς Ἀδριανούπολιν, καὶ Γεώργιος Φρανκόπουλος Φραγκοπούλου καὶ μοῖχος Λουκᾶς Ἰσκουρᾶδες καὶ Γεώργιος Σακακτζῆς καὶ Νικόλαος ὁμότεχνος αὐτοῦ ὁ Μελενικιότης, πῶς τὴν ἣν στεφανώθη πρώτην γυναῖκα εἰς τὰ Ἰωάννινα, ἤγαγεν ἐνταῦθα καὶ ἀπέθανεν †.

**Finis tomi posterioris.**

# INDEX CHRONOLOGICUS.

## VIII. Patriarcha Nilus.


pag.

1379—1380, septembri-iunio. *Metropolita Iconii excommunicatur* ........... 1

1380, iunio. *Synodus iterum confirmat imperatoris mandatum, quo episcopatus Kernitsae in metropolim erigitur* ........................... 9

— — *Synodus componit controversias ortas in ecclesia Russiae, nominatque hieromonachum Poemenem metropolitam Kioviae et Magnae Russiae* ........................................... 12

— — *Matthaeus, episcopus Poemaneni, in metropolim Hadrianupoleos transfertur* ........................................... 18

— septembri. *Metropolita Kernitsae, legatus domini Naupacti ad synodum, affirmat, genuinam esse relationem a se allatam* ............ 11

— decembri. *Promissio sacerdotis Constantini Cabasilae* ............... 20

1381, ianuario. *Promissio presbyteri Constantini Apocauci* ................. 21

—. martio. *Abbati monasterii Prodromi confertur gradus archimandritae et protosyncelli* ........................................... 21

— — *Matthaeus, metropolita Kernitsae, in metropolim Ioanninorum transfertur, ecclesia Kernitsae iterum subiecta metropoli Antiquarum Patrarum* ........................................... 23

S. a. *Alexius, metropolita Varnae, transfertur in metropolim Nicaeae, collata ei per adiunctionem metropoli Prusae* ........................ 25

1381, maio. *Synodus confirmat compositionem factam inter Ioannem et Andronicum Palaeologos* ........................................... 25

— iulio. *Patriarcha hieromonachum Cassianum nominat metropolitam Bidynae, rogatus a Strantsimero, rege Bulgarorum* ................ 28

— augusto. *Promissiones trium sacerdotum* ........................... 30

S. a. *Patriarcha hortatur populum Magni Novogradii, ut revertatur in sinum ecclesiae, mittens hac de causa legatum Dionysium, archiepiscopum Susdalii* ........................................... 31

1381, octobri. *Patriarcha vetat metropolitam Hadrianupoleos exercere iura ecclesiastica in episcopatu Agathopoleos* ......................... 34

— novembri. *Promissio Georgii Apelmene, ad officium praefecti sacello episcopatus Cii evecti* ........................................... 36

— — *Promissio presbyteri Georgii Panormeni* ........................ 36

pag.

S. a. *Metropolitae Mesembriae committuntur monasteria patriarchalia curanda in eius dioecesi* .......... 37

1381, 23. novembris. *Metropolita Peritheorii excommunicatur* .......... 37

1382, 2. martii. *Indicatio hieromonachi Germani monasterii Cosmidii* .......... 37

— iulio. *Patriarcha monet metropolitam Thessalonicensem de iuribus patriarcharum* .......... 39

— septembri. *Synodus decernit, Elissum aliaque loca a metropolita Chersonis restituenda esse metropoli Sugdaeae* .......... 42

— septembri. *Promissio hieromonachi protosyncelli Myronis* .......... 44

— novembri. *Metropolita Cotyaei in metropolim Philadelphiae transfertur* .. 45

— — *Anastasio Callisto committuntur iura patriarchalia curanda in ecclesia Prusae* .......... 47

— decembri. *Professio fidei Stephani da Monte et uxoris eius* .......... 48

1383, 20. ianuarii. *Synodus condemnat quosdam clericos* .......... 48

— martio. *Patriarcha iubet dividi monasteria patriarchae Athanasii, in quibus viri mulieresque una habitabant* .......... 80

— maio. *Promissio monachi Theodosii Phudulis, magi* .......... 84

— 24. augusti. *Synodus condemnat protopapam Constantinum Cabasilam* .. 51

— septembri. *Professio fidei Zoës* .......... 8

1384, februario. *Promissio presbyteri Styliani Spartani* .......... 60

— martio. *Professio fidei trium Latinorum* .......... 84

— maio. *Patriarcha donat ecclesiae pagum Oeconomii et vineam, constituens, ut pars redituum distribuatur ecclesiasticis* .......... 61

— augusto. *Metropolita Laodiceae nominatur exarchus* .......... 88

— septembri. *Isidorus, metropolita Thessalonicensis, suspenditur* .......... 85

— — *Epistola patriarchae ad papam Urbanum VI. de unione ecclesiarum* 86

— octobri. *Promissio Constantini Cabasilae* .......... 61

— — *Patriarcha confirmat electionem episcopi Limniorum, Ioseph, conferens ei administrationem metropoleos Amaseae* .......... 64

— — *Hieromonachus Lazarus promittit obedientiam* .......... 67

— novembri. *Patriarcha metropolitam Sugdaeae et hieromonachum Isidorum iubet dirimere controversias ortas inter metropolitas Chersonis et Gotthiae* .......... 67

1385, martio. *Metropolita Philadelphiae nominatur exarchus* .......... 87

— maio. *Promissiones duorum hieromonachorum* .......... 88

— iunio. *Metropolitae Gangrorum, Arsenio, exarcho totius Paphlagoniae, confertur per adiunctionem administratio ecclesiae Ancyrae* ... 89

— — *Metropolita Iconii suspenditur* .......... 89

— augusto. *Patriarcha metropolitae Chersonis subiicit ecclesiam Cinsanus, quamquam sit metropoleos Gotthiae* .......... 69

— — *Patriarcha suscipit patronatum monasterii S. Georgii in urbe Capha, constituens, ut sit et nominetur patriarchale* .......... 70

1386, martio. *Synodus subiicit metropolitae Chersonis ecclesiam Cinsanus* ..... 71

— — *Patriarcha committit metropolitae Gotthiae administrationem pagi patriarchalis Ialitae* .......... 74

— maio. *Metropolitae Corinthi confertur per adiunctionem metropolis Christianupoleos, qui nominatur exarchus patriarchalis in Peloponneso* 76

— augusto. *Promissio sacerdotis Andronici Basilici* .......... 89

pag.
1386, decembri. *Metropolita Prusae nominatur exarchus* ........ 90
1387, ianuario. *Patriarcha monet rectores insulae Chii, ut permaneant in conventione facta cum Romanis, mittitque hieromonachum Ieremiam, ut administret iura patriarchalia in ea insula* .......... 90
— — *Patriarcha componit controversiam ortam inter metropolitas Attaliae et Myrorum* .......... 92
— 3. ianuarii. *Patriarcha metropolitam Myrorum iubet metropolitae Attaliae restituere quaedam loca* .......... 94
— februario—aprili. *Promissiones duorum clericorum* .......... 76
— 22. martii. *Promissio diaconi Manuelis Sguropuli* .......... 97
— maio. *Patriarcha declarat. falsas esse accusationes institutas a patriarcha Macario in metropolitam Serrarum* .......... 77
— 2. maii. *Synodus statuit, designandos esse duos episcopos, qui examinent controversiam ortam inter metropolitas Ephesi et Smyrnae* .... 96
S. a. *Patriarcha confert Michaëli exarcho administrationem iurium patriarchalium in urbe Philadelphia* .......... 96
1387, 29. maii. *Cyprianus, metropolita Russiae, in ius vocatur* .......... 98
— iunio. *Synodus tollit ordinationem Ioannis Linelopolae, a metropolita Nicaeae contra canones factam* .......... 99
— iulio. *Metropolitae Amastridis, Anastasio, confertur metropolis Heracleae Ponticae per adiunctionem* .......... 102
— septembri. *Actio synodalis de confinibus metropolium Ephesi et Smyrnae* 103
— novembri. *De quodam Bea Catalano* .......... 9
— — *Metropolitae Staurupoleos conferuntur Rhodus, Cos, Cyclades, Myrorum metropolita aut mortuo aut in aliam ecclesiam translato aut his regionibus ob eo ultro dimissis* .......... 106
— — *Hieromonacho et confessori Matthaeo confertur metropolis Cysici, addita per adiunctionem metropoli Chalcedonis* .......... 108

## IX. Patriarcha Antonius IV.

1389, ianuario. *Professio fidei neoelecti patriarchae Antonii* .......... 113
— 9. februarii. *Georgius Moscholeon profitetur fidem orthodoxam* .......... 114
— februario. *Synodus diiudicat causam matrimonialem* .......... 116
— — *Synodus confirmat excommunicationem Poemenis, metropolitae Russiae, et electionem Cypriani in metropolitam totius Russiae, statuens ecclesias Russiae iterum esse uniendas* .......... 116
— — *Synodus concedit metropolitae Hadrianupoleos a Turcis occupatae, ut sedem habeat Agathopoli* .......... 129
— 17. martii. *Suspensio presbyteri Georgii ab Eremiis* .......... 115
— aprili. *Professio fidei Nicolai Amaranti* .......... 99
— — *Synodus, consentiente imperatore, tollit privilegia, quae ecclesia Chalcedonis habebat in urbe Constantinopoli* .......... 131
— — *Promissio Georgii hieromonachi, nominati exarchi patriarchae in Occidente* .......... 133
— maio. *Promissiones hieromonachi Danielis et presbyteri Georgii* .......... 134
— — *Promissiones trium sacerdotum* .......... 140
— iulio. *Synodus statuit, ne episcopo Methones sollicitudinem afferat metropolita Antiquarum Patrarum* .......... 135

pag.
1389, iulio. *Archiepiscopo Susdaleae traduntur duo castella* ................ 137
— — *Sacerdos Manuel excommunicatur* .......................... 138
— — *Episcopo Methones conceditur, ut consacret clericos ecclesiae Cretensis* 139
— augusto. *De electione episcopi Leucadis* ................................ 139
— — *Monachi monasterii Caracallae promittunt, se restituturos esse agrum monasterio Batopedii* ................................ 140
— septembri. *Annotationes synodicae* ................................ 140

## X. Patriarcha Macarius secundo.

1390. 30. iulii. *Macarius redit ad patriarchatum* ........................ 142
— augusto. *Synodus decernit, patriarcham Macarium falso accusatum fuisse et eo revocato amovet Antonium* ........................ 142
— 31. augusti. *Synodus confirmat decisionem, statuentem, ecclesiam Sanctae Euphemiae non esse metropolitae Chalcedonis* .............. 147
— augusto. *Synodus metropolitae Chersonis restituit ecclesias eius olim ereptas per actiones synodales* ........ .. .................. 148
1391, februario-aprili. *Promissiones trium sacerdotum* ........................ 151
— iunio. *Monachus Theophylactus donat bona, quae possidet Sozopoli, monasterio patriarchali Sancti Cyrici* ........................ 152
S. a. *Metropolitae Mesembriae confertur administratio monasteriorum patriarchalium in eius ecclesia* ........................ 152
1391, iunio. *Promissiones duorum clericorum* ........................ 153
S. a. *Patriarcha Theodoro Panareto, oeconomo ecclesiae Trapezuntis, confert administrationem iurium patriarchalium in eius ecclesia et in aliis ecclesiis Orientis* ........................ 154
1391, iulio. *Promissio Nicolai Bulgari* ............  ............... 155

## XI. Patriarcha Antonius IV. post reditum.

1391, augusto. *Patriarcha iubet, monasterium S. Michaëlis in Marmarosch esse patriarchale* ........................ 156
— — *Litterae patriarchales spectantes ad ecclesiam Russiae* .......... 157
1392. februario. *Suspensio presbyteri Michaëlis* ........................ 159
— aprili. *Professio fidei Hilarii de Auria* ........................ 159
— maio. *Promissio presbyteri Simeonis Bariotae* ........................ 158
— — *Sacerdos quidam curator constituitur nepotis sui* ........................ 159
— iunio. *Professio fidei Ioannis Spetziaris* ........................ 160
— — *Synodus excommunicat falsarium, sacerdotem Andronicum Basilicum* 160
— septembri. *Synodus hieromonachum Ioasaph nominat metropolitam Bidynae* 161
1393, ........ *Promissio sacerdotis Ioannis Sebasti* ........................ 172
— martio. *Dorotheus, Athenarum metropolita, a Latinis ex ecclesia sua pulsus et accusatus, a synodo absolvitur* ........................ 165
— iunio. *Hieromonachi Iacobus et Constantius accusant Niphonem Mandylam* 170
— iulio. *Condemnatio iconomachi cuiusdam* ........................ 171
— — *Archiepiscopus Bethlehem, in Russiam profecturus, in hac ecclesia iura episcopalia exerceat* ........................ 171
— septembri. *Synodus excommunicat sacerdotum Ioannem Adeniatam coniurationis accusatum* ........................ 172

pag.

1393, septembri.. *Synodus iubet accusationes institutas in Niphonem, episcopum Methones, examinari a metropolitis Peloponnesi* ............ 174
— — *Patriarcha monet episcopum, clericum et popolum Novogradii, ut se subiiciant metropolitae Kioviae* ........................ 181
S. a. *Adhortatio patriarchae ad Basilium, regem Moschobii* ................ 188
1393, octobri. *Patriarcha Constantino Rhematae veniam dat tertium matrimonium contrahendi* .................................... 176
— — *Patriarcha praecipit metropolitae Kioviae, ut episcopum Lutzici excommunicatum habeat, aliumque in eius locum consecret* ...... 180
— 29. octobris. *Institutio data archiepiscopo Bethlehem, Michaëli, et Alexio Aaron, legatis mittendis in Russiam* .................... 194
S. a. *Metropolitae Staurupoleos per adiunctionem confertur metropolis Rhodi et Cycladum insularum* ............................ 197
1394, ianuario. *Linardus Ioannes Latinus fidem orthodoxam profitetur* ........ 200
— — *Patriarcha metropolitam Chalcedonis iubet restituere monasterio Acapnii fundum quemdam* ............................ 200
— — *Patriarcha scribit metropolitae Thessalonicae de controversia orta inter metropolitam Chalcedonis et monasterium Acapnii* ...... 202
— — *Promissio Demetrii et Andronici Chatzici* ........................ 203
S. a. *Patriarcha hieromonacho Athanasio confert administrationem archiepiscopatus Cii* ...................................... 203
1394, ianuario. *Patriarcha iubet metropolitam Seleuciae excedere ex ecclesia Attaliae, cum haec sit metropolitae Myrorum* .............. 205
— februario. *Hieromonacho Theognosto confertur metropolis Corinthi, addita per adiunctionem metropoli Christianupoleos* .............. 206
— martio. *Patriarchae epistolae datae ad metropolitam Prusae* ......... 177
S. a. *Patriarcha confirmat excommunicationem episcopi et populi Novogradii, a metropolita Kioviae pronunciatam* ...................... 177
1394, martio. *Promissio Ducae Caucadeni* ................................ 204
— — *Patriarcha permittit metropolitae Myrorum, ut ordinet sacerdotes in metropoli Cretensi* .................................. 205
— maio. *Donatio facta protonotario Christupoleos* ...................... 204
— maio-novembri. *Annotationes synodicae* .............................. 209
— maio. *Patriarcha ad metropolitam Monembasiae et ad episcopum Methones scribit de matrimonio Ioannis Cutrulis* .............. 210
— — *Patriarcha ad metropolitam Methymnae scribit de matrimonio Demetrii Asomatiani* .................................... 212
— 12. iunio. *Imperator Manuel Palaeologus et patriarcha iubent in actis notari diem, mensem et annum* ........................ 214
— — *Synodus in actis annum, mensem et diem notari iubet* .......... 215
— iunio. *De fundis monasterii Pantocratoris in monte Atho* ............ 216
— 26. iunii. *Georgius Aplemmele constituitur exarchus* ................ 221
— iulio. *Synodus dirimit controversiam hereditariam* ................... 221
— augusto. *Patriarcha concedit metropolitae Mauroblachiae, ut iura episcopalia exerceat in Trinovo* .............................. 223
— septembri. *Patriarcha metropolitae Corinthi confert iura patriarchalia in tota Peloponneso, adiunctis metropoli Corcyrae et episcopatu Leucadis* .......................................... 213

pag.

1394, octobri. *Promissio sacerdotis cuiusdam* ... 213
— — *Hieromonacho Athanasio conferuntur iura patriarchalia in Monte Sancto et in metropoli Serrarum* ... 223
— novembri. *Promissio Gregorii hieromonachi* ... 224
— 8. decembris. *Episcopus Methones accusatus iudices eligere iubetur* ... 231
1395, ianuario. *Patriarchae literae de monasterio S. Cyrici* ... 234
— februario. *Metropolitae Aeni per adiunctionem confertur metropolis Philipporum* ... 234
S a. *Litterae metropolitae Thessalonicensis datae ad patriarcham de mola quadam Acapnii* ... 235
1395, aprili. *Episcopo Eleutherupoleos confertur metropolis Christupoleos* ... 235
— martio. *Decisio de Sinata quodam adultero* ... 224
S. a. *Confessio monachi Pauli Tagaris* ... 224
— — *Patriarchae litterae ad Merxum de eius matrimonio* ... 230
1395, maio. *Hierodiaconus Ioannes absolvitur* ... 236
— — *Patriarcha metropolitam Nicaeae monet, ne monachis Romaniotissae molestiam exhibeat* ... 237
— — *Patriarcha literis datis ad metropolitam Thessalonicensem diiudicat causam Hypomonae monachae cuiusdam* ... 238
— — *Patriarcha dirimit controversiam ortam inter monachos Cosinitzae et Batopedii de mola quadam aquaria* ... 240
— — *Annotationes synodicae* ... 241
— — *Patriarcha protopapae Petro confert administrationem metropolis Russoblachiae* ... 241
— — *Hieromonachus Cyrillus constituitur exarchus Trapezuntis* ... 246
— — *Patriarchae litterae datae ad monasterium Batopedii de mola quadam aquaria* ... 246
S. a. *Professio fidei Michaëlis, patriachae Magnae Antiochae et totius Orientis* 248
1395, augusto. *Hieromonachus Matthaeus constituitur exarchus* ... 249
— 23. augusti. *Metropolita Antiquarum Patrarum in ius vocatur* ... 249
— augusto. *Patriarcha metropolitam Athenarum in ius vocat* ... 256
— septembri. *Patriarcha metropolitam Mitylenes in Blachiam mittit* ... 256
— 15. septembris. *Matthaeo Palaeologo ad argumenta quaerenda dies prorogatur* ... 257
— septembri. *Promissio hieromonachi Matthaei, exarchi Chazariae* ... 258
— — *Patriarchae litterae datae ad clerum insulae Euboeae* ... 258
— octobri. *Pia fundatio facta in monasterio Petrae a Manuele Palaeologo et ab Helena Palaeologina pro anima Constantini, Serbiae domini, patris Helenae* ... 260
— — *Patriarcha profitetur, monasterium SS. Patrum in Lesbo non esse patriarchale* ... 264
1396-1397. *Synodus episcopatus Manae et Zemeni restitui iubet metropoli Corinthi* ... 287
1396, ..... *Patriarcha episcopum Zetunii iubet expelli, in ius vocans metropolitam Larissae, qui eum consecraverat* ... 270
— ianuario-februario. *Professio fidei Alexii Palaeologi et Antonii Lombardi* 266
S. a. *Professio fidei Constantini Asani, abiurantis dogmata Barlaam et Acindyni* 267
1396, aprili. *Patriarchae litterae datae ad Lemnios de dote coniugis Chrysolorae* 267
— iulio. *Logizus Ioannes fidem orthodoxam profitetur* ... 192

pag.

S. a. *Patriarcha docet archiepiscopum Susdaliae, legatos examinaturos esse controversias ortas de Novogradio et Borodetzio* .............. 192

1396, septembri. *Iosephus, metropolita Zecchiae et Matrachorum, promittit, se obtemperaturum esse iudicio synodi* ........................ 269

— octobri. *Inventarium thesauri magnae ecclesiae* .................... 566

— novembri. *Metropolita Gotthiae et Chersonis in synodum vocatur* ....... 270

— decembri. *De imperatoris iuribus in synodo* ........................ 271

1397, ianuario. *Presbyter Georgius constituitur archiepiscopus ecclesiae Imbri, evectae in archiepiscopatum* .............................. 272

— — *Acacius, hieromonachus, archimandrita et protosyncellus constituitur metropolita Monembasiae et exarchus totius Peloponnesi* ...... 273

S. a. *Patriarchae literae datae ad patriarcham Hierosolymorum* ............ 273

1397, ianuario. *Hieromonachus Niphon, abbas monasterii Pammacaristi, nominatur metropolita Antiquarum Patrarum et exarchus totius Achaiae* ............................................ 275

— — *Patriarcha Michaëlem, archiepiscopum Bethlehem, iterum mittit in Russiam* .............................................. 278

— — *Patriarcha regi Poloniae promittit ecclesiarum unionem, monens eum, ut cum Hungariae rege foedere iunctus infidelibus bellum inferat, et commendans ei legatum suum, archiepiscopum Bethlehem* ... 280

— — *Patriarchae litterae datae ad metropolitam Kioviae de bello cum infidelibus gerendo, de unione ecclesiarum etc.* .... .......... 282

S. a. *Synodus ecclesias Sidae et Attaliae in unam iungit ecclesiam* .......... 285

1397, 20. martii. *Patriarcha hieromonachum Nathanaël monet, ne aperte ambiat metropolim Thessalonicensem* ......................... 275

— martio. *Hieromonacho Theophylacto conferuntur metropoles Attaliae et Sidae* ............................................... 276

## XII. Patriarcha Callistus II. Xanthopulus.

1397, 17 maii. *Callistus II. eligitur patriarcha* ......................... 292

— maio. *Professio fidei patriarchae Callisti II.* ......................... 293

— iulio. *Papa Ioasaph abiurat errores Barlaam et Acindyni* ............ 295

— octobri. *Patriarcha sententiam dicit in lite de hereditate* ............. 347

— novembri. *Patriarcha sententiam dicit in lite de hereditate* ............ 348

## XIII. Patriarcha Matthaeus I.

1398, decembri. *Manuel Heraclinus Latinus orthodoxam fidem profitetur* ...... 296

1399, augusto. *Patriarcha in codice consignari iubet sponsalia et matrimonia*. 297

— octobri. *Patriarcha dirimit controversiam de venditione fundi* ......... 304

— novembri. *Nicolaus Macroducas fit patronus ecclesiae SS. Theodororum*. 322

— decembri. *Patriarcha dirimit controversiam* ......................... 299

— — *Annae Phudulae restituuntur res quaedam* ........................ 300

S. a. *De hieromonacho quodam Theodosio* .............................. 301

— *Patriarcha dirimit controversiam* .................................... 301

1399, decembri. *Patriarcha dirimit controversiam* ....................... 324

— — *Hodegetrianus constituitur ephorus ecclesiae S. Michaëlis* ......... 467

1400 . . *Hieromonachus Macarius constituitur metropolita Laodiceae et exarchus totius Phrygiae Capatianae* ............................. 312

pag.

1400 . . *Hieromonachus Theognostus constituitur metropolita Cyzici et totius Hellesponti* 312

— — *Hieromonachus Theophanes constituitur metropolita Heracleae et exarchus totius Thraciae et Macedoniae* 312

S. a. *Patriarcha dirimit controversiam* 313

— — *Exhortatio patriarchae ad Ducam Diasorenum homicidio devinctum* 314

1400 . . *Patriarcha confirmat monachae Theognosiae constitutionem de ipsius adelphatis* 353

— — *Patriarcha sententiam dicit de venditione fundi* 361

— — *Patriarcha litem diiudicat* 380

— ianuario. *Eugenici ius in monachae Sicilae adelphata* 325

— — *Patriarcha litem diiudicat* 329

— — *Patriarchae iudicium in lite quadam* 333

— — *Patriarcha metropolitam Thessalonicensem monet, ut cum hieromonacho Nathanaële in gratiam redeat* 334

S. a. *Nicoletus Gateliuzus, dominus Aeni, monetur, ut patriarchae scribat de electione metropolitae Aeni* 338

— *Patriarcha dirimit controversiam* 341

— *Patriarcha litem diiudicat* 342

1400, februario-aprili. *Sponsalia et matrimonia* 303

— februario. *Professio fidei et promissio Ioannis Constantzi* 343

— — *Patriarcha sententiam dicit in lite de dote* 344

— — *Patriarchae literae de archiepiscopo Anchiali* 345

— — *Promissio monachi Ioachim* 352

— — *Patriarcha diiudicat litem monasterii Myrelaei* 354

S. a. *De venditione aedium infantis* 355

1400, martio. *Maria Serba fidem profitetur* 344

— — *Patriarcha dirimit controversiam* 358

S. a. *Patriarcha a metropolita Kioviae auxilium petit* 359

1400, 17. martii. *Patriarcha litem diiudicat* 367

— martio. *Patriarcha dirimit controversiam* 358

S. a. *Patriarcha minuit tributum pendendum a monacho Methodio ecclesiae S. Euphemiae* 370

— *Patriarcha metropolitam Amastridis monet, ut cum hieromonacho Callisto in gratiam redeat* 370

1400, martio. *Patriarcha litem diiudicat* 372

S. a. *Patriarcha controversiam dirimit* 374

— *Patriarcha sententiam dicit in lite quadam* 374

1400, aprili. *Patriarcha litem diiudicat* 375

— — *Patriarcha dirimit controversiam* 377

— — *Confirmatio fundi monasterii Acatalyti* 379

— — *Patriarcha sententiam dicit in lite quadam* 382

— maio. *De facultatibus infantis* 385

— — *Venditio aedium infantis* 386

S. a. *Venditio domus* 388

1400. maio. *Ioanni Callicrinitae traditur monasterium Bassi* 388

— — *Theophylacto, metropolitae Pergae et Attaliae, per adiunctionem confertur metropolis Sugdaeae et Phullorum* 389

pag.
1400, maio. *Pecunia infanti legata matri eius traditur* .................... 390
— iunio. *De dominio monasterii S. Ioannis Baptistae* .................... 391
— — *Sententia de dote* .................... 393
— — *Pia fundatio confirmatur* .................... 394
— — *De dominio fundi ecclesiae* .................... 395
— — *De vinea hypothecae data* .................... 399
— 15. iunii. *De dote oppignoranda* .................... 400
— iunio. *Synodus dirimit litem de matrimonio* .................... 401
S. a. *Synodus sententiam dicit de patronatu ecclesiae cuiusdam* .................... 404
— — *Sententia de facultatibus infantis* .................... 406
— — *Synodus dirimit controversiam* .................... 407
1400, iulio. *Confirmatio piae fundationis monasterio Euuraniotissae factae* .... 410
— — *Synodus dirimit controversiam* .................... 412
— — *Georgius Canales et uxor eius patroni monasterii Euuraniotissae constituuntur* .................... 414
S. a. *Synodi sententia de dote* .................... 416
— *Synodus dirimit controversiam* .................... 417
1400, iulio. *Patriarcha confirmat pactum emphyteuseos* .................... 525
— augusto. *Synodus sententiam dicit in lite de pignore* .................... 419
— — *Synodus controversiam dirimit* .................... 420
— — *Fideiussio Georgii Buteliarae* .................... 421
— — *Promissio Georgii Tenedaei* .................... 421
— — *Synodus sententiam dicit in lite de dote* .................... 422
— — *Promissio sacerdotis Ioannis Phudulae* .................... 423
— — *Synodus dirimit controversiam* .................... 424
— septembri. *Promissio sacerdotis Philippi Ducis* .................... 426
— — *Patriarcha confirmat pactionem monasterii Pantocratoris* .................... 429
— — *Patriarcha homicidam absolvit* .................... 533
— octobri. *Sententia synodi in lite de adelphato* .................... 430
— — *Promissio hieromonachi Moysis* .................... 431
— 17. octobris. *Sacerdos Manuel Beniamin condemnatur* .................... 433
S. a. *Patriarcha dirimit controversiam* .................... 433
1400, octobri. *Sententia metropolitae Thessalonicensis aboletur* .................... 434
— — *Synodus sententiam dicit in lite* .................... 437
— 28. octobris. *De dominio domus* .................... 438
— — *Synodus dirimit controversiam* .................... 438
S. a. *Sententia de venditione domus* .................... 441
1400, octobri. *Monasterium Philanthropeni emit domum* .................... 443
— — *Controversia de fundo dirimitur* .................... 497
— novembri. *Sententia in lite quadam* .................... 445
— — *Controversia dirimitur* .................... 436
— — *De venditione domuum infantis* .................... 447
— — *Controversia dirimitur* .................... 448
— decembri. *Promissio diaconi Manuelis Chalceopuli, promoti ad officium archontis magnae ecclesiae* .................... 321
— — *Professio fidei Nicolai Contari* .................... 449
— — *Theophanes, metropolita Heracleae, constituitur exarchus Thraciae et Macedoniae* .................... 449

pag.
S. a. *Controversia dirimitur* . . . . . . 452
1400, decembri. *Patriarcha sententiam dicit in lite* . . . . . . 527
1400—1401 . . *Synodus sententiam dicit in lite* . . . . . . 427
— — *Georgius Contophe constituitur metropolita Gangrorum* . . . . . . 491
— — *Synodi sententia de venditione domus* . . . . . . 492
— — *Sententia in lite monasterii S. Marci Pausolypi* . . . . . . 499
1401, ianuario. *Professio fidei Bartholomaei cuiusdam* . . . . . . 451
— 6. ianuarii. *Sententia de debito* . . . . . . 454
— ianuario. *De fundo ecclesiae B. V. Immaculatae in urbe Cpoli* . . . . . . 455
— — *Sententia de monacha in saeculum reversa* . . . . . . 458
— — *Sententia de venditione domus* . . . . . . 461
— februario. *Sententia de debito* . . . . . . 455
— — *Promissio Georgii Tebratze de serva fugitiva* . . . . . . 462
— 23. martii. *Promissio Gabrielis monachi* . . . . . . 463
S. a. *Exhortatio ad Constantinopolitanos* . . . . . . 463
— *Monasterium S. Pantaleonis traditur monachae Eleodorae* . . . . . . 468
— *Patriarcha metropolitam Staurupoleos rogat, ut ecclesiam Cpleos adiuvet, eumque vituperat, quod Moysem quemdam ordinaverat* . . . . . . 469
— *Controversia dirimitur* . . . . . . 472
— *Lis diiudicatur* . . . . . . 473
— *Controversia dirimitur* . . . . . . 474
— *Lis diiudicatur* . . . . . . 476
— *Exhortatio ad clerum insulae Cretae* . . . . . . 477
— *Lis diiudicatur* . . . . . . 481
— *Patriarcha metropolitam Trapezuntis damnat simoniae* . . . . . . 483
— aprili. *Promissio Georgii Lopadiotae* . . . . . . 484
S. a. *Controversia dirimitur* . . . . . . 485
— *Sententia in lite quadam* . . . . . . 486
— *Sententia de venditione domus* . . . . . . 487
1401, maio. *Promissio Manuelis Sophi* . . . . . . 488
— — *Professio fidei Tziani Gratzia* . . . . . . 488
— — *Sententia de sacerdote Gabra* . . . . . . 488
— — *Professio fidei Mariae, uxoris Tzane Catzamuci* . . . . . . 490
— — *Metropolita Ungrovlachiae iubetur Isidorum habere sacerdotem* . . . . . . 494
— — *Controversia dirimitur* . . . . . . 501
— iunio. *Sententia in lite de dote* . . . . . . 502
— — *De sumptibus a monacho Macario impensis in ecclesiam Caesareae Cappadociae* . . . . . . 505
— — *Sententia in lite* . . . . . . 506
— — *Sententia in lite de hereditate* . . . . . . 509
— — *Sententia in lite* . . . . . . 511
— iulio. *Monachi monasterii Cosmidii promittunt, se sine consensu patriarchae res monasterii non esse vendituros* . . . . . . 512
— — *Sententia in lite de imagine B. V. Mariae* . . . . . . 513
— — *Patriarcha iterum vituperat metropolitam Thessalonicensem de iudicio, quod in hieromonachum Nathanaëlem et monachos Maximi tulerat* 515
— *Patriarcha metropolitam Thessalonicensensem monet, ut monachis Acapnii reddat facultates eorum* . . . . . . 518

1401, iulio. *Patriarchae litterae datae ad metropolitam Thessalonicensem de facultatibus monasterii Pantocratoris* ..................... 520
— — *Ignatius constituitur exarchus Thessalonicae, Thessaliae, Berrhoeae, Larissae et Secundae Thessaliae* .......................... 524
— — *Patriarchae literae datae ad metropolitam Thessalonicae, quibus iubetur reddere vivarium Prodromenis et habere sacerdotes Nathanaëlem aliosque* .................. .. ....... ......... 525
— — *Promissio Constantini presbyteri* ........................... 527
— 26. iulii. *Patriarchae litterae de episcopo Iosepho in Moldoblachia* ..... 528
— augusto. *Promissio Ioannis Pepagomeni* ........................... 533
— 20. octobris. *Patriarcha irritum facit pactum, quo monachi Periblepti vendiderant hortum* ........................... 535
— octobri. *Controversia dirimitur* ........................... 546
- 1. novembris. *Promissio Georgii Bastagarii* ........................... 540
S. a. *Synodus hieromonachum Macarium constituit metropolitam Chersonis* ..... 541
— *Patriarchae litterae datae ad Manuelem Comnenum, imperatorem Trapezuntis, de hieromonacho Simeone et de metropolita Alaniae* ... 541
1401, novembri. *Lis diiudicatur* ........................... 543
— — *Sententia in lite* ........................... 550
— — *Sententia de fundo ecclesiae vendito* ........................... 551
— — *Synodi sententia de venditione fundi* ........................... 557
1401, decembri. *Sententia in lite* ........................... 559
— — *Lis diiudicatur* ........................... 560
— — *Episcopus Melaniorum fit metropolita Hadrianupoleos* ............ 561
— — *Monachi Manganiotae promittunt, se bis in mense sacra celebraturos esse in ecclesia S. Stephani* ........................... 562
— 9. decembris. *Lis diiudicatur* ........................... .. 563
— decembri. *Lis diiudicatur* ........................... 564
— 2. decembris. *Litterae pecuniae acceptae* ........................... 565
1402, ianuario. *Promissio presbyteri Ioannis Philareti* ................... 570
S. a. *Synodus metropolitam Tornobi monet, ut debitum solvat* .............. 570
— *Clerici quidam metropoleos Mediae in ius vocantur* ................... 571
— *Patriarchae litterae datae ad clericos exarchiae Muntaneorum* ......... 572
1521, 6. ianuarii. *Testimonium in causa matrimoniali* ................... 574

# INDEX HISTORICUS.

## Fontes.

**Arav.** Ἀραβαντηνός, Π., Χρονογραφία τῆς Ἠπείρου. Ἐν Ἀθήναις. 1856. 2 voll.

**Bolg. gramm.** Bolgarskaja Gramota XIII-go vêka. S. Peterburg. 1853.

**Duc. Const. Christ.** Du Cange, Constantinopolis christiana etc. Lutetiae Parisiorum. 1680.

**Duc. Fam. Byz.** Du Cange, Familiae ac stemmata imperatorum Cpolitanorum etc. Lutetiae Parisiorum. 1680.

**Hase, Lebeau.** Ch. Lebeau, Histoire du Bas-Empire. Nouvelle éd. Paris. 1825.

**Karamz.** N. Karamzin, Istorija gosudarstva rossijskago. Izd. II. S. Peterburg. 1818.

**Leo Sap.** Ἡ γεγονυῖα διατύπωσις παρὰ τοῦ βασιλέως Λέοντος τοῦ Σοφοῦ, ὅπως ἔχουσι τάξεως οἱ θρόνοι τῶν ἐκκλησιῶν τῶν ὑποκειμένων τῷ πατριάρχῃ Κωνσταντινουπόλεως v. Taf. Const. 44—51.

**Le Quien.** M. Le Quien, Oriens Christianus. Parisiis. 1740.

**Makarij, Istor.** Makarij, Istorija christianstva v Rossii do ravnoapostoljnago knjazja Vladimira. S. Peterburg. 1846.

**Mon. Serb.** Monumenta Serbica spectantia historiam Serbiae Bosnae Ragusii. Edidit Fr. Miklosich. Viennae 1858.

**Solov.** S. Solovjev, Istorija Rossii Tom tretij. Izd. II. Moskva. 1857.

**Synod. Bor.** Synodicon Borili anni 1210 e codice saec. XIV., cuius fragmenta quaedam edidit S. N. Palauzov in Bolgarskaja Gramota XIII-go vêka. S. Peterburg. 1853.

**Taf. Const.** Th. L. F. Tafel, Constantinus Porphyrogenitus de provinciis regni byzantini liber II. Europa. Tubingae. 1846.

**Taf. Norm.** Th. L. F. Tafel, Komnenen und Normanen. Ulm. 1852.

**Taf. Symb.** Th. L. F. Tafel, Symbolarum criticarum, geographiam byzantinam spectantium, partes duae. Abhandl. der III. Cl. der k. (bayr.) Akademie der Wiss. V. Band II. Abth. (b) III. Abth. (a)

**Taf. Thess.** Th. L. F. Tafel, De Thessalonica eiusque agro. Berolini. 1839.

**Taf. Via Egn.** Th. L. F. Tafel, De via militari Romanorum Egnatia. Tubingae. 1841. 1842.

---

Numerus romanus tomum, arabicus diploma indicat.

'Ααρών, ή κατά τήν θεοδόξαστον Κωνσταντινούπολιν ένορία ή τοῦ 'Ααρών I. 138.
'Ααρών v. 'Αλέξιος 'Ααρών.
'Αββακούμ a metropolita Russiae Cpolim missus I. 139. 265. 321.
'Αγαθόπολις metrop. I. 3. 185. II. 348. 405. Taf. Symb. II. 98. — 'Ιγνάτιος. Μακάριος.
'Αγιοσορείτισσα monast. Mesembriae II, 351.
'Αγαρηνοί Agareni I. 175.
"Αγαυροι, οἱ, monast. τοῦ ὁσίου Εὐστρατίου in urbe Prusa I. 44.
"Αγιοι, οἱ Πέντε, monast. metrop. Methymnae I. 73.
"Αγιον "Ορος, τό, v. "Αθως.
"Αγκυρα metrop. I. 59. 212. II. 529. — Γρηγόριος. Σύνοδος II. 670.
'Αγκῶνας locus II. 572.
'Αγχίαλος archiep. I. 322. 335. 337. 345. 353. II. 548. μητροπολίτης Μεσημβρίας καὶ πρόεδρος 'Αγχιάλου I. 166. μητροπολίτης Μεσημβρίας καὶ 'Αγχιάλου I. 244. — 'Ιωσήφ II. 353.
'Αδριανούπολις II. 691. metrop. I. 57. 58. 60. 63. 65. 108. 166. 208. 212. 218. 220. 221. 225. 231. 236. II. 332. 338. 345. 348. 390. 393. 395. 397. 399. 403. 404. 405. 409. 411. 431. 434. 681. 690. Taf. Const. XXV. 'Ανδρ—'Ιγνάτιος, Πολύκαρπος, Ματθαῖος v. Αἱμίμοντον.
'Αθαναΐς locus I. 5.
'Αθανάσιος, ὁ μέγας, I. 96. 246. monast. II. 661.
'Αθανάσιος monast. τοῦ κῦρ 'Αθανασίου metrop. Methymnae II. 375.
'Αθῆναι metrop. I. 195. 202. 203. 205. 208. 212. 220. 221. 224. 228. 238. 302. 304. 307. 319. II. 435. 439. 493. 494. 498. — Δωρόθεος v. 'Ελλάς.
'Αθηνιώτισσα: ἐν τῇ ἐκκλησίᾳ Σωτηροπόλεως, ἤγουν τῆς θεοτόκου τῆς 'Αθηνιωτίσσης τῆς καὶ Λαζικῆς I. 221.
'Αθύρας episc. I. 232. 247. II. 361. 525.
"Αθως, τὸ "Αγιον "Ορος τοῦ "Αθω I. 4. 5. 109. 130. 133. 168. 301. 313. 326. II. 469. 473. 490. 506. ὁ Πρῶτος I. 109. 133. 168. II. 469 ὁ Πρῶτος τῶν ἐν τῷ 'Αγίῳ "Ορει μονῶν I. 301. 'Αρσένιος I. 168. 'Αγιορεῖται I. 301. cf. 'Ιερισσός.
Αἰγιαλός: ὁ Αἰγιαλὸς τῆς Βασιλικῆς II. 522.
Αἴγινα ecclesia I. 307. archiep. Leo Sap.
Αἴγυπτος II. 516. 634. v. 'Αλεξάνδρεια.
Αἰθιοπία v. 'Αλεξάνδρεια.
Αἱμίμοντον: μητροπολίτης 'Αδριανουπόλεως, ἔξαρχος Αἱμιμόντου II. 405. Haemimontium, provincia Thraciae. Act. SS. Oct. IX. 543. 689. 690. Le Quien 1. 1171.
Αἶνος metrop. I. 3. 60. 62. 63. 67. 90. 91. 93. 115. 116. 120. 142. 152. 168. 194. 203. 205. 208. 212. 228. 232. 235. 236. 247. 302. 304. II. 353. 415. 480. ἄρχων II. 540. Taf. Symb. II. 120.
Αἰτωλία: μητροπολίτης Ναυπάκτου, ἔξαρχος πάσης Αἰτωλίας I. 235.
'Ακάπνιον monast. metrop. Thessalonicae I. 89 II. 660. 'Ακαπνιῶται II. 453. 454. 481. 660.
'Ακαρνανία I. 235.
'Ακατάληπτος monast. I. 252.
'Ακατάλυτος monast. II. 567.
'Ακίνδυνος (Γρηγόριος), ὁ Βαρλααμίτης I. 109. 130. 131. 132. 175. 176. 182. 243. 246. 275. 292. 310 314. II. 400. 491. 502. 519. 520. 'Ακινδυνάτης I. 155.
'Ακρονησιώτης v. Μιχαὴλ ὁ 'Ακρονησιώτης.
'Ακροπολίτης: 'Ιησοῦς Χριστὸς ὁ 'Ακροπολίτης monast. I. 245. Mesembriae II. 351.
'Αλαμανοί Germani, Catholici I 320. 321. ἡ τῶν γειτονούντων (Russiae) 'Αλα-

μάνων δεινὴ ἐπίθεσις I. 158. Taf. Norm. 118.
'Αλανία metrop. I. 41. 42. II. 636. 673. unita cum Soteropoli 114. 220. 221. μητροπολίτης πάσης 'Αλανίας καὶ Σωτηριουπόλεως I. 109. — Λαυρέντιος, Σιμεών. De ἐνορία 'Αλανίας contendunt metrop. Chersonis et Gotthiae II. 367. 419. 'Αλανοί I. 114. Taf. Norm. 143. Makarij, Istor. 103.
"Αλγερδος, βασιλεὺς, ῥὴξ τῶν Λιτβῶν I. (1371) 320. 321. Οὔργελδος (1370) 268. 269. Olgerd (1377—1434)
'Αλεξάνδρεια I. 133. II. 510. 634. patriarch. I. 169. 175. 234. 277. II. 476. 510. 514. πατριάρχης 'Αλεξανδρείας, Αἰγύπτου, Λιβύης, Πενταπόλεως καὶ πάσης Αἰθιοπίας I. 11. 12. 61. ὁ τῆς 'Αλεξανδρέων μεγαλοπόλεως θρόνος I. 186. — Γρηγόριος
'Αλέξανδρος, ὁ μέγας βοϊβόδας πάσης Οὐγγροβλαχίας I. (1359) 171. Engel, Gesch. der Walachei und Moldau 152. ὁ μέγας βοεβόδας πάσης Μολδοβλαχίας II. (1401) 667 Engel, Ibid. 115.
'Αλέξινον, castrum (Russiae) τὸ οὕτω πως ὀνομαζόμενον I. 185. russ. Aleksin.
'Αλέξιος ("Αγγελος) imp. I. 101. chrysobulla imp. Alexii I. 47. 203. novellae eius I. 91
'Αλέξιος, 'Ααρὼν a patriarcha in Russiam missus II. 450.
"Αλουστα, de ἐνορία τῆς 'Αλούστας contendunt metrop. Chersonis et Gotthiae II. 367. 419.
'Αμάσεια metrop. I. 18. 38. 106. 261 276. 294. II. 332. 335. 337. 342. 344. 345. 353. 364. 365. 390. 393. 409. 411. — Μιχαήλ. v. Εὔξεινος Πόντος.
"Αμαστρις metrop. I. 10. 27. 35. 75. 77. 78. 106. 108. 133. 179. 193. 194. 208. 212. 220. 221. 228. II. 396. 561. — Καλλίνικος.
'Αμβριούλιος: περὶ ἐνοριακῶν δικαίων τῶν 'Αμβριουλίων contendunt metrop. Ephesi et Smyrnae II. 390.
'Αμβρόσιος I. 246.
'Αμὴρ 'Αμήρπεκιν I. 106. 'Αμηρᾶς II. 626.
'Αμινσός urbs II. 675. ('Αμισός.)
'Αμύλωντος, ἡ, templum II. 621.
'Αμύκλειον episc. metrop. Lacedaemoniae I. 40. 97. 242.
'Αμφιλόχιος I. 246.
'Ανάληψις locus II. 678.
'Ανάπλους, ἡ, locus I. 74.
'Αναπνοάς locus II. 375.
'Ανάργυροι, οἱ, i. e. SS. Cosmas et Damianus II. 423. 469. 522. II. 657. locus ins. Lemni I. 52.
'Αναστάσιος I. 246.
'Ανάστασις monast. I. 231.
'Ανατολή oriens II. 361. 404. 589. varia notione I. αἱ κατὰ τὸν τόπον τῆς 'Ανατολῆς ἁγιώταται μητροπόλεις, ἡ τῆς Σεβαστείας, ἡ τῶν Εὐχαΐτων, ἡ τοῦ 'Ικονίου, ἡ τοῦ Μωκησσοῦ καὶ ἡ ἀρχιεπισκοπὴ Ναζιανζός; μητροπολίτης Καισαρείας (Καππαδοκείας), ἔξαρχος πάσης 'Ανατολῆς I. 65. 212 285. πατριάρχης 'Αντιοχείας καὶ πάσης 'Ανατολῆς I. 2. 140. 152. 169. 175. 176. 178. 180. 207. 260. II. 404. 491. 514. 519. Nota δέσποινα 'Ανατολῆς II. 578.
'Ανδρέας ὁ Κρήτης I. 96.
'Ανδρέας monast. I. 292. II. 654. τῆς Γλίστρας metrop. Mitylenae I. 5. 58. 59. ὁ ἐν τῇ κρίσει II. 552.
'Ανδρόνικος, ὁ ἅγιος, locus ins. Lemni I. 52.
'Ανδρόνικος II. ὁ Παλαιολόγος imp. I. 48. 212. III. I. 130. II. 400. 'Ανδρόνικος ὁ Παλαιολόγος, βασιλεύς, filius Ioannis Palaeologi I. 185. 194. II. 344. 417. νεαρὰ τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου ἡμῶν βασιλέως, τοῦ Παλαιολόγου κῦρ 'Ανδρονίκου II. 519.
'Ανδρόνικος Παλαιολόγος ὁ 'Ασάνης, εἰς κεφαλὴν ἐν τῇ Πελοποννήσῳ τυγχάνων I. 30.
'Ανδρόνικος ὁ Παλαιολόγος, συμπένθερος τοῦ αὐτοκράτορος I. 77.
'Ανδρόνικος ὁ 'Ασάνης, αὐτάδελφος τοῦ αὐτοκράτορος I. 136.
"Αννα v. 'Ιωακεὶμ καὶ "Αννα.
"Αννα ἡ Παλαιολογῖνα: κυρία καὶ δέσποινα I. 109. δέσποινα κυρά I. 130. θεία τοῦ αὐτοκράτορος II. 595.

Ἄννα ἡ Ἀσανίνα ἡ Παλαιολογίνα, θεία τοῦ αὐτοκράτορος II. 557.
Ἀνναχόσιοι locus I. 24. cf. Ἐνναχόσιοι.
Ἀντώνιος, ὁ ἅγιος, locus ins. Lemni I. 52.
Ἀντιόχεια II. 476. patriarch. I. 186. 234. πατριάρχης θεουπόλεως μεγάλης Ἀντιοχείας I. 2. 140. 152. 169. 175. 176. 178. 180. 207 260. II. 404. 491. 514. 519. — Παχώμιος, Μιχαήλ, Σωτήριχος ὁ Παντευγενής II. 519. cf. Mai. Spicilegium X. 1. — Synodus I. 193. II. 446.
Ἀντιόχεια Μαιάνδρου episc. I. 59. 258. Taf. Const. 48. Symb. I. 105.
Ἀπάμεια metrop. I. 44. 207. 260. — Νίφων.
Ἄκρως metrop. I. 39. 40. 43. 44. 45. 48. 49. 50. 55. 57. 63. 67. 75, 99. 106. 133. 142. 151. Taf. Symb. II. 115. (Ἄκρος). — Ἰωσήφ, Γαβριήλ.
Ἀραβία v. Ἱεροσόλυμα.
Ἄρειος haereticus I. 109. 175. Ἀρειανοί II. 519.
Ἀρισταί monast. τῶν Ἀριστῶν metrop. Mitylenae I. 59.
Ἀρκαδιούπολις metrop. I. 39. 67. archiep. 60. cf. Leo Sap. Taf. Const. 45. Symb. I. 79. — Μαλαχίας.
Ἀρμενία: ῥὴξ Κιλικίας καὶ Ἰσαυρίας καὶ πάσης Ἀρμενίας (Leo V.) I. 72. Ἀρμένιοι I. 72. 162. καθολικὸς τῆς ἐκκλησίας τῶν Ἀρμενίων (Iacobus II.) I. 71.
Ἀρσένιος II. 634.
Ἄρτα urbs Acarnaniae I. 235.
Ἀρτούντιν, τό, locus in Marmarosch II. 426.
Ἀρχων, Μανουὴλ ὁ, v. Μανουὴλ ὁ Ἄρχων.
Ἀσάνης v. Ἀνδρόνικος, Ἰσαάκιος, Ἰωάννης, Κωνσταντῖνος.
Ἀσανίνα v. Εἰρήνη.
Ἀσθλάνης monast. in Capha II. 369.
Ἀσία: μητροπολίτης Ἐφέσου, ἔξαρχος πάσης Ἀσίας I. 73. 212. 238. II. 397. 435.
Ἀσπρόκαστρον episc. Russiae Minoris II. 667.
Ἀστραβίκιν locus II. 442.
Ἀσώματοι (angeli) templum urbis Thessalonicae I. 89. Taf. Norm. 147.
Ἀτραμύττειον episc. I. 5. Taf. Symb. I. 98.
Ἀττάλεια metrop. I. 31. 41. 42. 45. 178. II. 384. 388. 389. 402. 403. 404. 405. 406. 460. 513. 517. 518. 574. Taf. Symb. I. 102. — Θεόφιλος, Θεοφύλακτος. cf. Παμφυλία.
Ἀτταρία, ἡ, locus; τῶν Ἀτταρίων II. 476.
Ἀχαΐα: μητροπολίτης Παλαιῶν Πατρῶν, ἔξαρχος πάσης Ἀχαΐας I. 3. 30. 124. 143. II. 342. 493. 511.
Ἀχειροποίητον, προσκύνημα II. 399.
Ἀχελῷος episc. I. 280. 290. Taf. Thessal. 484.
Ἀχρειδαι: ἡ πρώτη Ἰουστινιάνη Ἀχρειδαι episc. I. 234. ὁ Ἀχριδῶν II. 477. Taf. I. 39. 84. archiep. Syn. Bor. cf. Βουλγαρία.
Ἀχυράους, τό, metrop. I. 39. urbs Pergamo et Lopadio vicina Taf. Symb. I. 97. ἡ Ἀχυράους Hase, Lebeau XIX. 320. olim Ἁδριανοθῆραι Leo Sap.
Ἀχωχία: Ἀλανία καὶ Καυκασία καὶ Ἀχωχία I. 221.
Βαζέμισκος v. Ἰωάννης.
Βαθὺς Ποταμός locus metrop. Myrorum II. 388. 389.
Βαραγγιώτισσα monast. Cpoleos I. 182.
Βάραγκος locus II. 375. ὁ ἀπὸ τῶν πιστοτάτων Βαράγκων II. 633. ὁ ἀπὸ τῶν Βαράγκων II. 638. cf. Taf. Norm. 216. et Const. XIV., qui tamen errat, Varangos cum Francis confundens.
Βαρλαάμ I. 63. 95. 96. 107. 131. 175. 176. 182. 243. 246. 275. 292. 310. 314. II. 491. 502. 519. 520. ὁ Καλαβρός I. 109. 130. 176. II. 400. ὁ λατινόφρων I. 176. ὁ ἐκ λατινικοῦ γένους ὁρμώμενος I. 176. Βαρλααμῖται I. 176.
Βάρνα metrop. I. 52. 63. 66. 90. 91. 97 98. 101. 106. 166. 244. 272. 292 330. II. 332. 335. 337. 338. 345. 402 403. 404. 405. 406. 409. 411. — Μάρκελλος, Ἀλέξιος, Γαβριήλ.
Βάρσοβα locus I. 223.
Βασίλειος I. 246. II. 669. ὁ μέγας I. 96. II. 469. 531. 659.
Βασίλειος monast. II. 354. 616. 664.

Βασίλειος, ῥὴξ πάσης Ῥωσίας II. (c. 1393) 444. 447. 449. — Vasilij Dimitrijevič (1389—1425).
Βασίλειος v. Ναγούμπνικος.
Βάσσος monast. II. 573.
Βατοπέδιον monast. Atho I. 4. 133. II. 469. 490. Βατοπεδινοί II. 414. 486.
Βελᾶ, ἡ, episc. τῆς τε Δρυνουπόλεως καὶ τῆς Βελᾶς I. 235. Βελλᾶ Arav. 2. 30.
Βενεῖται Veneti I. 184.
Βέρροια metrop. I. 36. 37. 39. 40. 60. 133. II. 479. 662. Taf. Thessal. 58. 292. 312. Const. XXVII.
Βέσαινα episc. metrop. Larissae I. 325. cf. Βεσήνη Leo Sap. Taf. Symb. I. 69. II. 127.
Βηθλεέμ archiep. II. 438. 444. 446. 449. 450. 514. 515 516. 556. 667. — Μιχαήλ.
Βηρυτός metrop. I. 207. — Παῦλος.
Βιδρίνη locus II. 630.
Βιδύνη metrop. Bulgariae I. 279. 296. II. 345. 434. — Κασιανός, Ἰωάσαφ Slav. Bъdynь Mon. Serb. 7. Bdinьskъ Bolg. Gram.
Βιζύη archiep. I. 3. 4. 5. 9. 10. 16. 17. 18. 22. 24. 25. 26. 27. 29. 30. 36. 39. 40. 60. 66. 67. 73. 120. 127. 161. 162. 172. 181. 183. 185. 203. 205. 206. 208. 212. 235. 236. 237. 238. 239. 255. 301. Taf. Symb. II. 99. — Νικόλαος metrop. I. 185.
Βιθυνία II. 399. μητροπολίτης Νικομηδείας, ἔξαρχος πάσης Βιθυνίας I. 26. 58. 59. 63. 64. 66. μητροπολίτης Χαλκηδόνος, ἔξαρχος πάσης Βιθυνίας I. 212. II. 453. μητροπολίτης Νικαίας, ἔξαρχος πάσης Βιθυνίας I. 276. 306. II. 484. 681.
Βιλίκωμις locus in Anatolê II. 361. cf. Βελικώμη Ioann. Cant. 3. 114. Βηλώκωμα Hase, Lebeau XIX. 514.
Βίσσινον locus ins. Lemni I. 52.
Βιτζάγκλαβα, ἡ, locus I. 312.
Βιτζίνη metrop. I. 84. 98. 106. 124. 171. 281. Βιτζόνη; ὁ Ἀλανίας, ὁ Βιτζίνης, ὁ Ζηκχίας I. 41. Le Quien 1. 1149. Makarij, Istor. 106.
Βλάγκας locus II. 558. 578.
Βλαντίμηρον episc. Russiae I. 151. 156. 158. 183. 319. 321. II. 337. 404 445. 516. Le Quien 1. 1309. Βλανδίμ—. Βολοδίμ—, μοιρον—. Ἀλέξιος, ῥὴξ Βολοδιμήρου I. 119. 2215. russ. Vladimir
Βλάσιος templum I. 223. monast. II. 351.
Βλαχέρναι monast. Cpoleos I. 167. II. 361. 522. 527. ἡ Παναγία ἡ Βλαχερνίτισσα II. 655.
Βλαχία II. 495; male pro Λαχία I. 318.
Βλέπος locus metrop. Bryseos, uti videtur I. 172.
Βογόμιλοι haeretici I. 34. 63. 64. 96. 107.
Βόλγο, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Βολάς locus II. 453. 660. Βολλάς.
Βολοδίμηρον v. Βλαντίμηρον.
Βολούνιος, ὁ, τόπος τῆς Μικρᾶς Ῥωσίας russ. Volynj: episcop. huius provinciae I. 120.
Βομπλιτζόν, ὕδωρ, II. 469.
Βόρεια Ποταμία episc. I. 257. — Ἁρμόδιος.
Βοριτζοῦς: monast. τῆς Βοριτζοῦς metrop. Serrarum I. 66.
Βοροδέτζιον castrum Russiae II. 449. 450. cf. Γοροδέτζιον.
Βόστρα metrop. I. 207. — Ἀρσένιος cf. Le Quien 2. 853.
Βουλγαρία: ἐπίσκοπος τῆς πρώτης Ἰουστινιάνης, Ἀρχειδῶν καὶ πάσης Βουλγαρίας I. 234. πατριάρχης Βουλγαρίας I. 186. βασιλεὺς τῶν Βουλγάρων I. 185. 186. 196. II. 345.
Βοῦρκος, τό, monast. metrop. Methymnae I. 73.
Βραχόφαγον locus II. 364.
Βροντόχιον monast. Peloponnesi I. 223.
Βρύσις archiep. I. 3. 4. 53. 54. 57. 60. 62. 67. 73. 142. 166. 172. 179. 180. 183. 185. 191. 193. 194. 203. 205. 208. 212. 220. 223. 225. 228. 235. 236. 237. 238. 252. 255. 261. 276. 291. 301. 302. 304. 319. 329. 330. 331.
Βσέλουκ castrum Russiae I. 320 cf. Ὀσηέτζενο.

Γάγγραι metrop. I. 5. 22. 36. 37. 39. 40. 44. 45. 50. 643. 645. — Κωνσταντῖνος. Γερμανός — Γάγγρα sg.
Γαλατᾶς, ὁ, e regione Cpoleos situs I. 126. II. 346. 440. 600. 614. 675.
Γαλατία: μητροπολίτης Ἀγκύρας, ἔξαρχος πάσης Γαλατίας I. 212.
Γαληνός medicus I. 292.
Γαλιάγρα castellum metrop. Barnae I. 52. Γαλιάκρα II. 272.
Γαλιλαία v. Ἱεροσόλυμα.
Γάλιτζα episc. I. 73. 75. 117. 118. 120. ἀρχιερεύς I. 119. metrop. I. 118. 121. 318. 319. 321. II. 427. 445. 514. 515. 516. μητροπολίτης Γαλίτζης, ἔνδοσιν λαβὼν συνοδικῶς χειροτονεῖν ἐπισκόπους εἰς τὰς τῆς Μικρᾶς Ῥωσίας ἐπισκοπάς II. 667. metropolitae I. 318. I. Νίφων II. Πέτρος (S. Petrus, kijoviensis metropolita.) III. Γαβριήλ IV. Θεόδωρος; Ἀντώνιος I. 318 319. 321. Taf. Const. 55. cf. A. Petruševič in Galickij istor. sbornik. Vypusk III. Lvov. 1860 11—59. et I — CLXXIX.
Γάνος archiep. I. 57. 58. 60. 63. 99. 101. 106. 116. 176. 183. 231. 235. II. 390. 393. 395. 397. 409. 478. metrop. I 310. Taf. Symb. II. 81. Γάννος.
Γαρδίκιον episc. metrop. Larissae I. 325. Arav. 2. 39.
Γάρελλα archiep. I. 3. 4. 5. 6. 9. 16. 17. 18. 27. 59. 60. 67. 73. 115. 116. 120. 151. 162. 185. Taf. Symb. II. 116. — Παῦλος, Κωνσταντῖνος, Μανουήλ, Ἰωαννίκιος
Γαστέλεγκος, ἡ, monast. metrop. Serrarum I. 96
Γατελιούζως v. Νικολέτως.
Γεννουῖται I. 126. 184. II. 624 675. Γενουῖται.
Γεράνια, τά, locus metrop. Barnae I. 52. Γεράνιοι I. 272.
Γέριον locus Galatae II. 600
Γερμανίπολις ecclesia I. 178 recte Γερμανικούπολις episc. Leo Sap. Le Quien 2. 1027.
Γερόντιος templum II. 526.
Γέρρα, ἐνορία metrop. Mitylenae I. 59.
Γεώργιος, ἐπονομαζόμενος ὁ Φωστήρ I. 170.
Γεώργιος locus ins. Lemni I. 52. monast. 1) Mitylenae I. 58. 59. Ὁσιογεωργῖται I. 59. 2) Κρόον Νερόν metrop. Methymnae I. 73. 3) Manganorum I. 201. II. 629. 4) ins. Lesbi II. 500. templum I. 26. 329. II. 469. 609. προσκύνημα II. 399. 458.
Γιαλίτα locus, de quo contendunt metrop. Chersonis et Gotthiae II. 367. 371.
Γλίστρα v. Ἀνδρέας.
Γοργοεπήκοον monast. Peloponnesi I. 97.
Γορήσενο, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Γοροδέτζιον castrum Russiae II. 410. v. Βοροδέτζιον.
Γοτθία metrop. I. 41. 120. 240. 317 II 355. 357. 360. 361. 367. 368. 370. 371. 402. 403. 404. 405. 406. 419. 451. 505. 528. 529. 534. 566. 569. 576. 590. 645. 660. 672. — Θεοδόσιος, Ἀντώνιος. Le Quien 1. 1239. Makarij, Istor. 67—80.
Γούδην, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Γουλιάμος, φρά, episc. Διαυλίας, a Papa Urbano VI. ad patriarcham missus II. 379.
Γρεβενόν castrum II. 493 cf. Γρεββενά Arav. 2. 41.
Γρηγόριοι I. 246 Γρηγορίων ὁ θεολογικώτατος I. 96. Γρηγόριος ὁ θεολόγος I. 96. 107. 109. 175. II. 490. θαυματουργός II. 453. eius reliquiae II. 686. ὁ Νύσσης I. 96. 203.
Γρηγόριος a patriarcha mittitur in Moldoblachiam II. 667.
Γρηγόριος: ἡ σύνοδος κατὰ τὸν μέγαν Γρηγόριον συναθροισθεῖσα II. 440. eccl. metrop. Mitylenae I. 58. 59.
Γρηγόριος v. Παλαμᾶς.
Δαμασκός metrop. I. 237.
Δανιήλ a Demetrio Russorum rege Cpolim missus I. 264.
Δαυὶδ ὁ Παλαιολόγος, θεῖος τοῦ αὐτοκράτορος II. 621.
Δαφνέα monast. metrop. Mitylenae I. 58.
Δέρκος archiep. I. 29. 55. 57. 58. 60.

67. 212. 228. 291. 319. II. 332. 335. 337. 338. 353. 361. 397. 399. 401. 402 403. 404. 405. 406. 444. 483. 660. — Λουκᾶς, Παῦλος, Ἰωσήφ. gen. -κοος, saepe -κω.
Δημητρία episc. metrop. Larissae I. 325. Δημητριάς Leo Sap. Arav. 2. 44. Taf. Symb. II. 69.
Δημήτριος, ὁ μυρόβλυτος καὶ θαυματόβρυτος I. 47.
Δημήτριος, ῥὴξ πάσης Ῥωσίας I. (1370) 264. 267. 268. II. (1380) 337. μέγας ῥήξ I. 268. 269. II. (1389) 404 filius Ioannis, regis Moschobii II. 404. — Dimitrij Ioannovič Donskij (1362 — 1389).
Δημήτριος Λούμπορτος v. Λούμπορτος.
Δημήτριος ὁ Ἀθηναῖος a Russis Cpolim missus II. 444. 447. 449.
Δημήτριος monast. Mauroblachiae II. 487. τῶν Παλαιολόγων II. 535. eccles. I. 311. II. 583.
Διαυλία episc. eccl. romanae II. 379. Δαυλία metrop. Athenarum Leo Sap Le Quien 3. 853.
Δίγδη locus metrop. Pyrgii I. 101.
Διδυμότειχος metrop. I. 3. 4. 5. 6. 9. 10. 17. 18. 55. 57. 60. 67. 90. 93 101. 108. 133. Taf. Symb. I. 82. — Θεόδουλος, Θεόληπτος Slav. Dimot Mon. Serb. 7.
Διονύσιος monachus russicus II. 450.
Διὸς Ἱερόν (Πυργίον) II. 397. Leo Sap. Le Quien 1 723. cf. Thuc. 8. 19.
Δοβροντηνοί locus II. 354.
Δόκεια locus metrop. Sebasteae I. 112.
Δοκιανός v. Ἰωάννης.
Δομενίκος, ἡ, episc. metrop. Larissae I. 325. Leo Sap. Δεμενίκον Arav. 2. 43.
Δοχήν monast. metrop. Serrarum I. 66.
Δραγότζη, τὸ φρέαρ τοῦ Δραγότζη, II. 269.
Δράμα archiep. I. 9. 37. 60. 101. 106. 304. II. 402. 404. 406. 409. 417. 418. 419. 480. — Ἰωάσαφ.
Δρυνούπολις Taf. Symb. I. 36. Δρυϊνούπολις Arav. 2. 47. v. Βελᾶ.
Δρύστρα, olim Δορόστολον, hodie Silistria I. 52. metrop. Leo Sap.
Δυρράχιον metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 29. 30. 34. 35. 36. 37. 39. 40. 41. 42. 43. 44 45. 50. 55. 57. 58. 63. 64. 65. 66. 75. 77. 78. 90. 97. 98. 99. 101. 106 Taf. Via Egn. I. 17. — Γρηγόριος.
Ἑβραιόκαστρον oppidum II. 469.
Ἔδεσσα metrop. I. 207. — Εὐθύμιος.
Ἔζερ episc. metrop. Larissae I. 325. Ἐζερόν Leo Sap. Le Quien 2. 125. ὁ Ἐζεροῦ Taf. Symb. I. 71.
Ἐζερά episc. τῶν Ἐζερῶν metrop. Lacedaemoniae I 97.
Εἰρήνη Ἀσανίνα ἡ Φιλανθρωπηνή I. 136.
Ἑλένη ἡ Παλαιολογίνα uxor Manuelis Palaeologi II. 498.
Ἐλέουσα monast. Mesembriae II. 351.
Ἐλευθερούπολις episc. II. 482.
Ἔλισσος locus Sugdaeae II. 355. Chersonis II. 419.
Ἑλλάς: μητροπολίτης Λαρίσσης, ἔξαρχος δευτέρας Θετταλίας καὶ πάσης Ἑλλάδος I. 325. μητροπολίτης Ἀθηνῶν, ἔξαρχος πάσης Ἑλλάδος II. 435. 494.
Ἕλληνες I. 96. 203.
Ἑλλήσποντος: μητροπολίτης Κυζίκου, ἔξαρχος πάσης Ἑλλησπόντου I. 57. 58. 59. 109. 116. 126. 133. 212. II. 399. 467. 529. 579. 677.
Ἔμεσα metrop. I. 207. — Σιμεών.
Ἔμμων castellum apud Mesembriam I. 166. apud Barnam I. 244.
Ἐνθουσιασταί haeretici I. 133.
Ἐννακόσιοι locus I. 63. Ἐνακόσιοι II. 369. cf. Ἀννακόσιοι.
Ἐξαζηνός monast. metrop. Thessalonicae II. 661.
Ἑξαμίλιον episc. I. 78. 99. 151. ὁ Ἑξαμιλῶν I. 181. Taf. Symb. II. 84.
Ἐπιφάνιος I. 246.
Ἐφημίαι locus II. 402. 559. 565.
Ἑρισσός v. Ἱερισσός.
Ἐσφιγμένον monast. Atho I. 4. II. 469.
Εὐγένιος, ἐνορία Cpoleos II. 627. 684. Duc. Const. Christ. I. 44. 46. 171.
Εὐδόκιμος, ἐνορία II. 580.
Εὐεργέτης monast. I. 277.

Εὐεργέτις monast. Lemni II. 533. Εὐεργέτις ἡ Σεβαστοκρατόρισσα II. 601.
Εὔξεινος Πόντος: μητροπολίτης Ἀμασείας, ἔξαρχος Εὐξείνου Πόντου I. 276. 294.
Εὐουρανιώτισσα monast. II. 586. 588.
Εὔριπος metrop. I. 224. II. 333. 498. Taf. Symb. I. 61.
Εὐστράτιος reliquiae II. 686.
Εὐστράτιος monast. I. 44.
Εὐφημία eccles. II. 399. 418. 516.
Εὐφροσύνη: Λαζαρίτζηνα Εὐφροσύνη II. 682. Videtur esse Euphrosine Lazari. Serborum Imp., coniux (cf. Monumenta serbica 215. 221. 246. 247. 248. 249. 250. 492. 493.), quae et Eugenia et Milica: tertio nomine a popularibus suis appellatur, secundum in baptismate, primum in monasterio nacta est.
Εὐχάϊτα, τά, metrop. I. 48. 49. 50. 55. 57. 63. 65. 67. cf. Ἀνατολή.
Εὐχῖται ἤγουν Ἐνθουσιασταί haeretici I. 133.
Ἔφεσος metrop. I. 73. 75. 77. 78. 87. 89. 101. 106. 166. 176. 202. 203. 204. 205. 208. 212. 218. 220. 221. 225. 228. 231. 235. 236. 237. 238. 252. 255. 301. 329. 330. 331. II. 374. 390. 393. 395. 397. 399. 435. 529. 660. 672. — Ματθαῖος, Μύρων. σύνοδος I. Ἀσία v. 97. 103.
Ζάκυνθος episc. II. 413. Leo Sap.
Ζάστριον locus II. 469.
Ζεμενᾶς episc. metrop. Peloponnesi II. 518. Ζημένη Leo Sap.
Ζηκχία metrop. I. 41. 108. 220. 221. II. 355. 357. 440. 444. 454. 461. 465. 468. 471. 483. 660. Ζηκχίας καὶ Ματράχων II. 504: raro Ζηχία. — Ἰωσήφ. Makarij, Istor. 95.
Ζῆλα, τά, episc. I. 18. cf. ὁ Ζήλων metrop. Amaseae apud Leonem Sap.
Ζητοόνιον episc. metrop. Larissae I. 325. II. 506. — Σάβας.
Ζίχνα episc. metrop. Serrarum I. 66. 106. 297. Ζιχνῶν Le Quien 3. 1073. Ζόχνα Arav. 2. 60.
Ζυγανοί monast. τῶν Ζυγανῶν metrop. Mitylenae I. 5.
Ἡλιούπολις metrop. I. 207. II. 491. — Σωφρόνιος.
Ἡράκλεια metrop. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 29. 30. 34. 35. 36. 37. 40. 41. 42. 43. 44. 45. 60. 75. 98. 107. 111. 115. 116. 120. 133. 162. 166. 171. 173. 181. 185. 193. 194. 208. 212. 225. 228. 231. 235. 238. 261. 276. 302. 304. 319. 329. 330. 331. II. 332. 335. 337. 355. 357. 361. 370. 397. 403. 404. 406. 409. 417. 418. 419. 431. 441. 451. 529. 538. 542. 616. 620. — Ἰωάννης, Φιλόθεος, Μητροφάνης, Ἰωσήφ, Θεοφάνης.
Ἡράκλεια Pontica episc. I. 199. Leo Sap.
Θάνος, τό, locus ins. Lemni I. 52.
Θάσος ins. I. 217. 299. II. 469.
Θαυμακός episc. metrop. Larissae I. 325.
Θεοδοσία eccles. I. 277.
Θεοδοσία: ἡ δέσποινα τῆς Ἀνατολῆς κυρὰ Θεοδοσία μοναχὴ ἡ Καντακουζηνή II. 578.
Θεοδόσιος ἀρχιμανδρίτης e Russia Cpolim missus I. 322. 328.
Θεοδώρα, ἡ ἐπονομαζομένη ἀραχαντλούν I. 136.
Θεόδωροι eccles. II. 611. ins. Lemni I. 52. II. 533. 683. castrum I. 73. ἡ κατὰ τὸ Νύμφαιον μονὴ τῶν ἁγίων Θεοδώρων, ubi 1256 synodus convenit I. 59.
Θεόδωρος ὁ Στρατηλάτης reliquiae II. 686.
Θεόδωρος ὁ Παλαιολόγος, θεῖος τοῦ αὐτοκράτορος II. 503.
Θεόδωρος ab Algerdo Cpolim missus I. 320.
Θεόδωρος, χωράφιον II. 375.
Θεολογίτης, κελλίον II. 611. κάθισμα II. 677.
Θεολόγος locus I. 223.
Θεοφανώ monast. metrop. Methymnae I. 73.
Θεοφιλόπουλος v. Πιγκέρνης.
Θεοφύλακτος: τὰ κατὰ τὸν ἅγιον Θεοφύλακτον κελλία, ubi synodus conveniebat I. 55. 57. 58. 63. 64. 65. 66. 67. 329. 331.

Θερμοπόταμος locus II. 469.
Θεσσαλονίκη I. 130. 153. II. 691. metrop. I. 5. 9. 10. 16. 23. 36. 39. 56. 60. 64. 77. 89. 90. 91. 97. 109. 113. 115. 116. 120. 124. 126. 133. 181. 183. 185 191. 193. 308. 309. II. 332. 335. 337. 354. 361. 370. 374. 378. 390. 393. 395 397. 399. 403. 405. 406. 435. 454. 471. 479. 481. 485. 572. 520. 539. 605. 659. 660. 661. 662. 663. 664. — Ἱερεμίας, Γρηγόριος Παλαμᾶς II. 520. Ἰσίδωρος. v. Θετταλία.
Θετταλία II. 62. μητροπολίτης Θεσσαλονίκης, ἔξαρχος πάσης Θετταλίας I. 23. 56. 64. 77. 91. 133. II. 354. 454. 485. 539. 605. 659. 660. 661. 663. μητροπολίτης Λαρίσσης, ἔξαρχος δευτέρας Θετταλίας II. 506. καὶ πάσης Ἑλλάδος I. 325.
Θῆβαι metrop. I. 307. II. 435. Leo Sap.
Θρᾴκη: μητροπολίτης Ἡρακλείας, ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας I. 34. 111. 133. 173. 212 276. II. 529. 538. 542. 616. μητροπολίτης Ἀδριανουπόλεως, ἔξαρχος πάσης Θρᾴκης II. 338. 348. 405.
Θωμᾶς castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Ἰαλίτα locus I. 317. Chazariae II. 492.
Ἴβηρες monast. Atho I. 168. II. 469.
Ἰβηρία: Μεγάλη Ἰβηρία II. 476. καθολικὸς τῆς ῥωμογόρεως, ἔξαρχος πάσης Ἰβηρίας I. 207. pag. 464. 465. — Γερμανός.
Ἱεράπολις metrop. I. 228. II. 380. 462. Leo Sap.
Ἱερισσός episc. I. 58. 133. 168. 301. 326. Ἐρισσός. Ἱερισσοῦ ἤτοι Ἁγίου Ὄρους apud Leonem Sap. — Θεόδωρος.
Ἱεροσόλυμα patriarch. I. 169. 175. 181. 186. 234. II. 476. 510. 514. ἀρχιποίμην τῶν θείων Ἱεροσολύμων, πατριάρχης τῆς ἁγίας Σιὼν I. 13. πατριάρχης Ἱεροσολύμων, Συρίας, Ἀραβίας, πέραν Ἰορδάνου, Καννᾶ τῆς Γαλιλαίας καὶ πάσης Παλαιστίνης II. 510. — Λάζαρος II. 476.
Ἰθάκη ins. II. 413.
Ἰκόνιον metrop. I. 65. 211. 286. 287. 291. II. 332. 357. 360. 384. 433. 434. 435. 441. — Θεοδόσιος.
Ἴμβρος ins. II. 508.
Ἰορδάνης v. Ἱεροσόλυμα.
Ἰουδαῖοι II. 400. 519.
Ἰουλίττα καὶ Κύρικος monast. Sozopoleos I. 165. 227.
Ἰουμπερέκιν in Marmarosch II. 426.
Ἰουστινιάνειος νεαρά II. 354.
Ἰουστινιάνη, ἡ Πρώτη, v. Ἀχρειδα.
Ἱππόδρομος in urbe Cpoli II. 648.
Ἱπποκράτης medicus I. 292.
Ἰσαὰκ monast. τοῦ κῦρ Ἰσαὰκ II. 481.
Ἰσαάκιος βασιλεύς I. 47. 101.
Ἰσαάκιος ὁ Ἀσάνης, θεῖος τοῦ αὐτοκράτορος II. 538.
Ἰσαάκιος Παλαιολόγος ὁ Ἀσάνης I. 136.
Ἰσαυρία v. Ἀρμενία.
Ἰταλοί I. 212. 223. 235.
Ἰωακεὶμ καὶ Ἄννα monast. apud Adramyttium I. 5.
Ἰωάννης ὁ Δαμασκηνός I. 96. 109. 246. II. 648.
Ἰωάννης ὁ τὴν Κλίμακα τῶν πνευματικῶν ἀναβάσεων συγγραψάμενος II. 634.
Ἰωάννης ὁ Χρυσόστομος I. 246. II. 686.
Ἰωάννης βασιλεὺς Lascaris I. 47.
Ἰωάννης ὁ Καντακουζηνός v. Καντακουζηνός.
Ἰωάννης I. ὁ Παλαιολόγος imp. I. 109. 160. 185. II. 344.
Ἰωάννης, ἀνεψιὸς τοῦ βασιλέως, Manuelis II. 556.
Ἰωάννης ὁ Ἀσάνης, βασιλεὺς τῶν Βουλγάρων (1355) I. 186. Ἰωάννης Ἀλέξανδρος ὁ Ἀσάνης I. 185. Engel, Gesch. des alten Pannoniens und der Bulgarei 456. Vides, Alexandrum anno 1355 in vivis fuisse.
Ἰωάννης ὁ Στραντζιμηράς, βασιλεὺς τῶν Βουλγάρων II. (1381) 345. (1392) 434. cf. ibid. 458.
Ἰωάννης, μέγας ῥὴξ Ῥωσίας I. (1354) 151. μέγας ῥὴξ Μοσχοβίου II. (1389) 404. Ioann Ioannović (1353—1359)
Ἰωάννης ῥὴξ τοῦ Νοβογραδίου I. (1371) 321.
Ἰωάννης, ῥὴξ τοῦ Νοβοσιλίου I. (1371) 320.

Ἰωάννης ὁ Οὔγκλεσης, δεσπότης Σερβίας I. 300. 304. 306. 312. Ivan Uglješa Engel, Gesch. von Serwien und Bossnien 320.
Ἰωάννης ὁ Βαζεμίσκου Russus I. 320. 321. russ. Vjasemskij.
Ἰωάννης ὁ Κοζέλησκου Russus I. 320. 321. russ. Kozelskij.
Ἰωάννης ὁ Δοκιανός a patriarcha in Russiam missus I. 322. 323. cf. Jan Syncel in Thadd. Czacki, O polskich i litewskich prawach I. 309.
Ἰωάννης ὁ βαπτιστής eccles. extra Cpolim sita II. 376. v. Νικόλαος.
Ἰωάννης ὁ θεολόγος monast. περὶ τοὺς Καψαλοὺς I. 223.
Ἰωάννης ὁ Χρυσόστομος templum II. 469.
Ἰαννίκας: ἡ τοῦ Ἰαννίκα τούμβα locus II. 469.
Ἰωάννινα, τά, II. 691. metrop. I. 51. 76. 212. 213. 280. 324. 330. II. 332. 335. 337. 338. 342. 409. 465. Taf. Symb. I. 35. — Σεβαστειανός, Ματθαῖος.
Ἰωάννιτζα episc. metrop. Philippupoleos I. 67. Leo Sap.
Καζίμοιρος, κράλης τῆς Λαχίας I. (1371) 321. Καζήμηρος, κράλης τῆς Βλαχίας· quod male, lege Λαχίας I. 318. Casimirus III. (Magnus 1333—1370).
Καισάρεια Καππαδοκείας, quod saepe additur, metrop. I. 65. 140. 192. 208. 209. 210. 211. 212. 218. 220. 221. 228. 231. 235. 236. 237. 238. 252. 283. 285. 286. 301. II. 335. 633. — Μεθόδιος, Ἀθανάσιος.
Κακὴ Ῥάχις locus II. 469.
Κάλαθος, ὁ, locus apud Barnam I. 244.
Καλέτζικα locus ins. Lemni I. 52.
Καλεύς monast. metrop. Methymnae I. 73. cf. Καλλεύς.
Καλὴ Λαγκάς monast. metrop. Methymnae I. 73.
Καλλεύς monast. I. 133. cf. Καλεύς.
Καλλικράτεια locus II. 525. 638.
Καλλιούπολις episc. I. 106. 116. 120. 151. Taf. Symb. II. 86.
Καλογωνία locus I 223.
Καλυβῖται, οἱ, locus I. 223.
Κάμαχος metrop. I. 46.
Καμμοτζιώτισσα, θεομήτωρ, monast. II. 469.
Καμπανία episc. I. 193. Καμπανίας ἤτοι Καστρίου Leo Sap.
Καννᾶ v. Ἱεροσόλυμα.
Καντακουζηνή v. Θεοδοσία.
Καντακουζηνός (Ἰωάννης) αὐτοκράτωρ I. 130. βασιλεύς I. 221. αὐθέντης καὶ βασιλεύς I. 159. cf. Μανουήλ, Ματθαῖος.
Καντακουζηνός, δεσπότης, II. 342.
Καππαδόκεια v. Καισάρεια.
Καρακάλλα monast. Atho I. 133. II. 414. Καρακάλα.
Καρβουνᾶς, ὁ, locus apud Barnam I. 244. Καρβωνᾶς I. 63. Καρβουνόχωρα; Μπαλίκαν τινὰ τοῦ Καρβωνᾶ ἄρχοντα Io. Cant. 2. 584. cf. Do Preslava ili Karvunъskyê chory in diplomate Asêni II. (1217—1241) Monum. serb. 7. cf. Kjurumler in montibus Syrt Kjovleri inter Šumen (Schumla) et Provat. Bolg. Gram. 15
Καρέαι monast. Atho I. 301. Καρυαί.
Καρθαγένη: σύνοδος II. 446. 478. 518. 677. Καρχηδών I. 162.
Καρία II. 398. μητροπολίτης Σταυροπόλεως, ἔξαρχος πάσης Καρίας II. 451. 629.
Κάρναβα locus apud Barnam I. 52. 272. Nota Krъnъska Chora Mon. Serb. 7. et cf. Karnabat (Karnov). Bolg. Gram. 15.
Κάρπαθος archiep. II 513.
Καρφᾶς locus II. 635.
Καρχηδών v. Καρθαγένη.
Κατάφυλλον locus ins. Lemni I. 52
Κατελάνοι II. 334.
Κατρία episc. metrop. Larissae I. 325. Leo Sap.
Κάτω Πτωμαΐα monast. τοῦ ἁγίου Μηνᾶ metrop. Mitylenae I. 58. 59.
Καυκάσια I. 221. ἡ τῶν Καυκασίων συνοδικὴ μητρόπολις I. 162.
Καυκάσιον metrop. I. 39. 40. corrige ὁ Καυκάκου apud Andronicum Palaeologum Seniorem Taf. Const. 52. cf. Le Quien I. 1349.

Καφᾶς, ὁ, I. 126. II. 369. ἐν τῷ Παλαιῷ Λιμένι I. 226.
Καψαλοί locus I. 223.
Κελαδηνοί locus II. 469.
Κελλία ἤτοι τὸ Λυκοστόμιον apud Barnam I. 52.
Κελτζηνή metrop. I. 45. 46. 162. 181. 183. 185. 197. II. 335. 337. 338. 424.
Κεραμεών monast. metrop. Methymnae I. 73.
Κερασοῦς metrop. I. 361. Leo Sap. Lebeau XX. 491.
Κέρκυρα ecclesia II. 465. metrop. Leo Sap.
Κερνίτζα episc. Peloponnesi I. 30. 338. 342. — Μαλωταρᾶς metrop. II. 335. 336. — Ματθαῖος II. 322. Le Quien 3. 953.
Κεφαλληνία episc. I. 179. II. 413.
Κεχαριτωτένη monast. metrop. Methymnae I. 73.
Κί monast. metrop. Celtzenae I. 45.
Κιλικία v. Ἀρμενία.
Κινσάνους, χώρα, de qua contendunt metrop. Chersonis et Gotthiae I. 368. 370. II. 419. Κινσανῖται II. 419.
Κίος II. 484. archiep. I. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 29. 30. 34. 59. II. 456. 470. — Γρηγόριος Δαυίδ. episc. II. 349.
Κίτζιβος, ὁ, locus apud Barnam I. 244.
Κλαζομεναί episc. 397.
Κλαυδιούπολις metrop. I. 59. Hase, Lebeau 19. 511.
Κλημάτιον monast. metrop. Methymnae I. 73.
Κλήμης reliquiae II. 686.
Κλήτζεν, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Κοζεάκον, castellum apud Mesembriam I. 166.
Κοζέλησκος v. Ἰωάννης.
Κοζίλη: Κοζόλη Arav. 2. 85. cf. Le Quien 2. 153. v. Χιμάρρα
Κοζλόβο, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Κοιραννίς liber: τὸ πολυθρύλλητον ἐπ' ἀσεβείᾳ, ἡ Κοιραννίς, I. 292.
Καλαβρία I. 96.
Κόλιδα, ἡ, locus apud Philadelphiam II. 381. 462.
Κολλυδρόν, χωρίον, II. 453.
Κολούγα, ἡ, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Κολυδράς locus II. 660.
Κολώνεια archiep. I. 46. II. 424. Taf. Const. 53. Symb. I. 38. apud Andronicum Palaeologum Seniorem est metropolis.
Κόμαδα, τά, χωρίον metrop. Sebasteae I. 112.
Κομνηνός, ὁ Μέγας, αὐθέντης τῆς Τραπεζοῦντος (Alexius II.) I. (1317.) 38. (c. 1340) 94. ἡ Μεγάλη Κομνηνή coniux eius I. 94. Fallmerayer, Gesch. von Trapezunt. München. 1827.
Κοντοσκέλης locus II. 607.
Κόραξ, ἐνορία metrop. Methymnae I. 73.
Κορεμίστη, ἡ, locus I. 312.
Κόρινθος metrop. I. 97. 105. 106. 290. II. 413. 454. 457. 461. 465. 468. 471. 483. 493. 507. 508. 513. 517. 518. 660. — Ἰσίδωρος, Θεόγνωστος.
Κορώνη episc. II. 493. Taf. Symb. I. 58. Leo Sap.
Κοσινίτζα monast. II. 486.
Κοσμᾶς reliquiae II. 686.
Κοσμᾶς locus II. 469.
Κοσμίδιον monast. Cpoleos II. 352. 657. Duc. Const. Christ.
Κοτυάειον metrop. I. 179. 287. 288. 291. II. 355. 357. 381. 386. 443. 478. — Νίφων.
Κουλᾶ locus apud Philadelphiam II. 381. 462.
Κράλης τῆς Βλαχίας I. 318. cf. Βλαχία; τῆς Λαχίας I. 321. Cf. Taf. Norm. 119.
Κρανέα, ἡ, castellum apud Barnam I. 52. 272.
Κρήτη I. 634. metrop. I. 30. 163. II. 342. 412. 459.
Κρίτζος monast. II. 390. metrop. Methymnae I. 73. Κρότζος Magnesiae I. 289.
Κρυοκόπος v. Ὁδηγοί.
Κρύον Νερόν v. Γεώργιος.
Κρότζος v. Κρίτζος.
Κύανα, τά, episc. I. 19. aperte Κόανα.
Κύεβον I. 320. τὸ ἐν τῇ Μικρᾷ Ρωσσίᾳ κάστρον, τὸ Κυέβον I. 158. μητροπολίτης Κυέβου, ἔξαρχος πάσης Ῥωσίας

I. 117. μητροπολίτης Κυέβου I. 119. 120. 121. — καὶ πάσης Ῥωσίας I. I. 139. 151. 156. 157. 183. 185. 264. 265. 266. 267. 268. 269. 270. 321. 322. 323. 328. II. 337. 404. 444. 445. 446. 447. 449. 450. 515. 516. 556. — Θεόγνωστος, ἔξαρχος πάσης Ῥωσίας † 1353. I. (1347) 119. 120. ἀρχιερεὺς πάσης Ῥωσίας I. (1354) 151. 156. 157. μητροπολίτης Ῥωσίας I. 158. 183. Ἀλέξιος metrop. I. (1354) 156. 157. (1361) 183. 185. (c. 1370) 270. (c. 1371) 320. 328. Ποιμήν metrop. Kioviae et Magnae Russiae II. (1379—1380) 332. (1393) 446. Κυπριανός metrop. II. (1387) 393. (c. 1393) 444. 447. (1397) 515. Ἀλέξιος metrop. II. (c. 1393) 449. (1393) 450. (1397) 516. cf. Ῥωσία.

Κύζικος metrop. I. 3. 30. 57. 58. 59. 60. 75. 77. 78. 87. 93. 97. 109. 115. 116. 120. 124. 126. 133. 166. 179. 181. 183. 193. 194. 203. 205. 208. 212. 220. 221. 228. 231. 235. 236. 238. 252. 255. 276. 301. 330. II. 342. 344. 345. 353. 361. 370. 399. 402. 403. 404. 406. 409. 411. 417. 418. 419. 431. 433. 435. 440. 441. 444. 451. 454. 457. 461. 465. 467. 468. 471. 478. 483. 490. 493. 505. 508. 513. 517. 518. 529. 579. 643. 645. 652. 660. 672. 677. — Γεώργιος, Ἀθανάσιος, Ἀρσένιος, Σεβαστιανός, Ματθαῖος, Θεόγνωστος. v. Ἑλλήσποντος.

Κυκλάδες νῆσοι II. 398. 451. ἔξαρχος τῶν Κυκλάδων νήσων I. 163. Taf. Symb. I. 62. v. Ῥόδος.

Κυλίστρα: τὸ ὀσπήτιον τῆς Κυλίστρας Cpoli I. 126.

Κυνηγοί locus Cpoleos I. 311. Κυνηγός II. 360. 617. 649. ἡ τοῦ Κυνηγοῦ πύλη II. 555. Duc. Const. Christ. I. 48. 107. 108.

Κυπριανός monast. II. 655.

Κύπρος ins. I. 175. 176. ὁ κούσουλος τῶν Κυπρίων Alexandriae II. 510.

Κυράτζα filia Ioannis Alexandri Asanis, regis Bulgariae, 1355 nubit Andronico, filio Ioannis imp. I. 185. Engel, Gesch. des alten Pannoniens und der Bulgarei 459.

Κύριζος, ἡ, monast. Chazariae II. 492. 497.

Κύρικος monast. Sozopoleos II. 421. ins. Lemni I. 52. v. Ἰουλίττα.

Κύρικος e Russia missus Cpolim II. 450. cf. Κύριλλος.

Κύριλλος I. 246. ὁ ἅγιος I. 261. ὁ μέγας I. 195. II. 518.

Κύριλλος e Russia missus Cpolim II. 444. cf. Κύρικος.

Κύψελα, τά, archiep. I. 59. 60. Taf. Via Egn. II. 57. — Κωνσταντῖνος.

Κωνσταντῖνος, ὁ ἅγιος, II. 686. v. Θάνος.

Κωνσταντῖνος ὁ Ἀσάνης, θεῖος τῆς ἁγίας βασιλείας II. 361.

Κωνσταντῖνος, ὁ μακαρίτης καὶ ἐνδοξότατος αὐθέντης Σερβίας II. (1395) 499. Constantinus Dragases, Macedoniae regionis, quae Axio fluvio alluitur, princeps, Helenae, uxoris imp. Manuelis Palaeologi, pater Duc. Fam. Byz. 243. cf. 245. filius imperatricis Eudociae Monum. Serb. 182. (1379) frater eius Demetrius ibid. 193. (1385) cf. 216. Constantinus Dragaš ibid. 212. 213. 214.

Κωνσταντινούπολις, Νέα Ῥώμη, I. 4. 86. 97. 117. 118. 119 etc.

Patriarchae:

Γεώργιος ὁ Ξιφιλῖνος 1193—1199. I. (1342) 101.

Γερμανός 1221 1239. I. (1318) 47. (1355) 186.

Μανουήλ (II.) 1245—1255. I. (1318). 47.

Ἀρσένιος 1255—1260 et 1261—1264. I. (1324) 58. 59. II. (1395) 500. κελλία I. (1365) 218.

Γρηγόριος (II.) 1283—1289. I. (1340) 97.

Ἀθανάσιος 1289—1293 et 1304—1310. I. (1348) 123. 126. (1366) 223.

Ἰωάννης (XIII.) ὁ Γλυκύς 1316—1320. I. (c. 1315) 1. (1315) 4. (1325) 63. (1340) 97.

Γεράσιμος 1320—1321. I. (1341) 98.

Ἠσαΐας 1323—1333. I. (1324) 59. (1327) 65. 66. (1329) 67. II. (1395) 500.
Καλέκας (Ἰωάννης ὁ Ἀπρηνός XIV.) 1333—1347. I. (c. 1348) 129.
Ἰσίδωρος 1347—1349. I. (1348) 124. (1350) 130. (1364) 221.
Κάλλιστος 1348—1354 et 1355—1362. I. (1351) 136. (c. 1354) 160. (c. 1357) 168. (1360) 177. (1355) 185. 186. (1364) 195. (1365) 220. (1366) 225. (1369) 313. II. κελλίον 629. πατριάρχης ἐκεῖνος κὸρ Κάλλιστος (1401) 659.
Φιλόθεος 1353—1355 et 1363—1376. I. (1354) 151. (1361) 178. (1364) 195. (1365) 203. (1360) 260. (c. 1370) 270. (1371) 300. (1368) 301. (1371). 304. 312. (1369) 313. (1371) 325. II. 337. 355. 361. 370. 374. 387. 404. 406. 409. 451. 476. 516.
Μακάριος 1376—1379 II. (1384) 365. (1387) 387. (1389) 405. (ἐπανῆλθεν 1390) 417. 419.
Νεῖλος 1379—1387. II. 332. 335. 337. 338. 341. 342. 344. 345. 353. 357. 364. 370. 375. 379. 397. 399. 404. 410. 434. 435. 449. 450. 451. 502. 531. 586. 605. 683. 686.
Ἀντώνιος (IV) 1387—1396. II. 400. 401. 404. 405. 409. 417. 426. 432. 434. 435. 451. 461. 467. 468. 469. 476. 501. 502. 508. 510. 513. 518. 526. 557. 566. 568. 590. 603. 605. 660. 667.
Κάλλιστος (II) 1396. II. (post annum 1396) 476 (1397) 519. 520.
Ματθαῖος 1396—1410. II. 529. 573. 574. 586. 615. 618 645. 667. 672.
Κῶς archiep. I. 39. 40. 75. 91. 93. 98. 101. 105. II. 388. 389. 398. 451.
Λαγκάς, Καλή, v. Καλὴ Λαγκάς.
Λάζαρος monast. I. 287.
Λαζική: ὁ Τραπεζοῦντος, ἔξαρχος πάσης Λαζικῆς I. 276. II 636. ἡ Θεοτόκος ἡ Λαζική I. 221. βασιλεὺς τῆς Τραπεζοῦντος καὶ πάσης Λαζικῆς II. 673.
Λακεδαιμονία 30. metrop. I. 57 60. 67. 73. 75. 91. 93. 97. 98. 208. 214. 336. II. 397. 441. 478. ἐτιμήθη εἰς μητρόπολιν 1090. Taf. Const. 49. cf. 55. — Γρηγόριος.
Λακουβίκεια locus II. 469.
Λαμπαδοπαρθενίτα, χώρα Chersonis II. 419. cf. Λαμπάς et Παρθενία.
Λαμπάς, ἐνορία, de qua contendunt metrop. Chersonis et Gotthiae II. 367. cf. Λαμπαδοπαρθενίτα.
Λαοδίκεια metrop. I. 178. 180. 194. 228. II. 353. 355. 357. 360. 361. 381. 462. 528. — Μακάριος v. Φρογία Καπκατιανή.
Λάρισσα II. 662. metrop. I. 43. 47. 262. 325. II. 506. Λαρισσαῖοι I. 47. Taf. Symb. I. 73.
Λατῖνοι I. 212. 234. 243. 246. 251. 292. 293. 318. 321. II. 333. 359. 376. 404. 430. 432. 435. 476. 501. 521. 615. 618. 642.
Λαύρα monast. Atho I. 133. 326. II. 469. ἡ μεγάλη I. 313. Λαυριῶται I. 326.
Λαχία Polonia I. 318. 321. cf. russ. Ljach.
Λεοντόπολις archiep. I. 17. 21.
Λευκάς archiep. I. 213. 231. 235. II. 413. episc. II. 465.
Λέων Ῥώμης I. 246.
Λέων ὁ Σοφός imp. I. 91.
Λῆμνος II. 429. 533. archiep. I. 34. 35. 52. 60. 73. 212. 220. II. 345. 361. 483. 503. 683. Taf. Symb. II. 105. — Ἰάκωβος.
Λήπητζη, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Λιάμβρουκον fons II. 469.
Λιβύη v. Ἀλεξάνδρεια.
Λιβύσιον v. Μάκρη.
Λιγέα regio II. 469.
Λιμήν v. Παλαιὸς Λιμήν.
Λίμνια: ἐπισκοπὴ τῶν Λιμνίων I. 38. II. 365. prope Trapezuntem. — Ἰωσήφ.
Λιτβᾶ, Λιτβαῖ I. 139. 270. Λιτβαῖ metrop. I. 65. 67. 162. 183. 185. Λιτβάδες I. 39. ἐπαρχία II. 404. — Θεόφιλος. Ῥωμανός ῥήξ II. 321. 337. πυρσολάτρης ῥήξ II. 337. ὁ μέγας ῥῆγας I. 139. ὁ βασιλεὺς Λητβῶν, ὁ Ἄλγερδος I. 320.

Λιτβορωσία II. 515. v. Πόλτζα.
Λιτή episc. I. 191. Λιτὴ καὶ Ῥεντίνη episc. metrop. Thessalonicae Leo Sap.
Λίτιτζα eccles. I. 99. Le Quien I. 1167. cf. Λιότιτζα episc. metrop. Philippupoleos Leo Sap.
Λοιδορίκιον episc. metrop. Larissae I. 325.
Λοπάδιον καὶ Μελιτούπολις archiep. I. 3. 10. 59. 66. 67. 73. Taf. Symb. I. 95. hodie Lupad. Hase, Lebeau 20. 521. 523. — Ἰωαννίκιος, Ἀντίοχος, Ἱερόθεος.
Λοῦμι, τὸ Μέγα, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Λούμπορτος, Δημήτριος, ῥὴξ Βολοδιμήρου, I. (1347) 119. russ. Ljubart Dimitrij Gediminovič.
Λουτζικόν episc. Russiae Minoris I. 120. 321. II. 445. Λοτζικόν II. 515. 516. — Ἰωάννης Βάβας Halickij Sborn. LII. russ. Luck.
Λυδία: ὁ Σάρδεων, ἔξαρχος πάσης Λυδίας I. 55. 57. 58. 59. 63. 64. 67. 73. 133. 149. 212. ὁ Φιλαδελφίας, ἔξαρχος πάσης Λυδίας I. 148. 149. II. 357. 380. 462.
Λυκάονες I. 133.
Λυκία: μητροπολίτης Μύρων, ἔξαρχος Λυκίας II. 389. 459. 460. 513. 517.
Λυκοστόμιον v. Κελλία.
Λυκόσχισμα regio II. 469.
Μάγγανα monast. Cpoleos I. 137. 173. 331. 341. II. 629. 682. Scribitur etiam Μάγκανα. Μαγγανιῶται II. 682. Duc. Const. Christ. I. 155.
Μάγιστρος monast. II. 651.
Μαγκουριώτισσα: ἡ παναγία ἡ Μαγκουριώτισσα II. 583.
Μαγνησία urbs I. 289. episc. Leo Sap.
Μάδυτα, τά, metrop. I. 55. 57. 60. 67. 75. 89. 90. 93. 97. 98. 99. 101. 106. 108. 151. Taf. Symb. II. 118. (Μάδυτος, ἡ,) — Ἰσαάκ.
Μακάριος, ὁ ἅγιος, II. 332.
Μακεδονία v. Θρᾴκη.
Μακεδόνιος haereticus II. 347.
Μάκρη episc. I. 142. 143. 150. Taf. Via Egn. II. 34. 50. 51. 183. Πόλις τῆς Μακεδονίας, κληθεῖσα κοινῶς Μόκρα Arav. 2. 102. Μάκρη καὶ Λιβόσιον metrop. Myrorum I. 32.
Μαλαχίας, κάθισμα, II. 399.
Μάλεστας, ὁ, locus, I. 312.
Μάμας monast. Cpoleos II. 528. Duc. Const. Christ. II. 185.
Μαμούδερτα, τά, locus Bithyniae I. 22. 28.
Μάνη, episc. Peloponnesi II. 518. Μαίνη Leo. Sap.
Μανιχαῖοι haeretici I. 175.
Μανουήλ imp. I. 203. II. 556.
Μανουὴλ ὁ Καντακουζηνός Misitrae dux I. 214. Duc. Fam. Byz. 260.
Μανουὴλ ὁ Κομνηνός II. 400. II. 519. Μέγας Κομνηνός II. 673.
Μανουὴλ ὁ Παλαιολόγος imp. II. 467. 468. 476. 499. 568. 569.
Μανουὴλ ὁ Ἄρχων mittitur in Moldoblachiam II. 667.
Μάξιμος, ὁ θεῖος I. 96. 109. 175. ὁ τὰ θεῖα σοφός I. 176.
Μάξιμος monast. metrop. Thessalonicae II. 605. 659. 663.
Μαραμόρεσο provincia Hungariae, a Russis inhabitata, Marmarosch II. 426.
Μάρθα monast. II. 609. Io. Cant. 2. 322 etc.
Μαρία monast. I. 173.
Μαρία ἡ Παλαιολογίνα, αὐταδέλφη τοῦ αὐτοκράτορος Ioannis Palaeologi I. 136. Duc. Fam. Byz. 239.
Μαρίνα, ἡ ἁγία, II. 469. locus ins. Lemni I. 52.
Μαρμαριάνοι monast. regionis vicinae episcopatui Charmaenorum I. 47. Μαρμαριανῖται ibid.
Μαρμάριον, χωρίον ἐν τῷ ποταμῷ Στρυμόνι II. 469.
Μαρμαρολιμήν locus II. 469.
Μαρμαρόπορτα porta Cpoleos II. 684. ignota Duc.
Μάρτυρ templum ins. Lemni I. 52.
Μαρώνεια archiep. I. 25. 55. 57. 58. 60. 63. 64. 66. 212. 216. 217. 218. 220. 221. 304. 329. 330. 331.
Μασσαλιανοί haeretici I. 96. 107. 175. ἤγουν ἐνθουσιασταί I. 133. cf. Εὐχῖται.

Ματθαῖος ὁ Καντακουζηνός, ἀδελφὸς τοῦ αὐτοκράτορος I. 194. Duc. Fam. Byz. 261.
Μάτραχα, τά, archiep. I. 41. 221. metrop. — καὶ Ζηκχία II. 504. Russis Tmutarakanj vel Taman. Makarij, Istor. 95.
Μαύρη Θάλασσα Pontus Euxinus II. 616.
Μαυροβλαχία II. 495. metrop. II. 435. 404. 444. 454. 461. 465. 468. 472. 487. 514. 516. 660. — Ἱερεμίας, Πέτρος.
Μαυροπόταμον locus I. 136.
Μεγάλη Ῥωσία v. Ῥωσία.
Μεθώνη urbs II. 446. 441. episc. II. 409. 412. 413. 463. 478. — Νίφων ὁ Μανδυλᾶς, Καλογενίτης.
Μελάγινα, τά, ecclesia I. 59. Taf. Symb. II. 109. Hase, Lebeau 19. 513. — Ἰωάννης.
Μελάνια, τά, episc. II. 681.
Μελένικος II. 490. metrop. I. 5. 6. 28. 33. 43. 44. 45. 50. 60. 65. 133. 142. 151. 152. 154. 303. 312. Arav. 2. 104. — Ἰωάννης, Μητροφάνης.
Μέλισσα locus ins. Lemni I. 52.
Μελιτηνή metrop I. 36. 39. 40. 43. 44. 46. 50. 55. 57. 58. 63. 64. 67. 220. 221. 281. — Θεοδόσιος. Ἡ ἁγία Μελιτηνή in ins. Lemno I. 52.
Μελιτούπολις v. Λοπάδιον.
Μεσημβρία metrop. I. 166. 238. 244. 245. 330. II. 345. 351. 353. 399. 422. 433. — Στέφανος, Ἀντώνιος.
Μεσοπόταμον monast. I. 1. Μεσοποταμῖται ibid. cf. Arav. 2. 105.
Μεσσήνη archiep. I. 36. 37. 30. 40. 41. 42. 43. 44. 45. 50. 67. Taf. Symb. I. 78.
Μέστος fluvius II. 469.
Μήδεια archiep. I. 5. 9. 10. 16. 22. 24. 25. 27. 30. 39. 40. 60. 67. 75. 108. 136. 162. 181. II. 332. 344. 353. 393. 402. 403. 405. 406. 409. 411. 417. 418. 419. 431. 435. 441. 444. 451. 454. 457. 461. 465. 468. 471. 478. 483. 490. 493. 508. 513. 517. 611. 643. 645. 652. 660. 672. 677. 689. Taf. Symb. II. 98. — Νίφων, Εὐθύμιος, Μιχαήλ, Ματθαῖος.
Μήθυμνα metrop. I. 3. 4. 5. 6. 9. 10. 17. 18. 50. 55. 57. 58. 59. 60. 63. 64. 67. 73. 75. 77. 78. 89. 93. 97. 98. 99. 101. 106. 206. 261. 263. 315. II. 429. 464. — Μαλαχίας, Νικηφόρος, Χαρίτων.
Μήλιτος metrop. I. 256. Νεῖλος. cf. Μίλητ.
Μηνᾶς regio II. 664. ὁ ἅγιος Μηνᾶς v. Κάτω Πτωμαΐα.
Μῆρξος videtur esse Mirča, Valachiae Voievoda II. 477. Engel, Gesch. der Walachei 156. 162.
Μιζισθρόν in Peloponneso I. 214. Μιζηθρά ibid.
Μικρὰ Πύλη porta Cpoleos I. 173.
Μικρὰ Ῥωσία v. Ῥωσία.
Μίλητος metrop. I. 212. 220. 228. 255. 258. — Νικηφόρος.
Μιτυλήνη II. 375. metrop. I. 3. 4. 5. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 36. 37. 39. 40. 44. 45. 50. 55. 57. 58. 59. 60. 63. 64. 66. 67. 73. 115. 120. 151. 185. 261. 276. II. 404. 405. 493. 495. 500. — Διονύσιος, Γρηγόριος, Ἰωσήφ, Ἱερεμίας, Μαλαχίας.
Μιχαήλ templum II. 627. monast. Marmarosch II. 426. ὁ Ἀκρονησιώτης monast. I. 58. 59.
Μιχαήλ, ῥήξ τοῦ Τιφερίου I. (c. 1350) 139. (1371) 322. 323. 328. Τιφέριος (c. 1352) 139. γυναικάδελφος Algerdi I. 320. 321. Michaël, princeps Tverensis † 1373.
Μιχαήλ, ἀρχιμανδρίτης, Russus (Mitjaj) II. 404. Karamz. 5. nota 54.
Μολδοβλαχία II. 667. ἀρχιερεὺς Ἱερεμίας; ἐπίσκοπος Ἰωσήφ.
Μολιάτος locus II. 537.
Μομψούγια metrop. I. 207. — Σωφρόνιος.
Μοναστήρια v. Ἁγιοσορείτισσα, Ἄγαυροι, Ἅγιοι, οἱ Πέντε, Ἀθανάσιος, Ἀκάπνιον, Ἀκατάληπτος, Ἀκατάλυτος, Ἀκροπολίτης, Ἀνδρέας, Ἀρισταί, Ἀσθλάνης, Βαραγγιώτισσα, Βασίλειος, Βάσσος, Βατοπέδιον, Βλαχέρναι, Βορίτζοῦς, Βοῦρκος, Βροντόχιον, Γαστέλεγκος, Γεώργιος, Γοργεπήκοος, Δαφνέα, Δημήτριος, Δοχήν, Ἐλέουσα-

- Ἐξαζηνός, Ἐσφιγμένον, Εὐεργέτης, Εὐεργέτις, Εὐουρανιώτισσα, Εὐστράτιος, Ζόγανοί, Θεόδωροι, Θεοφανώ, Ἴβηρες, Ἰουλίττα, Ἰσαάκ, Ἰωάννης, Καλεός, Καλλεός, Καρακάλλα, Καρέαι, Κάτω Πτωμαΐα, Κεραμεών, Κεχαριτωμένη, Κλημάτιον, Κοσινίτζα, Κοσμίδιον, Κρίτζος, Κυπριανός, Κύριζος, Λάζαρος, Λαύρα, Μάγγανα, Μάγιστρος, Μάμας, Μάξιμος, Μάρθα, Μαρία, Μαρμαριάνοι, Μεσοπόταμον, Μουγούλια, Μυρέλαιον, Μορσίνη, Νεαμονῖται, Νικόλαος, Νίκων, Νύμφαιον, Ξηρόκαστρον, Ὁδηγητρία, Ὁδηγοί, Ὅσιοι Πατέρες, Παλαιολόγοι, Παμμακάριστος, Παναγία, Παντελεήμων, Παντεπόπτης, Παντοκράτωρ, Πάτμος, Παυσολύπη, Περίβλεπτος, Περισσός, Περτζέ, Πέτρα, Πέτρος, Πικεράς, Πλυνάριον, Πρόδρομος, Πρωτοσύγκελλος, Ρωμανιώτισσα, Σαμψών, Σανίδες, Σεραπίων, Σέρβοι, Σπήλαιον, Στούδιον, Συριχᾶ, Ὑπομιμνήσκων, Φάρος, Φιλάνθρωπος, Φιλοκάλλης, Χαρσιανίτης, Χελαντάριον, Χλόη, Χριστός, Χώρα.
Μονεμβασία metrop. I. 4. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 29. 30. 34. 35. 37. 40. 60. 66. 99. 101. 106. 122. 124. 126. 130. 236. II. 361. 370. 374. 390. 393. 395. 397. 399. 403. 404. 405. 406. 409. 411. 417. 418. 419. 440. 441. 463. 473. 478. 493. 513. 517. 518. — Σωφρόνιος, Ἰωάννης, Ἰωσήφ, Ἀκάκιος.
Μοσκόβιον II. 337. 404. Μοσχόβιον II. 404. 447. 449. 450. Μοσκοβιῶται I. 320. 321.
Μοσυνόπολις episc. I. 115.
Μοσχόβιον v. Μοσκόβιον.
Μουγούλια, τά, monast. Cpoleos Μαρία ἡ Παλαιολογίνα, δέσποινα τῶν Μουγουλίων I. 136.
Μουγούλιον, τό, locus II. 691.
Μουντανεῖα metrop. Hadrianupoleos II. 690. Corrige Tafelii explicationem pacti Francorum anni 1204 de partitione Symb. II. 57. nota 25.
Μουντινίτζα episc. metrop. Larissae I. 325.
Μουσουλμάνοι I. 293. II. 425.
Μουσταρῆς locus II. 571.
Μπάλιτζας: ὁ βοϊβόδας ὁ Μπάλιτζας in Marmarosch II. 426. 427. Nota Bogan et Dragoš. A. R. v. Dobrzansky, Rede in der Adress-Angelegenheit. Wien. 1861. 68.
Μπερεζούη castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Μπιληλῆς locus II. 469.
Μποτίσης, ῥὴξ τοῦ Χαμηλοῦ Νοβογραδίου I. 320. 321.
Μποσάνικ Russus II. 347.
Μπούας δεσπότης ὁ Σπάτας, αὐθέντης Ναυπάκτου II. 336.
Μπριάνισκον episc. Russiae I. 183. 185. russ. Brjansk (Debrjansk).
Μτζένισκον castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Μύρα metrop. I. 25. 27. 31. 32. 194. 203. 205. 212. 220. 221. 228. II. 360. 361. 388. 389. 451. 454. 459. 460 461. 465. 513. 660. τῶν Μυρέων I. 19. II. 388. 398. 513. 517. — Ματθαῖος.
Μυρέλαιον monast. I. 5. II. 553.
Μορσίνη monast. metrop. Methymnae I. 73.
Μόσθια archiep. I. 254. Μίσθεια Leo Sap. Le Quien 1. 869. 1085.
Μωκησός metrop. I. 59. 65. 210. 282. 284. 285. 286. Γεώργιος, Ἰωαννίκιος.
Ναγούμπνικος ὁ Βασίλειος Russus I. 320. 321. russ. Nagubnik.
Ναζιανζός archiep. I. 65. 210. 283.
Νάκισσα locus ins. Lemni I. 52.
Ναύπακτος II. 335. metrop. I. 51. 212. 213. 235. 324. — Ματθαῖος.
Νδράγος: ὁ βοϊβόδας ὁ Μπάλιτζας καὶ ὁ Νδράγος in Marmarosch II. 426. 427. Dragoš. A. R. v. Dobrzansky, Rede in der Adress-Angelegenheit. Wien. 1861. 68.
Νέα Ῥώμη v. Κωνσταντινούπολις.
Νέαι Πάτραι ecclesia I. 307. II. 435.
Νεαμονῖται monachi metrop. Thessalonicensis II. 453. 454.
Νεοκαισάρεια metrop. I. 46. 294. II. 424. 529. Hase, Lebeau 19. 517.
Νεοχώριον locus Chazariae II. 497.
Νίκαια metrop. I. 5. 6. 9. 10. 16. 22.

24. 25. 27. 29. 30. 41. 42. 43. 44. 45. 59. 66. 82. 92. 140. 162. 172. 179. 185. 195. 203. 205. 208. 212. 220. 221. 228. 238. 255. 261. 276. 287. 291. 292. 302. 304. 306. 319. II. 332. 335. 337. 342. 343. 344. 345. 395. 397. 399. 400. 403. 404. 405. 409. 411. 417. 418. 419. 435. 441. 484. 519. 681. — Πέτρος, Καλλίστρατος, Μανασσῆς, Ἀλέξιος, Εὐστράτιος, Θεοφάνης, Ἀλέξιος. cf. Βιθυνία.

Νικητιάτης: κάστρον τοῦ Νικητιάτου I. 14.

Νικόλαος templum metrop. Chii I. 102. monast. I. 274. metrop. Methymnae I. 73. τοῦ χοροῦ Νικολάου II. 467. 468. τοῦ Τζακάλη ins. Lemni I. 52.

Νικολέτως ὁ Γατελιούζως, ἄρχων τῆς Αἴνου II. 540.

Νικομήδεια metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 24. 25. 26. 27. 29. 30. 34. 58. 59. 63. 64. 65. 66. 162. II. 353. 355. 357. 360. 361. 370. 374. 390. 393. 395. 397. 399. 403. 404. 405. 406. 409. 411. 417. 418. 419. 431. 433. 435. 441. 444. 451. 454. 461. 465. 478. 483. 493. 507. 508. 513. 517. 518. 597. 660. 687. — Κύριλλος, Ἰωάννης, Μάξιμος, Μακάριος, καθολικὸς κριτὴς τῶν Ῥωμαίων II. 435.

Νίκων monast. Peloponnesi I. 97.

Νίφων haereticus II. 332.

Νοβογράδιον castrum Russiae II. 410. 449. 450. episc. I. 156. 157. 267. rex I. 321. Μέγα Νοβογράδιον urbs II. 450. ἐνορία II. 347. episc. II. 444. 446. σχίσμα II. 447. russ. Novgorod. Χαμηλὸν Νοβογράδιον episc. I. 320. 321. russ. Nižnej Novgorod.

Νοβογραδοπούλιον episc. I. 183. 185. Novogrodek in Severiensi ducatu Le Quien 1. 1319. russ. nunc Novogrod Severskoj.

Νοβοσίλτον, Νοβοσίλιν ecclesia I. 320. 321. ῥήξ 320. russ. Novosilj.

Νύμφαιον archiep. I. 5. 10. 27. 29. 34. Hase, Lebeau 19. 521. — Θεόδουλος.

Νύμφαιον monast. I. 58. 59.

Νόσσα episc. I. 219. 282. 284. — Ἰωαννίκιος.

Ξάνθεια archiep. I. 34. 35. 36. 39. 40. 60. 67. — Γεράσιμος. cf. II. 458.

Ξηρόκαστρον monast. metrop. Methymnae I. 73.

Ὄγγοτζα, τό, locus in Marmarosch II. 426.

Ὁδηγητρία I. 178. II. 361. monast. Cpoleos I. 292. metrop. Methymnae I. 73. Didymotichi I. 93. eccles. II. 664. ἡ ὁδηγητριανὴ ἀδελφότης II. 664. Patrona urbis Cpoleos Taf. Norm. 107. 187.

Ὁδηγοί monast. I. 207. II. 568. metrop. Methymnae I. 152. 169. 173. Antiochiae I. 260. τοῦ Κροσκόπου I. 73.

Οἰκονομεῖον, locus I. 152. II. 364.

Ὀρικαντή metrop. Myrensis II. 388. 389.

Ὀσηέτζενο, τό, castrum Russiae I. 320. russ. Osěčen Sof. Vrem. I. 321. De re v. Solov. 3. 302. Sunt vero Osěcen et Rjasna loci prov. Mohilev (distr. ujezd čauskij), ad quam reliqui quoque loci, iisdem litteris contenti, pertinere videntur. Petruševič nomina haec ita explicat: Ržev, Žižka, Nudin, Osěčen, Goryšov, Rjasna, Velikija Luki, Kličen, Vsiluk, Volgo, Kozlovo, Lipica, Chotěn, Thomin, Gorodok, Bereznj, Kaluga, Mčensk. Halickij istor. Sbornik 3. XLIV.

Ὅσιοι Πατέρες, οἱ, monast. ins. Lesbi II. 500. metrop. Mitylenae I. 58. 59.

Ὀστροζήνικον locus II. 469.

Οὐγγρία, ῥήξ II. 515. 516. μητροπολίτης Οὐγγροβλαχίας, ἔξαρχος πάσης Οὐγγρίας καὶ Πλαγηνῶν II. 647. Οὐγγροί II. 476. Plagenarum Le Quien 1. XXVIII.

Οὐγγροβλαχία metrop. duae Taf. Const. 55. I. 171. 278. 279. 281. 319. II. 332. 335. 337. 338. 342. 344. 345. 353. 355. 357. 360. 361. 370. 402. 403. 404. 405. 406. 409. 518. 647. 660. 672. ἡ κατὰ τὸν Σεβερῖνον II. 529. — Ὑάκινθος I. 279. Ἄνθιμος I. 281. II. 332. Χαρίτων II. 332. Ἀθανάσιος II. 409. 518. Ἱερεμίας II. 647.

Οὔγκλεσης v. Ἰωάννης.

Οὐρβανός (VI.) papa II. 379.

Οὐργελδος v. Ἄλγερδος.
Οὔρεσης v. Στέφανος.
Παλαιαὶ Πάτραι metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 30. 40. 60. 73. 75. 97. 124. 143. 145. 230. II. 370. 409. 436. 441. 478. 493. 511. 513. 517. 518. — Μιχαήλ, Μητροφάνης, Μακάριος, Ἰγνάτιος, Νίφων. cf. Ἀχαΐα.
Παλαιόκαστρον locus ins. Lemni II. 533.
Παλαιόλακκον locus ins. Lemni I. 52.
Παλαιολογίνα v. Ἄννα, Ἑλένη, Μαρία.
Παλαιολόγοι monast. I. 22. II. 535.
Παλαιολόγος αὐτοκράτωρ I. (1325) 63. v. Ἀνδρόνικος, Θεόδωρος, Ἰσαάκιος, Ἰωάννης, Μανουήλ.
Παλαιὸν Πηγάδιον, παλαιοχώριον, II. 469.
Παλαιὸς Λιμὴν apud urbem Capha I. 226.
Παλαιὸς Φόρος Cpoleos I. 136.
Παλαιστίνη II. 476. cf. Ἱεροσόλυμα.
Παλαμᾶς, Γρηγόριος ὁ, I. 96. 107. 109. II. 500. Παλαμῖται I. 175.
Παλαμναῖοι haeretici I. 175.
Παλβανέτζιν locus provinciae Marmaroech II. 426.
Παλιουραία locus II. 469.
Παμμακάριστος monast. II. 511. 529.
Πάμφιλος episc. I. 230. Thraciae urbs Le Quien 1. 1133. Taf. Symb. II. 113. Leo Sap.
Παμφυλία I. 133. μητροπολίτης Πέργης καὶ Ἀτταλίας, ἔξαρχος δευτέρας Παμφυλίας II. 388. 574. cf. I. 259. II. 513.
Παναγία monast. Mauroblachiae II. 487. episc. Hexamilii I. 78. ἡ Καστελλιώτισσα II. 522. ἡ Παυσολύπη II. 650.
Παναγίου, τά, τοποθεσία οὕτω πως ἐπιλεγομένη I. 136.
Παναγιώτισσα templum I. 136.
Πάναξ fluvius II. 486.
Παντελεήμων reliquiae II. 686. locus ins. Lemni I. 52. metrop. Chii I. 102. monast. II. 585. 628.
Παντεπόπτης monast. in Asia I. 101.
Παντοκράτωρ monast. I. 63. II. 600. 661. 664. Atho II. 409. Lemni I. 52.
Παπαγιανία locus II. 469.
Παπαρνίκαια, παλαιοχώριον, II. 469.
Παραθαλασσία Pomerania, pol. Pomorze i. e. regio maritima II. 515. v. Πόλτζα.
Παρθενία, ἐνορία, de qua contendunt metrop. Chersonis et Gotthiae II. 367. cf. Parthenitae Acta Sanct. 25. iunii 185. 190.
Πάριον cf. Πηγαί. Πάριον, hodie Kemars. Hase, Lebeau 19. 519. Le Quien 1. 787. Πάρειον Leo Sap.
Πασπαρᾶς locus I. 252. eccles. I. 130.
Πατέρες v. Ὅσιοι Πατέρες.
Πατερῖνοι haeretici I. 34.
Πατζοονά, ἡ, episc. metrop. Larissae I. 325.
Πάτμος monast. II. 429.
Πάτραι v. Νέαι Πάτραι, Παλαιαὶ Πάτραι.
Παῦλος apost. II. 531. 596. 605. 626. 645. 660. reliquiae II. 686. monast. τοῦ ὁσίου Παύλου I. 173.
Παῦλος v. Τάγαρις.
Παυσολύπη monast. I. 200.
Παφλαγονία: μητροπολίτης Γαγγρῶν, ἔξαρχος πάσης Παφλαγονίας II. 645.
Πέκιον: ἀρχιεπίσκοπος Πεκίου καὶ Σερβίας I. 390. serb. Peć turc. Ipek.
Πελοπόννησος II. 478. ἡ τοῦ Πέλοπος νῆσος I. 223. μητροπολίτης Μονεμβασίας, ἔξαρχος πάσης Πελοποννήσου I. 3. 30. 124. 143. 144. 214. 223. II. 372. 463. 493. μητροπολίτης Κορίνθου, ἔξαρχος πάσης Πελοποννήσου II. 461. 465. 518. metropolitae Peloponnesi II. 441.
Πεντάπολις metrop. II. 417. — Ναθαναήλ. v. Ἀλεξάνδρεια.
Πέργη metrop. Πέργη καὶ Ἀττάλεια II. 353. 388. 389. 404. 574. — Ἀθανάσιος, Θεοφύλακτος. cf. Παμφυλία.
Πέργαμον metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 29. 30. 34. 35. 36. 59. II. 397. — Ἀρσένιος, Γεώργιος.
Περεμίσθλιν episc. Russiae Minoris I. 120. Περεμούσκλην I. 319. Περεμούσθλιν I. 321. Le Quien 1. 1283. russ. Peremyšlj.
Περίβλεπτος monast. Cpoleos I. 141. 292. II. 670.

Περιθεώριον metrop. I. 142. 147. 181. 186. 241. 252. 255. II. 353. — Δωρόθεος.
Περισσός, ὁ, monast. II. 360.
Περιστερά episc. metrop. Larissae I. 325.
Πέρσαι I. 96. 162. II. 476. περσικὴ τύραννις I. 18. De Turcis Iconiensibus Taf. Norm. 20. 93.
Περτζέ monast. I. 137.
Πέτρα monast. I. 228.
Πετρίν locus apud Barnam I. 244.
Πέτρος apost. II. 447. 636. ὁ τίμιος Πέτρος monast. in Capha I. 226.
Πηγαί metrop. I. 36. 37. 39. 40. 41. 42. 43. 44. 45. 50. 99. 124. 126. 146. — καὶ Πάριον I. 57. 58. 63. 133. Hase, Lebeau 19. 518. — Κωνσταντῖνος, Γεώργιος.
Πηγή eccles. I. 98.
Πιγκέρνης ὁ Θεοφιλόπουλος monast. I. 205.
Πινακίδιον locus II. 375.
Πιπερᾶς: monast. τοῦ Πιπερᾶ I. 5.
Πισιδία metrop. I. 21. 55. 57. 58. 63. 64. 73. 77. 89. 90. 106. 108. 253 254. — Γρηγόριος, Ἀθανάσιος.
Πίσσα episc. metrop. Lacedaemoniae I. 97.
Πίστρα locus in Marmarosch II. 426.
Πλαγηνά cf. Οὐγγρία.
Πλαταμών episc. I. 191. Taf. Symb. I. 74.
Πλατέα locus II. 522. 623. 655.
Πλυνάριον monast. I. 90. τῶν Πλυναρείων I. 182.
Ποιμανηνός episc. II. 338. Hase, Lebeau 19. 524. — Ματθαῖος.
Ποκόβικος locus I. 34.
Πολούτζικον episc. Russiae I. 185. Πωλότζικον I. 185. russ. Polock.
Πόλτζα Polonia russ. Poljěča κράλης καὶ αὐθέντης πάσης Πόλτζης, Λιτβορωσίας, Παραθαλασσίας καὶ ἄλλων πολλῶν τόπων II. 515.
Πολύστυλος episc. I. 216. 220. 304. Le Quien 2. 65.
Πομπηιούπολις metrop. I. 207. — Γρηγόριος.
Ποντοηράκλεια metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 25. 27. 29. 30. 34. 36. 39. 40. 43. 44. 45. 50. 57. 58. 59. 116. 120. 124. 126. 133. 142. 151. 173. 179. 181. 183. 190. 191. 193. 194. 208. 212. 220. 221. 228. 231. 235. 238. II. 332. 335. 337. 338. 342. 344. 345. 353. 396. — Ἰωάννης, Ἰωαννίκιος, Θεόδωρος, Μεθόδιος, Ἰωακείμ.
Πόροι: ὁ Πόργος τῶν Πόρων locus II. 353.
Πόρτα: ἡ Πόρτα τοῦ προδρόμου καὶ βαπτιστοῦ I. 311.
Πρίγκιπος: ἡ νῆσος τῆς Πριγκίπου II. 604.
Πρίορος templum ins. Lemni I. 52.
Προβάτους, ἡ, urbs apud Barnam I. 244. ὁ Προβάτου episc. metrop. Hadrianupoleos Leo Sap. Le Quien 1. 1185. slavice Provat, olim Овьčьskъ Bolg. Gram. 14.
Πρόδρομος monast. I. 14. II. 341. Προδρομηνοί II. 660. 663. cf. Πέτρα.
Προικόννησος archiep. I. 3. 60. 73. Προκόννησος — Μανουήλ.
Προκόπιος reliquiae II. 686.
Προποντίς II. 404.
Προῦσα II. 358. metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 20. 22. 24. 25. 27. 29. 30. 39. 40. 41. 42. 44. 45. 50. 57. 58. 59. 65. 66. 67. 73. 115. 116. 120. II. 386. 443. 462. 681. θεούπολις Προῦσα I. 3. — Νικόλαος.
Πρῶτος v. Ἄθως.
Πρωτοσούγκελλος monast. metrop. Philipporum I. 75.
Πτελέον locus I. 215. cf. Πτελεόν Arav. 2. 137.
Πτελούδιον locus II. 537.
Πτέριν locus ins. Lemni I. 52.
Πτωμαΐα v. Κάτω Πτωμαΐα.
Πύλη v. Μικρὰ Πύλη.
Πυργίον metrop. I. 101. 106. 238. II. 397. episc. I. 204. olim Διὸς Ἱερόν II. 397.
Ῥαδοβίσδιον episc. metrop. Larissae I. 325. Ῥαδοβίσδι Arav. 2. 140.
Ῥαιδεστός urbs I. 375. Taf. Symb. II. 79. episc. Leo Sap.

Ῥάσνου, τό, castrum Russiae I. 320. Rjasna vel Risna prov. Mohilev, distr. čauskij Solov. 3. nota 412.
Ῥζόβα, τό, castrum Russiae I. 220. De re vide Solov. 3. 302. cf. Ὀσηέτζενο.
Ροδιάτον v. Βλέπος.
Ῥόδος metrop. I. 50. 59. 133. 142. 151. 152. 163. 166. 185. 259. 303. II. 388. 389. 451. — Θεόδουλος, Ἰωάννης. Ῥόδιοι II. 629.
Ῥοιζαῖον metrop. II. 688. Ῥιζαῖον episc. metrop. Neocaesareae Leo Sap.
Ῥωμαῖοι I. 77. 118. 132. 151. 156. 160. 171. 184. 196. 300. 306. II. 344. 364. 387. 397. 405. 435. 447. 467. 476. 518. μοναχοὶ Ῥωμαῖοι I. 168. ῥωμαϊκὰ ὅρια I. 6.
Ῥωμανία I. 306.
Ῥωμανιώτισσα monast. Cii II. 484.
Ῥωμανός, ἐνορία Cpoleos II. 557. 678. Duc. Const. Christ. I. 50.
Ρώμη, ἡ πρεσβυτέρα, I. 186. 292. II. 476. 634. πάπας Ῥώμης I. 186. 234. Νέα Ῥώμη v. Κωνσταντινούπολις.
Ῥωσία regio II. 438. 446. 447. 450. 514. 570. metrop. I. 88. 158. II. 347. 361. 370. 390. 393. 404. 405. 406. 409. 410. 449. cf. Κύεβον. ῥῆγες, ῥηγάδες I. 266. 268. 318. ῥὴξ πάσης Ῥωσίας I. 264. Ῥῶσοι I. 119. 120. 156. 183. 318. 321. II. 404. ἡ Μεγάλη Ῥωσία I. 118. 120. II. 337. 393. 404. ἡ Μικρὰ Ῥωσία I. 117. 118. 119. 120. 121. 158. 318. 319. 320. 321. II. 332. 337. 427. 667.
Κυπριανός II. (1379—1380) 332. (1389) 404. metrop. Russiae Minoris et Litvarum II. (1380) 337.
Ἀλέξιος, olim ἐπίσκοπος Βλανδιμοίρου, II. (1380) 337.
Ποιμὴν II. (1380) 337. eius historia II. (1389) 404.
Ῥωμανός II. (1380) 337.
Ῥώσιον metrop. I. 36. 37. 39. 40. 60. 93. 108. 162. 172. 173. 179. 181. 183. 185. 191. 193. 208. 212. 220. 221. Taf. Symb. II. 121. Ῥούσιον Leo Sap. — Θεόδουλος.
Ῥωσοβλαχία metrop. II. 488. 647. Ἰωσήφ, Μελέτιός, ψεματένιοι ἐπίσκοποι II. 488. Ῥωσόβλαχοι II. 647.
Ῥωσόπουλος: τά καλόβια τοῦ Ῥουσοπούλου locus ins. Lemni I. 52.
Σαβελλιανοί haeretici II. 400. 519.
Σαβέλλιος ὁ Λίβυς haereticus I. 175.
Σαβόεια: ὁ κόντος Σαβοείας de unione ecclesiarum a Papa Cpolim missus I. (1360—1370) 234.
Σαμψών monast. II. 585.
Σανίδες monast. I. 5.
Σαράιον episc. I. 162.
Σάρδεις metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 29. 30. 34. 43. 44. 45. 50. 55. 57. 58. 59. 63. 64. 65. 67. 73. 75. 77. 78. 91. 93. 97. 98. 99. 101. 106. 212. 255. II. 357. — Γρηγόριος, Ἀνδρόνικος. cf. Λυδία.
Σαρδική synodus II. 659. cf. Τριαδίτζιν.
Σεβάστεια metrop. I. 65. 112. 116. 120. 211. II. 365. 374. — Μακάριος, Φιλόθεος.
Σεβερῖνος eccles. II. 505. 508. 513. 517. 518. 529. 643. 645. 652. 660. cf. Οὐγγροβλαχία.
Σελάτζιον, τό, locus in Marmarosch II. 426.
Σελεύκεια metrop. II. 460. Taf. Symb. I. 105.
Σεραπίων monast. I. 5.
Σερβία regio I. 220. 304. 306. 312. II. 476. 499. ecclesia I. 300. οἱ παρὰ τῶν Σέρβων χειροτονούμενοι I. 301.
Σέρβοι monast. Atho I. 133. v. Χελαντάριον.
Σέρραι metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 39. 40. 41. 42. 44. 45. 50. 60. 66. 73. 222. 302. II. 374. 390. 393. 397. 399. 403. 404. 405. 406. 409. 411. 417. 418. 419. 473. 480. 486. — Νικόλαος, Νίφων, Μακάριος, Ματθαῖος.
Σήζκα, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Σηλυβρία II. 556. 582. 652. metrop. I. 27. 66. 142. 162. 179. 185. 194. 228. 229. 235. 252. 276. 319. II. 403. 404. 405. Σηβρία I. 103. Taf. Symb. I.

76. — Ἡσαΐας, Φιλόθεος, Θεόφιλος.
Σίδη metrop. I. 21. 81. 99. 106. 108. 166. 175. 176. 212. 259. 325. 330. II. 517. 518. 574. 513.
Σιδηροκαύσιον locus II. 469.
Σιδών metrop. Τύρος καὶ Σιδών II. 476
Σίλαιον v. Σύλαιον.
Σιμεών, ὁ ἅγιος, locus ins. Lemni I. 52.
Σιμεών, ῥὴξ πάσης Ῥωσίας I. (1347) 118. 120. — Simeon Ioannovič Gordyj (1340—1353).
Σιμεών, ἱερομόναχος, Russus II. 427.
Σίμων haereticus II. 347.
Σινᾶ, ἡ, episc. metrop. Hierapoleos II. 462.
Σινάιον Ὄρος I. 5.
Σινώπη urbs II. 675. episc. I. 21.
Σιών v. Ἱεροσόλυμα.
Σκανδάλης: τὰ χωρία τοῦ Σκανδάλη locus ins. Lemni I. 52.
Σκύθης II. 675.
Σμολένισκος I. 320. 321. ῥὴξ I. 269. eccles. I. 321. archiep. Le Quien 1. 1298. russ. Smolensk.
Σμύρνα metrop. I. 44. 45. 57. 59. 91. 93. 110. 162. 193. II. 390. 397. 402. 404. 505. 406. 409. 411. — Ξενοφῶν, Θεόδωρος, Διονύσιος.
Σουγδαΐα metrop. I. 41. 66. 67. 73. 78. 120. 131. 162. 179. 181. 183. 193. 226. II. 357. 368. 370. 395. 397. 399. 402. 403. 404. 405. 406. 419. 431. 433. 434. 435. 441. 444. 451. 454. 461. 465. 468. 660. — καὶ Φοῦλλα I. 187. II. 355. 367. 370. 404. 435. 574. — Λουκᾶς, Εὐσέβιος, Θεόκτιστος. Russis Surož. v. Karamz. 5. nota 133. Makarij, Istor. 80—84.
Σούσδαλις archiep. Russiae II. 347. 410. 449. 450. episc. II. 404. russ. Suzdal Le Quien 1. 1298. — Διονύσιος archiep. II. (c. 1380) 347. episc. II. (1389) 404. Sof. Vrem. I. 347. nota.
Σοφία: ὁ ναὸς τῆς τοῦ Θεοῦ Λόγου Σοφίας I. 125. ἡ ἁγία Σοφία in ins. Lemno I. 52. monast. II. 636.
Σπάτα v. Μπούα.
Σπήλαιον monast. Peloponnesi I. 143. 145. Σπηλαιώτισσα I. 143. 145.
Σταβαρωτή locus II. 421.
Σταματοπούλια locus Peloponnesi I. 223.
Σταμή episc. metrop. Larissae I. 325.
Σταυροί locus II. 411.
Σταυρόπολις, Σταυρούπολις metrop. I. 162. 183. 212. 239. 258. II. 399. — Καρίας II. 398. 451. 629. archiep. II. 424.
Στενόν episc. I. 19. Taf. Symb. II. 96. locus metrop. Attaliae II. 388. 389.
Στέφανος, ὁ ἅγιος πρωτομάρτυς, monast. I. 127. 223. ὁ Νέος reliquiae II. 688.
Στέφανος, ὁ τῆς Σερβίας κράλης, ὁ τῶν Ῥωμαίων τόπον παραλαβών I. (1371) 300. Stefan Dušan. Engel, Gesch. von Serwien und Bossnien 288.
Στέφανος ὁ Οὔρεσης, ὁ Σερβίας καὶ Ῥωμανίας αὐτοκράτορα ἑαυτὸν ἀνειπών I. (1368) 306. Stefan Uroš Ibid. 312.
Στέφανος, Μέγας Βοεβόδας τῆς Ῥωσοβλαχίας II. (1395) 488. Engel, Gesch. der Moldau 112.
Στούδιον monast. II. 341. Duc. Const. Christ. II. 103.
Στραντζιμηρός v. Ἰωάννης.
Στρυμών fluvius II. 469.
Σοχῆτα, ἐνορία, de qua contendunt metrop. Chersonis et Gotthiae II. 367.
Σοκίτα II. 419.
Σύλαιον metrop. I. 18. 21. 178.
Σύλβεστρος reliquiae II. 686.
Σύμπολον locus II. 571. Σύμβολον oppidum et portus Tauricae Chersonesi Le Quien 3. 1109.
Σύναδα, τά, metrop. I. 288. II. 462.
Σύνναδα II. 380.
Συρία v. Ἱεροσόλυμα.
Σοριχᾶ monast. metrop. Melitenae I. 46.
Σορράκουσα metrop. I. 59 (1256).
Σφετζιστλάβος, ῥὴξ Σμολενίσκου, I. 266. russ. Svjatoslav Ivanović, occisus anno 1386. Sof. Vrem. I. 379.
Σωζόπολις II. 421. episc. I. 108. 146. 165. 166. 194. 227. 228. 253. 256. 261. 276. 287. 291. 292. 302. 304. 319. 329. 330. 331. II. 332. 335. 337. 338. 402. 404. 406. 409. 431.

434. 435. 441. 451. — Νεῖλος, Ἀθανάσιος, Ἰωσήφ.
Σωληνάριον locus ins. Lemni I. 52.
Σωτηρόπολις v. Ἀλανία.
Τάγαρις, Παῦλος, haereticus II. 427. 476.
Τάμισος episc. I. 249.
Ταναῖται I. 162.
Τατάριοι I. 41.
Ταταρούπολοι locus I. 136.
Ταυρέζιον episc. II. 476. Tebris, urbs Persiae Le Quien 3. 1379.
Τένεδος metrop. I. 101. 106. 108. 142. 151. 240. 257. 329. 330. — Ἁρμόδιος.
Τέσοβ, τό, castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Τζακάλης v. Νικόλαος.
Τζιτζόβιν, τό, in Marmarosch II. 426.
Τζουρούλη episc. I. 198. Taf. Symb. I. 77.
Τισέασκι russ. tysjackij II. 347.
Τιφέριον, Τιφέριν, ῥήξ I. (c. 1352) 139. (1371) 322. 323. 328. v. Μιχαήλ. episc. I. 320. 321. Le Quien I. 1298. russ. Tver.
Τομπροτίτζα: ὁ δεσπότης τοῦ Τομπροτίτζα slav. Dobrotica I. 166.
Τορνίκης locus II. 572.
Τόρνοβος slav. Trnovo, urbs Bulgariae I. 157. 158. metrop. II. 688. Τρίνοβον urbs I. 186. Τρίναβον II. 472. 487. Τρίνωβον II. 667. cf. Müller, Byzant. Analekten in Sitzungsber. der kais. Akademie 9. 336.
Τοῦρκοι I. 202. 329. II. 353. 361. 379. 404. 405. 425. 435. 453. 604. 684.
Τούροβον episc. Russiae Minoris I. 120. 183. 185. 319. Le Quien 1. 1285. russ. Turov.
Τραϊανούπολις metrop. I. 3. 60. 67. 115. 116. 142. 147. 152. 168. 179. 190. 193. 194. 203. 208. 228. 302. Taf. Via Egn. II. 34. 50. 51. — Ἰωαννίκιος.
Τρακάς, ἡ, locus I. 126.
Τραπεζοῦς urbs II. 356. 476. 489. αὐθέντης I. 38. βασιλεύς II. 673. metrop. I. 94. 194. 203. 205. 212. 221. 228. 238 261. 276. II. 424. 636. — Θεοδόσιος. v. Λαζική.
Τριαδίτζιν ecclesia I. 296. Triaditza est veterum Sardica Taf. Symb. I. 41, quod Slavi mutarunt in Srědьcь, e quo recentiorum Graecorum Τριάδιτζα natum est.
Τρίκη episc. metrop. Larissae I. 325. Τρίκκη, Τρίκκαλα Taf. Symb. I. 72. Arav. 2. 166.
Τρίναβον v. Τόρνοβον.
Τρίνοβον v. Τόρνοβον.
Τρίπολις metrop. I. 207. — Μέλχης.
Τρίστρεα castellum apud Barnam I. 272.
Τρύπη locus I. 223.
Τύανα, τά, metrop. I. 202. 203. 205. 210. 233. 249. 285. — Ματθαῖος.
Τύρος metrop. I. 169. 176. 178. 187. 207. Τύρος καὶ Σιδών II. 476. — Ἀρσένιος.
Τυφέριον v. Τιφέριον.
Ὑπερπυράκιον episc. metrop. Philippopoleos I. 87.
Ὑπομιμνήσκων monast. II. 674.
Ὑρτάκιον locus II. 399. cf. Io. Cant. 1. 339.
Φανάρι locus Cpoleos I. 136.
Φάρος monast. I. 329. locus Cpoleos II. 445.
Φάρσαλος episc. metrop. Larissae I. 325.
Φαύστινα episc. I. Φαυστίνων 233. Φαυστίνης 248. — Ματθαῖος.
Φιλάδελφεια metrop. I. 41. 42. 43. 44. 45. 50. 100. 108. 109. 110. 120. 133. 142. 148. 149. 152. 154. 194. 203. 208. 212. 220. 221. 228. 238. 255. II. 357. 380. 391. 462. Taf. Symb. I. 101. — Ἰωαννίκιος, Μακάριος.
Φιλανθρωπηνός, κάθισμα II. 610.
Φιλάνθρωπος monast. II. 534.
Φιλέα locus II. 361.
Φίλιπποι metrop. I. 3. 4. 5. 9. 10. 17. 18. 39. 40. 60. 75. 87. 101. 108. 304. II. 480. — Καλλίνικος.
Φιλιππούπολις metrop. I. 3. 60. 67. 87. 295. II. 397. Taf. Const. XIV. — Μάξιμος.
Φιλοκάλλης monast. II. 662.
Φοίνιξ locus metrop. Attaliae II. 388. 389.
Φόρος v. Παλαιὸς Φόρος.
Φοῦλλα v. Σουγδαΐα Acta SS. 26. iunii

194. In vita S. Cyrilli XII. corrige fulscê pro filscê. Makarij, Istor. 84—86.
Φοῦνα, ἡ ἐνορία, de qua contendunt metrop. Chersonis et Gotthiae II. 367. 419.
Φράγγα locus II. 413.
Φραγγία II. 556..Taf. Norm. 118.
Φράγγοι I. 202. II. 361.
Φρυγία Καπατιανή: μητροπολίτης Λαοδικείας, ἔξαρχος Φρυγίας Καπατιανῆς II. 381. 529.
Φώκαια I. 193. episc. II. 397. Παλαιὰ Φώκαια I. 149. ἀμφότεραι αἱ Φώκαιαι I. 110.
Χαζαρία regio II. τὰ περὶ τὴν Χαζαρίαν πατριαρχικὰ δίκαια 492. ἔξαρχος 497.
Χαλκηδών metrop. I. 5. 9 10. 16. 22. 24. 25. 27. 29. 30. 39. 40. 43. 44. 45. 50. 55. 57. 58. 63. 64. 65. 66. 151. 152. 162. 179. 181. 183. 185. 191. 193. 194. 203. 205. 208. 212. 220. 221. 228. 231. 235. 236. 237. 238. 252. 255. 261. 276. 292. 301. II. 390. 406. 409. 417. 418. 419. 453. 454. 479. — Θεόδουλος, Ἰάκωβος, Γαβριήλ. Synodus I. 97. 107. 186. II. 661. v. Βιθυνία.
Χαλκήτης, κάθισμα Galatae II. 600.
Χαλκοπρατεῖα tractus Cpoleos II. 571, Duc. Const. Christ. I. 169.
Χαλκοτούβιον, ζευγηλατεῖον I. 16.
Χαμᾶς, ὁ, metrop. II. 332. 353. 361. 403. 417. — Γρηγόριος.
Χαμηλὸν Νοβογράδιον. v. Νοβογράδιον.
Χαντούτζης: χωράφιον τοῦ Χαντούτζη I. 136.
Χαρίορος, τό, locus I. 5.
Χαριούπολις episc. I. 34. 111.
Χάρμαινα, τά, episc. I. 43. 47. Χαρμένων Leo Sap.
Χαρσιανίτης monast. metrop. Iconii II. 332.
Χαρσός: ἡ Χαρσοῦ πύλη porta Cpoleos II. 562. Duc. Const. Christ. I. 50.
Χελαντάριον monast. Atho II. 415. 469. v. Σέρβοι.
Χερσών metrop. I. 83. 219. 221. 240. II. 355. 357. 360. 367. 368. 370. 417. 418. 419. 434. 440. 444. 451. 454. 461. 465. 505. 660. 672. — Ἱερεμίας, Ἰγνάτιος, Θαδδαῖος, Μακάριος. Makarij, Istor. 60—67.
Χιμάρρα καὶ Κοζίλη episc. I. 177. Arav. 2. 177.
Χίος ins. II. 387.680. 685. episc. I. 7. 8. 50. 89. 99. 101. 102. 106. 201. 238.
Χλέπεν castrum Russiae I. 320. cf. Ὀσηέτζενο.
Χλόη monast. ins. Lemni I. 52.
Χόλμιν episc. Russiae Minoris I. 120. 319. 321. Le Quien 1. 1285. russ. Cholm.
Χριστιανούπολις metrop. I. 173. 179. 181. 183. 228. 236. II. 461.
Χριστός monast. metrop. Methymnae I. 73. Selybriae I. 103. cf. Ἀκάπνιον.
Χριστοφόρος καὶ Ἀκυλῖνός templum II. 677.
Χριστούπολις II. 469. metrop. I. 3. 4. 5. 6. 9. 10. 16. 17. 18. 22. 24. 25. 27. 29. 30. 34. 35. 36. 37. 39. 66. 97. 133. 151. 162. 185. 220. 299. II. 458. 482. — Ἱερόθεος, Μακάριος, Πέτρος.
Χριχάρι, τό, locus Chersonis II. 419.
Χρυσῆ Πύλη porta Cpoleos II. 360. 375. Duc. Const. Christ. I. 52.
Χρυσόπολις urbs II. 469. χρυσοπολιτικὰ δίκαια ibid.
Χῶναι episc. I. 288. II. 381. 462.
Χώρα, ἡ, monast. Cpoleos II. 557. Duc. Const. Christ. II. 180.
Ψαθαρία, τά, locus II. 577. cf. ἐν τῷ Ψάμαθῳ Duc. Const. Christ. 2. 166.

## Corrigenda.

31. 16. ὁ Μποσάνιχ 152. 3. Cyrici 152. 8. Κυρίκου 188. 2. Moscovii 187. 19. ποιήσειν, ἐπὶ βλάβῃ 363. 26. Χώρας.